AUTHOR:

DIONYSIUS, OF HALICARNASSUS

TITLE:

DIONYSII HALICARNAESI OPVSCVLA

PLACE:

LIPSIAE

DATE:

1899-1933

Master Negative #

93-81308-1

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Works. 1899.

Dionysius Halicarnassensis.
Dionysii Halicarnasei opvscvla, edidervnt Hermannvs Vsener et Lvdovicvs Radermacher ... Lipsiae, in aedibvs B. G. Tevbneri, 1899-[1904]
v 2' 18cm. (Added t.-p.: Dionysii Halicarnasei qvae exstant, v. 5-6)

 Copy in Classics. 1899-1929. 2 v. in 3.

94050

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 9X
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 4-20-93 INITIALS V.W.D.
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

VOLUME 1

BIBLIOGRAPHIC IRREGULARITIES

MAIN ENTRY: DIONYSIUS HALICARNASSENSIS

Bibliographic Irregularities in the Original Document

List volumes and pages affected; include name of institution if filming borrowed text.

______ Page(s) missing/not available: ______

✓ Volumes(s) missing/not available: VOL 1.

______ Illegible and/or damaged page(s): ______

______ Page(s) or volumes(s) misnumbered: ______

______ Bound out of sequence: ______

______ Page(s) or illustration(s) filmed from copy borrowed from: UNIV OF FLORIDA

______ Other: ______

AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202

Centimeter

1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm

1 2 3 4 5

Inches

1.0 1.1 1.25 1.4 1.6 1.8 2.0 2.2 2.5 2.8 3.2 3.6 4.0 4.5 5.0 5.6 6.3

MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

Dionys

[illegible]

DIONYSII HALICARNASEI
QVAE EXSTANT

VOLVMEN QVINTVM

O P V S C V L O R V M

VOLVMEN PRIVS

EDIDERVNT

HERMANNVS VSENER
ET
LVDOVICVS RADERMACHER

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCXCIX

DIONYSII HALICARNASEI
OPVSCVLA

EDIDERVNT

HERMANNVS VSENER
ET
LVDOVICVS RADERMACHER

VOLVMEN PRIVS

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCXCIX

LIPSIAE: TYPIS B. G. TEVBNERI

FRANCISCO · BVECHELERO

VNIVERSITATIS · RHENANAE

HIS · QVINQVE · LVSTRIS

PRAESIDIO · AC · DECORI

D·D·L·M

EDITORES

KALENDIS MAIIS ANNI MDCCCXCV

PRAEFATIO HERMANNI VSENERI

Dionysii Halicarnasei opuscula critica et rhetorica quotquot hodie exstant, tribus exemplis argumento et ambitu diuersis factum est ut nobis seruarentur.

I Agmen ducit codex omnium antiquissimus Parisiensis nunc bybliothecae nationalis n. 1741 olim Rodulphi cardinalis (P), saeculi undecimi, artium rhetoricarum sylloge amplissima, quae libros non paucos una ad nos detulit. codicem egregium qualis nunc est descripserunt, qualis olim fuerit accurate explorauerunt post Henricum Schenkl *Wiener Studien* t. IV p. 55 sqq. Leopoldus Cohn Philologi t. XLIX (n. ser. III) p. 396 sqq. et Henricus Omont praefatione simulacro phototypo poeticae Aristotelicae[1] praemissa. In eo codice insunt haec: I Dionysii quae fertur ars rhetorica II Menandri ars demonstratiui generis III Aristidis artis rhetoricae libri II |IV Dionysii de Thucydide epistula ad Ammaeum V Alexander de figuris VI Aristotelis artis rhetoricae libri III VII eiusdem poetica VIII Dionysius de compositione uerborum IX Demetrius de elocutione X Apsinis ars (cum Lon-

1 *Collection de reproductions de manuscrits publiée par L. Clédat. Auteurs grecs I: La poétique d'Aristote.* Paris 1891 p. VII—XVI.

gino contaminata) XI Minucianus de argumentorum sedibus XII Maximus sophista de obiectionibus insolubilibus XIII anonymus de statibus. quibus manu diuersa eaque paullo uetustiore potius quam recentiore additum est XIV opusculum de ueterum scriptorum lectione et imitatione ex Dionysii de imitatione libro altero excerptum. Hanc librorum tabulam qui meminerit, apographis exempli Parisini excutiendis non perdet operam, quod cum aliis accidit tum Walzio et Iano Bakio. ego ut in uno genus totum cognoscerem, satis habui Guelferbytanum gr. 14 olim Gudianum (G) chartaceum partim contulisse partim inspexisse: de quo cum Bakius ad Apsinem p. XLI sq. abunde dixerit, nolo acta agere. sed qui syllogen rhetoricam Parisinam iterarunt, omnes Aristotelis rhetoricam et poeticam, Maximi opusculum, excerpta de ueteribus legendis Dionysiana spreuere neque ei in librorum ordine exemplar expresserunt. nam Dionysii scripta iuxta ponunt, artem, de Thucydide epistulam, librum de compositione uerborum, eisque continuant Demetrium de elocutione. hinc propago in duos quasi ramos discedit. omisso enim Alexandro Apsinem Minucianum Aristidem Menandrum subiciunt codices Gudianus, Palatinus gr. 277 (cf. Frid. Sylburgius catalogi p. 83), Laurentianus plutei LIX 11 a Nicodemo monacho saec. XV scriptus (cf. Bakius p. XXX sq.), Ambrosianus 'B 164 sup.' chart. saeculi XV fortasse ineuntis ex Georgii Merulae Alexandrini libris, eiusdemque bybliothecae 'M 92 sup.' olim Octauiani Ferrarii et 'J 81 sup.' s. XV (sed in hoc ex Dionysianis sola ars rh. inest), Marcianus classis VIII 10 membr. saec. XV a Caesare

Stratego scriptus (de quo rettulit Bakius p. XLIV), Riccardianus 15 chartaceus (cf. Stud. ital. 2, 485 sq.), Escorialensis I—III—15 chart. saec. XVI, Bodleianus miscell. 230 olim Saibantianus (cf. catal. I p. 783 sq.). contra alii Dionysio Demetrioque Alexandrum Menandrum Aristidem Apsinem Minucianum addunt, nempe Parisinus bybl. nat. 1656, Vindobonensis classis IV (philos. et philol.) 60 chartaceus (cf. Nesselii catal. t. II p. 36 sq.), Marcianus 429 membranaceus s. XV (cf. Iac. Morellii bibl. manuscr. I p. 295 sq.), Palatinus 66 (cf. Sylburgius l. s. p. 24), denique is codex quem Aldus Manutius in rhetorum uolumine priore expressit (a). decurtati sunt codices Riccardianus 68 (cf. Stud. ital. 2, 518) prioris, Angelicanus 54 (cf. Stud. ital. 4, 103) secundi generis, Vaticanus 1405 chartaceus olim Fuluii Vrsini, qui cum Dionysii artem et epistulam de Thucydidis idiomatis praemittat, miscella adiungit originis plane diuersae rhetorica et grammatica, Vrbinas 47 chart. a Michaele Apostolio scriptus, ubi libro de comp. uerb. Aristotelis rhetorica et poetica nec non Demetrius π. ἑρμ. iungitur, Laurentianus LVIII 22 qui Dionysii epistulam Thucydidiam cum Aristidis rhetorica conponit, alii.

Vides nil magis manifestum esse quam hos libros omnes ita a Parisino pendere, ut ex duobus eiusdem apographis fluxerint. quae num hodieque exstent, non attinet quaerere. nulla enim ne horum quidem est auctoritas, cum aditus ad fontem communem pateat.[1]

1 Cf. dissertatio De Dionysii Halicarnassensis libris manuscriptis indici scholarum Bonnensium aest. a. MDCCCLXXVIII praemissa, unde quae dicta sunt paucis aucta repetiui.

eum ego quidem in libro de comp. uerb., artis capitibus VIII—XI, epistula ad Ammaeum conlatum habeo a Philippo Kohlmanno Dr. uiro studiis in Statio poeta conlocatis notabili Emdeni anno h. s. LXXXIX mortuo, in arte generis demonstratiui (artis I—VII) a Carolo Graux uiro egregio his studiis patriaeque praematura morte abrepto. ad primum autem librum insperatum accessit subsidium, cum ex libris a Chr. Brandisio relictis editionem R. Stephani emissem, ad cuius margines uir doctus nescio quis aut hoc saeculo ineunte aut proximo ad finem uergente codicis Parisini lectionem discrepantem satis accurate enotauerat. ego exemplum nobile anno h. s. LXXX, cum Bonneti mei hospitio iucundissimo uterer, qua potui diligentia praesidiis illis adhibitis non sine fructu relegi.

II Alterum exemplum Florentinum est in bybliotheca Laurentiana plutei LIX codex XV (F) saeculi duodecimi.[1] insunt in eo I Dionysii de compositione uerborum commentatio II eiusdem de oratoribus antiquis tomus prior ie. de Lysia Isocrate Isaeo iudicia III eiusdem de Dinarcho liber IV Flauii Philostrati uitae sophistarum, ut tamen libri II postrema desiderentur V Callistrati descriptiones (*ἐκφράσεις*) VI Aristidis rhetoris orationes quinque IX VI I XVII VIII. Casu infelici inter primam et secundam codicis partem uel inter quintum et sextum quaternionem fasciculus ita interiit, ut iam libri de compositione uerborum

1 De altero et tertio codicum genere dixi olim in Fleckeiseni annali a. 1873 p. 145 sqq., de codice Florentino plura tradit Sadaeus libri infra p. XIII indicati p. 32 sqq.

capita XXV inde a p. 194, 5 R. *μυστηρίοις μὲν οὖν* et XXVI atque operis de antiquis oratoribus prohoemium usque ad huius editionis p. 7, 12 *ἐάσω* desint. etiam qui tertio loco ponitur libellus de Dinarcho mutilus est, si quidem quaternione XIII extremo f. 104^{v} in medio enuntiato *ὅτε καὶ* ... abrumpitur: quam iacturam eo aegrius ferimus, quo minus spei relinquitur aliunde restitutum iri. priorum enim librorum duorum cum etiam alii testes supersint, huius libelli codex Laurentianus fons unicus est. Codicem Constantinopoli altero itinere Graeco inuentum anno 1491 a se emptumque Ianus Lascaris epistula ad Demetrium Chalcondylam data testatur[1], in Laurentii Medicei bybliothecam relatum iam catalogus anni 1495 indicat.

Apographon exempli Laurentiani in farragine miscella codicis Vaticani gr. 64 latere Carolus Diltheyus meus perspexit. qui codex anno mundi 6778 uel p. Chr. 1269/70 Thessalonicae scriptus post multa alia quae Ferd. Schultzius ad Aeschinem praef. p. XXIII indicauit, ego in Fleckeiseni ann. l. s. p. 146, 1 recensui[2], inde a f. 226 quidquid in Laurentiano inest,

1 Epistulam graecam Lascaris Aeneas Piccolomini edidit *Rivista di filologia* 1874 t. II p. 417 sqq., locum de Dionysio inuenies p. 419 cf. p. 410. Catalogi testimonium habes in libro *Intorno alle condizioni ed alle vicende della libreria Medicea privata ricerche di E. Piccolomini* (*Archivio storico Italiano* ser. III t. XX) 1875 p. 82 n. 367.

2 Operae pretium facturus mihi uideor, si catalogum librorum extremo codice positum olim l. s. p. 147, 2 non sine erroribus editum, correctum ab Eltero repetiuero: *εἰσὶ τὰ βιβλία ἅπερ κέκτημαι ταῦτα ἐν Θεσσαλονίκῃ: τετραευάγγελον, τριμη-*

eodem ordine refert. sperares tam uetus apographon exempli speciem paullo pleniorem redditurum esse. at librarius Thessalonicensis ne uerbum quidem amplius quam nos legit. itaque quae nunc in tribus Dionysii libris desideramus, iam ante a. 1269 interierant.

Praeter hoc, etiamsi studiose et ego et mea causa amici quaesiuimus, neque apographon ullum neque exemplar gemellum indagare potuimus. nam quod in libro de comp. uerborum partis in codice Laurentiano interceptae uestigia in contaminato librorum genere apparent, alia res est, de qua in alterius uoluminis praefatione dicendum erit. quam ob rem quoniam exemplum Laurentianum integritate memoriae ceteris testibus manifesto antecellit, opera danda erat ut quam maxima cura eius lectio exploraretur. mihi olim Adolphus Kiesslingius uir amicissimus acerbo casu nobis et his studiis ereptus integrum contulerat, postea iterum mea causa C. Diltheyus libros de oratoribus et de Dinarcho, commentarium de comp. uerborum

---

νιαῖον, ἑξαήμερος τοῦ μεγάλου Βασιλείου (hunc titulum librarius idem postmodum supra uersum adiecit), τριώδιν, προφητεία, δυκάνωνος (sic), ὀκτωῆχος, ψαλτήριον, νομοκάνωνον· θεολόγος ἐξηγημένος, διατάξεις τῶν ἁγίων ἀποστόλων ἐν ᾧ καὶ ἐκλογαὶ διάφοροι σοφῶν, ἐπιστολαὶ Χρ(υσοστόμ)ου. μεγάλου Βασιλείου. καὶ Γρηγορίου τοῦ θεολόγου καὶ ἄλλων σοφῶν, ἅμα. τῶν ἐκτὸς ταῦτα· Σοφοκλῆς, Εὐριππίδης, Συνέσιος μετὰ Αἰσχίνου, Ἰουλιανοῦ, Θεμιστείου (?), Ἀρριανοῦ, Διονυσίου, Ἰσοκράτους ἐπιστολαὶ Φιλοστράτου καὶ ἑτέρων οὐκ ὀλίγων, Ἱπποκράτης ὅλος, Γαληνοῦ μεγάλη θεραπευτική, τὰ μονόβιβλα τούτου πολλὰ ὄντα ἐν δυσὶ βιβλίοις. διαγνωστική. ἡ περὶ χρείας μορίων, ἐν ᾗ καὶ ἀφ(ορ)ισμοί. Ὅμηρος· περὶ διαίτης ὀξέων, ἀνατομική· Παῦλος· περὶ τροφῶν Γαληνοῦ, ἐν ᾧ καὶ ἕτερα.

Hieronymus Vitelli Florentinus relegit. uti praeterea eis licuit quae Leonardus Sadaeus de codicis ab ipso accurate conlati lectione in Quaestionibus criticis de Dionysii Hal. scriptis rhetoricis Argentorati a. h. s. LXXVIII editis (Dissertat. Argentoratensium t. II p. 89 sqq.) rettulit.

III Tertium exemplar nunc deperditum haec quinque Dionysii scripta tradidit: I de antiquis oratoribus tomum priorem integrum ie. praefationem totius operis et iudicia de Lysia Isocrate Isaeo II epistulam ad Pompeium III iudicium de Thucydide IV commentarium de Demosthenis dictione V epistulam ad Ammaeum contra eos scriptam qui Demosthenis praestantiam ex Aristotelis arte rhetorica repetebant. unius huius exempli merito euenit ut quattuor illa opuscula quae primum excipiunt ad nostrum aeuum propagarentur et operis de antiquis oratoribus initium pridem ex codice Laurentiano abruptum (p. 3, 1—7, 12 huius editionis) seruaretur. quam syllogen qui conposuit siue rhetor siue grammaticus aeui Byzantini alterum operis de antiquis oratoribus tomum iam non norat, qui saeculo quinto, ut Syrianus comm. in Hermogenem t. I p. 90, 13 H. Rabei testis est, nondum decurtatus erat. nam Tzetzae, quod ex deperdita commentationis de Demosthene parte frustulum (p. 253 fr. 1) seruauit, cauebimus ne integrum opus ante oculos positum fuisse iudicemus; pauca autem illa quae ex ea parte quae de Aeschine scripta erat in scholia Aeschinea translata sunt probabile est uel ante Syriani aetatem a rhetore docto excerpta esse. eo igitur tempore quo haec sylloge conposita est, alterius tomi

partes eae quae περὶ τῆς πραγματικῆς Δημοσθένους δεινότητος (cf. p. 252, 16), porro de Hyperide et de Aeschine (cf. p. 7, 18) scriptae erant, interierant omnes, sola relicta erat pars prima περὶ τῆς λεκτικῆς Δημοσθένους δεινότητος. huic igitur, ut damnum aliquo modo conpensaret, propter argumenti affinitatem epistulam ad Ammaeum subiecit, quae operi olim, cum integrum esset, interponi nullo pacto potuit. sed ne illa quidem pars integra relicta erat. quae cum prima fuisset uoluminis, primus eius quaternio auolsus erat, praeterea siue igni siue madore multarum paginarum maxime secundi quaternionis, qui reliquorum primus fuit, principia ita laesa erant, ut primorum uersuum aut prima aut ultima uerba legi non possent.[1] Ex diuerso fonte auctor sylloges libros duos (II et III) repetiit, quibus rerum scriptores tractantur.[2] con-

1 Etiam ultra primum quaternionem (p. 128, 17—152, 10) haec labes pertinuit cf. p. 153, 24. 155, 10. 158, 10. 168, 12. 181, 15—187, 18. quodsi interualla reputaueris, quibus loci lacunosi sese excipiunt, facile apparet archetypi paginas uersus fere XXXIII—XXXV huius editionis conplecti solitas esse.

2 Hiatu ampliore libri omnes duobus locis p. 365, 6 et 371, 22 deformantur. inter quos locos uersus huius editionis intercedunt CLVI. utrumque igitur defectum eo euenisse perspicitur, quod duae schedae continentes conpage soluta interciderant. quas tertio loco quaternionis positas fuisse ualde probabile est:

A B * D d * b a



quod si ita est, efficitur ut singulae archetypi paginae uersus fere XXXIX Teubnerianos receperint. igitur ampliores fuere quam eius exempli unde liber de Demosthene fluxit. non recte de hac re Schenkelium Stud. Vindobon. t. II p. 31 sq. et Sadaeum

iunctos illos olim fuisse eodemque ordine positos fidem facit quod liber de Thucydide inscriptus est ἔτι περὶ Θουκυδίδου πλατύτερον. sed latuit auctorem illum epistula de Thucydidis idiomatis perinde atque cetera quae in exemplo Parisiensi leguntur.

Exempli deperditi lectionem ut instauremus, haec apographa praesto sunt: 1 codex Ambrosianus D 119 sup. (M), olim Georgii Merulae Alexandrini, deinceps Hieronymi Calchi Mediolanensis.[1] in charta ille leuigata satis diligenter ac nitide scriptus est ineunte saeculo XV. eius praestantia etsi non tanta est ut ceteris apographis carere possimus, tamen ea maxime re eminet, quod locos exempli hiantes accuratissime omnium expressit; tenendum tamen est librarium supplendae lacunae incertum maluisse fenestrarum amplitudine peccare quam exiguitate aut omissione. iota mutum fere nusquam scribitur, lectio conlato archetypo emendata rubro in margine adnotari solet similiterque aliquotiens scholia adscribuntur; idem corrector, ut sententiae finem indicaret, distinctionis notae saepe punctum rubro adposuit. insunt in eo libro f. 1—42^{r} Dionysii de antiquis oratoribus liber primus f. 42^{v}—51^{v} ἐπιστολή ie. epistula ad Pompeium Geminum f. 51^{v}—94^{r} liber de Thucydide, in quo f. 66^{r} uersu secundo post uerba οὐδὲ γῆν φῦ filo ab-

l. s. p. 43 sq. iudicare uideo. temerarius enim mihi uidear, si ex numero paginarum quae in Ambrosiano uacant de amplitudine lacunae coniecturam ceperim.

1 Praescripta edidit Herwerdenus ad Dion. epistolas crit. tres p. V et Sadaeus l. s. p. 42. plura qui de codice scire cupiet, adeat Sadaei descriptionem p. 42—55.

rupto non solum f. 66 sed etiam octo[1] quae secuntur folia (67—74) scriptura uacant, donec f. 75^r pleno uersu primo pergitur *μη δεδουλωμένοι κτλ.* (p. 365, 6 sq.). uacuae iterum pagina f. 94^v tresque schedae f. 95—97 relincuntur, nisi quod f. 97^r non tam libro quam paginae *Διονυσίου· ἁλικαρνασέως, περὶ τῆς δημοσθένους λέξεως*: inscribitur perinde atque f. 97^v *Διονυσίου ἁλικαρνασέως* et 98^r *περὶ τῆς δημοσθένους λέξεως* legitur, f. 98^r demum plena pagina integroque uersu primo incipit liber de Demosthene initio decurtatus a uerbis *ων. καὶ τὰ ἀφυστερίζοντά που* (p. 128, 17) et ad finem f. 138^v ducitur. extremo iam loco f. 139^r—146^r epistula ad Ammaeum legitur, pagina auersa f. 146^v scriptura uacat. Quae subsequitur Iosephi Rhacendytae *σύνοψις τῆς ῥητορικῆς* inter rhetores graecos a Walzio edita t. III p. 478—569 (desunt quae apud Walzium p. 467—477 praemittuntur) ab eodem librario in charta diuersa scripta quasi alterum codicem efficit, cuius et quaterniones α—ϛ et folia suis utuntur numeris. libros de Thucydide et Demosthene epistulamque ad Pompeium Adolphus Kiesslingius, epistulam ad Ammaeum Guilelmus Studemundius, tractatus de oratoribus antiquis ego contuli. quae testimonia aliquotiens suppleri aut corrigi potuerunt ad fidem eorum quae Sadaeus ex codice enotata dedit.

Hinc fluxit bybliothecae Vaticanae codex Otto-

1 Sadaeus quod p. 43 septem folia uacua numerat, nescio quo casu in errorem adductus est. Ego in adnotatione p. 365 nouem uacare dixi Kiesslingium secutus, qui schedis VIII uacuis antecedentem f. 66 adnumerauit, cuius unus tantum uersus et pars alterius perscribuntur, cetera uacant.

bonianus gr. 365 saeculi XVI ineuntis, in quo eidem atque in Ambrosiano libri Dionysiani eodem ordine leguntur. omnes titulis carent, quibus minio pingendis satis spatii relinquitur. subiunctum est f. 119^r—159^v non Iosephi Rhacendytae opusculum sed Hephaestionis enchiridion initio lacerum (inc. *ξάνθω εἰσὶν* p. 8, 1 ed. Westph.). ex ipso Ambrosiano descriptum hunc Dionysii codicem esse neque olim latere me potuit et nunc quiuis in epistula ad Ammaeum (p. 257 sqq.) intellegere facile poterit, cui speciminis causa lectionem Ottoboniani a G. Heylbutio enotatam subieci.

2 Codex Vaticanus inter Palatinos gr. LVIII chartaceus saeculi XV foliorum CXXXII (P), quo de post G. Kaibelium (in Fleckeiseni annali a. 1873 p. 148 sq.) Henricus Schenkl Studiorum Vindobonensium t. II (1880) p. 30 sq. rettulit, cf. catalogus Sylburgii p. 21 H. Stevensoni p. 29. integer codex est, nisi quod scheda prima nunc soluta praeponitur, idem rara neglegentia scriptus quippe ex dictatione hominis non opinor graeci exceptus tamen aliquando antiquae lectionis testis est ueracior quam M. insunt f. 1 iudicium de Thucydide, f. 33^r liber de Demosthene sub falso titulo *θουκυδίδου ἔκφρασις τῆς στάσεως τῶν κερκυραίων* (id quod attinet ad prima saltem p. 128, 17—130, 1), f. 79^v epistula ad Ammaeum, f. 89^r operis de oratoribus antiquis liber primus, f. 125^r epistula ad Pompeium. epistulam ad Ammaeum tres excipiunt schedae uacuae f. 86—88, et reliqua inde a f. 89^r usque ad calcem ab una manu et diuersa ea quidem ab eis quibus priora debentur scripta sunt; liber de Thucydide quattuor occupat quaterniones et a duobus scribis

exaratus est non eisdem atque eis qui in parte sequenti f. 33—85 uersati sunt. hinc facilis ac necessaria est coniectura, plures eodem tempore librarios in scribendo codice Palatino occupatos fuisse, ut alii libro de Thuc., alii libro de Dem. epistulaeque adnexae, unus reliquis a f. 89 operam darent. Liber de Thucydide in hoc codice miro modo turbatus est: locus p. 328, 24—330, 22 suo loco omissus postea p. 332, 19 in media uoce interpositus legitur itemque p. 340, 14 —342, 16 inter p. 344, 21. quae turbae, quamuis aliter Schenkelius Stud. Vind. p. 31 iudicet, ita tantum oriri potuere, si duae eiusdem quaternionis schedae continentes aut ex conpage solutae inuersaeque aut (id quod longe probabilius) supinae ita in exemplari conlocatae erant ut frons et tergum utriusque mutaretur: haec igitur illius in exemplo quaternionis fuit species

A B C^v C^r D d c^v c^r b a



hinc simul constat singulas exempli paginas uersuum Teubnerianorum XLV duarumque fere partium numerum continuisse. unde hoc exemplum non commune illud ceterorum fuisse apparet, sed librum nunc deperditum ex illo exemplo descriptum, Palatini parentem. Conlatum integrum codicem Georgii Kaibelii amicitiae debeo.

A Palatino pendet codex Parisiensis bybliothecae nationalis gr. n. 1657 chartaceus saeculi XV exeuntis (A), in libro de antiquis oratoribus mihi a D. Detlefseno conlatus. continet eosdem quinque Dionysii libros eodem ordine atque Palatinus: quem eius fontem esse cum

ego olim in Fleckeiseni annali 1873 p. 149 dixi, tum Schenkelius l. s. p. 29 demonstrauit. discrepat eo quod iudicii de Thucydide, cuius initium ibi nunc p. 347, 4 a litteris ξάμενοι fit, quaternio primus simulque is quaternio qui finem huius et initium libri de Demosthene complectebatur desunt, cf. Schenkelius p. 30. Dionysio subiciuntur Aeliani uaria historia, excerpta Heraclidae Pontici quae uocantur, epistulae Philostrati quindecim, Theophylacti duae.

3 Codex Parisiensis bybliothecae nation. gr. 1742 chart. saeculo XV exeunte aut XVI ineunte scriptus (B) continet amisso tamen iudicio de Thucydide eadem eodem ordine quae Ambrosianus. duabus constat partibus ualde diuersis. librum I de antiquis oratoribus (f. 1^r) et epistulam ad Pompeium (f. 49^v—60^r) manu tersa ac nitida librarius satis diligens scripsit, fasciculis usus sane non usitatis: seniones duos (1—24) quinio excipit et quaternio uno folio decurtatus (35—41), secuntur duo seniones (42—65); post f. 60, cuius quinto uersu textus finitur, quinque folia scriptura uacant. alteram partem scriba rudis scopa potius quam calamo exarauit isque tam neglegenter, ut nauseam faciat lectionis discrepantiam et enotanti et adnotanti. continet ea librum de Demosthene f. 66^r, ubi primi quattuor uersus scriptura uacant, in superiore margine minio scriptum est *θουκυδίδου ἔκφρασις τῆς στάσεως τῶν κερκυραίων*, et epistulam ad Ammaeum argumento coniunctam f. 128^v—135^v, quae ternionem et octo quaterniones (β′—ι′, nimirum ζ′ ibi sextum indicat) efficiunt. extrema epistulae pars cum interiisset, tertia manus saec. XVI satis nitida defectum sup-

pleuit binione (f. 136—9) adiecto, cuius f. 138^{r} epistula nunc finitur, reliqua (138^{v}. 139) uacua sunt. Huius codicis librum I de ant. orat. (f. 1—49^{v}) olim mea causa D. Detlefsenus contulit, reliqua ego excussi.

4 Quartus isque procul dubio Palatino et Parisiensi praestantior accedit codex Venetus bybliothecae s. Marci inter eos qui post Theupoli catalogum editum accessere classis x n. XXXIV Morellio curante a. h. s. XVII acquisitus. huius libri olim me Hugo Rabeus noster admonuit, quo tempore in editione paranda uersabamur. sed cum specimen libri idoneum praesto non esset, neglexi eum ex codice Ambrosiano fluxisse temere opinatus. sero nunc, dum materiem praefationis congero, eum esse in hoc exemplo opusculorum Dionysii ordinem intellexi, quo aut ex ipso exemplari aut ex apographo eius deperdito fluxisse probaretur. igitur ut de natura huius textus certior fierem, intercedente I. Lietzmanno a Morpurgo uiro inlustrissimo bybliothecae Marcianae praefecto petii, ut quattuor primarum libri de Demosthene paginarum simulacra luce excepta mihi curaret et mitteret. qui uir, ut est ingenio liberali, non solum quod rogaueram fecit sed ultro etiam de codice rettulit, quae adpono. codex est chartaceus saeculi XV, foliorum CL, altus m. 0,294 latus m. 0,213. continet I Dionysii de Demosthene librum f. 2—33^{v} manu Hermolai Barbari Veneti (1453—1493) scriptum II epistulam ad Ammaeum Demosthenicam f. 33^{v}—40^{r} III de antiquis oratoribus (Lysia Isocrate Isaeo) commentationes f. 40^{r}—79^{v} IV epistulam ad Ammaeum f. 80^{r}—88^{r} V iudicium

de Thucydide f. 88^{r}—120^{v}, subiungitur Demetrii de elocutione opusculum sine titulo f. 121^{r}—150. maiorem codicis partem inde a f. 33^{v} Thomas de Zenotelis vel de Zanetelis Feltrensis exarauit, quo librario Barbarus utebatur. In f. 1^{v} haec leguntur: 'Hoc uolumen Dionisii Halicarnassei Demetriique Phalerei opera continens doctissimorum uirorum Hermolai Barbari Patricii Veneti, ac Thomae Didymi Zaneteli Fertini manibus conscriptum, puluere fortassis diu obtritum ignari homuncionis incuria ad euoluendas uenales escas Fartori in tabernam traditum, e tanta ingiuria (*sic*) à me Daniele Tomitano fuit ereptum; sugerente Bonifacio Pasoleo legum Doctore Francisci filio, cognato et amico carissimo: ∞DC XXXV. Die XI^{a} Maij'. In ea parte quam in exemplo phototypo examinare licuit, his codex discrepat a nostra lectione[1]:

p. 128, 17 codex incipit *ων καὶ τὰ*, in margine legitur *θουκυδίδου ἔκφρ(ασις) | π(ερὶ) στάσεως κορκυ | ραίων* 18 *προγενομήνων*

129, 3 uerba *τὸ δὲ* usque ad 129, 24 *διδόμενα* sic omittuntur: *εὐπρεπὴς* [l. 3] *καὶ τὰ λοιπα μέχρι τοῦ, ἴσχυον οὐκ ἐχόντων ἄλλοθεν δύναμιν* 130, 4 *οὔτ' ἐμιμησατο*

131, 2 *τοσοῦτον ἡ* 7 *ἤδη ταλλα* 11 *ἡ δὲ ἀσφ.* 12 lacuna circiter XVI litterarum 13 hiatus fere XXIV litterarum 15 *ἑκάτερα* 17 *ἡ δ' ἐπὶ*

132, 1 *αὐτῶν* 3 nullum lacunae indicium 10 *τούτων*] *πλοῦτον* 13 *ἀποδεξαμένους* 14 *εἰ δὴ πηγή*] *ἢ λοιπή* 17 *δυνάμεως ὡς δὲ*

---

1 Quae uncis inclusimus in hac editione, non respexi. nam quae delenda iudicauimus, sponte intellegitur ut in ceteris codicibus sic in hoc quoque legi; quae interposuimus hoc signo ⟨—⟩ usi, nemo non uidebit etiam a Veneto abesse.

133, 1 *νεωτέροισι*   4 post *ὥστε* fenestra XX litterarum   5 post *συμφορὰς* lacuna XXIII litterarum, deinde *εἴς αὔτους*   8 *καρτερώτατος ἐστὶν*   9 *ἐξαμαρτάνειν*   11 *καὶ* initio noui folii (2^r) iteratur   12 *καὶ διὰ κινδύνων*   20 *γιγνώσκειν εἰπεῖν* lacunae nota deest

134, 4 *προλέγων*   5 *φιλονεικοῦντας*   8 *τῶ ἑτέρω*   10 *ῥάστην*   11 *οὖν ἐκείνων*   16 *τοῖς δυεῖν*   *εἰ* dein VII litterarum spatium, sequitur *ἑκατέρους*   18 post fenestram IX litterarum *ἡ δὲ ἰσοκράτους*   20 post VII litterarum spatium *ἀγωνισαμένου*

135, 4 *αὐτὰ τἀναγκαιότατα*   6 *τὸ* (ante *ἀκρ.*) deest   7 *ἄλλὰ*   8 *ἠθικῆ*   9 *ἡδεῖα ἐστι*   12 *ἀνείληφε*   18 *ἐκμέμακεν δ' ἐν*   21 *οὔτε καιρῶ*

136, 6 *εὐθίας* ut uidetur   *ἐγκαλλοπιζομένην*   8 *καὶ ἀναληθεστέραν* post *τε καὶ* fenestra X litterarum   12 *μιγμα* sine accentu   14 *τοὺς χαρακτῆρας* omissa   16 *ἐπιτηδεύει*   19 *ἥντινα οὖν*

137, 1 *πῖνος* (scholion adest)   2 *ἡρέμα*   7 *καλλιεπεῖν* textus, margo *γρ. κάλλιον εἰπεῖν*   12 *ἀποτείνουσα*   13 *χεῖται*

Haec sufficiunt ut perspiciamus Barbarum nullo eorum codicum quos supra descripsimus usum exemplar satis diligenter expressisse. eius lectio ut plerumque a fide codicis Ambrosiani prope abest, ita nonnumquam ueluti p. 136, 6 et 8 cum codicibus PB cognationem prae se fert. quam ob rem Marcianus una cum M ad restituendam archetypi lectionem usui erit. supplementa lacunarum ex docti librarii ingenio nata, non ex exemplo repetita esse reliquorum codicum consensus docet. Cognatum Veneto esse cod. Mutinensem 68 (cf. Stud. ital. 4, 430) ipse ordo librorum indicat.

Ad horum igitur apographorum fidem exempli deperditi memoria instauranda est. cuius fata facile diuinaueris, si quo ordine Dionysii opuscula in codicibus ferantur conparaueris. exhibet enim

M	Marcianus	P	B
de ant. or. I	de Demosth.	de Thucyd.	de ant. or. I
ep. ad Pomp.	ep. ad Amm.	de Demosth.	ep. ad. Pomp.
de Thucydide	de ant. or. I	ep. ad Amm.	
de Demosthene	ep. ad Pomp.	de ant. or. I	de Demosth.
ep. ad Amm.	de Thucyd.	ep. ad Pomp.	ep. ad Amm.

apparet, opinor, exemplum primum ita solutum esse ut duae partes essent I de ant. or. I ep. ad Pomp. de Thucydide   II de Demosthene cum epistula ad Ammaeum: his separatis et transpositis eum ordinem natum esse quem codex Marcianus et aliquo modo Palatinus prae se fert. deinceps a priore parte auolsum esse iudicium de Thucydide, ut huius quoque incerta sedes esset, qualem in cod. Palatino uidere licet. tum interiisse iudicium de Thucydide, quo priuatus est codex Parisinus. postremum reliqua quoque ex conpage soluta et usu detrita neglecta et abiecta esse.

Haec cum ita sint, efficitur ut artis rhetoricae quae fertur, epistulae ad Ammaeum de Thucydidis idiomatis, fragmenti librorum de imitatione memoria in uno teste Parisiensi (P), libri de Dinarcho in uno Laurentiano (F), librorum de Thucydide et de Demosthene epistularumque ad Pompeium et ad Ammaeum in uno illo exemplo nitatur, cuius apographa modo memorauimus (S). contra libri de compositione uerborum duo testes sunt eique saepe discrepantes P et F, ad quos accedit epitoma de qua suo loco dicetur; itemque libri de oratoribus antiquis primi duo sunt auctores F et S, si prohoemii eam partem (p. 3—7, 12) exceperis quae nunc in F desideratur.

IV Sed praeter hos quos recensuimus nulli exstant

Dionysii libri, quibus si quid propriae dotis inest, tuto confidere liceat. nullus enim alius, quamuis permulti sint, inuentus est, cuius lectio peculiaris potius ex nouo et incognito fonte repetita quam ex interpolatione nata esse conprobetur. de eis opusculis quae altero tomo edentur suo loco dicam. hic eorum quae prius hoc uolumen fert ratio habenda erit.

Epistulam ad Ammaeum de Thucydidis idiomatis scriptam, quoniam Marcellini obseruationes breuiusculas § 35—41. 52 sq. supplere discipulisque ad Thucydidis lectionem initiandis apta esse uidebatur, post saeculum XII uir pro temporibus non indoctus idemque in Thucydide bene uersatus cum exemplo Thucydidis coniungendam curauit. qui apographo codicis Parisiensis usus lectionem corruptam emendare, mancam supplere suopte ingenio fretus studuit. quem secuti permulti Thucydidi hunc Dionysii libellum comitem dederunt. sed nullum id genus codicem inueniri puto qui saeculum XIV antiquitate superet; plerique saeculi XV, nonnulli s. XVI sunt. ex hoc genere sunt codex Neapolitanus gr. 10, in quo rudera quaedam exempli Thucydidei insunt, uitae Marcellini et anonymi, Dionysii libellus, excerpta ex scholiis Thucydideis[1]; Parisiensis suppl. gr. 256 olim Andreae Schotti Antuerpiensis bombycinus s. XIV, ubi libellus, ut saepe fit, Thucydidem excipit f. 213; Vaticanus gr. 1302 codex Diogene Laertio et Theophrasti opusculis insignis[2], cui f. 195 sqq. fragmentum ex codice

1 Cf. H. Schenkl Stud. Vindobon. II p. 21 sq.

2 Cf. Brandisius in Commentationibus academiae Berolinensis 1831 p. 72 n. 156 Schenkl l. s. p. 22.

Thucydidis bombycino sumptum inseritur, nempe uitae Marcellini et anonymi, opusculum Dionysii et *παρεκβολαὶ χρήσιμοι ἀπὸ τῆς Θουκυδίδου συγγραφῆς* (subsequitur in charta saec. XV rhetorica ad Alexandrum); Bodleianus bybliothecae Canonicae gr. 48 saeculi XIV exeuntis (cf. catalogi t. III p. 51 sq.). saeculi XV sunt codices Parisienses 1733 et 1736 (in utroque hic libellus Thucydidi subicitur), Tolosanus 802 a Iohanne Rhoso scriptus, Vaticanus 938, Ottobonianus 211, Palatinus 84, Vrbinates 89, 91, 92, Barberinus I 95, Laurentianus pl. LX 16 cuius Marcellinus coniunctus originem indicat, Cantabrigiensis bybl. uniuersitatis (cf. *A catalogue of the mss. preserved in the library of the university of Cambridge* t. III p. 691), Escorialensis Σ—I—12 cf. Milleri catalogus p. 58 cod. 68 f. 57ʳ, Mosquensis bybl. synodalis 510 (olim 217). saeculi XVI sunt Parisiensis n. 1735 et Monacensis gr. 126. in codicibus miscellaneis quod epistula etiam cum diuersis libris coniungitur, conparato codice Neapolitano aut Vaticano 1302 facile intellegitur. sic Franciscus Philelphus Constantinopoli a. 1427 in codice Laurentiano LX 18 Dionysium cum Aristotelis et Anaximenis arte rhetorica conposuit, in codice Parisino 2755 Michael Apostolius eundem Hephaestioni subiunxit. Horum codicum memoriam non ex ipso exemplari Parisiensi sed ex gemello repetendam esse Henricus Schenkelius Stud. Vindob. II p. 24 sq. statuerat. contrarium uerum esse ut demonstrarem, in proecdosi Bonnae 1889 edita duorum codicum Schotti (D) et Philelphi (C) lectionem integram adposueram. nunc postquam ipse Schenkelius mecum sentit, satis habui eorum mentionem ibi

tantum fecisse, uulgatae lectionis ubi origo indicanda erat.

Etiam primi de oratoribus antiquis libri caput quod est de Lysia separatim scriptum est in codicibus oratorum et declamatorum Guelferbytano olim Helmstadiensi membr. s. XVI quem Fridericus Hanouius olim mecum Bonnae contulit, Parisiensibus gr. 2131 Iani Lascaris manu scripto (C inde a Grosio dicitur) et 2944 saec. XV (D)[1], Veneto bybliothecae Marcianae 522 membr. s. XV, Vaticanis Palatinis n. 134 et 269. hoc quoque librorum genus interpolationem grammatici Byzantini passum est, unde euenit ut lectio paulo planior et commodior esset quam ea quam testes genuini exhibent. sed cauendum ne fallaci specie decipiamur. qua de re Radermacherus hisce lectores admonet: 'In Lysia lectionis interpolatae testem exhibuimus librum Guelferbytanum n. 806; eius libri similiumque defensor exstitit qui ante hos nouem annos iudicium de Lysia edidit A. M. Desrousseaux uir doctissimus. quae opinio quam fallax fuerit, in Fleckeiseni annali 1895 p. 243 sq. demonstrare conati sumus selectis talibus exemplis, qualibus Guelferbytani lectiones illas emendatas cum dicendi usu Dionysiano pugnare certissime appareret. Qua re in corruptelis tollendis spreta reliquorum librorum lectione a Guelferbytano eiusque asseclis proficisci omnino nefas putauimus, cuius rei apertissimum habeo documentum de Lys. p.

1 Cf. *Denys d'Halicarnasse jugement sur Lysias, texte et traduction française . . . par A. M. Desrousseaux et Max. Egger* (Paris. 1890) p. IX sq.

9, 3 sq., quem locum nostro quidem iudicio pessum dedit Desrousseaux.'

Caput de Isocrate unum noui codicem qui separatum exhibeat Matritensem, de quo Desrousseaux rettulit l. s. p. VIII n. 3.

Restat eorum genus librorum qui saeculo XVI eo consilio scripti sunt, ut opusculorum Dionysianorum exempla a typographis diuolgata supplerentur. id quod ut intellegatur, paucis monendum erit, quo ordine haec opuscula paulatim publice innotuerint:

a. 1493 caput de Isocrate in editione principe Isocratis Mediolanensi, iteratum in editione Aldina a. 1513 et 1534

1502 epistula ad Ammaeum de Thucydidis idiomatis in editione Thucydidis Aldina

1508 opuscula tria in codice Parisiensi (P) eiusque apographis seruata, de compositione uerborum, ars rhetorica quae dicitur et epistula de Thucydidis idiomatis, in Rhetorum graecorum ab Aldo collectorum uolumine priore

1513 caput de Lysia in Oratorum graecorum ab Aldo editorum uolumine primo

1547 Robertus Stephanus in appendice Dionysii Antiquitatum Romanarum Lutetiae 1546 editarum quaecumque tunc uolgata erant opuscula primus editione coniunxit: tria ab Aldo in Rhetorum t. I publicata, Lysiam, Isocratem. ceterum Lysiam et Isocratem, cum titulum exprimendum operis traderet, nondum prospexerat

1554 Henricus Stephanus haec adiecit corporis su-

perstitis membra: prohoemium in libros de oratoribus antiquis (p. 3—7), epistulam ad Cn. Pompeium, epistulam ad Ammaeum de Demosthene et Aristotele, excerpta ex libro de imitatione secundo (inscribitur p. 35 *Ταῦτα εὗρον ἔν τινι παλαιῷ ἀντιγράφῳ τῆς τοῦ Διονυσίου Ἁλικαρνασσέως τέχνης, ἐν τῷ περὶ τῆς τῶν λόγων ἐξετάσεως κεφαλαίῳ*). titulus libelli nitidissimi Petro Victorio inscripti, paginas 78 et quaternionem praefixum conplectentis hic est: *ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡ- | νασσέως πρὸς Γναῖον Πομπήϊον ἐπιστολή. | Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἀμμαῖον. | DIONYSII HALICARNAS- | ſei reſponſio ad Gn. Pompeij epiſtolam, in qua ille de reprehenso ab eo Platonis ſtylo conque- | rebatur. | Eiuſdem ad Ammaeum epiſtola. | Alia praeterea, quae tertia pagina recenſentur.* | (interponitur oliua Stephaniana) *LVTETIAE* | *Apud Carolum Stephanum, Typogra- | phum Regium.* | M. D. LIIII.

a. 1580 Petrus Victorius caput de Isaeo et libellum de Dinarcho, utrumque ex codice F petitum Lugduni edidit

1586 Fridericus Sylburgius in Dionysii Halicarnassei ab ipso 'Francofurdi apud heredes Andreae Wecheli' editi tomo II primus integram horum opusculorum syllogen proposuit, adiectis commentationibus de Thucydide et de Demosthene, quas Andreae Dudithii officio debebat (cf. not. p. 29ª 59).

Hanc syllogen postea ordine non mutato Hudson Oxonii 1704 et Ioh. Iacobus Reiskius Dionysii t. V et VI Lipsiae 1777 iterauerunt. a Reiskio pendet exemplum a C. Tauchnitio typis immobilibus expressum. Aemilii Gros Francogalli editionem a. h. s. XXVI et XXVII Parisiis emissam tacere praestat.

Iam quo magis opuscula Dionysii utilissima innotescebant, consentaneum est quippe antiquitatis studiis feruentibus in uiris doctis non paucis desiderium maximum eorum quae nondum publico usui patebant excitatum esse. fuisse tunc qui omnia Dionysii opuscula inedita pariter atque edita uno codice conponere uellet, conicias ex codice Mediolanensi miscello saec. XVI bybliothecae Ambrosianae 'D 473 inf.', cui duo quaterniones interponuntur ex codice lacero Dionysii seruata: prior partem artis rhetoricae inde a p. 273, 14 R. *τῆς οἰκουμένης* usque ad p. 328, 6 *φεύγειν* continet, alter epistulam ad Pompeium integram et libri de Thucydide principium usque ad p. 333, 8 huius editionis, utrumque sine titulo; coniuncta igitur in codice deperdito erant quae diuersis librorum generibus tradita sunt. sic Andreas Dudithius, qui in Italia adulescens studiis usque ad eum annum uacauit (1554) quo H. Stephani supplementa edita sunt[1], operam dedit ut haec opuscula plenissima collectione coniungeret. a quo Sylburgius, ut ex eius praefatione constat, non solum commentarios de Thucydide et de Demosthene, sed postea etiam artis rhetoricae capita

1 Cf. de hoc uiro C. B. Stieff, *Leben und glaubens-meynungen Andr. Dudiths* (1533—1589), *gewesenen bischofs . . . nach seinen handschriftlichen briefen. Mit porträt.* Vratislauiae 1756.

IX priora, libros de Isaeo et de Dinarcho, epistulam ad Ammaeum de arte Demosthenis, epistulam ad Pompeium accepit. igitur uel ad codicem Laurentianum (F) Dudithio aditus patuit, unde Isaeum et Dinarchum eruit. tertiae sylloges codice usus est Palatini simillimo, quippe in quo libro de Demosthene inscriptum fuerit *Θουκυδίδου ἔκφρασις τῆς στάσεως τῶν Κερκυραίων* (uide supra p. XVII) cf. Sylburgius not. p. 32^{b} 25. Sylburgius cum iudicia de Thucydide et de Demosthene ex apographo Dudithii primus edidisset, ceterorum librorum discrepantiam, quam ex uolumine Dudithiano enotauerat, in spicilegio editionis se propositurum esse pollicitus (praef. f. 1^{v}) promisso non stetit. eam exemplo editionis Sylburgianae, quod ex I. L. Buenemanni libris in bybliothecam uniuersitatis Lipsiensis inlatum est, adscriptam esse olim in Fleckeiseni ann. 1873 p. 151 sq. monui. sed alia quoque Dudithii sunt uestigia. Codex Bodleianus inter miscellaneos n. 36 eos libros Dionysii continet qui ante Victorium et Sylburgium nondum publice legebantur, de Thucydide, de Isaeo, de Dinarcho, de Demosthene: quorum primo subscribitur 'finis 26 martii 1581 ipso paschae die ex exemplari Duditiano transcriptum'.[1] In codice Io. Vincentii Pinelli nunc Ambrosiano 'C 257 inf.' chartaceo s. XVI f. 138 rubro inscribitur *Διονυσίου ἁλικαρνασέως· ἢ περὶ τῶν ἀττικῶν ῥη- | τόρων πραγματεία, πρὸς ἀμμαῖον: | Θουκυδίδου ἔκφρασις τῆς στάσεως τῶν κερκυραίων:* | sequitur *ὧν*

1 Cf. H. Coxe in Catal. codicum mss. bibl. Bodleianae t. I p. 641.

καὶ τὰ ἀφυστερίζοντά που κτλ. ie. liber de Demosthene. in superiore margine uir doctus[1] haec adnotavit: 'Sic est titulus in epistola ad Cn. Pompeium. ex fine coniectum est, titulum fuisse *περὶ τῆς λεκτικῆς δεινότητος τοῦ δημοσθένους*, ubi etiam alium promittit *περὶ τῆς πραγματικῆς*. id quod etiam ex *ἀνακεφαλαιώσει* colligitur, quae fol. posita est. In libro Dudithii scriptum est, nescio cuius manu: Fragmentum Dionysii Halicarnassei de Atticis Rhetoribus, seu de formis orationis'. ad finem hic liber ducitur f. 179^{r} (179^{v} uacat), sequitur f. 180^{r}—188^{v} caput de Isaeo, deinceps f. 189^{r} 'e uita Dinarchi. | De hyperide. *πιστοῦται οὐ κατ' ἐνθύμημα κτλ.* (p. 305, 15 h. ed.), denique f. 190^{r}—206^{v} iudicium de Thucydide inde a p. 363, 4 *ἐκδηλότατα δὲ*, qua de re statim p. XXXII dicetur.

Eodem consilio in cod. Parisiensi 1800 chart. s. XVI (C) epistulae ad Pompeium et ad Ammaeum ex tertio librorum genere sumptae et libri de oratoribus antiquis primi prohoemium cum primis de Lysia uerbis (usque ad p. 8, 5) coniunguntur ie. ea quae postea H. Stephanus primus edidit.[2] Quos Sylburgius demum adiecit libros de Demosthene et de Thucydide codex Parisiensis 1745 conprehendit. Librum de Thucydide solum codex Vaticanus 1000 chart. s. XVI et codex Barberinus II 98 chart. s. XV (?), quem Schenkelius l. s. p. 27 sq. describit, uterque quo Ambrosianus M titulo *ἔτι περὶ θουκυδίδου πλατύτερον* insignitum, con-

1 Idem ad titulum adposuit 'Desunt multa'.

2 Nam epitoma librorum de imitatione ex alio fonte repetenda erat.

tinent; eundem codex Octauiani Ferrarii nunc Ambrosianus 'M 92 sup.' syllogae rhetorum e codice Parisino deductae interponit, propter argumenti similitudinem cum epistula de Thuc. idiomatis coniunctum. Epistulam ad Ammaeum (p. 257 sqq.) codex Parisiensis 1743 separatam tradit.

Pertinet huc etiam iudicii de Thucydide editio Aldina anni MDLIX, tam rara ut uel Renouardi annalium typographei Aldini scriptoris (Par. 1803) eruditionem ac diligentiam fugerit. duo editionis rarissimae quippe numquam perfectae neque publice emissae exempla noui, unum in bybliotheca Ambrosiana, alterum in Parisiensi nationali. inter copias Ambrosianas codex est graecus miscellaneus saeculi XVI 'R 117 sup.', in quo quattuor insunt fasciculi foliorum quaternorum (ie. biniones) graece impressi, titulus f. 1 praefigitur hic: *ΔΙΟΝΥΣΙΟΥ | ΑΛΕΞΑΝΔΡΟΥ | ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ | ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ | χαρακτῆρος, καὶ τῶν λοιπῶν τοῦ | συγγραφέως ἰδιωμάτων·* ‖ sequitur signum Aldinum ancora cum delphino interpositum nomini *ΑΛ ΔΟΣ*, infra legitur *ΕΝΕΤΙΗΣΙΝ, Α,ΦΝΘ΄.* ‖ primi binionis folia secundum et tertium praefationi seruata desunt, in quarto incipit iudicium de Thuc. eodem, qui in fronte legitur, titulo praeposito. hinc commentatio Dionysii ducitur usque ad f. 16^{v} extremum desinitque in uerba p. 363, 6 *καὶ πολλὰ συντιθέναι.* Iam reliqua ut suppleret, uir quidam doctus in chartis adiectis XVIII inde a u. *ἐκδηλότατα δὲ αὐτοῦ καὶ χαρακτικώτατά ἐστι* (p. 363, 4) usque ad extremum *οὐ μὴν ἀληθέστερα.* (418, 21) initio f. $\mathrm{XVIII}^{\mathrm{r}}$ admodum laceri scripsit. eodem con-

silio Ioh. Vincentius Pinellus (natus a. MDXXXV) Patauinus in altero codice Ambrosiano 'C 257 inf.' f. 190^{r}—206^{v} haec ipsa quae ab Aldo typis expressa non erant, a librario nescio quo sibi scribi iussit.[1] editor autem cur absoluere coeptum noluerit, causa non est obscura. proxime p. 365, 6 sequitur lacuna in M paene nouem foliis uacuis significata: haec quo suppleretur sperabat librum inuentum iri.

Etiamsi tres opusculorum Dionysianorum collectiones ad nos perlatae sunt, minime tamen quaecumque ille de arte quam profitebatur scripsit omnia seruata sunt. tria alterius de antiquis oratoribus tomi capita post Syriani aetatem uidimus interiisse. earum commentationum, quibus orationes Andocidis Lysiae Isocratis Isaei Demosthenis recensuerat et quae genuinae quae spuriae essent quaesiuerat, nulla diem tulit: unicum eius generis specimen libellus de Dinarcho relictus est, eo maxime nomine nobis pretiosus quod inde cum eorum rationes qui bybliothecarum ueterum tabulas confecerunt tum ipsius Dionysii cognoscere licet; cui rei etiam epistula ad Ammaeum utilissima est. ipsius artis caput unum nunc tractat liber de compositione uerborum: olim plures legebantur id genus libri, uelut ars figurarum (*περὶ σχημάτων*) et de imitatione libri tres, unde secundi partem Dionysius ipse epistulae ad Pompeium datae inseruit, epitomam seruauit codex

1 Pinellus ipse in tabula, quae in fronte codicis legitur, haec scripsit: 'Eiusdem de Thucydidis historia iudicii fragmentum, quo | suppletur pars edita a Manutio — ch[arta] 190'.

Parisiensis. deperditorum reliquias nos suis locis interposuimus, numeros reliquiarum continuos esse breuitatis causa uoluimus.

Quo ordine opuscula a Dionysio scripta sint, quaestio eam ob causam difficilis est et quodam modo inexplicabilis, quod Dionysio, ut mos fuit praeceptoribus antiquis, plura eodem tempore agenda erant. testatur hoc ipse aliquotiens neque fieri aliter potuit. neque enim ars oratoris iudicari et indicari recte poterat nisi separatis orationibus spuriis, et dilectus ipse genuinarum spuriarumque cum alia indicia tum artis et ingenii signa sibi poscebat. praeterea munus scholasticum et officium fautoribus debitum effecisse uidemus ut scribendi filo interrupto ad nouum libellum festinaret. est tamen quod explorari possit et post F. Blassium (De D. H. scriptis rhetoricis diss. Bonn. 1863) et C. Th. Roesslerum (D. H. scriptorum rhetoricorum fragmenta, diss. Lips. 1873 p. 3 sqq.) ab Hugone Rabeo Musei rhenani t. XLVIII p. 147 sq. loco de Thuc. p. 326, 9 rectius explicato definitum sit. Epistulam ad Ammaeum quae est de Demosthenis arte et commentarium de compositione uerborum constat ceteris opusculis antiquiores esse. quam Dionysius de comp. uerb. p. 6, 5—11 R. promittit de delectu uocabulorum commentationem num ediderit, plane incertum est. secuti sunt duo de oratoribus antiquis tomi. quibus recentior est de Dinarcho libellus. deinde cum de imitatione commentaretur duosque libros priores iam absolutos in scriniis teneret, offensio quam iudicium de Platone in libro II de ant. orat. p. 136, 11—142, 19 latum mouerat, causa fuit ut ad Pom-

peium Geminum epistulam ederet, cui caput libri de imitatione secundi subiecit. post quam librum de imitatione tertium scriptum totumque opus editum esse ipse testis est de Thuc. p. 325, 3. inter antiquiora scripta habenda est etiam dissertatio περὶ τῆς πολιτικῆς φιλοσοφίας πρὸς τοὺς κατατρέχοντας αὐτῆς ἀδίκως (Philodemum opinor eiusque asseclas) quam de Thuc. p. 327, 21 se olim euolgasse fatetur. deinceps cum quaestionibus de orationibus Demostheni aut recte aut falso adscriptis occupatus esset, Q. Aelio Tuberoni roganti morem ut gereret, iudicium de Thucydide scripsit. post quod epistulam ad Ammaeum Thucydidiam breui tempore interposito emissam esse scriptor ipse p. 421, 11 testatur. reliquorum oratorum tabulas quando Dionysius ediderit, nullum indicium est. in his igitur acquiescendum nobis est. nullus enim liber quo fere anno editus sit sciri potest: hoc unum constat omnia post annum XXX a. Chr. nata esse, quo Dionysius Romae sedem fixit (cf. ant. Rom. I 7), aliquanto ante coss. Ti. Claudium Neronem iterum et Cn. Calpurnium Pisonem (a. VII a. Chr.), quo anno antiquitatibus Romanis praefatus est, edita fuisse ualde probabile est.

Edendi Dionysii socius mihi gratissimus accessit Ludouicus Radermacher, qui quam adulescens mouerat spem adeo non fefellit, ut de Dionysio egregie meritus sit. prouinciam ita partiti sumus, ut ego reliqua, ille librum de oratoribus antiquis primum, Demosthenem, Dinarchum edendos receperit. Radermacheri por-

tio praeter Dinarchum omnis (p. 1—252) typis descripta, reliqua huius uoluminis pars operis tradita erat, cum autumno anni XCVI oculorum morbus me corripuit et effecit ut plus quam biennium haec iacerent. nunc tandem ausus coeptum uolumen ad umbilicum adducere doleo me non eam curam purgandis plagulis et emendandis adhibere potuisse qua opus erat.

Disposuimus libros ita ut priore uolumine opuscula critica, altero de ipsa arte tractatus coniungantur.

Lectionis recensendae officium eis quae de codicum manuscriptorum auctoritate et propagine dicta sunt plane definitum est. libellus de Dinarcho ad codicis F, epistula Thucydidia ad codicis P fidem exigenda erat, librorum de Demosthene et de Thucydide itemque epistulae ad Ammaeum Demosthenicae exemplar deperditum (S) ex apographis MPB instaurandum erat. in qua re etiamsi Ambrosiani maior solet fides esse, tamen, ut Radermacherum loquentem inducam, 'Parisinus suam habet auctoritatem. Sic de Dem. p. 250, 21 ubi necessario edendum fuit: *εἰ μέντοι τινὲς ἐν τοῖς ψευδεπιγράφοις εἰσὶ λόγοις ἀηδεῖς καὶ φορτικαὶ καὶ ἄγροικοι κατασκευαί*, in Ambrosiano *εἰ μέντοι τινὲς ἔνιοι ψευδεπίγραφοι εἰσὶ λόγοι ἀηδεῖς* exstat, in Parisino *εἰ μέντοι τινὲς ἔνιοι ψευδεπίγραφοι εἰσὶ λόγοις ἀηδεῖς*. is igitur memorabile uerae lectionis uestigium seruauit. quae res ideo neglegenda non est, quia, cum plurimis lacunis liber de Dem. scateat, interdum factum est, ut litteras paullo plures quam Ambrosianus Parisinus exhibeat, qua re egregie adiuti sumus e. g. in uerbis p. 186, 4 sq. restituendis. Denique Palatini

lectiones praecipue ideo adnotandae fuerunt, ut quam ex sordido fonte Sylburgius hauserit, apertum fiat, cuius ex editione pendent quaecumque postea in lucem sunt emissae.' quamquam Palatinus quoque accidit ut genuinam scripturam seruet, ueluti *βύβλος* non semel in uno illo relictum est.

Difficilior in libro de antiquis oratoribus primo recensio fit, si cum codicibus illius sylloges (S) exemplum Laurentianum (F) pugnat. quod ut antiquitate illos codices longe superat, ita neglegentiae culpa liberari non facile potest. Nos, ut Radermacherus scribit, 'librum antiquissimum pluris aestimauimus quam Sadaeus, constat enim non nullos exstare locos quibus Florentini auctoritatem falsis rationibus ductus imminuere studuerit. de eis, quae p. 87, 10 leguntur, nihil adfirmo, etsi illud *ἐπιδημήσας*, quod Florentinus exhibet (nam in Ambrosiano lacuna est), ad *ἐμπλήσας* redire ideoque non tam interpolatum quam praecedente *ἀποδημῆσαι* corruptum esse satis certum putauerim. at nullo modo dubitari potest quin de p. 63, 15 Sadaeus errorem commiserit, quae uerba in nostra editione ita emendata legi existimamus, ut Florentini praestantiam confestim agnoscas, nedum de interpolatione insimules. quamquam igitur a librario neglegenti et rudi codicem exaratum esse non negamus, tamen discrepanti eius lectioni ita semper animum attendimus, ut quam maxime caueremus, ne, quia uno loco falsum exhibet, idcirco altero quoque loco uitium inesse iudicaremus. quod optime cernitur in locis eis tractandis, quibus eadem uerba alio ordine in Florentino alio in Ambrosiano conlocantur. eorum pars sem-

per dubia erit, in aliis fortasse Ambrosianus praestat, in aliis Florentinus. Vt unum exemplum adferam, habes p. 56, 10 *τὴν τῶν Ἑλλήνων ἀρχήν* in Ambrosiano Palatino Parisino, contra *τὴν ἀρχὴν τῶν Ἑλλήνων* insolentius quidem posita in Florentino, sed rectius, quoniam in libro elegantissime scripto Dionysius non aliter atque Herodotus articulorum uitare uidetur concursus. Velut *τῆς Ἀθηναίων πόλεως* p. 56, 2 exstat, p. 63, 6 *τὴν Ἡρακλέους προαίρεσιν*, sed p. 68, 1 *τοὺς κινδύνους τῶν προγόνων*, p. 70, 7 *τῶν ἰδιωτῶν — τοὺς βίους*, p. 71, 16 *τῇ δὲ τάξει τῶν ἐνθυμημάτων καὶ τοῖς μερισμοῖς τῶν ἐπιχειρημάτων* et sic fere locis plerisque. nos igitur eam semper normam secuti sumus, ut obseruata diligentissime dicendi consuetudine ferremus iudicium. quod ubique fieri non potuisse sane concedimus.'

Etiam grauiorem in commentatione de compositione uerborum difficultatem parit antiquorum testium P et F dissensus. quae ut soluatur quam normam sequendam esse statuam, in praefatione alterius uoluminis dicendum erit. interim de ea re quae indici scholarum Bonnensium aestiu. a. h. s. LXXVIII praefatus sum, sufficere poterunt.

De emendatione Dionysii post Fridericum Sylburgium unus omnium maxime Iohannes Iacobus Reiskius meruit, eis praecipue quae in calce uoluminum V et VI adnotata sunt. accessere Carolus Guilelmus Kruegerus utilissima historiographicorum editione a. h. s. XXIII emissa, Philippus Dobraeus, Hermannus Sauppius, Henricus Herwerdenus, Henricus Weilius, postremo, qui

diligenti sermonis obseruatione nisus non pauca bene correxit, Leonardus Sadaeus. insanabilia sane damna textus tulit schedis aut auolsis, ut primore libro de Demosthene et extremo de Dinarcho factum est, aut interceptis, ut in libro de Thucydide. sarciri et sanari magna ex parte ea uerba uerborumque partes potuerunt, quae in schedis aut madore aut igni corruptis, ut in libro de Demosthene saepe numero accidit, a librariis legi nequibant. sed praeterea latus acutae diuinationi campus patet. qua in re tenendum est grauiora uolnera iam antiquo tempore textui inflicta esse. non paucae enim eaeque certissimae emendationes tum ex maiusculo litteraturae genere repetendae erant tum ex conpendiaria scriptura, qua constat librarios in libris scholastico usui destinatis uti solitos esse. hoc in codice uetustissimo Parisiensi etiam nunc uidere licet. uelut in excerptis de imitatione editionis prioris p. 18, 4 uocis *παλαιῶν* elementa tantum tria priora *παλ* adponuntur, ut non miremur apographorum scriptores *πολλῶν* legisse; sed ipse codicis P librarius eiusdem paginae u. 17 eodem conpendio deceptus *καλῶν* scripsit quod *παλαιῶν* scribi debuit. sic de Isaeo p. 107, 4 *ἀδικεῖν* legerunt quod *ἀντιδικεῖν* fuit, et p. 104, 18 *τοῦ συμβουλεύειν* quod *τοῦ συμβολαίου* interpretandum fuisse Emperius perspexit. litteratura maiuscula et prosodiae notis plerumque carens effecit ut uoces perperam aut in plura uerba diducerentur aut in unum contraherentur, uelut in epistula ad Ammaeum p. 267, 8 ex *οὑτωσί* aduerbio natum est *οὕτως. Εἰ* et 268, 20 *δηλώσει οὓς* ex *δημοσίους*, epistulae Thucydidiae p. 424, 6 *ὁπόσα τε γείνεται* distractum

in *ἀποστέγειν ἢ τὰ*, de imitatione exc. p. 26, 2 *κατεπιτετηδευμέναι* abiit in *κατ᾽ ἐπιτήδευμα μὲν αἱ*, contrario errore ibidem p. 18, 15 *συλλογῆς ἕν τι* coaluit in participium *συλλογίσαντι*, de Dem. p. 142, 12 *δ᾽ εἰ σᾶμα* contractum est in *δὶς ἅμα*. Litterarum formae emergunt, cum in libri de Isaeo p. 112, 11 *γὰρ* praepositionem *παρ᾽* et 115, 5 *τε ἄλλων* adiectiuum *πολλῶν* latere perspexeris. grauiora sunt e. c. de Demosthene p. 156, 22 *ὁποῖα λέγω* a Radermachero diuinatum, cum libri uoces *οἷς οἶδα ἐγώ* exhibeant, ibidemque p. 234, 23 *τοτὲ δὲ τὸ μελιχρὸν* latitans in hac corruptela *τό τε λεγόμενον ἐχθρόν*, de Thucydide p. 395, 20 *ἔγγιστα* a Reiskio erutum ex librorum lectione *εἴ τις τὰ*, p. 414, 7 *ἐκ δὲ τοῦ* pro quibus uerbis in libris una uox *ἑκάστου* legitur, p. 326, 18 *πολὺ τὸ φιλαίτιον* a Radermachero sagacissime inuentum pro u. *τὸ αὐτὸ φιλ.* sic igitur quod de Isaeo p. 112, 13 traditur *μὴ δυσπαρακολούθητος γένηται διὰ τὸ πλῆθος τῶν κεφαλαίων ὁ λόγος καὶ π ο λ λ ά κ ι ς, αἵ τε πίστεις κτλ.*, frustra Reiskius supplementis sanabat ⟨ὃ⟩ *καὶ πολλάκις* ⟨*συμβαίνει*⟩. latet uox reconditior ac terminatione non in continuam scripturam recepta etiam magis obscurata *πελαγίσῃ*. quo uerbo cum Himerius sophista utitur apud Photium bybliothecae cod. 243 p. 375^b 39 *πελαγίζει δὲ* (he. in alto mari uersatur) *ὁ λόγος, οὐχ ὁρῶν ὅρμον φαινόμενον*, ut consentaneum est, ueterem flosculum decerpsit. profecto iam ante Philodemum fuerunt qui hac metaphora uterentur, qua infinitus aequoris adspectus ad orationis prolixioris fastidium transferebatur. multus de ea re Philodemus est de rhet. t. I p. 239 sq. Sudh., ubi *πελαγίζειν* uerbum non

sine ironia plane eodem modo ponitur atque *μακρηγορεῖν* aut *μακρολογεῖν*; sic enim disserere coepit *καὶ τοῦτ᾽ ἔδοξε καταριθμεῖν ἐν τοῖς ἐγκωμίοις τῆς ῥητορικῆς τὸ πελαγίζειν ἐν τοῖς λόγοις, τοὺς δὲ βραχεῖς ἀποδοκιμάζειν, καθάπερ τὰ πλοιάρια τὰ μὴ δυνάμενα τῆς γῆς ἀπαίρειν, ὡς οὐθὲν διαπραττομένους λαμπρόν.*

Adnotatione non solum hoc agendum existimauimus, ut nostrae lectionis auctoritas nusquam dubia esset, sed etiam ut uolgatae et a nobis desertae origo indicaretur. quam ob rem ut eorum codicum, in quibus lectionis memoria nititur, discrepantiam quanta potuimus fide adnotauimus, ita editiones quoque illas, unde lectio uolgata fluxit, sedulo consuluimus. in eis libris quorum fons codex uetus Parisiensis est, plerumque reiectis apographis ms. exemplar potius Aldinum, quod et ipsum apographi loco habetur, aduocauimus. Coniecturarum semper primos auctores indicare studuimus, neque raro quod Reiskio aliiue hodie adscribitur, antiquiori licuit reddere. ceterum inutili coniecturarum mole adnotationem onerare noluimus, conamina minus probabilia nisi locis dubiis non rettulimus.

Quod reliquum est, omnibus eis qui libris manuscriptis aut conlatis aut inspectis hanc operam adiuuerunt, gratias agimus maximas. quamquam ei potissimum quorum officiosa amicitia aditum mihi olim ad haec studia aperuit, praematura morte et mihi et litteris iam erepti sunt, Adolphus Kiesslingius, Philippus Kohlmannus, Carolus Graux, Rudolphus Schoel-

lius, Guilelmus Studemundius. sed quibus uiuis ac ualidis haec tamquam sua me reddere posse laetor, Carolo Diltheyo, Georgio Kaibelio, Augusto Wilmannsio, Maximiliano Bonneto, D. Detlefseno, Friderico Hanouio, Gustauo Heylbutio, Aeneae de Piccolominis, Hieronymo Vitellio, nil magis in uotis est quam ut copiis per ipsos paratis sic ut uoluerint ac sperauerint nos esse usos iudicare possint.

Bonnae idibus februariis a. MDCCCXCIX.

CODICVM TABVLA

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ

ΤΩΝ ΑΡΧΑΙΩΝ ΡΗΤΟΡΩΝ

Ā

F codex Florentinus bybliothecae Laurentianae LIX 15
F[1] manus prior F[2] manus altera
M Ambrosianus D 119 sup.
P Vaticanus Palatinus gr. 58
A*) Parisiensis bybliothecae nationalis gr. 1657
B eiusdem bybliothecae gr. 1742
C eiusdem bybliothecae gr. 1800
G Guelferbytanus n. 806
a exemplum Aldi Manutii
ϛ Stephanorum editiones
v lectio post Aldinam uolgata
in libello de Isaeo lectio post editionem principem Petri Victorii uolgata.

---

*) huius libri Palatino simillimi lectionem pleniorem in praefatione exhibuimus, deinde omisimus nisi locis paucissimis, quibus solus uerum seruauit.

ΔΙΟΝΥΣΙΟΥ
ΑΛΙΚΑΡΝΑΣΕΩΣ
ΠΕΡΙ
ΤΩΝ ΑΡΧΑΙΩΝ ΡΗΤΟΡΩΝ

Πολλὴν χάριν ἦν εἰδέναι τῷ καθ' ἡμᾶς χρόνῳ δίκαιον, ὦ κράτιστε Ἀμμαῖε, καὶ ἄλλων μέν τινων ἐπιτηδευμάτων ἕνεκα νῦν κάλλιον ἀσκουμένων ἢ πρότερον, οὐχ ἥκιστα δὲ τῆς περὶ τοὺς πολιτικοὺς λόγους ἐπιμελείας οὐ μικρὰν ἐπίδοσιν πεποιημένης ἐπὶ τὰ κρείττω. ἐν γὰρ δὴ τοῖς πρὸ ἡμῶν χρόνοις ἡ μὲν ἀρχαία καὶ φιλόσοφος ῥητορικὴ προπηλακιζομένη καὶ δεινὰς ὕβρεις ὑπομένουσα κατελύετο, ἀρξαμένη μὲν ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτῆς ἐκπνεῖν καὶ μαραίνεσθαι κατ' ὀλίγον, ἐπὶ δὲ τῆς καθ' ἡμᾶς
446 *ἡλικίας μικροῦ δεήσασα | εἰς τέλος ἠφανίσθαι· ἑτέρα δέ τις ἐπὶ τὴν ἐκείνης παρελθοῦσα τάξιν, ἀφόρητος ἀναιδείᾳ θεατρικῇ καὶ ἀνάγωγος καὶ οὔτε φιλοσοφίας οὔτε ἄλλου παιδεύματος οὐδενὸς μετειληφυῖα ἐλευθερίου, λαθοῦσα καὶ παρακρουσαμένη τὴν τῶν ὄχλων*

1 titulum om C *τοῦ* post *Διονυσίου* inseruit Stephanus v 2 *Ἁλικαρνασσέως* Stephanus v 4 *ὑπομνηματισμοί* add Stephanus v 13 *τοῦ* bis C 14 *μαρ[αί]νεσθαι* M cum litura angustiore, fuerat *μαρέ-* 17 *ἀναιδεία θεατρικὴ* P *ἀναίδεια θεατρικὴ* ABCv uerum iam Sylburgius uiderat

ἄγνοιαν, οὐ μόνον ἐν εὐπορίᾳ καὶ τρυφῇ καὶ μορφῇ πλείονι τῆς ἑτέρας διῆγεν, ἀλλὰ καὶ τὰς τιμὰς καὶ τὰς προστασίας τῶν πόλεων, ἃς ἔδει τὴν φιλόσοφον ἔχειν, εἰς ἑαυτὴν ἀνηρτήσατο καὶ ἦν φορτική τις πάνυ καὶ ὀχληρὰ καὶ τελευτῶσα παραπλησίαν ἐποίησε γενέσθαι τὴν Ἑλλάδα ταῖς τῶν ἀσώτων καὶ κακοδαιμόνων οἰκίαις. ὥσπερ γὰρ ἐν ἐκείναις ἡ μὲν ἐλευθέρα καὶ σώφρων γαμετὴ κάθηται μηδενὸς οὖσα τῶν αὑτῆς κυρία, ἑταίρα δέ τις ἄφρων ἐπ' ὀλέθρῳ τοῦ βίου παροῦσα πάσης ἀξιοῖ τῆς οὐσίας ἄρχειν, σκυβαλίζουσα καὶ δεδιττομένη τὴν ἑτέραν· τὸν αὐτὸν τρόπον ἐν πάσῃ πόλει καὶ οὐδεμιᾶς ἧττον ἐν ταῖς εὐπαιδεύτοις (τουτὶ γὰρ ἁπάντων τῶν κακῶν ἔσχατον) ἡ μὲν Ἀττικὴ μοῦσα καὶ
ἀρχαία καὶ αὐτόχθων | ἄτιμον εἰλήφει σχῆμα, τῶν 447
ἑαυτῆς ἐκπεσοῦσα ἀγαθῶν, ἡ δὲ ἔκ τινων βαράθρων τῆς Ἀσίας ἐχθὲς καὶ πρῴην ἀφικομένη, Μυσὴ ἢ Φρυγία τις ἢ Καρικόν τι κακόν, [ἢ βάρβαρον] Ἑλληνίδας ἠξίου διοικεῖν πόλεις ἀπελάσασα τῶν κοινῶν τὴν ἑτέραν, ἡ ἀμαθὴς τὴν φιλόσοφον καὶ ἡ μαινομένη τὴν σώφρονα.

2 ἀλλὰ γὰρ οὐ μόνον 'ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος' κατὰ Πίνδαρον, ἀλλὰ καὶ τεχνῶν νὴ Δία καὶ ἐπιτηδευμάτων γε καὶ παντὸς ἄλλου σπουδαίου χρήματος. ἔδειξε δὲ ὁ καθ' ἡμᾶς χρόνος, εἴτε θεῶν τινος ἄρξαντος εἴτε φυσικῆς περιόδου τὴν ἀρχαίαν τάξιν ἀνακυκλούσης εἴτε ἀνθρωπίνης ὁρμῆς ἐπὶ τὰ ὅμοια

21 Pindarus fr 159 Bergk

1 εὐπορία M² et in mg rc C: ἀπορία M¹P²ABC ἀπορεία P¹ 3 προστασ[.ί]ας cum ras M¹ 6 ἀσώτων ex ἀσωμάτων corr M 8 μεδενὸς P 14 ἀρχαῖα M | ἄτιμον MPBA: ἄτομον C Stephanus v 15 βαράθρων ex βαράχθρων corr M 16 Μυσὴ Kiessling: μοῦσα 17 τίς M | ἢ βάρβαρον seclusit Dobraeus 19 μαινομένη ex μενομένη corr M

πολλοὺς ἀγούσης, καὶ ἀπέδωκε τῇ μὲν ἀρχαίᾳ καὶ σώφρονι ῥητορικῇ τὴν δικαίαν τιμήν, ἣν καὶ πρότερον εἶχε καλῶς, ἀπολαβεῖν, τῇ δὲ νέᾳ καὶ ἀνοήτῳ παύσασθαι δόξαν οὐ προσήκουσαν καρπουμένῃ καὶ ἐν ἀλλοτρίοις ἀγαθοῖς τρυφώσῃ. καὶ οὐ καθ' ἓν ἴσως τοῦτο μόνον ἐπαινεῖν τὸν παρόντα χρόνον καὶ τοὺς
448 συμφιλοσοφοῦντας ἀνθρώπους ἄξιον, ὅτι | τὰ κρείττω
τιμιώτερα ποιεῖν τῶν χειρόνων ἤρξαντο (καίτοι μέρος γε τοῦ παντὸς ἥμισυ ἀρχὴ λέγεταί τε καὶ ἔστιν), ἀλλ' ὅτι καὶ ταχεῖαν τὴν μεταβολὴν καὶ μεγάλην τὴν ἐπίδοσιν αὐτῶν παρεσκεύασε γενέσθαι. ἔξω γὰρ ὀλίγων τινῶν Ἀσιανῶν πόλεων, αἷς δι' ἀμαθίαν βραδεῖά ἐστιν ἡ τῶν καλῶν μάθησις, αἱ λοιπαὶ πέπαυνται τοὺς φορτικοὺς καὶ ψυχροὺς καὶ ἀναισθήτους ἀγαπῶσαι λόγους, τῶν μὲν πρότερον μέγα ἐπ' αὐτοῖς φρονούντων αἰδουμένων ἤδη καὶ κατὰ μικρὸν ἀπαυτομολούντων πρὸς τοὺς ἑτέρους, εἰ μή τινες παντάπασιν ἀνιάτως ἔχουσι, τῶν δὲ νεωστὶ τοῦ μαθήματος ἁπτομένων εἰς καταφρόνησιν ἀγόντων τοὺς λόγους καὶ γέλωτα ποιουμένων τὴν ἐπ' αὐτοῖς σπουδήν.

αἰτία δ' οἶμαι καὶ ἀρχὴ τῆς τοσαύτης μεταβολῆς 3
ἐγένετο ἡ πάντων κρατοῦσα Ῥώμη πρὸς ἑαυτὴν ἀναγκάζουσα τὰς ὅλας πόλεις ἀποβλέπειν καὶ ταύτης δὲ αὐτῆς οἱ δυναστεύοντες κατ' ἀρετὴν καὶ ἀπὸ τοῦ κρατίστου τὰ κοινὰ διοικοῦντες, εὐπαίδευτοι πάνυ καὶ
449 γενναῖοι | τὰς κρίσεις γενόμενοι, ὑφ' ὧν κοσμούμενον
τό τε φρόνιμον τῆς πόλεως μέρος ἔτι μᾶλλον ἐπιδέ-

3 εἶχε, καλῶς libri: corr Reiskius 11 παρεσκεύασε ex παρεσκευάσαι corr M¹ παρεσκευάσαι A παρεσκεύσε P fort παρεσκεύασαν 12 βραδεῖα ἔστιν M 19 fort τοὺς τοιούτους λόγους 23 δὲ Usener: τὲ M τε PBCA 26 κοσμούμενον mg C: κοσμούμενοι MPBCA

δωκεν καὶ τὸ ἀνόητον ἠνάγκασται νοῦν ἔχειν. τοιγάρτοι πολλαὶ μὲν ἱστορίαι σπουδῆς ἄξιαι γράφονται τοῖς νῦν, πολλοὶ δὲ λόγοι πολιτικοὶ χαρίεντες ἐκφέρονται φιλόσοφοί τε συντάξεις οὐ μὰ Δία εὐκαταφρόνητοι ἄλλαι τε πολλαὶ καὶ καλαὶ πραγματεῖαι καὶ Ῥωμαίοις καὶ Ἕλλησιν εὖ μάλα διεσπουδασμέναι προεληλύθασί τε καὶ προελεύσονται κατὰ τὸ εἰκός. καὶ οὐκ ἂν θαυμάσαιμι τηλικαύτης μεταβολῆς ἐν τούτῳ τῷ βραχεῖ χρόνῳ γεγενημένης, εἰ μηκέτι χωρήσει προσωτέρω μιᾶς γενεᾶς ὁ ζῆλος ἐκεῖνος τῶν ἀνοήτων λόγων· τὸ γὰρ ἐκ παντὸς εἰς ἐλάχιστον συναχθὲν ῥᾴδιον ἐξ ὀλίγου μηδὲ εἶναι.

4 ἀλλὰ γὰρ τὸ μὲν εὐχαριστεῖν τῷ μεταβάλλοντι τὰ πράγματα χρόνῳ καὶ τὸ τοὺς τὰ κράτιστα προαιρουμένους ἐπαινεῖν καὶ τὸ τὰ μέλλοντα ἐκ τῶν γεγονότων εἰκάζειν καὶ πάντα τὰ παραπλήσια τούτοις, ἃ κἂν ὁ τυχὼν εἰπεῖν δύναιτο, ἀφήσω, ἐξ ὧν δ' ἂν ἔτι μεί|ζω 450 λάβοι τὰ κρείττονα ἰσχύν, ταῦτα πειράσομαι λέγειν, ὑπόθεσιν τοῦ λόγου κοινὴν καὶ φιλάνθρωπον καὶ πλεῖστα δυναμένην ὠφελῆσαι λαβών. ἔστι δὲ ἥδε, τίνες εἰσὶν ἀξιολογώτατοι τῶν ἀρχαίων ῥητόρων τε καὶ συγγραφέων καὶ τίνες αὐτῶν ἐγένοντο προαιρέσεις τοῦ τε βίου καὶ τῶν λόγων καὶ τί παρ' ἑκάστου δεῖ λαμβάνειν ἢ φυλάττεσθαι, καλὰ θεωρήματα καὶ ἀναγκαῖα τοῖς ἀσκοῦσι τὴν πολιτικὴν φιλοσοφίαν καὶ οὐ δήπου

1 *τοιγάρτοι* M ex *τί γάρτοι* 5 *καλαὶ καὶ πολλαὶ* A 12 *μηδὲν εἶναι* A Stephanus v 13 *μεταβαλλόντι* C *μεταβαλόντι* BA Stephanus v 18 *κρείσσονα* M 20 *δὲ ἧδε* M *δὲ ἤδη* Stephanus *δ' ἤδη* v 21 *καὶ φιλοσόφων* sed mg *γρ συγγραφέων* P 23 *τῶν λόγων* Reiskius: *τοῦ λόγου* | *λαθεῖν* sed mg *λαμβάνειν* B[1] 24 *καλὰ* MB: *καὶ* PCA Stephanus v 25 *ἀσκοῦσι* Reiskius: *ἀκούουσι* | *οὐδέ που* v libri praeter M

μὰ Δία κοινὰ οὐδὲ κατημαξευμένα τοῖς πρότερον,' ἐγὼ γοῦν οὐδεμιᾷ τοιαύτῃ περιτυχὼν οἶδα γραφῇ, πολλὴν ζήτησιν αὐτῶν ποιησάμενος,' οὐ μέντοι διαβεβαιοῦμαί γε ὡς δὴ καὶ σαφῶς εἰδώς· τάχα γὰρ ἂν εἶέν τινες αἱ ἐμὲ διαλανθάνουσαι τοιαῦται γραφαί, τὸ δὲ τῆς ἁπάντων ἱστορίας ὅρον ἑαυτὸν ποιεῖν καὶ περὶ τοῦ μὴ γεγονέναι τι τῶν δυνατῶν γενέσθαι λέγειν αὔθαδες πάνυ καὶ οὐ πόρρω μανίας. περὶ μὲν οὖν τούτων οὐδὲν ἔχω, καθάπερ ἔφην, διαβεβαιοῦσθαι. τῶν δὲ 451 ῥητόρων τε καὶ συγγραφέων, ὑπὲρ ὧν | ὁ λόγος, πολλῶν πάνυ ὄντων καὶ ἀγαθῶν τὸ μὲν ὑπὲρ ἁπάντων γράφειν μακροῦ λόγου δεόμενον ὁρῶν ἐάσω, τοὺς δὲ χαριεστάτους ἐξ αὐτῶν προχειρισάμενος κατὰ τὰς ἡλικίας ἐρῶ περὶ ἑκάστου, νῦν μὲν περὶ τῶν ῥητόρων, ἐὰν δὲ ἐγχωρῇ, καὶ περὶ τῶν ἱστορικῶν. ἔσονται δὲ οἱ παραλαμβανόμενοι ῥήτορες τρεῖς μὲν ἐκ τῶν πρεσβυτέρων, Λυσίας Ἰσοκράτης Ἰσαῖος, τρεῖς δ' ἐκ τῶν ἐπακμασάντων τούτοις, Δημοσθένης Ὑπερείδης Αἰσχίνης, οὓς ἐγὼ τῶν ἄλλων ἡγοῦμαι κρατίστους, καὶ διαιρεθήσεται μὲν εἰς δύο συντάξεις ἡ πραγματεία, τὴν δὲ ἀρχὴν ἀπὸ ταύτης λήψεται τῆς ὑπὲρ τῶν πρεσβυτέρων γραφείσης. προειρημένων δὴ τούτων ἐπανάγειν καιρὸς ἐπὶ τὰ προκείμενα.

1 *καθημαξευμένα* Stephanus v de P Kaibelius tacet | *ἔγωγ' οὖν* M 2 *γραφὴ* M 3 *μέντοι* Sadaeus: *μὲν δὴ* 4 *τινες αἱ* non licet temptare 5 [*δ*]*ὲ* cum litura M 6 *περὶ*] *πρὶν* A 9 *οὐθὲν* B 12 *τοὺς δὲ* hinc incipit F 13 *τὰς* ex *τῆς* corr F[1] 15 *ἱστοριῶν* A *ἱστορικῶν* F 16 *οἱ μὲν* Stephanus v | *τρεῖς μὲν* FPBCA Stephanus: *τρεῖς* Mv post Stephanum 18 *ὑπερίδης* libri praeter F 20 *συντα..΄ξεις* duabus litteris erasis F 21 *δ'* Pv | *απὸ* supra scr F (m[2]?)

ΛΥΣΙΑΣ ΣΥΡΑΚΟΥΣΙΟΣ ΠΑΤΡΟΘΕΝ 452

Λυσίας ὁ Κεφάλου Συρακουσίων μὲν ἦν γονέων, ἐγεννήθη δὲ Ἀθήνησι μετοικοῦντι τῷ πατρὶ καὶ συνεπαιδεύθη τοῖς ἐπιφανεστάτοις Ἀθηναίων. ἔτη δὲ πεντεκαίδεκα γεγονὼς εἰς Θουρίους ᾤχετο πλέων σὺν | ἀδελφοῖς δυσίν, κοινωνήσων τῆς ἀποικίας, ἣν ἔστελλον 453 *Ἀθηναῖοί τε καὶ ἡ ἄλλη Ἑλλὰς δωδεκάτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ διετέλεσεν αὐτόθι πολιτευόμενος ἐν εὐπορίᾳ πολλῇ καὶ ⟨παιδευόμενος παρὰ Τισίᾳ τε καὶ Νικίᾳ⟩ μέχρι τῆς συμφορᾶς τῆς κατασχούσης Ἀθηναίους ἐν Σικελίᾳ. μετ᾽ ἐκεῖνο δὲ τὸ πάθος στασιάσαντος τοῦ δήμου ἐκπίπτει σὺν ἄλλοις τριακοσίοις ἀττικισμὸν ἐγκληθείς. καὶ παραγενόμενος αὖθις εἰς Ἀθήνας κατὰ ἄρχοντα Καλλίαν, ἕβδομον καὶ τετταρακοστὸν ἔτος ἔχων, ὡς ἄν τις εἰκάσειεν, ἐξ ἐκείνου τοῦ χρόνου διετέλεσε τὰς διατριβὰς ποιούμενος Ἀθήνησι. πλείστους δὲ γράψας λόγους εἰς δικαστήριά τε καὶ βουλὰς καὶ πρὸς ἐκκλησίας εὐθέτους,*

1 *Λυσίας συρακούσιος πατρόθεν* inscribit et in mg *περὶ λυσίου* F: titulo carent ceteri, sed in mg *περὶ λυσίου* M *λυσίας ὁ Κεφάλου* P 4 *ἀθηναίων* ex *ἀθηναίοις* corr F¹ | *πεντεκ[αί]δεκα* cum litura F 5 *γεγονὼς* hic abrumpitur C in media pagina, sed ea nouissima 6 *δυσὶ* Mv 8 *ἔτη* BG 9 *κ[α]ὶ* M¹ cum ras lacunam uidit et suppleuit Usener collatis uit X orr 835ᵈ 13 *ἐγκληθεῖσι* F *ἐκληθεῖσι* a *ἐκλυθεῖσι* ς 15 *τεσσαρακοστὸν* libri (*τεσσερακοστὸν* F) v 16 *διετέλεσεν* F 17 *ἐν ἀθήνησι* F et sine punctis G | *πλεί.στους* ex *πλει..τοὺς* F

πρὸς δὲ τούτοις πανηγυρικούς, ἐρωτικούς, ἐπιστολικούς, τῶν μὲν ἔμπροσθεν γενομένων ῥητόρων ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων ἠφάνισε τὰς δόξας, τῶν δὲ 454 *ἐπιγινομένων οὔτε πολ|λοῖς τισι κατέλιπεν ὑπερβολὴν οὔτ᾽ ἐν ἁπάσαις ταῖς ἰδέαις τῶν λόγων * * * καὶ μὰ Δί᾽ οὔ τί γε ταῖς φαυλοτάταις. τίνι δὲ κέχρηται χαρακτῆρι λόγων καὶ τίνας ἀρετὰς εἰσενήνεκται τίνι τε κρείττων ἐστὶ τῶν μεθ᾽ ἑαυτὸν ἀκμασάντων καὶ πῇ καταδεέστερος καὶ τί δεῖ λαμβάνειν παρ᾽ αὐτοῦ, νῦν ἤδη πειράσομαι λέγειν.*

καθαρός ἐστι τὴν ἑρμηνείαν πάνυ καὶ τῆς Ἀττικῆς 2 *γλώττης ἄριστος κανών, οὐ τῆς ἀρχαίας, ᾗ κέχρηται Πλάτων τε καὶ Θουκυδίδης, ἀλλὰ τῆς κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζούσης, ὡς ἔστι τεκμήρασθαι τοῖς τε Ἀνδοκίδου λόγοις καὶ τοῖς Κριτίου καὶ ἄλλοις συχνοῖς. κατὰ τοῦτο μὲν δὴ τὸ μέρος, ὅ πέρ ἐστι πρῶτόν τε καὶ κυριώτατον ἐν λόγοις, λέγω δὲ τὸ* 455 *καθαρεύειν τὴν | διάλεκτον, οὐθεὶς τῶν μεταγενεστέρων αὐτὸν ὑπερεβάλετο, ἀλλ᾽ οὐδὲ μιμήσασθαι πολλοὶ δύναμιν ἔσχον ὅτι μὴ μόνος Ἰσοκράτης· καθαρώτατος γὰρ δὴ τῶν ἄλλων μετὰ Λυσίαν ἐν τοῖς ὀνόμασιν οὗτος ἔμοιγε δοκεῖ γενέσθαι ὁ ἀνήρ. μίαν μὲν δὴ ταύτην ἀρετὴν ἀξίαν ζήλου καὶ μιμήσεως εὑρίσκω παρὰ τῷ*

2 *γεγενημένων* v 3 *ἠφάνησε* M 4 *ἐπιγενομένων* MPBGv | *οὔτε*] *οὐ* libri v 5 *οὔτ᾽ ἐν* FMPB: *ἅτ᾽ ἐν* Gv | lacunam indicaui, deest fere: *ἀλλ᾽ ἔν τισι καὶ πρωτεύει* 6 *οὗτοι* v | *εὐδοκιμῶν* post *φαυλοτάταις* interpolant Gv 7 *τίνι τε*] *πῇ τε* Desrousseaux 8 *μεθ᾽ ἑαυτὸν* MP: *μεθ᾽ αὑτὸν* corr F *μετ᾽ ἑαυτὸν* B *μετ᾽ αὐτὸν* Gv | *πῆι* F *ποῖ* Ga 11 *περὶ καθαρότητος* mg M 13 *τε* om F¹Gv 14 *τεκμήρασθαι*] *τεκμήριον* aς 15 *ἄλλων συχνῶν* Kiessling 17 *πρῶτόν τε* FMBPG: *πρῶτον* v | *κυριωτάτατον* F *κυριώτερον* v | *δὴ* G 18 *τῶν* — 19 *ἀλλ᾽ οὐ* mg F¹ 19 *ὑπερεβάλλετο* PGa 20 *εἶχον* F corr F¹ 21 *γὰρ* om F¹Gv | *μετά γε* Gv

ῥήτορι καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθα-
ρῶς γράφειν ἢ λέγειν ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι
παράδειγμα ταύτης τῆς ἀρετῆς.

3 ἑτέραν δὲ καὶ οὐδὲν ἐλάττονα ταύτης, ἣν πολλοὶ
μὲν ἐζήλωσαν τῶν κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάν-
των, οὐδεὶς δὲ βεβαιότερον ἀπεδείξατο· τίς δ᾽ ἔστιν
αὕτη; ἡ διὰ τῶν κυρίων τε καὶ κοινῶν καὶ ἐν μέσῳ
κειμένων ὀνομά|των ἐκφέρουσα τὰ νοούμενα ⟨ἑρμηνεία⟩. 456
ἥκιστα γὰρ ἄν τις εὕροι Λυσίαν τροπικῇ φράσει χρη-
σάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν αὐτὸν
ἄξιον, ἀλλ᾽ ὅτι καὶ σεμνὰ καὶ περιττὰ καὶ μεγάλα φαί-
νεσθαι τὰ πράγματα ποιεῖ τοῖς κοινοτάτοις χρώμενος
ὀνόμασι καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς. τοῖς
δὲ προτέροις οὐχ αὕτη ἡ δόξα ἦν, ἀλλ|ὰ βουλόμενοι 457
κόσμον τινὰ προσεῖναι τοῖς λόγοις ἐξήλλαττον τὸν
ἰδιώτην καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν,
μεταφοραῖς τε πολλαῖς χρώμενοι καὶ ὑπερβολαῖς καὶ
ταῖς ἄλλαις τροπικαῖς ἰδέαις, ὀνομάτων τε γλωττημα-
τικῶν καὶ ξένων χρήσει καὶ τῶν οὐκ εἰωθότων σχη-|
ματισμῶν τῇ διαλλαγῇ καὶ τῇ ἄλλῃ καινολογίᾳ κατα- 458
πληττόμενοι τὸν ἰδιώτην. δηλοῖ δὲ τοῦτο Γοργίας τε
ὁ Λεοντῖνος, ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον

9—13 cf Maximus Planudes W t v p 446, 9—13 Syrianus I 11, 25—12, 3 R fr περὶ μιμ. VIII

2 ἢ καὶ v 4 δὲ καὶ] δὲ Gv | ἐλάττω Gv 5 τὸν] τὸ F^1 6 ἐπεδείξατο Gv 8 ἑρμηνεία suppleui λέξις Sadaeus 9 φάσει F 10 ἐπὶ τοῦτο MPB | αὐτὸν om F^1Gv 11 καὶ περιττὰ καὶ σεμνὰ Gv 14 πρότερον Sadaeus | ἀλλὰ Usener: ἀλλ᾽ οἱ 15 προσθεῖναι Taylor | λόγοις Victorius: ὅλοις | τ.. ἰδιώτ.ν F^1 ἰδιώτην v τὴν ἰδιῶτιν? sed cf p 13, 9 17 μεταβολαῖς v 18 γλωττηματισμῶν B^1 20 καὶ ξένων post σχηματισμῶν iterat P 21 τὸν ex τ.. F^2

ποιῶν τὴν κατασκευὴν καὶ ‘οὐ πόρρω διθυράμβων
τινῶν’ ἔνια φθεγγόμενος, καὶ τῶν ἐκείνου συνουσια-
στῶν οἱ περὶ Λικύμνιόν τε καὶ Πῶλον. ἥψατο δὲ καὶ
τῶν Ἀθήνησι ῥητόρων ἡ ποιητική τε καὶ τροπικὴ
φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρξαντος ἡνίκ᾽
459 Ἀθήναζε πρεσβεύων | κατεπλήξατο τοὺς ἀκούοντας τῇ
δημηγορίᾳ, ὡς δὲ τἀληθὲς ἔχει, τὸ καὶ παλαιότερον
αἰεί τι θαυμαζομένη. Θουκυδίδης γοῦν ὁ δαιμονιώ-
τατος τῶν συγγραφέων ἔν τε τῷ ἐπιταφίῳ καὶ ἐν ταῖς
δημηγορίαις ποιητικῇ κατασκευῇ χρησάμενος ἐν πολλοῖς
ἐξήλλαξε τὴν ἑρμηνείαν εἰς ὄγκον ἅμα καὶ κόσμον
ὀνομάτων ἀηθέστερον. Λυσίας δὲ τοιοῦτον οὐδὲν
ἤσκησεν ἔν γ᾽ οὖν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς
λόγοις καὶ συμβουλευτικοῖς ποιῆσαι, πλὴν εἴ τι μικρὸν
ἐν τοῖς πανηγυρικοῖς· περὶ γὰρ δὴ τῶν ἐπιστολικῶν
αὐτοῦ καὶ ἑταιρικῶν καὶ τῶν ἄλλων, οὓς μετὰ παιδιᾶς
ἔγραψεν, οὐδὲν δέομαι λέγειν. ὁμοίως δὲ τοῖς ἰδιώταις
διαλέγεσθαι δοκῶν πλεῖστον ὅσον ἰδιώτου διαφέρει
460 καὶ ἔστι ποιητὴς κράτιστος λόγων, λελυμένης | ἐκ τοῦ
μέτρου λέξεως ἰδίαν τινὰ [λόγων] εὑρηκὼς ἁρμονίαν,

1 Plato Phaedri 238^d 4 cf Joh Sicel W VI 102, 16 sq 5 Timaeus fr 95 *FHG* 1, 216

2 τινῶν om Gv cum libris Platonis, sed in suo exemplo Dionysium legisse apparet de Dem 7 p 971 R | συνουσιαστικῶν aς 3 λυκύμνιόν F^1?G λυκύμνόν a 5 ὡς—φησι mg M 6 ἀκού ἀκούοντας P | ἐν τῇ Gv 7 τὸ καὶ] ὃ καὶ FG ὃ MP ὁ B ὁ καὶ v 8 αἰεί τι FMBP: ἀεὶ Gv | θαυμαζομένη. Θουκυδίδης γοῦν ὁ Desrousseaux: θαυμαζομένη Θουκυδίδης τοὔνομα FMBP θαυμαζόμενος Θ. τοὔνομα v (θαυμαζόμενον G) 13 γοῦν BPGv | τ[οῖ]ς F^2 cum ras | δικανικοῖς καὶ συμβουλευτικοῖς λόγοις Gv 15 περὶ γὰρ δὲ a περὶ γὰρ H Stephanus 16 παιδείας a 19 ἔστι MBP: ἐπεὶ FGv | ἐκ μέτρου Gv 20 λόγων del Marklandus | εὑρικὼς B

ἢ τὰ ὀνόματα κοσμεῖ τε καὶ ἡδύνει μηδὲν ἔχοντα ὀγκῶδες μηδὲ φορτικόν. ταύτην δευτέραν τὴν ἀρετὴν κελεύω παρὰ τοῦ ῥήτορος τούτου λαμβάνειν, εἴ τινες ἀξιοῦσι τὸν αὐτὸν ἐκείνῳ διαλέγεσθαι τρόπον. ἐγένοντο μὲν οὖν πολλοὶ τῆς προαιρέσεως ταύτης ζηλωταὶ συγγραφεῖς τε καὶ ῥήτορες, ἔγγιστα δὲ αὐτῆς μετὰ Λυσίαν ἥψατο τῶν πρεσβυτέρων νέος ἐπακμάσας Ἰσοκράτης, καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν προσωτέρῳ τούτων σκοπῶν ἑτέρους ῥήτο|ρας ἰσχὺν καὶ δύναμιν τοσαύτην ἐν 461 ὀνόμασι κυρίοις καὶ κοινοῖς ἀποδειξαμένους.

4 τρίτην ἀρετὴν ἀποφαίνομαι περὶ τὸν ἄνδρα τὴν σαφήνειαν οὐ μόνον τὴν ἐν τοῖς ὀνόμασιν, ἀλλὰ καὶ τὴν ἐν τοῖς πράγμασιν· ἔστι γάρ τις καὶ πραγματικὴ σαφήνεια οὐ πολλοῖς γνώριμος. τεκμαίρομαι δέ, ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν ἡμῖν καὶ ἀσαφῆ καὶ δεόμενα ἐξηγητῶν. ἡ δὲ Λυσίου λέξις ἅπασά ἐστι φανερὰ καὶ σαφὴς καὶ τῷ πάνυ πόρρω δοκοῦντι πολιτικῶν ἀφεστάναι λόγων. καὶ εἰ μὲν δι' ἀσθένειαν δυνάμεως ἐγίνετο τὸ σαφές, οὐκ ἄξιον ἦν αὐτὸ ἀγαπᾶν, νῦν δὲ ὁ πλοῦτος τῶν κυρίων ὀνομάτων ἐκ πολλῆς αὐτῷ περιουσίας ἀποδείκνυται ταύτην τὴν ἀρετήν. ὥστε | καὶ τὴν σαφή- 462 νειαν αὐτοῦ ζηλοῦν ἄξιον. καὶ μὴν τό γε βραχέως

18 cf Maximus Planudes W t v p 446, 7

1 ἣ—ἔχουσα? 6 ἔγγυστα PB 7 ἐπαγμάσας F ἐπασκήσας Gv cf Plato Phaedr 278e 8 προσωτέρωι solus F προσοτέρω P 9 ἑτέρου ῥήτορος G 10 ἀποδειξαμενος F ἀποδεξάμενος G 11 περὶ σαφηνείας mg rubro M 14 ὅτι om G 15 λέξεως—16 πράγματα mg M 16 πραγμα F[1] 17 ἐξηγητοῦ Gv 20 ἐγένετο P 23 καὶ om Gv

ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφῶς, χαλεποῦ πράγματος ὄντος φύσει τοῦ συναγαγεῖν ἄμφω ταῦτα καὶ κεράσαι μετρίως, ἣ μάλιστα οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας, ὅς γε οὐδὲν τοῖς διὰ χειρὸς ἔχουσι τὸν ἄνδρα οὔτε ἀκαιρολογίας οὔτε ἀσαφείας | 463 δόξειεν ἂν λαβεῖν. τούτου δὲ αἴτιον, ὅτι οὐ τοῖς ὀνόμασι δουλεύει τὰ πράγματα παρ' αὐτῷ, τοῖς δὲ πράγμασιν ἀκολουθεῖ τὰ ὀνόματα, τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμήσασθαι λαμβάνει.

5 καὶ οὐκ ἐπὶ μὲν τῆς ἑρμηνείας τοιοῦτός ἐστιν, ἐν δὲ τοῖς πράγμασιν ἄκαιρός τις καὶ μακρός, συνέστραπται δὲ εἴ τις καὶ ἄλλος καὶ πεπύκνωται τοῖς νοήμασι, καὶ τοσούτου δεῖ τῶν οὐκ ἀναγκαίων τι λέγειν, ὥστε καὶ πολλὰ καὶ τῶν χρησίμων ἂν δόξειε παραλιπεῖν, οὐ μὰ Δία ἀσθενείᾳ εὑρέσεως αὐτὸ ποιῶν, ἀλλὰ συμμετρήσει τοῦ χρόνου, πρὸς ὃν ἔδει γενέσθαι τοὺς λόγους. βραχύς γε μὴν οὗτος, ὡς μὲν ἰδιώτῃ δηλῶσαι βουλομένῳ τὰ πράγματα ἀποχρῶν, ὡς δὲ ῥήτορι περιουσίαν δυνάμεως 464 ἐνδείξασθαι ζητοῦντι οὐχ ἱκανός. μιμητέον | δὴ καὶ τὴν βραχύτητα τὴν Λυσίου· μετριωτέρα γὰρ οὐκ ἂν εὑρεθείη παρ' ἑτέρῳ ῥήτορι.

6 μετὰ ταύτας ἀρετὴν εὑρίσκω παρὰ Λυσίᾳ πάνυ

1 σαφοῦς v | τοῦ πράγματος Gv 3 κεράσσαι F[1] | ἣ μάλιστα ἢ Marklandus, sed ἣ μάλιστα 'quam maxime' | ἧττον ex ἥττων rubro corr M ἧττον ex ἧττων P ἥττων mg B 4 Λυσίας χρώμενος Gv | ὅς γε FPB: ὅς τε M ὥστε Gv | οὐδ' ἐν MB iunge οὐδὲν οὔτε ἀσαφείας οὔτε ἀκαιρολογίας 5 ἀκυρολογίας libri: corr Taylor 6 δόξειεν ἂν] δόξαν libri v | λαβεῖ F 9 ἐξαλλάττειν Herwerden | μιμεῖσθαι Gv 11 ἐστι F[1] 14 τι om F 15 καὶ om Gv | δόξειεν P | [παρα]λιπεῖν F[1] cum ras 18 οὗτος Mas: οὗτος B οὕτως ex οὗτος F[1] οὕτως PG Sylburgius 20 δὲ Gv

θαυμαστήν, ἧς Θεόφραστος μέν φησιν ἄρξαι Θρασύ-
μαχον, ἐγὼ δ' ἡγοῦμαι Λυσίαν· καὶ γὰρ τοῖς χρόνοις
οὗτος ἐκείνου προέχειν ἔμοιγε δοκεῖ (λέγω δ' ὡς ἐν
ἀκμῇ κοινῇ βίου γενομένων ἀμφοῖν), καὶ εἰ μὴ τοῦτο
δοθείη, τῷ γέ τοι περὶ τοὺς ἀληθινοὺς ἀγῶνας ἐκείνου
μᾶλλον τετρῖφθαι. οὐ μέντοι διαβεβαιοῦμαί γε, ὁπό-
τερος ἦρξε τῆς ἀρετῆς ταύτης, κατὰ τὸ παρόν, ἀλλ' ὅτι
Λυσίας μᾶλλον ἐν αὐτῇ διήνεγκεν, τοῦτο θαρρῶν ἂν
ἀποφηναίμην. τίς δ' ἐστὶν ἥν φημι ἀρετήν; ἡ συστρέ-
φουσα τὰ νοήματα καὶ στρογγύλως ἐκφέρουσα λέξις,
οἰκεία πάνυ καὶ ἀναγκαία τοῖς δικανικοῖς λόγοις καὶ
παντὶ ἀληθεῖ ἀγῶνι. ταύτην ὀλίγοι μὲν ἐμιμήσαντο,
Δημοσθένης δὲ καὶ ὑπερεβάλετο πλὴν οὐχ οὕτως γε
λευκῶς οὐδὲ ἀφελῶς ὥσπερ Λυ|σίας χρησάμενος αὐτῇ, 465
ἀλλὰ περιέργως καὶ πικρῶς· λεγέσθω γάρ, ὡς ἐμοὶ
φαίνεται. ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

7 ἔχει δὲ καὶ τὴν ἐνάργειαν πολλὴν ἡ Λυσίου λέξις.
αὕτη δ' ἐστὶ δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγου|σα 466
τὰ λεγόμενα, γίγνεται δ' ἐκ τῆς τῶν παρακολουθούντων
λήψεως. ὁ δὴ προσέχων τὴν διάνοιαν τοῖς Λυσίου
λόγοις οὐχ οὕτως ἔσται σκαιὸς ἢ δυσάρεστος ἢ βραδὺς
τὸν νοῦν, ὃς οὐχ ὑπολήψεται γινόμενα τὰ δηλούμενα
ὁρᾶν καὶ ὥσπερ παροῦσιν οἷς ἂν ὁ ῥήτωρ εἰσάγῃ

1 Theophrasti π. λ. fr III Schmidt

4 αγμῆι F 5 τῷ a: τό libri 6 ὁποτέρας F 8 διή-νεγκε PF | θαρῶν F | περὶ τῆς συνεστραμμένης καὶ στρογγύλης λέξεως M mg rubro 9 συστρέφουσα. F cum rasura 10 λέξεις PB 13 ὑπερεβάλλετο B¹G | οὕτως γε λευκῶς scripsi probante Usenero: οὕτως τελευκῶς FMPB οὕτως εὐτελῶς vG 16 ση·τί ἐστιν ἐνάργεια M mg rubro 17 ἐνέργειαν F¹Ga 18 ἔστι M 19 γίνεται FGv | δὲ PBGv 20 λήψεως ex λέξεως F¹ | δὲ BGv 21 ἢ prius in ras F¹ 22 τὰ δηλούμενα ὡς γινόμενα Gv

προσώποις ὁμιλεῖν. ἐπιζητήσει τε οὐθέν, ⟨οἷον⟩ εἰκὸς
τοὺς μὲν ἂν δρᾶσαι, τοὺς δὲ παθεῖν, τοὺς δὲ δια-
νοηθῆναι, τοὺς δὲ εἰπεῖν. κράτιστος γὰρ δὴ πάντων
467 ἐγένετο ῥητόρων | φύσιν ἀνθρώπων κατοπτεῦσαι καὶ
τὰ προσήκοντα ἑκάστοις ἀποδοῦναι πάθη τε καὶ ἤθη
καὶ ἔργα.

ἀποδίδωμί τε οὖν αὐτῷ καὶ τὴν εὐπρεπεστάτην 8
ἀρετήν, καλουμένην δὲ ὑπὸ πολλῶν ἠθοποιΐαν. ἁπλῶς
γὰρ οὐδὲν εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ
πρόσωπον οὔτε ἀνηθοποίητον οὔτε ἄψυχον. τριῶν τε
ὄντων, ἐν οἷς καὶ περὶ ἃ τὴν ἀρετὴν εἶναι ταύτην
συμβέβηκε, διανοίας τε καὶ λέξεως καὶ τρίτης τῆς
συνθέσεως, ἐν ἅπασι τούτοις αὐτὸν ἀποφαίνομαι
κατορθοῦν. οὐ γὰρ διανοουμένους μόνον ὑποτίθεται
χρηστὰ καὶ ἐπιεικῆ καὶ μέτρια τοὺς λέγοντας, ὥστε
εἰκόνας εἶναι δοκεῖν τῶν ἠθῶν τοὺς λόγους, ἀλλὰ καὶ
τὴν λέξιν ἀποδίδωσι τοῖς ἤθεσιν οἰκείαν, ᾗ πέφυκεν
αὐτὰ ἑαυτῶν κράτιστα δηλοῦσθαι, τὴν σαφῆ καὶ κυρίαν
καὶ κοινὴν καὶ πᾶσιν ἀνθρώποις συνηθεστάτην· ὁ γὰρ
ὄγκος καὶ τὸ ξένον καὶ τὸ ἐξ ἐπιτηδεύσεως ἅπαν
ἀνηθοποίητον. καὶ συντίθησί γε αὐτὴν ἀφελῶς πάνυ
468 καὶ ἁπλῶς, ὁρῶν ὅτι οὐκ | ἐν τῇ περιόδῳ καὶ τοῖς
ῥυθμοῖς, ἀλλ' ἐν τῇ διαλελυμένῃ λέξει γίνεται τὸ ἦθος.
καθόλου δέ, ἵνα καὶ περὶ ταύτης εἴπω τῆς ἀρετῆς, οὐκ

1 οἷον addidi ὧν vel ὃ Dobraeus 2 ἂν δρᾶσαι, τοὺς δὲ παθεῖν Marklandus: ἄνδρας αἰτοῦσα εἰ ταθείη FGv ἄνδρας αἰτοῦσα cum spatio XII fere litt M XX fere litt P uersus dimidii B 3 γὰρ om aς insuper add F¹ 7 περὶ ἠθοποιΐας M mg rubro | δ' οὖν Krüger 8 δὲ om P | τῶν πολλῶν MBPv 9 οὐδὲν Sylburgius: οὐδὲ 11 εἶναι om F ταύτην συμβέβηκεν εἶναι Gv 12 τῆς delet Herwerden τρίτον τῆς G 13 αὐτὸν om F¹ 14 κατορθοῦντα Spengel | διανοούμενος MPB 21 ἀφελῶς—ἁπλῶς] ἁπλῶς—ἀφελῶς Gv 23 τὸ add F²

οἶδ' εἴ τις ἄλλος ῥητόρων τῶν γε τῇ ὁμοίᾳ κατασκευῇ
χρησαμένων τοῦ λόγου εἴτε ἥδιον συνέθηκεν εἴτε
πιθανώτερον. δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ
ἀτεχνίτευτος ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτὴρ καὶ οὐ
θαυμάσαιμ' ἄν, εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις
δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς
περὶ λόγους, τοιαύτην τινὰ παράσχοι δόξαν, ὅτι ἀνεπι-
τηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ
ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς μᾶλλον ἔργου
τεχνικοῦ κατεσκευασμένος. πεποίηται γὰρ αὐτῷ τοῦτο 469
τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον καὶ ἐν αὐτῷ
τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει.
τὴν ἀλήθειαν οὖν τις ἐπιτηδεύων καὶ φύσεως μιμητὴς
γίνεσθαι βουλόμενος οὐκ ἂν ἁμαρτάνοι τῇ Λυσίου
συνθέσει χρώμενος· ἑτέραν γὰρ οὐκ ἂν εὕροι ταύτης
ἀληθεστέραν.

9 οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν
οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων, κρατίστην ἁπα-
σῶν ἀρετὴν καὶ τελειοτάτην, ὁρῶν αὐτὴν πρός τε τὸν
λέγοντα καὶ πρὸς τοὺς ἀκούοντας καὶ πρὸς τὸ πρᾶγμα
(ἐν τούτοις γὰρ δὴ καὶ πρὸς ταῦτα τὸ πρέπον) ἀρκούντως
ἡρμοσμένην. καὶ γὰρ ἡλικίᾳ καὶ γένει καὶ παιδείᾳ 470
καὶ ἐπιτηδεύματι καὶ βίῳ καὶ τοῖς ἄλλοις, ἐν οἷς δια-

3—12 cf Syrianus I p 12, 8—15 R fr π. μιμ. IX

3 ἀποίητος in textu om, in mg ⁒ αποι F γὰρ ποὶ εἶναι G
4 ἀτεχνήτευτος G 5 μὲν om G 9 ἔτυχε] ἔγκειται F | μᾶλλον ex μὲν F^3 10 αὐτὸ ex αὐτῷ F^1 αὐτοῦ τὸ ἀποίητον Sy
14 γενέσθαι F^1P 16 περὶ τοῦ πρεπόντος M in mg rubro
17 πρέπ[ο]ν F cum ras 21 ταῦτα om G 22 ἡρμοσμένην Mathaei: ἡρμοσμένη FPB ἡρμωσμένη corr in ἡρμοσμένη M cum ras post ένη 23 καὶ ἐπιτηδεύματι καὶ παιδείᾳ MPB

φέρει τῶν προσώπων πρόσωπα, τὰς οἰκείας ἀποδίδωσι
φωνάς πρός τε τὸν ἀκροατὴν συμμετρεῖται τὰ λεγόμενα
οἰκείως, οὐ τὸν αὐτὸν τρόπον δικαστῇ καὶ ἐκκλη-
σιαστῇ καὶ πανηγυρίζοντι διαλεγόμενος ὄχλῳ. διαφοράς
τε αὐτῷ λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ
λέξις· ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική,
διηγουμένῳ δὲ πιθανὴ κἀπερίεργος, ἀποδεικνύντι δὲ
στρογγύλη καὶ πυκνή, αὔξοντι δὲ καὶ παθαινομένῳ
σεμνὴ καὶ ἀληθινή, ἀνακεφαλαιουμένῳ δὲ διαλελυμένη
καὶ σύντομος. ληπτέον δὴ καὶ τὸ πρέπον τῆς λέξεως
παρὰ Λυσίου.

471 ὅτι μὲν γὰρ πιθανὴ καὶ πειστικὴ καὶ πολὺ τὸ 10
φυσικὸν ἐπιφαίνουσα καὶ πάνθ' ὅσα τῆς τοιαύτης
ἰδέας ἔχεται, πρὸς εἰδότας οὐδὲν ἴσως δεῖ λέγειν· δι'
ὄχλου γὰρ ἤδη τοῦτό γε καὶ οὐδείς ἐστιν ὃς οὐχὶ καὶ
πείρᾳ καὶ ἀκοῇ μαθὼν ὁμολογεῖ πάντων ῥητόρων
αὐτὸν εἶναι πιθανώτατον. ὥστε καὶ ταύτην τὴν ἀρετὴν
ληπτέον παρὰ τοῦ ῥήτορος.

πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως,
ἣν λαμβάνων καὶ μιμούμενος ἄν τις ἀμείνων γένοιτο
τὴν ἑρμηνείαν, τὰ μὲν ἄλλα τοῦ χρόνου στοχαζόμενος

4—10 adfert anonymus Seguerianus p 460, 29 Sp

1 προσώπων Gv | τὰ πρόσωπα Gv 2 ἀκροαντὴν F
3 [οἰκεί]ως F cum ras | αὐτὸν δὴ F sed δὴ punctis supra additis deletum est | τε καὶ F^3MBPGv 5 αὐτῶν anonymus 6 ἐστιν ἡ F sed ἡ punctis deletum est 7 κἀπερίεργος] καὶ περίεργος F^1 anonym καὶ ἀπερίεργος F^2MPBGv 9 σεμνὴ — δὲ om anonym | ἀνακαιφαλαιουμένω F 10 δὲ Gv | λέξεως F^1 ci Taylor: τάξεως MPBF^2Gv 12 καὶ πειστικὴ om G πιστικὴ F
13 ὑποφαίνουσα v | πᾶν θ' F 15 ἐστὶ εστι F sed alterum punctis deletum est | ὃς] ὅστις v 16 ὁμολογήσει F corr F^3 | πάντων αὐτὸν εἶναι ῥητόρων MPB fort rectius

ἐάσω, μίαν δὲ ἀρετὴν ἔτι τοῦ ῥήτορος ἀποδείξομαι,
κρίνας καλλίστην τε καὶ κυριωτάτην καὶ μόνην | αὐτὴν 472
μάλιστα τῶν ἄλλων τὸν Λυσίου χαρακτῆρα δυναμένην
βεβαιῶσαι, ἣν ὑπερεβάλετο μὲν οὐδεὶς τῶν ὕστερον,
ἐμιμήσαντο δὲ πολλοὶ καὶ παρ' αὐτὸ τοῦτο κρείττους
ἑτέρων ἔδοξαν εἶναι τὴν ἄλλην δύναμιν οὐθὲν δια-
φέροντες· ὑπὲρ ὧν, ἂν ἐγχωρῇ, κατὰ τὸν οἰκεῖον
διαλέξομαι τόπον. τίς δ' ἐστὶν ἥδε ἡ ἀρετή; ἡ [τις]
πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι κἀπ' ἴσης χάρις,
πρᾶγμα παντὸς κρεῖττον | λόγου καὶ θαυμασιώτερον. 473
ῥᾷστον μὲν γάρ ἐστιν ὀφθῆναι καὶ παντὶ ὁμοίως
ἰδιώτῃ τε καὶ τεχνίτῃ φανερόν, χαλεπώτατον δὲ λόγῳ
δηλωθῆναι καὶ οὐδὲ τοῖς κράτιστα εἰπεῖν δυναμένοις
εὔπορον.

11 ὥστε εἴ τις ἀξιοίη λόγῳ διδαχθῆναι ταύτην τὴν
δύναμιν, ἥ τίς ποτ' ἐστίν, οὐκ ἂν φθάνοι καὶ ἄλλων
πολλῶν καὶ καλῶν πραγμάτων δυσεκλαλήτων ἀπαιτῶν
λόγον· λέγω δὲ ἐπὶ κάλλους μὲν σωμάτων, τί δή
ποτε | τοῦτ' ἐστίν, ὃ καλοῦμεν ὥραν, ἐπὶ κινήσεως δὲ 474
μελῶν καὶ πλοκῆς φθόγγων, τί λέγεται τὸ εὐάρμοστον,
ἐπὶ συμμετρίας δὲ χρόνων, τίς ἡ τάξις καὶ τί τὸ
εὔρυθμον, καὶ ἐπὶ παντὸς δὲ συλλήβδην ἔργου τε καὶ
πράγματος, τίς ὁ λεγόμενος καιρὸς καὶ ποῦ τὸ μέτριον.

1 δὲ om F^1 | ἐπιδείξομαι F^3MPBGv 2 κυριωτάτην Marklandus: κοινοτάτην | αὐτὴν] τὴν libri v ἣ Marklandus 3 τοῦ λυσίου F^1 5 κρείσσους libri v 6 οὐδὲν Gv 8 δὲ G | ἡ ἀρετή MPB: ἀρετή FGv | ἡ Sylburgius: ἥτις 9 κἀπ' ἴσης scripsi adsentiente Buechelero: καὶ τίς ἡ iunge ἡ ἐπ' ἴσης χάρις 10 θαυμασιώτατον Marklandus 11 ῥᾷστον Taylor: ἄριστον | ἐστι P 12 τε add F^2 τε ἢ Ga | λόγον Ga 13 δυ-ναμέ|μένοις F 15 ὥς τ' M | ἀξιοῖ ἢ FG 16 ἢ τίς F ἥτις BPG | φθάνῃ G 17 δυσεκλαλήτων — σωμάτων om P 19 ἔστιν F 20 μελῶν] μελισμοῦ Gv

αἰσθήσει γὰρ τούτων ἕκαστον καταλαμβάνεται καὶ
οὐ λόγῳ. ὥσθ' ὅπερ οἱ μουσικοὶ παραγγέλλουσι ποιεῖν
τοῖς βουλομένοις ἀκούειν ἀκριβῶς ἁρμονίας, ὥστε μηδὲ
τὴν ἐλαχίστην ἐν τοῖς διαστήμασι δίεσιν ἀγνοεῖν, τὴν
475 ἀκοὴν ἐθίζειν | καὶ μηδὲν ἄλλο ταύτης ἀκριβέστερον
ζητεῖν κριτήριον, τοῦτο κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν
Λυσίαν καὶ τίς ἡ παρ' αὐτῷ χάρις ἐστὶ βουλομένοις
476 μαθεῖν ὑποθείμην ἂν ἐπιτη|δεύειν, χρόνῳ πολλῷ καὶ
μακρᾷ τριβῇ καὶ ἀλόγῳ πάθει τὴν ἄλογον συνασκεῖν
αἴσθησιν. ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ
χαρακτηρικωτάτην τῆς Λυσίου λέξεως ἔγωγε τίθεμαι,
εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν εἴτε πόνου καὶ
τέχνης ἐργασίαν εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν ἢ δύναμιν,
ᾗ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας. καὶ ὅταν
διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων
καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων τἀληθὲς
εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετὴν ὡς ἐπὶ
ψῆφον ἐσχάτην. ἔπειτα ἂν μὲν αἱ χάριτες αἱ τῆς
λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφήν, τῆς Λυσίου
477 ψυχῆς αὐτὴν τίθεμαι καὶ οὐδὲν ἔτι πορ|ρωτέρῳ ταύτης
σκοπεῖν ἀξιῶ. ἐὰν δὲ μηδεμίαν ἡδονὴν μηδὲ ἀφροδίτην
ὁ τῆς λέξεως χαρακτὴρ ἔχῃ, δυσωπῶ καὶ ὑποπτεύω
μήποτ' οὐ Λυσίου ὁ λόγος καὶ οὐκ ἔτι βιάζομαι τὴν

1 [κατα]λαμβάνεται F cum ras 2 οὐ λέγω G | οἱ om FGv 4 διαστήμασι Sylburgius: διηγήμασι FGMBP διηχή-μασι Victorius 5 μη|μηδὲν F 6 τούτω M 7 ἡ παρ' αὐτῷ] ὑπ' αὐτῷ aς 9 τριβῆι F 10 τε insuper add F^1 11 χαρακτηριστικωτάτην F^1Gv post Rob. Stephanum | τίθεμαι] πείθομαι FGv 14 ὑπερέχειν G | λοιποὺς add F^1 17 ὡς add F^1 18 ψήφω ἐσχάτη G ψήφωι ἐσχάτηι corr F? ψήφων ἐσχάτην v 20 τίθημι G | ἔτι ex ἐπὶ F | πορρωτέρωι F solus
23 ὁ λόγος MPBF (ὁ add m^1): λόγος G ἦ λόγος a ἦ ὁ λόγος Reiskius

ἄλογον αἴσθησιν, οὐδ᾽ ἐὰν πάνυ δεινὸς εἶναι τὰ γοῦν
ἄλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος, τὸ
μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν κατά τινας
καὶ ἄλλους ἰδίους λέξεως χαρακτῆρας (πολυειδὲς γὰρ
τοῦτο), τὸ δ᾽ ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως
Λυσίᾳ.

τεκμηρίῳ γ᾽ οὖν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος
ἢ τῷ καθ᾽ ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγό-
12 μενα [ᾧ] πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν
λόγων καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους, ὡς εἰσὶν
ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ
ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν
Λυσιακὴν οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς
λέξεως, ὑποπτεύ|σας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας 478
Λυσίου. ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος,
ὃν οἶδ᾽ ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ
κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μέντοι ὁ λόγος
ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς καὶ
τοῖς ἐνθυμήμασιν εὑρῆσθαι περιττῶς καὶ ἄλλας πολλὰς
ἀρετὰς ἔχων ἄχαρίς ἐστι καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν
ἐπιφαίνειν στόμα. μάλιστα δ᾽ ἐγένετό μοι καταφανὴς
ὅτι οὐχ ὑπ᾽ ἐκείνου τοῦ ῥήτορος | ἐγράφη, τοὺς χρό- 479
νους ἀναλογισαμένῳ. εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον

1 οὐδὲ ἂν libri v | γ᾽ οὖν PBGv 2 δοκεῖ GF corr in δοκῆι | ὁ λόγος—οἰόμενος bis P 4 λέξεως Taylor: ἕξεως 5 τὸ δ᾽ ἡδέως καὶ a: ἡ δὲ ὡς καὶ F sec Desrousseaux ἡ δὲ ὡς cett 6 γοῦν PBGv haec uerba ad sequentia trahenda esse Marklandus uidit 7 praestat ἡρμηνεῦσθαι 9 ᾧ seclusit Marklandus | ἀναφερωμένων M 13 εὐτομίαν P 18 ἡρμηνεύσθαι (sic)—ἐνθυμήμασιν in mg F¹ | ἰσχυρῶς καὶ in ras F¹ 19 εὑρῆσθαι Dobraeus: εἰρῆσθαι 20 καὶ οὐδὲ πολλοῦ M et B qui in mg καὶ πολλοῦ habet | τοῦ Λυσιακοῦ F corr F¹

θήσει τις τελευτῆσαι Λυσίαν ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσι-
νίκου ἄρχοντος, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα
τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος.
μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ᾽ οὗ τὴν εἰρήνην
Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν,
ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης ἰδιώτης γίνεται
καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότ᾽ ἔτεσιν ἑπτὰ πρότερον
τετελευτηκότος τῆς γραφῆς Λυσίου, πρὸ τοῦ συν-
τάξασθαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ
τὴν ἀπολογίαν τοῦ ἀνδρὸς καὶ αὐτὴν εἰς Λυσίαν ἀνα-
480 φερομένην οὔτε | τοῖς πράγμασιν ἀτόπως ἔχουσαν οὔτε
τοῖς ὀνόμασιν ἀσθενῶς δι᾽ ὑποψίας ἔλαβον οὐκ ἐπαν-
θούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος· καὶ παραθεὶς
τοὺς χρόνους οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν
τῆς τελευτῆς τοῦ ῥήτορος ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν
γὰρ τῷ συμμαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης
ἠγώνισται καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας,
ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές· οὗτος δὲ ὁ
πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπίνην ἄρχοντας.
ὅτου μὲν οὖν εἰσι λόγοι [τοῦ] ῥήτορος ⟨οἱ⟩ περί τε
481 τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ | ἔχω βεβαίως
εἰπεῖν. ὅτι δὲ ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις

1 [τι]ς in ras F² τίς M | ἐπι (sic) bis F 4 τὸν ἄρχοντα B | τὴν εἰρήνην om P 6 στρατεύματα] κατεστραμμένα Tournier 7 τὰ περὶ Desrousseaux, lacuna subesse uidetur | τότε PGv 8 τῆς γραφῆς τετελευτηκότος Gv τετελευτηκότως M τῆς γραφῆς deleo ex u 2 interpolatum | πρὸ τοῦ—Ἰφικράτει del Sadaeus | συντάξαι v an συνίστασθαι? fallitur Sauppius Ἰφικράτη coniciens 10 ἀπολογίαν Gv: ἀπώλειαν FMBP 11 ἔχουσαν ex ἔχουσιν F¹ 17 ὑπέσχηκεν MPB 19 Ἐλπινίκην Gv 20 ὅτου Sylburgius: ὅτι | εἰσιν οἱ λόγοι MBP | τοῦ seclusit Sylburgius | οἱ Sauppius inseruit 21 βεβαίως σιν F, sed σιν punctis deletur 22 ὅτι δὲ—εἰπεῖν om P in mg suppl F | πολλ F, ut οῖς desectum sit

ἔχοιμ' ἂν εἰπεῖν· ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις, ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι διασκοπεῖν. εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτούς· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος, ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων.

13 ἀνιτέον δέ, ὅθεν ἐξέβημεν εἰς ταῦτα, ὅτι κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ χαρακτηρικώτατον τῆς δυνάμεως ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις, ἣν οὐθ' ὑπερεβάλετο τῶν ἐπιγινομένων οὐθεὶς οὔτε εἰς ἄκρον ἐμιμήσατο. καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος ταῦτα· συγκεφαλαιώ-| 482
σομαι γὰρ τὰ ῥηθέντα· τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου, τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα, ἡ σαφήνεια, ἡ συντομία, τὸ συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα, τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα, τὸ μηδὲν ἄψυχον ὑποτίθεσθαι πρόσωπον μηδὲ ἀνηθοποίητον, ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ μι-

1 post εἰπεῖν G inserit ἡ γὰρ αὐτὴ—ἀμφοτέροις, εἰπεῖν ἂν ἔχοιμι πολλοῖς τεκμ. ὅτι ἑνός εἰσιν ἀμφότεροι κτλ. | ἔχοιμ' desecto ι F | εἰπεῖν in δεικνύναι mutat Krüger 3 σκοπεῖν Gv 4 ὁ ἀνὴρ] ἀνὴρ F fort ἁνὴρ 7 ὡστρατιωτικὴν F 10 ὅτι Usener: τὸ (add F^1) 11 καὶ] καὶ τὸ Gv | χαρακτηρικώτερον MPB χαρακτηριστικώτατον v post Rob Stephanum G 13 ὑπερεβάλλετο G | ἐπιγενομένων v post H Stephanum G item P addito ι super ε 15 συγκεφαλαιώσωμαι F 20 βουλόμενα F sed δηλούμενα supra add F^2 21 μηδένα M | ἄψυχον] ἄτοπον edd ante Holwellum 22 μιμουμένης Usener: μιμουμένη libri. quod si uerum esset, ἠθοποιία pro ἡδονὴ dicendum erat cf p 15, 8. 21 sq

μουμένης τὸν ἰδιώτην, τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους, ἡ πιθανότης καὶ τὸ πειστικὸν καὶ ἡ χάρις καὶ ὁ πάντα μετρῶν καιρός. ταῦτα παρὰ Λυσίου λαμβάνων ἄν τις ὠφεληθείη. ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς οὐκ ἔστιν ἡ Λυσίου λέξις οὐδὲ καταπληκτικὴ μὰ Δία καὶ θαυμαστὴ οὐδὲ τὸ πικρὸν ἢ τὸ δεινὸν ἢ τὸ φοβερὸν ἐπιφαίνουσα οὐδὲ ἁφὰς ἔχει καὶ τόνους ἰσχυροὺς οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστὴ οὐδ', ὥσπερ ἐν τοῖς ἤθεσίν ἐστι πιθανή, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρὰ οὐδ' ὡς ἡδῦναι
483 καὶ πεῖσαι καὶ χαριεντίσασθαι δύνα|ται, οὕτω βιάσασθαί τε καὶ προσαναγκάσαι. ἀσφαλής τε μᾶλλόν ἐστιν ἢ παρακεκινδυνευμένη καὶ οὐκ ἐπὶ τοσοῦτον ἰσχὺν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀλήθειαν εἰκάσαι φύσεως.

καὶ θαυμάζειν ἄξιον, τί δή ποτε παθὼν ὁ Θεόφραστος τῶν φορτικῶν καὶ περιέργων αὐτὸν οἴεται 14
ζηλωτὴν γενέσθαι λόγων καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς Περὶ λέξεως γραφεῖσι τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις κατηρίθμηκε, τὸν ὑπὲρ Νικίου τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν

16 Theophr π. λ. fr II Schmidt

3 καὶ τὸ πειστικὸν om Gv πιστικὸν F 4 μετρῶν] πάντων G 7 καὶ τὸ δεινὸν PB 9 ἐστι add F^1 | οὐδ' FMB: οὔθ' Gv ἀλλ' P 11 πεῖσαι] πίσαι F^1 | οὕτως F 12 παραναγκάσαι FGv 14 τέχνην F^1MPB | ὅσων F 19 ἔν γε οὖν FG 21 περισώσεις F^1 23 καὶ add F^1 | ἐν inter lineas add M | κατηρίθμηκε] καταριθμεῖ καὶ libri v

ἐπὶ Συρακουσίων αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γε-
γραμμένον τοῦ ῥήτορος | παρατιθείς. κωλύσει δ' οὐδὲν 484
ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τὴν Θεοφράστου. ἔστι
δὲ ἥδε· 'ἀντίθεσις δ' ἐστὶ τριττῶς, ὅταν τῷ αὐτῷ τὰ
ἐναντία ἢ τῷ ἐναντίῳ τὰ αὐτὰ ἢ τοῖς ἐναντίοις ἐναντία
προσκατηγορηθῇ. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευχθῆναι.
τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅμοιον παιδιῶδες καὶ
καθαπερεὶ ποίημα· διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ.
φαίνεται γὰρ ἀπρεπὲς σπουδάζοντα τοῖς πράγμασι τοῖς
ὀνόμασι παίζειν καὶ τὸ πάθος τῇ λέξει περιαιρεῖν·
ἐκλύει γὰρ τὸν ἀκροατήν. οἷον ὡς ὁ Λυσίας ἐν τῇ
τοῦ Νικίου ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν· 'Ἑλλήνων
κλαίω ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον ... ἱκέται
μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρκων
ὑμᾶς ἀποφαίνοντες ... ἀνακαλοῦντές τε συγγένειαν,
εὐμένειαν.' ταῦτα γὰρ | εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, 485
δικαίως ἂν ἐπιτιμήσεως ἀξιοῖτο χαριεντιζόμενος ἐν οὐ
χαρίεντι καιρῷ. εἰ δὲ ἑτέρου τινός ἐστιν ὁ λόγος,
ὥς περ ἔστιν, ὁ κατηγορῶν, ἃ μὴ προσῆκε, τοῦ ἀνδρὸς
μεμπτότερος. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ
Νικίου λόγον οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς

12 Lys fr XCIX S

2 οὐθὲν M 3 τοῦ Θεοφράστου FGv 4 in mg F m saec XIV ὅτι (?) τριττῶς ἡ ἀντίθεσις 5 τὰ ἐναντία Marklandus 6 προσκατηγορηθῇ Sylburgius: προσκατηγορηθείη F προκατηγορηθείη Gv προκατηγοριθείη M κατηγορηθείη PB 7 καὶ ante καθαπερεὶ om FGv 10 καὶ om P 11 οἷον ὡς ὁ F ex οἷος ὁ 12 Ἑλλήνων om Gv ελλῆν F[1] supra lineam 13 κλαίω τὸν Gv 14 καθίζονται G 15 ὑμᾶς Turnier: ἡμᾶς | τε om Mv excepta Holwelliana 16 ἔγραψεν B 17 ἐπιτ.ϊμήσεως M | ἀξιοῖτο a: ἀξιοῦτο G ἀξιοῦται FMBP 18 δὲ ἑτέρου M ex δετέρου 19 τῷ ἀνδρὶ MPBF[1] 20 μεμπότερος F μεμπτόμενος M 21 οὐδὲ F[1]

λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις
ἀποδεῖξαι δυνάμενος οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι
λόγῳ. ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συν-
ταττόμενος, ἐν ᾗ τά τε ἄλλα δηλωθήσεταί μοι καὶ
τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν
ἐκείνοις καὶ περὶ τοῦδε ἀποδοῦναι πειράσομαι τοῦ
λόγου.

νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ πραγματικός 15
486 ἐστι Λυσίου χαρακτήρ, ἐπειδὴ τὸν ὑπὲρ τῆς λέ|ξεως
⟨λόγον⟩ ἀποδέδωκα· τουτὶ γὰρ ἔτι λείπεται τὸ μέρος.
εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν ἐνόντων
λόγων ὁ ἀνήρ, οὐ μόνον ὧν ἅπαντες ἂν εὕροιμεν,
ἀλλὰ καὶ ὧν μηδείς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας παρα-
λείπει τῶν στοιχείων, ἐξ ὧν οἱ λόγοι, οὐ τὰ πρόσωπα,
οὐ τὰ πράγματα, οὐκ αὐτὰς τὰς πράξεις, οὐ τρόπους
τε καὶ αἰτίας αὐτῶν, οὐ καιρούς, οὐ χρόνους, οὐ τόπους,
οὐ τὰς ἑκάστου τούτων διαφορὰς ἄχρι τῆς εἰς ἐλάχιστον
τομῆς, ἀλλ' ἐξ ἁπάσης θεωρίας καὶ παντὸς μερισμοῦ
τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν
δεινότητα τῆς εὑρέσεως αὐτοῦ οἵ τε ἀμάρτυροι τῶν
λόγων καὶ οἱ περὶ τὰς παραδόξους συνταχθέντες ὑπο-
θέσεις, ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει
καὶ τὰ πάνυ δοκοῦντα τοῖς ἄλλοις ἄπορα εἶναι καὶ
487 ἀδύνατα εὔπορα καὶ δυνατὰ φαίνεσθαι | ποιεῖ, κριτικὸς
ὧν δεῖ λέγειν καὶ ὅτε μὴ πᾶσιν ἐξῆν χρῆσθαι τοῖς

1 τὸ σύγγραμμα Krüger 3 λόγῳ] immo χρόνῳ λέγειν v ante Holwellum 6 ἀποδοῦναι F sed δοῦναι supra scr m[1] 10 λόγον add Krüger 12 ἂν om F[1]Gv 14 οἱ λόγοι Usener: ὁμολογεῖ 15 τρόπους τε] τρόπους Gv 20 εὑρήσεως F[1]MPB 21 παραθέσεις in ὑποθέσεις corr F 22 καὶ κάλλιστα AGv: κάλλιστα FMPB 25 ὧν Reiskius post κριτικὸς inseri iussit | iunge καὶ—τῶν κρατίστων δὲ

εὑρεθεῖσι, τῶν κρατίστων δὲ καὶ κυριωτάτων ἐκλεκτικός, εἰ μὴ καὶ μάλιστα τῶν ἄλλων ῥητόρων, οὐδενός γε ἧττον. τάξει δὲ ἁπλῇ τινι κέχρηται τῶν πραγμάτων καὶ τὰ πολλὰ ὁμοειδεῖ, καὶ περὶ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις καὶ ἀπερίεργός ἐστιν· οὔτε γὰρ προκατασκευαῖς οὔτ' ἐφόδοις οὔτε μερισμοῖς οὔτε ποικιλίαις σχημάτων οὔτε ταῖς ἄλλαις ταῖς τοιαύταις πανουργίαις εὑρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπέριττός τις ἐλευθέριός τε καὶ ἀπόνηρος οἰκονομῆσαι τὰ εὑρεθέντα. ἐκ δὴ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων καὶ τὴν κρίσιν ζηλοῦν, τὴν δὲ τάξιν καὶ τὴν ἐργασίαν αὐτῶν, ἐνδεεστέραν οὖσαν τοῦ προσήκοντος, μὴ ἀποδέχεσθαι τοῦ ἀνδρός, ἀλλὰ παρ' ἑτέρων, οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἐγένοντο, περὶ ὧν ὕστερον ἐρῶ, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

16 | ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ 488 στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους [τῶν ἀμφισβητημάτων] ἐν οἷς ἐστι θεωρήμασιν ἡ πολιτικὴ τέχνη. τριχῇ δὲ νενεμημένου τοῦ ῥητορικοῦ λόγου καὶ τρία περιειληφότος διάφορα τοῖς τέλεσι γένη, τό τε δικανικὸν καὶ τὸ συμβουλευτικὸν καὶ τὸ καλούμενον

2 τῶν γ' ἄλλων ῥητόρων οὐδενὸς ἧττον Reiskiana τῶν ἄλλων ῥητόρων οὐδενὸς ἧττον G et ἧττων a   4 καὶ περὶ] κἂν G   5 ἀφέλη τις G   6 οὔτε ἐφόδοις BP   7 ποικιλλίαις G | ταῖς post ἄλλαις om PGv   9 τις add F^2 | ἐλευθέριός τε] καὶ ἐλεύθερος Gv ἐλευθέριός om B   10 ἐκ δὲ v praeter Holwellum   12 κρίσιν Sadaeus: σύγκρισιν | ἐξεργασίαν Vlietius   13 μὴ ἀποδέχεσθαι Usener: μὴ ἀπό γε FMPB μὴ ἀπὸ τοῦδε Gv   16 τοῦτο τὸ στοιχεῖον non recte del Vlietius   17 τῶν FG   18 λόγων PB | τῶν ἀμφισβητημάτων del Usener   21 καὶ . τρία F cum ras | εἰληφότος F^1 | διάφορα τοῖς τέλεσι om Gv   22 δεικανικὸν P

ἐπιδεικτικὸν ἢ πανηγυρικόν, ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος, μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι. κἀν τούτοις δὲ αὐτοῖς ἀμείνων ἐστὶ τὰ μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος δὴ τὴν Λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων ἢ ἐκ τῶν πανηγυρικῶν 489 τε καὶ συμβουλευτικῶν σκοπείτω. ἵνα δὲ καὶ | περὶ τῶν ἰδεῶν ἐγγένηταί μοι τὰ προσήκοντα εἰπεῖν, ἐάσω τε ταῦτα περί τε προοιμίων καὶ διηγήσεων καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου καὶ διαλέξομαι καὶ δηλώσω, ποῖός τίς ἐστιν ἐν ἑκάστῃ τῶν ἰδεῶν ὁ ἀνήρ. διαιρήσομαι δὲ αὐτάς, ὡς Ἰσοκράτει τε καὶ τοῖς κατ' ἐκεῖνον τὸν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.

φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ 17 τὰς εἰσβολὰς τῶν λόγων καὶ χαριέστατον, ἐννοούμενος, ὅτι ἄρξασθαι μὲν καλῶς οὐ ῥᾴδιόν ἐστιν, εἰ δή τις τῇ προσηκούσῃ χρῆσθαι βούλοιτο ἀρχῇ καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν (οὐ γὰρ τὸ πρῶτον ῥηθέν, ἀλλ' ὃ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον ἢ ἐπὶ πρώτου ὠφελήσειε, τοῦτο ἀρχή τε καὶ προοίμιον), ὁρῶν δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον, οἷς τέχναι τε

2 δ' M   3 δὲ G: δὲ τε P τε FMBv   4 μακρὰ GF^1 | καὶ παράδοξα om G super καὶ ἄπορα add F omisso καὶ   5 μεγάλα καὶ σεμνὰ MPB fort rectius   6 τὴν MPBGv: τοῦ F   7 συμβουλευτικῶν τε καὶ πανηγυρικῶν MPB   10 περὶ δὲ Gv | προοιμίου v   11 καὶ ante διαλέξομαι om Gv   12 τις om G   15 προοιμοίων P   16 φημὶ δὲ P   18 εἰ δή Mathaei: εἰ μὴ | τις in ras F^2 21 ὅ,τι προτεθὲν τοῦ λόγου Mathaei praue, genetiuus a μηδαμοῦ pendet cf Alcid de soph 15 | ἐπὶ πρώτου Usener: ἐπ' αὐτοῦ   22 ὠφελήσει Krüger et ita F initio   23 ὁρῶ Gv | πάσι ex πάσῃ F | αἱ τέχναι Sylburgius

παραγγέλλου|σι καὶ τὰ πράγματα βούλεται. τότε μὲν 490
γὰρ ἀπὸ τοῦ ἰδίου ἐπαίνου λέγων αὐτὸς ἄρχεται,
τότε δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου, εἰ δὲ τύχοι
αὐτὸς προδιαβληθείς, τὰς αἰτίας πρῶτον ἀπολύεται
τὰς καθ' αὑτοῦ· τότε δὲ τοὺς δικαστὰς ἐπαινῶν καὶ
θεραπεύων οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθί-
στησι, τότε δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν καὶ τὴν πλεο-
νεξίαν τὴν τοῦ ἀντιδίκου καὶ τὸ μὴ περὶ τῶν ἴσων
ἀμφοτέροις εἶναι τὸν ἀγῶνα ὑποδείκνυσι· τότε δὲ ὡς
κοινὰ τὰ πράγματα καὶ ἀναγκαῖα πᾶσι καὶ οὐκ ἄξια
ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι λέγει, τότε δὲ ἄλλο τι
κατασκευάζεται τῶν δυναμένων αὐτὸν μὲν ὠφελῆσαι,
τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ
ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις
καὶ ἐνθυμήμασι μετρίοις περιλαβὼν ἐπὶ τὴν πρόθεσιν
ἐπείγεται, δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι
προειπὼν καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ πρὸς
τὸν μέλλοντα λόγον ἐπὶ τὴν διήγησιν καθίσταται· καὶ
ἔστι μεθόριον αὐτῷ ἑκατέρας | τῶν ἰδεῶν ὡς τὰ πολλὰ 491
ἡ πρόθεσις, ἤδη δέ ποτε καὶ ἀπὸ μόνης ταύτης ἤρξατο.
καὶ ἀπροοιμιάστως ποτὲ εἰσέβαλε τὴν διήγησιν ἀρχὴν
λαβών. καὶ οὐκ ἄψυχος οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην
τὴν ἰδέαν· μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν

1 *τότε* M *τοτε* ex *τότε* F *τοτὲ* BPGv 2 *ἰδίου*: ο in ω corr sed *υ* reliquit F | *αὐτὸς* Marklandus: *αὐτὸ* F^2MPBG *αὐτῷ* F^1 3 *τότε* M *τοτε* ex *τότε* F *τοτὲ* BPGv 5 *ἑαυτοῦ* Gv | *τότε* M *τοτε* ex *τότε* F item v 7 et 9 et 11 *τοτὲ* BPGv 8 *τὴν* om MPB 9 *ὑποδείκνυσι* FGP: *ἀποδείκνυσι* MBv 11 *ἄλλό τις* M 12 *μὲν* add F^1 *μὲν αὐτὸν* G 13 *τὸν δὲ αντιδίκον* ex *τῶν δὲ αντιδίκων* F^2 | *ἐλαττοῦσαι* M 15 *ἐπὶ—ἐν ταῖς* omissa in mg suppl corr M 17 *πρὸς*] *εἰς* G 21 *ἀπροοιμίαστός* Gv 22 *οὐδὲ* BP 23 *θαυμάσοι* G *θαυμάσειεν* F^2

ἐν τοῖς προοιμίοις δύναμιν, ἐνθυμηθεὶς ὅτι διακοσίων
οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους ἐν οὐδενὶ
πέφηνεν οὔτε ἀπιθάνως προοιμιαζόμενος οὔτε ἀπηρτη-
μένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος, ἀλλ' οὐδὲ τοῖς
ἐνθυμήμασιν ἐπιβέβληκε τοῖς αὐτοῖς οὐδ' ἐπὶ τὰς αὐτὰς
κατενήνεκται διανοίας. καίτοι γε τοῦτο καὶ οἱ λόγους
ὀλίγους γράψαντες εὑρίσκονται πεπονθότες, λέγω δὲ
τὸ τοῖς αὐτοῖς ἐπιβαλεῖν τόποις· ἐῶ γὰρ ὅτι καὶ τὰ
492 παρ' ἑτέροις εἰρημένα λαμβάνοντες | ὀλίγου δεῖν πάντες
οὐκ ἐν αἰσχύνῃ τίθενται τὸ ἔργον. οὑτοσὶ δὲ καινὸς ὁ
ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων κατά γε οὖν τὰς
εἰσβολὰς καὶ τὰ προοίμια καὶ δυνατός, ὃ βούλοιτο,
διαπράξασθαι· οὔτε γὰρ εὔνοιαν κινῆσαι βουλόμενος
οὔτε προσοχὴν οὔτε εὐμάθειαν ἀτυχήσειεν ἄν ποτε τοῦ
σκοποῦ. κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν ἢ πρῶτον ἢ
οὐδενὸς δεύτερον αὐτὸν ἀποφαίνομαι.

ἐν δὲ τῷ διηγεῖσθαι τὰ πράγματα, ὅπερ οἶμαι μέρος 18
πλείστης δεῖται φροντίδος καὶ φυλακῆς, ἀναμφιλόγως
ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων, ὅρον
τε καὶ κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι.
οἴομαι δὲ καὶ τὰς τέχνας τῶν λόγων, ἐν αἷς εἴρηταί ⟨τι⟩
περὶ διηγήσεως ἀξιόλογον, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον

1 cf uitae X orr 836^a 21—p 30, 13 adfert Syrianus (= Sy) I p 25, 16 sq R

1 post *προοιμίοις* FGv *αὐτοῦ* repetunt | *διακοσί[ων]* F cum ras 4 *ἄλλου δὲ* F 5 *ἐπιβέβληκεν* P | uerba *οὐδ' ἐπὶ—8 τοῖς αὐτοῖς* om P 6 *λόγους* Teggius: *τοὺς* 8 *ἐπιβάλειν* F^1 *ἐπιβάλλειν* Gv 9 *εὑρημένα* Tournier 10 *δε* (sic) postea insertum ab F^1 | *καὶ νὸς* M 14 *ἀτυχήσειε* sine *ἂν* Gv | *ποτε* add F^2 18 *δεῖται* om MPB | *ἀναμφιβόλως* MPBv 21 *οἴομαι δὲ* Sy: *οἴομαί τε* | *ἐν οἷς* Gv | *τι* accessit ex Sy 22 *ἀξιολόγου* MGv

ἢ τῶν ὑπὸ Λυσίου γραφεισῶν εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς. καὶ γὰρ τὸ σύντομον μάλιστα αὗται ἔχουσιν αἱ διηγήσεις καὶ τὸ σαφὲς | [493] ἡδεῖαί τέ εἰσιν ὡς οὐχ ἕτεραι καὶ πιθαναὶ καὶ τὴν πίστιν ἅμα λεληθότως συνεπιφέρουσιν, ὥστε μὴ ῥᾴδιον εἶναι μήθ' ὅλην διήγησιν μηδεμίαν μήτε μέρος αὐτῆς ψευδὲς ἢ ἀπίθανον εὑρεθῆναι· τοσαύτην ἔχει πειθὼ καὶ ἀφροδίτην τὰ λεγόμενα καὶ οὕτως λανθάνει τοὺς ἀκούοντας εἴτ' ἀληθῆ ὄντα εἴτε πεπλασμένα. ὥσθ' ὅπερ Ὅμηρος ἐπαινῶν τὸν Ὀδυσσέα ὡς πιθανὸν εἰπεῖν καὶ πλάσασθαι τὰ μὴ γενόμενα εἴρηκε, τοῦτό μοι δοκεῖ κἂν ἐπὶ Λυσίου τις εἰπεῖν·

εἶσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρεκελευσάμην ἀσκεῖν τὸ μέρος ἐν τοῖς Λυσίου παραδείγμασι ποιουμένους | [494] τὰς γυμνασίας. κράτιστα γὰρ ⟨ἂν⟩ ἀποδείξαιτο ταύτην τὴν ἰδέαν ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος.

ἐν δὲ τῷ πιστοῦσθαι τὰ πράγματα τοιοῦτός τις ὁ ἀνήρ ἐστιν. ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐντέχνων πίστεων καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῇ δὴ

13 Odyss τ 203

8 τὰ add F[1] | οὕτω Gv 9 καὶ πεπλασμένα Sy | ὥσθ' ὅπερ Desrousseaux καὶ ὅπερ Gv: ὥσπερ FMPB ὡς ἐφαρμόζειν αὐτῷ τὸ Ὁμηρικὸν Sy 12 τις om v 13 εἴσκε P ἴσκε SyGv 14 πᾶσιν MB | παρακελευσαίμην Gv ἄν addit Krüger 15 ἐν τοῖς Usener: ἂν το ⁖ cum ras F ἂν τὸ MPB αὐτοῦ Gv | παραδείγματα Gv | ποιουμένους Reiskius: ποιούμενος 16 τὰς γυμνασίας F[1] ut uidetur ex τὰ γυμνάσια | ἂν add Krüger | ἀποδέξαιτο FMPB 19 ἐν δὲ τῷ πιστοῦσθαι τὰ πράγματα Sylburgius: ἕν γε (τε G) τῷ πιστοῦσθαι τὸν ἄνδρα τὰ πράγματα 20 ἀρκέσομαι δὲ τῷ τῶν ci Usener 21 δὴ F[1]: δὲ F[2]MPBGv

νενεμημένων τούτων εἴς τε τὸ πρᾶγμα καὶ τὸ πάθος καὶ τὸ ἦθος τὰ μὲν ἐκ τοῦ πράγματος οὐδενὸς χεῖρον εὑρεῖν τε καὶ ἐξειπεῖν δύναται Λυσίας. καὶ γὰρ τοῦ εἰκότος ἄριστος ὁ ἀνὴρ εἰκαστὴς καὶ τοῦ παραδείγματος, πῇ τε ὅμοιον εἶναι πέφυκε καὶ πῇ διαφέρον, ἀκριβέστατος κριτὴς τά τε σημεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι καὶ εἰς τεκμηρίων δόξαν ἀγαγεῖν δυνατώτατος. | [495] καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοιγε δοκεῖ. πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως, πολλάκις δ' ἐκ τῶν προτέρων πράξεων καὶ προαιρέσεων ἀξιόπιστα κατασκευάζει τὰ ἤθη. ὅταν δὲ μηδεμίαν ἀφορμὴν τοιαύτην λάβῃ παρὰ τῶν πραγμάτων, αὐτὸς ἠθοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λόγῳ πιστὰ καὶ χρηστά, προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεὶς καὶ πάθη μέτρια προσάπτων καὶ λόγους ἐπιεικεῖς ἀποδιδοὺς καὶ ταῖς τύχαις ἀκόλουθα φρονοῦντας εἰσάγων καὶ ἐπὶ μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λόγοις καὶ ἔργοις, τὰ δὲ δίκαια προαιρουμένους ποιῶν καὶ πάντα ⟨τὰ⟩ παραπλήσια τούτοις, ἐξ ὧν ἐπιεικὲς ἂν καὶ μέτριον ἦθος φανείη, | [496] κατασκευάζων. περὶ δὲ τὰ πάθη μαλακώτερός ἐστι καὶ οὔτε αὐξήσεις οὔτε δεινώσεις οὔτε οἴκτους οὔθ' ὅσα τούτοις ἐστὶ παραπλήσια νεανικῶς πάνυ καὶ ἐρρωμένως κατασκευάσαι δυνατός. οὐ δεῖ δὴ ταῦτα

1 καὶ τὸ ἦθος καὶ τὸ πάθος MPB 2 χείρων in mg χεῖρον B 4 ἄριστος ἀνὴρ δικαστὴς GF sed in mg F[2] ὁ ἀνὴρ quod post δικαστὴς repeti uoluit, ut signum utrobique appictum docet ἄριστος δικαστὴς ὁ ἀνὴρ MPB: corr Marklandus 5 πῆι solus F | διαφέρων G 10 δὲ ἐκ PB 11 πράξεων MPB: λέξεων FG | κατασκευάζει] ποιεῖ Gv 13 παρὰ τῶν πραγμάτων τοιαύτην λάβῃ Gv 15 περιτιθεὶς Mathaei 19 τὰ inseruit Sadaeus 24 δεῖ δὲ P

ἐπιζητεῖν παρὰ Λυσίου. κἂν τοῖς ἐπιλόγοις δὲ τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος μετρίως τε καὶ χαριέντως ἀπαριθμεῖ, τὸ δὲ παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ ἔλεος καὶ δέησις καὶ τὰ τούτοις ἀδελφὰ ἔνεστι, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι.

20 τοιοῦτος μὲν δή ἐστιν ὁ Λυσίου χαρακτήρ, ὡς ἐγὼ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα παρὰ ταῦτα ἔγνωκεν, λεγέτω· κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ ἐγγένηται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπείσμεθα εἴτε καὶ διημαρτήκαμεν τὴν κρίσιν, τὴν ἐξέτασιν ἐπὶ τῶν ὑπ' ἐκείνου γραφέντων ποιήσομαι προχειρισάμενός τε ἕνα λόγον (οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασιν) ἐξ ἐκείνου τήν τε προαίρεσιν καὶ τὴν δύναμιν | τοῦ ἀνδρὸς ἐπιδείξομαι, ἀποχρῆν 497 οἰόμενος ψυχαῖς εὐπαιδεύτοις καὶ μετρίαις μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος κατὰ Διογείτονος, ὑπόθεσιν δὲ ἔχων τοιάνδε·

21 Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο καταλιπὼν αὐτοῖς ἐπίτρο-

πον τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητρός. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀποθνήσκει, Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος καὶ 498 ἐκ πολλῶν | πάνυ χρημάτων οὐδὲν ἀποδείξας αὐτοῖς, ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος κακῆς ἐπιτροπῆς. λέγει δὲ κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς τῶν δὲ μειρακίων ἀδελφῆς ἀνήρ.

προὔλαβον δὲ τὴν ὑπόθεσιν, ἵνα μᾶλλον γένηται 22 καταφανές, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται· 11

Εἰ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ ἄνδρες 23 δικασταί, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδὼς ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται. ἐπειδὴ μέντοι, ὦ ἄνδρες δικασταί, πολλῶν χρημάτων ἀπεστέρηνται καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν 499 ἥκιστα ἐχρῆν ἐπ' | ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη

12—34, 16 adfert Syrianus I p 88, 15—89, 15 R

2 παίδων MPB | μητρός in litura FP μητέρος Gv 3 ἐν om F 5 αὐτὸς v 6 περὶ ὧν in mg rubro περιὼν M περιὼν ex περιῶν F¹ 7 κατ' G H Stephanus: καὶ FMBP 10 πρὸοὔλαβον ex πρὸοὐλαβὼν per rasuram F προὔβαλον PB 11 [κέχρ]ηται cum ras F 12 ὦ in mg rubro ὦ ἄνδρες M μεγάλα ἦν, ὦ δικασταί, τὰ διαφέροντα Sy 14 αἴσχιστος FG (ex αἴσχηστος F) 15 εἰδώς τε Sy 16 ὑμῖν ex ἡμῖν per rasuram F 17 δύν[ωνται] cum ras F¹ olim plura fuisse Diltheyus adnotat 18 ὦ M ἄνδρες om Sy | ἀθηναῖοι in mg eadem manu γρ. δικασταί P 19 πεπονθότες FGSy: παθόντες MPB

μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν ἀδελφὴν Διογείτονος δὲ θυγατριδῆν· καὶ πολλὰ δεηθεὶς ἀμφοτέρων τὸ μὲν πρῶτον ἔπεισ' αὐτοὺς ⟨τοῖς⟩ φίλοις ἐπιτρέψαι δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι. ἐπειδὴ δὲ Διογείτων, ἃ φανερῶς ἔχων ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὑτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἠβουλήθη καὶ φεύγειν δίκας καὶ μὴ οὔσας διώκειν καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια· εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους | εἶναι. 500
ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.'

24 τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετάς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν πρὸς οἰκείους ὁ ἀγών, σκοπεῖν ὅπως μὴ πονηροὶ μηδὲ φιλοπράγμονες οἱ κατήγοροι φανήσονται. κελεύουσίν

2 ἀδελφιδῆν Gv | πολλὰ ἀμφοτέρων δεηθεὶς Gv 3 ἔπεισα αὐτοὺς τοῖς φίλοις Sy: ἔπεισα τοὺς φίλους FMPB ἔπεισα τοῖς φίλοις G 4 διαιτᾶν FMPBG 5 τούτων SyFGP: τούτου MB | ἐπειδὴ Sy: ἐπεὶ libri 6 ἐξήλεγκτο libri 7 αὑτοῦ Sy: αὐτοῦ libri | ἐβουλήθη Sy 8 καὶ—μᾶλλον F^1 in mg 9 ὑπομ[εῖναι] cum ras F ·καθυπομένειν Sy unde ὑπομένειν Rauchenstein | μᾶ[λλον] cum ras F 10 πρὸς τούτοις FV Syriani 13 τῶν μηδὲν προσηκόντων Sy 14 ἅπαντα ex ἅπαν F 17 ἁπάσας om P 18 τὸ in F postea additum est 19 αὐτῷ] αὐτὸ P et B in mg 20 ὅταν ᾖ Gv 22 φανήσωνται F^1 ex φανήσονται

τε πρῶτον μὲν τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος καὶ λέγειν, ὅτι μεγάλα τἀδικήματα καὶ οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγὼν καὶ ἐρήμων καὶ ἧττον ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες κακίους ἂν ἐφάνησαν· καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγὰς καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων.
501 ταῦτα μὲν δὴ πα|ραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα διὰ τοῦ προοιμίου τοῦδε γεγονότα. καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι κελεύουσι συστρέψαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταί, καὶ οἷά περ ἂν ᾖ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους κατευθὺ ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει δὴ καὶ ταῦτα τὸ προοίμιον. ἔτι περὶ τῆς προσοχῆς ὧδέ πως τεχνολογοῦσιν, ὅτι δεῖ τὸν προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατὰς καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται δὴ καὶ ταῦτα πεποιηκὼς ὁ Λυσίας. καὶ πρόσεστι τούτοις τὸ λεῖον

3 τἀδικήματα Marklandus: ἀδικήματα | οὐκ ἐνῆν] οὐ κενὴν F^1 4 προσώπων F^3 in ras, fuerat πραγμάτων 7 τοὺς ex τὰς F 10 παραγγέλουσι F corr F^1 14 τοῦδε om PB 17 λέγεσθαι] γενέσθαι F 19 κατευθὺ] καὶ εὐθὺς FMPBG καὶ deleuit H Stephanus 20 δὲ G 24 μετ' εὐνοίας post ἀκοῦσαι addit Krüger | δὲ Gv 25 πρόσεστι Krüger: πρὸς ἔτι FM προσέτι PBG, M in mg

τῆς ἑρμηνείας καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς, ὧν μάλιστα δεῖ τοῖς ὑπ' | οἰκείων προοιμιαζομένοις. ἄξιον 502 δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται καταμαθεῖν. ἔχει δὲ οὕτως·

25 "Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί, Διόδοτος καὶ 6 Διογείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι. καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα πείθει αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥ περ ἦν αὐτῷ μόνη. καὶ γίνονται αὐτῷ υἱοὶ δύο καὶ θυγάτηρ. χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα ἀδελφιδῆν οὖσαν καὶ τὸν ἐκείνης μὲν πατέρα αὑτοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν [ὁμοπάτριον], πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας τὰς ἀναγκαιότητας οὐδενὶ μᾶλλον προσήκειν δικαίῳ περὶ τοὺς αὑτοῦ παῖ|δας γενέσθαι, διαθήκην 503 αὐτῷ δίδωσι καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην, ναυτικὰ δὲ ἀπέδειξεν ἐκδεδομένα ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ... δισχιλίας δὲ ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκη|ψε δέ, ἐάν τι πάθῃ, τάλαντον 504

5—10 adfert Syrianus I p 89, 16—21 R

2 ὑπ' οἰκείων Usener: ὑπ' ἐκείνων FGv ὑπὲρ ἐκείνων MPB 3 καταμαθεῖν F sed κατα add F^{2} 5 ὦ δικασταί Sy 10 δύο υἱοὶ Gv 11 ὕστερον ex ὕπερον F | καταλλεγεὶς G 12 τοῦ ἐπὶ τῶν ὁπλιτῶν Gv 13 γυναῖκα . F cum ras 14 αὐτοῦ P | ὁμοπάτριον del Herwerden 15 παίδων PB 17 δικαίῳ περὶ τοὺς αὑτοῦ παῖδας Sauppius: καὶ ὥσπερ τοῦ αὐτοῦ παῖδας FMPB ἑτέρῳ εἰς τοὺς παῖδας ἐπιτρόπῳ v ἑτέρῳ εἰς τοὺς αὐτοῦ παῖδας ἐπιτρόπῳ G 19 ναυτικὰ Marklandus: αὐτίκα | ἐπέδειξεν v 20 lacunam Sauppius statuit | χιλίας Gv 21 χερονήσῳ F χερουνήσῳ G

μὲν ἐπιδοῦναι τῇ γυναικὶ καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι, τάλαντον δὲ τῇ θυγατρί. κατέλιπε ⟨δὲ⟩ καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ καὶ τριάκοντα στατῆρας Κυζικηνούς. ταῦτα δὲ πράξας καὶ οἴκοι ἀντίγραφα καταλιπὼν ᾤχετο στρατευσόμενος μετὰ Θρασύλλου. ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς καὶ τὰ γράμματα λαμβάνει, ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα 505 δεῖν ἐκ τούτων τῶν | γραμματείων κομίσασθαι. ἐπειδὴ δὲ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς καὶ ἐποίησαν τὰ νομιζόμενα, τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διῃτῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια. ἐκείνων δ' ἐπιλειπόντων τοὺς μὲν παῖδας εἰς ἄστυ ἀναπέμπει, τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν ἐπιδοὺς πεντακισχιλίας δραχμάς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ αὐτῆς ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου τοῖν μειρακίοιν καλέσας αὐτοὺς εἶπε Διογείτων, ὅτι καταλείποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου καὶ τριάκοντα στατῆρας. ἐγὼ οὖν πολλὰ τῶν ἐμαυτοῦ δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν. καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερεν· νυνὶ δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι. σὺ οὖν, ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη, πόθεν ἕξεις

1 καὶ τὰ] τὰ add F^{3} (ex τὸ corr quod add F^{2}) | δοματίῳ F 2 θυγατρὶ κατέλιπεν continuant MBP θ. κατέλιπε FG: correxit δὲ inseruit Reiskius 5 στρατευόμενος P στρατευσάμενος Ga 6 ἔκρυπτεν MB 9 τούτων γραμματείων F^{1} | ἐπειδὴ Rauchenstein: ἐπεὶ 10 τῷ χρόνῳ Gv 11 ἐν ex εκ F 12 καταλέλειπτο FMPB 13 ἐπιλειπόντων Reiskius: ὑπολειπόντων (-λιπ- Gv) 14 μητέρα in litura F lineola supra ab F^{2} addita 16 αὐτῇ Sylburgius | δὲ PB | ἔτι in ἔτει corr M 17 εἶπεν MPB 21 διέφερε a: διέφερον FMPBG 23 ἕξεις ex ἕξης F^{1}

τὰ ἐπιτήδεια. ταῦτ' ἀκούσαντες, ἐκπεπληγμένοι καὶ δακρύοντες ᾤχοντο πρὸς τὴν μητέρα καὶ παραλα|βόντες 506
ἐκείνην ἧκον πρὸς ἐμέ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες καὶ παρακαλοῦντές με μὴ περιιδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων μηδ' εἰς πτωχείαν καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς ἕνεκα καὶ σφῶν αὐτῶν. πολλὰ ἂν εἴη λέγειν, ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ. τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἱκέτευσε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ τοὺς φίλους, εἰποῦσα ὅτι, εἰ καὶ μὴ πρότερον εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει τῶν συμφορῶν περὶ τῶν σφετέρων κακῶν δηλῶσαι πάντα πρὸς ἡμᾶς. ἐλθὼν δ' ἐγὼ ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυγατέρα, λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους, ἠξίουν δὲ τοῦτον εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγμάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε, τελευτῶν δὲ ὑπὸ τῶν | φίλων ἠναγκάσθη. ἐπειδὴ 507
δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα ποτὲ ψυχὴν ἔχων ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆσθαι, ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ' ἐμός, θεῖος δὲ αὐτοῖς καὶ πάππος. καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε, φησί, δεδιέναι, ὃς ἔλαβες μέν, ὅτ' ἐκεῖνος ἐξέπλει, | πέντε τάλαντα παρ' 508

5 περιιδεῖν ex ὑπεριδεῖν F[3] 7 ἐχθρῆν P 8 ἕνεκα Dobson: οὕνεκα 10 ἠντεβόλει Cobet | ἱκέτευε Gv 12 εἰ μὴ καὶ πρότερον MPB εἰ καὶ πρότερον μὴ Gv | ἀνδράσιν P 13 ἀν αγκάσει F spiritu super αγ eraso 15 ἡγεμόνα FMPB 17 εἰ ἔλεγχον M | ἰέναι G: εἶναι FMBP 19 ἀπὸ τῶν FMPB 22 ὤν F ut saepius 23 † καὶ εἰ F in mg nihil 25 ὅτε P | ἐξέπλει Taylor: ἐξέλιπε

αὐτοῦ παρακαταθήκην, καὶ περὶ τούτων ἐγὼ θέλω τοὺς παῖδας παραστησαμένη καὶ τούτους καὶ τοὺς ὕστερον ἐμαυτῇ γενομένους ὀμόσαι, ὅπου ἂν οὗτος λέγῃ· καίτοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον καταναλίσκειν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πατρὸς οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὴ
509 ἑπτὰ τάλαντα κεκομισμένον ναυτικὰ καὶ τε|τρακισχιλίας δραχμὰς καὶ τούτων τὰ γράμματ' ἀπέδειξεν. ἐν γὰρ τῇ διοικίσει, ὅτ' ἐκ Κολλυτοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπιτυχόντας ἐκβεβλημένῳ βιβλίῳ ἐνεγκεῖν πρὸς αὐτήν. ἀπέφηνε δ' αὐτὸν ἑκατὸν μνᾶς κεκομισμένον ἐγγείῳ ἐπὶ τόκῳ δεδανεισμένας καὶ ἑτέρας δισχιλίας δραχμὰς καὶ ἔπιπλα πολλοῦ ἄξια, φοιτᾶν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερρονήσου καθ' ἕκαστον ἐνιαυτόν. ἔπειτα σὺ ἐτόλμησας, ἔφη, εἰπεῖν, ἔχων τοσαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε
510 καὶ τριάκοντα στατῆρας; ἅ | περ ἐμοὶ καταλειφθέντα ἐκείνου τελευτήσαντος ἐγώ σοι ἔδωκα· καὶ ἐκβάλλειν τούτους ἠξίωκας θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν τριβωνίοις, ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου,

1 καταθήκην G 3 αὐτὸς λέγῃς Gv 6 καταναλίσκειν] καταλιπεῖν libri ἐκλιπεῖν Rauchenstein cf Lycurg 94 7 αὐτῇ F[1] αὐτὸν Gv an ἄρτι? 8 κεκοσμημένον F[1] κεκοσμισμένον M | ναυτικὰ Marklandus: αὐτίκα 9 γράμματ' solus B 10 διοικίσει Mathaei: διοικήσει | κολυττοῦ libri | διοικίζετο MP 11 βυβλίῳ FB τω βιβλίῳ libri quidam recentiores et interpolati τῷ βιβλίῳ G 12 πρὸς ταύτην libri: corr Reiskius 13 κεκο[μισ]μένον cum ras F[2] (κεκοσμημένον F[1]) | ἐγγείῳ Naber: ἐγγείους FMPB ἐγγύους Gv | τόκ[ῳ] cum ras F[2] τόκασ F[1]? fort ἐγγείοις ἐπὶ τόκοις 15 ἐ[κ] F cum ras ἐ add F[2] | χερ[σο]νήσου cum ras F[2] 18 ἃ παρ' G 19 ἐκβά[λλ]ειν cum ras M 20 οἰκ.ίας M 21 αὐτῶν FM | ἀνηποδήτους P | uerba οὐ μετὰ — ἱματίων in M m uetus (?) in mg suppleuit

οὐ μετὰ στρωμάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν
ἐπίπλων, ἃ ⟨ὁ⟩ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ
τῶν παρακαταθηκῶν, ἃς ἐκεῖνος παρὰ σοὶ κατέθετο.
καὶ νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδεύεις
ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας (καὶ ταῦτα μὲν
καλῶς ποιεῖς), τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμους ἐκ
τῆς οἰκίας ἐκβαλὼν ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι
προθυμεῖ. καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε τοὺς θεοὺς
φοβεῖ οὔτε ἐμὲ τὴν συνειδυῖαν αἰσχύνῃ οὔτε τοῦ ἀδελ-
φοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιεῖ
χρημάτων. τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, πολλῶν
καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων | οὕτω διετέ- 511
θημεν πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων
καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας
οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀπο-
θανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέ-
λιπεν, ἐνθυμούμενοι δέ, ὡς χαλεπὸν ἐξευρεῖν ὅτῳ χρὴ
περὶ τῶν ἑαυτοῦ πιστεῦσαι· ὥστε, ὦ ἄνδρες δικασταί,
μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ
δακρύοντας μὴ ἧττον τῶν πεπονθότων ἀπιόντας οἴχε-
σθαι σιωπῇ.'

26 ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς
γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν

1 μετὰ τῶν] μετὰ F 2 ὁ om FMPB | κατέλιπε F 3 παραθηκῶν P 5 εὐδαίμονας ex εὐδαίμονος F[1] 6 ἀτίμως Gv 7 πτωχοὺς] πτωχ F ita ut χ additum sit super ω 8 προθυμῇ libri | τούτοις B 9 φοβῇ libri | τὴν σὴν θυγατέρα τὴν συνειδυῖαν v post Reiskium τὴν σὴν θυγατέρα Gv ante Reiskium | συνειδυίαν M | αἰσχύνην F corr F[1] τοῦ inseruit F[2] 10 ἐλάττονος ex ἐλάττονας F | ποιεῖς FMPB ποιῇ G 14 τ[ῶν] post λόγων cum ras F[2] | μὲν—πεπονθότες add F[2] in mg 15 ἀναμ[ι]μνησκόμενοι cum ras F ανα inter lineas add F[1] 18 πιστεῦσαί τινα Gv | ὥστε om P 20 μηδὲν ἧττον Gv 22 ὁ om BP

οὖν ἰδίας πίστεις, ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας,
δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων οὐδὲν ἕτερον ἢ
τοῦτο εἰπών· 'Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι
μάρτυρες.' τὰ δὲ τοῦ ἀντιδίκου δίκαια διχῇ νείμας,
ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν καὶ εἰς τὰς
τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ
ἐξάρνου γενηθέντος εἰληφέναι κἄπειτα ἐλεγχθέντος,
512 ὑπὲρ ἀμ|φοτέρων ποιεῖται τὸν λόγον τὰς [δὲ] δαπάνας
οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων καὶ περὶ τῶν
ἀμφιβόλων τὰς πίστεις ἀποδιδούς·

''Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τῷ λογισμῷ 27
προσέχειν τὸν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ
μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς
πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. εἰς τοσαύτην γὰρ
ὑποψίαν Διογείτων πάντας ἀνθρώπους πρὸς ἀλλήλους
καθίστησιν, ὥστε μήτε ζῶντας μήτε ἀποθνήσκοντας
μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις
πιστεύειν· ὃς ἐτόλμησε τῶν μὲν ἔξαρνος γενέσθαι, τὰ
δὲ τελευτῶν ὁμολογήσας ἔχειν εἰς δύο παῖδας καὶ
ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν ἑπτὰ
513 τάλαντα ἀργυρίου | καὶ ἑπτακισχιλίας δραχμὰς ἀπο-
δεῖξαι. καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ
ἔχων, ὅποι τρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν

4 τοῦ add F[2] 7 ἐξάρνου] ἐξαίνου P ἐνάρξου M sed corr in mg | ἐλεχθέντος P 8 τὰς δαπάνας] τὰς δε δαπάνας F τὰς δὲ δαπάνας M τὰς δὲ πάνας PB τάς τε δαπάνας G Sylburgius 9 ἀπέφηνε ex ὑπέφηνε F[2] 10 διδούς P 11 λογισμῷ ex λογισαμένῳ F[2] 13 ἐλεήσετε M | δὲ P 14 γὰρ] δ' G 15 πρὸς ἀλλήλους MPB: εἰς ἀλλήλους Fv om G 16 μήτε—μήτε Bekker: μηδὲ—μηδὲ 17 μηδὲν] μὴ δὲ P 18 τῶν μὲν F[1]: τὰ μὲν F[2]MPBGv 19 ἔχειν Reiskius: ἐλεῖν 20 λῆμα FMPB 21 ἑπτακισχιλίους F 23 ὅποι τρέψειε Contus: ὅπου στρέψειεν F ὅπου στρέψειε PBG ὅπου στράψειε M (i e ὅπως γράψειε?)

παιδίοιν καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογί-
ζετο, εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον ⟨καὶ εἰς⟩
ἱμάτια καὶ εἰς κουρέως κατὰ μῆνα οὐκ ἦν αὐτῷ οὐδὲ
κατ' ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δὲ παντὸς τοῦ
χρόνου πλεῖον ἢ τάλαντον ἀργυρίου. εἰς δὲ τὸ μνῆμα
τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς ἐκ
πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ αὐτῷ τίθησι
⟨τὸ δὲ⟩ τούτοις λελόγισται. εἰς Διονύσια τοίνυν, ὦ
ἄνδρες δικασταί, (οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ
περὶ τούτου μνησθῆναι), ἑκκαίδεκα δραχμῶν ἀπέφηνεν
ἐωνημένον ἀρνίον καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογί-
ζετο τοῖς παισίν. ἐφ' ᾧ ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν.
οὕτως, ὦ ἄνδρες, ἐν | ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ 514
ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους· λίαν γὰρ
φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν.
εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο
αὐτοῖς πλέον ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας
ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο·
ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν παιδίων καταλειφθείς,
ἵνα γράμματ' αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξειεν

1 παιδίοιςν P | τῇ ἡμέρᾳ P 2 ὑποδύματα BP | γναφίον M γναφίον corr in γναφίων B γναφίων P | καὶ εἰς add Frohberger 3 κουρεῖον v | οὐκ ἦν αὐτῷ κατὰ μῆνα G 5 ταλάντον ex ταλάντω F | post ἀργυρίου in F signum crucis ab F^2 additum, respondebat in mg alterum postea deletum 7 δαχμῶν B | αὐτῶν τίθησι τούτοις λελογίσθαι. εἰς διονύσια BG et FMP sine signo ante εἰς posito: corr Reiskius 8 λελόγισθαι M 10 ἀπέφηνεν om G ἀπέφαινεν v 12 ἐφ' ᾧ Sylburgius: ἐφ' ὧν | ὀργίσθημεν P et F sed corr F^1 13 ὦ ἄνδρες GFPB et M sed in hoc post ἄνδρες punctum conspicitur et signum rubro in mg: corrector, dum δικασταί addere uolt, illud punctum supra lineam posuisse uidetur. hinc δικασταί add Herwerden 17 ἀνηλωμένας ex ἀνηλωμένων F^1 19 παίδων Gv | καταληφθεὶς FG 20 γράμματα FPBG | τῶν om G

καὶ πενεστάτους ἀντὶ πλουσίων ἀποφήνειε καὶ ἵνα, εἰ
μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλά-
θωνται, τῷ δ' ἐπιτρόπῳ τῶν πατρῴων ἀπεστερημένοι
πολεμῶσι. καίτοι εἰ ἠβούλετο δίκαιος εἶναι περὶ τοὺς
παῖδας, ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους, οἳ κεῖνται περὶ
τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων καὶ
τοῖς δυναμένοις, μισθῶσαι τὸν οἶκον ἀπηλλαγμένον
515 πολλῶν πραγμάτων ἢ γῆν πριάμενον | ἐκ τῶν προσιόν-
των τοὺς παῖδας τρέφειν, καὶ ὁπότερα τούτων ἐποίησεν,
οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. νῦν δέ
μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι ὡς φανερὰν κατα-
στήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἕξων τὰ τούτων,
ἡγούμενος δεῖν τὴν αὐτοῦ πονηρίαν κληρονόμον εἶναι
τῶν τοῦ τεθνεῶτος χρημάτων. ὃ δὲ πάντων δεινό-
τατον, ὦ ⟨ἄνδρες⟩ δικασταί· οὗτος γὰρ συντριηραρχῶν
Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεούσας πεντή-
κοντα μνᾶς ἐκείνῳ συμβάλλεσθαι, τὸ ἥμισυ τούτοις
ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας
ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν,
ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν. οὗτος δὲ
πάππος ὢν παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας
παρὰ τῶν θυγατριδῶν τὸ ἥμισυ πράττεται. καὶ ἀπο-

3 τῷ δ'] τὸν δ' G | ἐπιτρόπῳ Frohberger: ἐπὶ FMPB ἐπεὶ G | post πατρῴων G εἰσὶν interpolauit | ἐστερημένοι F^1 4 ἐβούλετο Gv 6 καὶ post ἐπιτρόπων om G 7 ἀπηλλαγμένον Dobraeus: ἀπηλλαγμένοις 8 πριάμενος G πριαμένοις v | προσιόντων ex προσιόντας F^1 9 ὁπότερον Gv 11 καταστήσονται FMPB 12 τὰ add F^1 13 αὑτοῦ F 14 τῶν ex τὸν F^1 15 ἄνδρες Herwerden inseruit, item infra | συντριηραρχῶν ex συντριηρωνχῶν F^1 16 Ἀλεξίδῃ F | δεούσας a: δέουσαν FMPB δεούσαιν G 17 ἐκείνωι ex ἐκεῖνον F^1 | συμβαλέσθαι v | τούτοις Dobraeus: τούτων τοῖς FGv τούτων MPB 19 ἐποίησε P 20 λειτουργειῶν P 22 τῶν αὐτοῦ θυγατριδῶν G

πέμψας εἰς τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε
μὲν ἀπέστελλεν, ἔλεγε πρὸς τὴν | μητέρα αὐτῶν, ὅτι 516
τῶν παίδων ὁ κίνδυνος εἴη, ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὑτοῦ τὴν ἐμπορίαν φάσκει εἶναι. καίτοι
εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα
τῶν χρημάτων αὐτὸς ἕξει, ὅποι μὲν ἀνήλωται τὰ χρήματα οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως δὲ
ἐκ τῶν ἀλλοτρίων αὐτὸς πλουτήσει. καθ' ἕκαστον μὲν
οὖν, ὦ ⟨ἄνδρες⟩ δικασταί, πολὺ ἂν ἔργον εἴη πρὸς
ὑμᾶς λογίζεσθαι. ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τὸν Ἀλέξιδος (αὐτὸς γὰρ ἐτύγχανε
τετελευτηκώς), εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας.
ὁ δὲ ἔφασκεν εἶναι. καὶ ἐλθόντες οἴκαδε εὕρομεν
Διογείτονα τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν. οὗτος δὲ ἐπέδειξε δυοῖν
δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι· ὥστε τούτοις
λελογίσθαι, ὅσον περ ὅλον τὸ | ἀνάλωμα αὐτῷ γεγένηται. 517
καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν
αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μόνος διεχείριζεν,
ὃς, ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ
τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ
εἴκοσι μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι; καί
μοι ἀνάβητε τούτων μάρτυρες.' — ⟨μάρτυρες.⟩ — 'τῶν

1 τὴν ἀνδρίαν FMPB 2 ἐπέστελλεν F 3 ἐπὶ δὲ F^1 4 αὐτοῦ F^{1}MPB | φάσκει] φάσκων FMPB ἔφασκεν Gv 5 εἰ om M 6 ὅπη G 9 ἂν εἴη ἔργον FGv 10 ἐπειδὴ δὲ] ἐπειδὴ M 12 τοῦ Ἀλέξιδος Gv | ἐτύγχανεν MB 15 τέτταρας F cum ras ante primam syllabam 16 ἐπέδειξεν P 17 δεούσαιν G | ὥστε MG: ὥσγε FPB 18 ὅσον ὅπερ G 19 οἴεσ[θαι] cum ras F 20 οὐδεὶς αὐτῷ MPB | διεχείριζε F 21 [ἃ] cum ras P | περὶ] παρὰ malit Usener 23 τοὺς ex τοις F^1 | αὐτοῦ FMP 24 μάρτυρες om FGMPB

μὲν μαρτύρων ἀκηκόατε, ὦ ⟨ἄνδρες⟩ δικασταί. ἐγὼ
δ' ὅσα τελευτῶν ὡμολόγησεν ἔχειν αὐτὸς χρήματα,
ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῷ
λογιοῦμαι πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ
τῶν ὑπαρχόντων ἀναλίσκων, καὶ θήσω, ὅσον οὐδεὶς
πώποτ' ἐν τῇ πόλει, εἰς δύο παῖδας καὶ ἀδελφὴν καὶ
παιδαγωγὸν καὶ θεράπαιναν χιλίας δραχμὰς ἑκάστου
ἐνιαυτοῦ, μικρῷ ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας.
ἐν ὀκτὼ αὗται ἔτεσιν γίγνονται ὀκτακισχίλιαι δραχμαί
518 . . . . . | ἓξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων, καὶ
εἴκοσι μναῖ ⟨τῶν τετταράκοντα μνῶν⟩. οὐ γὰρ ἂν
δύναιτο ἀποδεῖξαι οὐθ' ὑπὸ λῃστῶν ἀπολωλεκὼς οὔτε
ζημίαν εἰληφὼς οὔτε χρήσταις ἀποδεδωκώς.' . . .

ἐν μὲν δὴ τοῖς δικανικοῖς λόγοις ⟨τοιοῦτός τις ὁ 28
ἀνήρ ἐστιν, ἐν δὲ τοῖς ἐπιδεικτικοῖς⟩ μαλακώτερος,
519 ὥσπερ ἔφην. βούλεται μὲν γὰρ ὑψηλότερος εἶ|ναι καὶ
μεγαλοπρεπέστερος καὶ τῶν γε καθ' ἑαυτὸν ἢ πρότερον
ῥητόρων ἀκμασάντων οὐθενὸς ἂν δόξειεν εἶναι καταδεέστερος,
οὐ διεγείρει δὲ τὸν ἀκροατὴν ὥσπερ Ἰσοκράτης [ἢ Δημοσθένης].
θήσω δὲ καὶ τούτων παράδειγμα.

ἔστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει 29
τοὺς Ἕλληνας ἀγομένης Ὀλυμπίασι τῆς πανηγύρεως

1 ἄνδρες add Herwerden 2 ὁμολόγησεν PBG | αὐτὸς ἔχειν Gv 3 αὐτῶν Gv 7 ἑκάστω M 8 ἐνιαυτοῦ ex ἐνιαυτῶ ut uidetur M 9 αὗται ἔτεσι F ἔτεσιν αὗται MPBv | γίνονται FGv 10 καὶ ἀποδείκνυνται ante ἓξ inserit Gv 11 τῶν τετταράκοντα μνῶν add Marklandus 12 τῶν λῃστῶν v (et A) 13 χρήσται P 14 lacunam suppleuit Krüger 17 μεγαλοπρεπέστερος a: μεγαλοπρεπέστατος libri 18 οὐδενὸς P^{1}v 20 ἢ Δημοσθένης deleui, neque enim ἐπιδεικτικοὺς λόγους sec Dionysium Demosthenes scripsit. aut supra legendum fuit ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τε καὶ συμβουλευτικοῖς μαλακώτερος et u 20 παραδείγματα

ἐκβάλλειν Διονύσιον τὸν τύραννον ἐκ τῆς ἀρχῆς καὶ Σικελίαν ἐλευθερῶσαι ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ δὴ θεωροὺς εἰς τὴν πανήγυριν ὁ 520 Διονύσιος ἄγοντας θυσίαν τῷ θεῷ, μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγένετο ἐν τῷ τεμένει καὶ πολυτελής, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου·

30 "Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο, ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν ⟨δὲ⟩ πλούτῳ, γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ τῆς Ἑλλάδος, ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δ' ἀκουσόμενοι. ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν | γενήσεσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους 521 φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο. ἐγὼ δὲ ἥκω οὐ μικρολογησόμενος οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος· ἡγοῦμαι γὰρ ταῦτα ἔργα μὲν εἶναι σοφι-

1 ἐκβαλεῖν? | τύρανον M | ἐκ om Gv 3 τοῦ om P 4 καὶ post πορφύρα bis P 5 δὴ om FGv 7 ἐγίνετο FGv 8 θαυμαστείη M 11 ἕνεκα ἔργων P sed postea correctum 15 ἔπαυσεν MPB ἔπ[αυσε] in ras F 17 δὲ add a | πλούτου MPB an πλούτων? 21 γενήσεσθαι Marklandus: γενέσθαι | Ἕλλησιν PB 22 οὖν add F^2 23 μικρολογισόμενος F^1MB 24 σοφιστῶν Marklandus: σοφὰ τῶν MPB σοφῶν τῶν corr in σοφὰ τῶν F^1 σοφῶν G

στῶν λίαν ἀχρήστων καὶ σφόδρα βίου δεομένων, ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου περὶ τῶν μεγίστων συμβουλεύειν, ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην, ἐπειδὴ 522 δὲ | διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι, τὰ δὲ κωλῦσαι, εἰδότας ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλτιστ' ἀγωνιώντων; ὁρῶμεν γὰρ τοὺς κινδύνους καὶ μεγάλους καὶ πανταχόθεν περιεστηκότας. ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχὴ τῶν κρατούντων τῆς θαλάττης, τῶν δὲ χρημάτων βασιλεὺς ταμίας, τὰ δὲ τῶν Ἑλλήνων σώματα τῶν δαπανᾶσθαι δυναμένων, ναῦς δὲ πολλὰς αὐτὸς κέκτηται, πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους τῆς σωτηρίας ἀντέχεσθαι καὶ περὶ μὲν τῶν παρεληλυθότων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι 523 δεδιέναι καὶ πρὸς τοὺς προγόνους μιμεῖ|σθαι, οἳ τοὺς μὲν βαρβάρους ἐποίησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας τῆς σφετέρας αὐτῶν στερεῖσθαι, τοὺς δὲ τυράννους ἐξελάσαντες κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ

1 ἀχρήστων Marklandus: χρηστῶν 2 πολλοῦ] πόλεως ci Usener 5 ὑπὸ τῶν τυράννων PB 7 ἀνάγκηι F 9 παύ[σασ]θαι cum ras F^3? fuerat παύσεσθαι 11 δὲ καὶ F | βέλτιστ' ἀγωνιώντων] βέλτιστα τῶν αὐτῶν libri v 14 θαλάσσης FGv 16 αὐτὸς] οὗτος Sauppius 21 πρὸς om Gv | μιμεῖσθαι] exspectes ἁμιλλᾶσθαι aut φιλοτιμεῖσθαι 23 στερεῖσθαι F^2MPB: στερῆσθαι F^1G ἐστερῆσθαι v 24 κατέστησαν ex κατέστησεν F

γνώμῃ χρώμενοι καιομένην τὴν Ἑλλάδα περιορῶσιν ἡγεμόνες ὄντες τῶν Ἑλλήνων οὐκ ἀδίκως καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν καὶ διὰ τὴν περὶ τὸν πόλεμον ἐπιστήμην, μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι καὶ ἀτείχιστοι καὶ ἀστασίαστοι καὶ ἀήττητοι καὶ τρόποις ἀεὶ τοῖς | 524 αὐτοῖς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλάδος περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελ|τίων· 525 οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν ἀλλ' οἰκείας, οὐδ' ἀναμεῖναι, ἕως ἂν ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ ἂν .... εν ὁρῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων ἀλλὰ καὶ δεινῶν τοῖς μὲν μεγάλα ἡμαρτηκόσιν ἐξουσία γεγένηται τῶν πεπραγμένων, τοῖς δὲ Ἕλλησιν οὐδεμία αὐτῶν τιμωρία.'

31 ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ, ἵνα καὶ τούτου τοῦ γένους τῶν λόγων ὁ χαρακτὴρ γένηται σαφής.

32 ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι. τοῦ γὰρ δήμου κατελθόντος ἐκ Πειραιῶς καὶ ψηφισαμένου διαλύσα|σθαι 526 πρὸς τοὺς ἐν ἄστει καὶ μηδενὸς τῶν γενομένων μνη-

1 χρωμένους FMPB fort χρωμένους, ⟨οἳ⟩ | καιομένην] κακουμένην Dobraeus 3 διὰ prius add F^2 | περὶ Fuhr: πρὸς 5 τρόποις Marklandus: τόποις 7 αὐτοὺς in mg add F^1 10 οὐ in ras F 12 ἂν om G 13 ἔλθωσι F 14 οὐκ ἂν ἐνορῶν libri 16 μὲν add F^2 17 ἐξημαρτηκόσιν v | ἐξουσία—Ἕλλησιν in mg suppleuit corr M | γεγένηται ex γεγένηνται F 18 δ' PB 20 τῶν λόγων Usener: τοῦ λόγου 22 τὴν om F^1P?Gv 25 μηθενὸς F^2MPB | γεγενημένων Gv

σικακεῖν, δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος ἐς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου γνώμην εἰσηγήσατο τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς [τὴν] γῆν ἔχουσι παραδοῦναι, βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δὲ τοῦ ψηφίσματος τούτου κυρωθέντος πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον· σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε·

'Ὅτε ἐνομίζομεν, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, τὰς γεγε- | 33
527 νημένας συμφορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθαι, ὥστε μηδ' ἂν τοὺς ἐπιγινομένους ἑτέρας πολιτείας ἐπιθυμεῖν, τότε δὴ οὗτοι τοὺς κακῶς πεπονθότας καὶ ἀμφοτέρων πεπειραμένους ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν, οἷσπερ καὶ πρότερον δὶς ἤδη. καὶ τούτων μὲν οὐ θαυμάζω, ὑμῶν δὲ τῶν ἀκροωμένων, ὅτι πάντων ἐστὲ ἐπιλησμονέστατοι ἢ πάσχειν ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ τῶν Πειραιεῖ πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ τῶν

1 τὸ om F | ἐς F: εἰς MBPGv 2 ἀπόρους F | κεκοσμημένον F^1B^1 4 τῶν om F^1 5 εἰσηγήσητο P | φυγῶντας F^1 6 τὴν secl Baiter ab F^1 posthac insertum 7 ἔμελλε F^1 8 πεντακισχιλίοις F^1 9 σχεσθὸν G 10 γένοιτο cum ras super γ M | γράφει cum ras ante γ F 11 πολιτευμένων F^1 12 τότε] τοῦτο F^1 | γ' οὖν F 14 ἄνδρες add Usener, item infra 17 ἐπι[θυμε]ῖν cum ras F 19 δὶς ἤδη. καὶ Dobraeus: διὸ δὴ καὶ 21 ἐστὲ Taylor: εἰσὶν | ἢ] οἱ H Stephanus 22 οἳ Gv: ὅτι FMPB 23 πειραιῶς G Πειραιοῖ, quod Usener restituit, num Dionysius legerit non constat

ἐξ ἄστεως. καίτοι τί ἔδει φεύγοντας κατελθεῖν, εἰ
χειροτονοῦντες ὑμᾶς αὐτοὺς καταδουλώσεσθε; ἐγὼ μὲν
οὖν, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, ⟨οὔτε | οὐσίᾳ τῆς πολιτείας⟩ 528
οὔτε γένει ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν ἀντι-
λεγόντων πρότερος ὢν ἡγοῦμαι ταύτην μόνην σωτηρίαν
εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μετεῖναι·
ἐπεὶ ὅτε καὶ τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰ χρήματα
καὶ συμμάχους ἐκτησάμεθα, οὐχ | ὅπως τινὰ Ἀθηναῖον 529
ἀπώσομεν διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν
ἐποιούμεθα· . . . . καὶ τοὺς ὑπάρχοντας πολίτας
ἀπελῶμεν; οὔκ, ἂν ἔμοιγε πείθησθε, οὐδὲ μετὰ τῶν
τειχῶν καὶ ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας
πολλοὺς καὶ ἱππέας καὶ τοξότας· ὧν ὑμεῖς ἀντεχόμενοι
βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν πλέον ἐπι-
κρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε.
ἐπίστασθε γὰρ † ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενη-
μέναις καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν,
ἀλλὰ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, | πολλοὺς 530

1 ἄστεως F: ἄστεος MPBGv 2 ὑμᾶς ex ἡμᾶς F | καταδουλώσασθε ex καταδουλῶσθαι F καταδουλοῦσθε G 3 οὔτε οὐσίᾳ τῆς πολιτείας suppl Usener 7 τὰ χρήματα] χρήματα Usener 8 ὅπως H Stephanus: οὕτως | τινὰ Ἀθηναῖον] ἵνα ἀθηναῖον F^1 ἵνα ἀθηναίων G ἵνα ἀθηναῖόν τινα F^2MPB mg ἵνα ἀθηναίων τινὰ in textu Bv 9 ἀπώσομεν Baiter: ποιήσωμεν GFMP ποιήσομεν B | ἐπιγαμείαν F 10 νῦν δὲ καὶ τοὺς Gv καὶ om F^1 qui sequentia usque ad πιθώμεθα in mg habet 11 ἀπελῶμεν Bekker ἀπελοῦμεν Reiskius: ἀπολοῦμεν | πείθησθε Sluiter: πιθώμεθα F πειθώμεθα GMPB 12 ὁπ[λί]τας cum ras M 13 ὑμ[εῖ]ς M cum ras 14 δημοκρατήσεσθ[ε] cum ras F δημοκρατήσασθε corr in δημοκρατήσετε P | τῶν δὲ—ἐπικρατήσετε om P 16 uerba corrupta sic puto redintegranda esse: ἐπίστασθε γὰρ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις ⟨ἐκείνους μάλιστα ἐχθροὺς⟩ γεγενημένους | γεγενημένας in γεγενημέναις corr F^1 ⟨πολλὰς συμφορὰς⟩ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημένας Usener 17 [πολίν] F^1 in ras maiore 18 ἀλλὰ F cum ras in fine ἀλλὰ καὶ Gv

δ' ἐκ τῆς πόλεως ἐκπεσόντας· οὓς ὁ δῆμος καταγαγὼν
ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης
οὐκ ἐτόλμησε μετασχεῖν. ὥστ' ἐὰν ἔμοιγε πείθησθε,
οὐ τοὺς εὐεργέτας, καθὸ δύνασθε, τῆς πατρίδος ἀπο-
στερήσετε οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων
οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων νομιεῖτε ἄλλως τε
καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων,
οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ πολεμοῦσι, τῷ δὲ ἔργῳ τῶν
ὑμετέρων ἐπιθυμοῦσιν, ἅπερ κτήσονται, ὅταν ὑμᾶς
531 ἐρήμους συμμάχων λάβωσιν, εἶτα τοιούτων | ἡμῖν
ὑπαρχόντων ἐροῦσι, τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ
ποιήσομεν, ἃ Λακεδαιμόνιοι κελεύουσιν; ἐγὼ δὲ τούτους
εἰπεῖν ἀξιῶ, τίς τῷ πλήθει περιγενήσεται, εἰ ποιήσομεν,
ἃ ἐκεῖνοι προστάττουσιν; εἰ δὲ μή, πολὺ κάλλιον μαχομέ-
νοις ἀποθνήσκειν ἢ φανερῶς ἡμῶν αὐτῶν θάνατον κατα-
ψηφίσασθαι. ἡγοῦμαι γάρ, ἐὰν μὲν πείσω, ἀμφοτέροις
εἶναι κοινὸν ⟨τὸν⟩ κίνδυνον . . . ὁρῶ δὲ καὶ Ἀργείους
532 καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας γνώμην τὴν αὐ|τῶν
οἰκοῦντας, τοὺς μὲν ὁμόρους ὄντας Λακεδαιμονίοις, τοὺς
δ' ἐγγὺς οἰκοῦντας, καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους,

1 δὲ PB | ὁ om F^1 3 ὥστε ἂν libri: corr Usener 5 οὐδὲ—νομιεῖτε in mg F^2 9 ἅπερ κτήσονται H Stephanus: ἀποκτήσονται FMPB ὅπερ κτήσονται G | ὑμεῖς MPB ἡμεῖς F 10 λάβωσιν G: λάβητε FMBP | τοιούτων Baiter: τοῖς τῶν ὑμῖν MPB 11 ἐροῦσι Desrousseaux: ἐρῶσι libri ἐρωτῶσι Marklandus 12 ποιήσωμεν MPB | ἃ add Stephanus cum B | λακεδαιμονίοις libri: corr Stephanus | τούτοις FG 13 τί Gv | περιγενέσθαι FMPB | ποιήσωμεν F^1 ποιήσαιμεν G 14 προτάττουσιν ex πράττουσιν F | μαχομένοις Usener: μαχόμενοι FMPB μαχομένους G 15 ἢ G: εἰ FMBP | καταψηφίσασθαι a: καταψηφίσεσθε libri 16 πείσω Usener: πείθω 17 εἶναι κοινὸν corr F: κοινὸν εἶναι F^1MPBG | τὸν add Scheibius | uerba lacunosa esse Usener uidit | καὶ om Gv 18 τὴν αὐτὴν ἔχοντας γνώμην om F^1G | τὴν αὐτῶν οἰκοῦντας om MPB αὐτῶν F 19 λακεδαιμονίων G 20 δὲ MGv | ὑμῶν FMPB

τοὺς δὲ οὐδὲ τρισχιλίους ὄντας. ἴσασι γὰρ ⟨Λακεδαιμόνιοι⟩, ὅτι, κἂν πολλάκις εἰς τὴν τούτων ἐμβάλωσι, πολλάκις αὐτοῖς ἀπαντήσονται ὅπλα λαβόντες, ὥστε οὐ καλὸς αὐτοῖς ὁ κίνδυνος δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους ⟨οὐδὲ⟩ καταδουλώσασθαί γ', ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς τῶν ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι. ὅσῳ δ' ἂν ἄμεινον πράττωσι, τοσούτῳ ⟨ἧττον⟩ ἐπιθυμοῦσι κινδυνεύειν. εἴχομεν δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἡμεῖς ταύτην τὴν γνώμην, ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βουλεύεσθαι, περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι. ἄξιον γὰρ ἦν ὀλίγων ἀμελοῦντας πολλῶν ἀγα|θῶν φείσασθαι. νῦν δὲ ἐπεὶ 533 ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς ἡμῖν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας. ἀλλὰ γὰρ χρὴ ἀναμνησθέντας, ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν γίγνεσθαι, πιστεύοντας μὲν τοῖς θεοῖς καὶ ἐλπίζοντας . . . . ἐπεὶ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσται. δεινὸν γὰρ ἂν εἴη, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, εἰ, ὅτε μὲν

22 cf Aristot rhet 1399^{b} 15

1 *Λακεδαιμόνιοι* inseruit Usener 2 *ἐμβάλω[σι]* cum ras F² *ἐκβάλλωσι* P 3 *οὐ* om P 4 *καλῶς* FM | *ὁ κίνδυνος αὐτοῖς* Gv | *εἶναι δοκεῖ* M 5 *οὐδὲ* inseruit Usener | *καταδουλώσασθαί* Sylburgius: *καταδουλώσεσθαί* | *γ' ἐὰν* Usener: *γε ἂν* FMBP *γε ἐὰν* Gv 6 *σφὰς* FM 7 *ἧττον* add Reiskius *τοσούτω οὐκ* PB in M post *τοσούτῳ* spatium uacuum 8 *ὦ ἀθηναῖοι* FMPB *ὦ ἄνδρες* G 15 *ἡμῖν* MPB: *ἡμῶν* FGv *ἡμῖν μόνη* Reiskius 19 *ὑμῶν* FMPB 20 *γίνεσθαι* FGv 21 lacunam Usener significauit | *ἐπεὶ — ἔσται* Usener: *ἐπὶ — ἔσεσθαι* 22 *εἰ* in ras F²

ἐφεύγομεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώμεθα. οὐκοῦν αἰσχρόν, εἰ εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν;' |

534 ἀλλ' ἅλις ἤδη παραδειγμάτων, ἵνα καὶ περὶ τῶν 34 λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἕπεται δὲ τῷ ῥήτορι τούτῳ κατὰ τὴν τάξιν τῶν χρόνων Ἰσοκράτης. περὶ δὴ τούτου λεκτέον ἐφεξῆς ἑτέραν ἀρχὴν λαβοῦσιν.

2 *φευξούμεθα* P 4 *ἐλευθερίας ἑλλήνων* Gv 8 *τρόπον* hic desinit G 10 [*χρόν*]*ων* cum ras F²

ΙΣΟΚΡΑΤΗΣ ΑΘΗΝΑΙΟΣ

Ἰσοκράτης Ἀθηναῖος ἐγεννήθη μὲν ἐπὶ τῆς ὀγδοηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος ἄρχοντος Ἀθήνησι Λυσιμάχου πέμπτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου, δυσὶ καὶ εἴκοσιν ἔτεσι νεώτερος Λυσίου, πατρὸς δὲ ἦν Θεοδώρου, τινὸς τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ τὸν βίον ἀπὸ ταύτης ἔχοντος τῆς ἐργασίας. ἀγωγῆς δὲ τυχὼν εὐσχήμονος καὶ παιδευθεὶς οὐδενὸς Ἀθηναίων χεῖρον, ἐπειδὴ τάχιστα ἀνὴρ ἐγένετο, φι|λοσοφίας ἐπεθύμησε. 535 *γενόμενος δὲ ἀκουστὴς Προδίκου τε τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου καὶ Τισίου τοῦ Συρακουσίου, τῶν τότε μέγιστον ὄνομα ἐν τοῖς Ἕλλησιν ἐχόντων ἐπὶ σοφίᾳ, ὡς δέ τινες ἱστοροῦσι, καὶ Θηραμένους τοῦ ῥήτορος, ὃν οἱ τριάκοντα ἀπέκτειναν δημοτικὸν εἶναι δοκοῦντα, σπουδὴν μὲν ἐποιεῖτο πράττειν τε καὶ λέγειν τὰ πολιτικά, ὡς δὲ ἡ φύσις ἠναντιοῦτο, τὰ πρῶτα καὶ κυριώτατα τοῦ ῥήτορος ἀφελομένη, τόλμαν τε καὶ φωνῆς μέγεθος, ὧν χωρὶς οὐχ οἷόν τε ἦν ἐν ὄχλῳ λέγειν,*

17 cf Isocr Panath 10 Philipp 81 epp 8, 7

Διονυσίου ἁλικαρνασέως περὶ τῶν ἀρχαίων ῥητόρων: ΙΣΟΚΡΑΤΗΣ ΑΘΗΝΑΙΟΣ inscribit M 1 *ἀθηναῖος* F: *ὁ ἀθηναῖος* MPB 6 *θεωδώρου* F 11 *δ'* P | *κίου* F¹ 12 *τισίου* ex *σιτίου* M | *συρακοσίου* MB 13 *ἐν τοῖς ἕλλησιν* MB: om F cum signo crucis in mg *ἐν τοῖς* om P 15 *δημο . τικὸν* F 17 *κυριώτατα* Sylburgius: *κυριώτερα* 19 *ὧ*ς*ν* P

ταύτης μὲν ἀπέστη τῆς προαιρέσεως· ἐπιθυμῶν δὲ δόξης καὶ τοῦ πρωτεῦσαι παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ, καθάπερ αὐτὸς εἴρηκεν, ἐπὶ τὸ γράφειν ἃ διανοηθείη κατέφυγεν, οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων οὐδὲ ὑπὲρ ὧν ἄλλοι τινὲς τῶν τότε σοφιστῶν, περὶ δὲ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν ⟨καὶ πολιτικῶν⟩ πραγμάτων, ἐξ ὧν ὑπελάμβανε τάς τε πόλεις ἄμεινον οἰκήσεσθαι καὶ τοὺς 536 *ἰδιώτας ἐπίδοσιν ἕξειν πρὸς ἀρετήν. ταῦτα γὰρ | ἐν τῷ Παναθηναϊκῷ λόγῳ περὶ αὐτοῦ γράφει. πεφυρμένην τε παραλαβὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν πρῶτος ἐχώρησεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ φυσικῶν ἐπὶ τοὺς πολιτικοὺς καὶ περὶ αὐτὴν σπουδάζων τὴν ἐπιστήμην διετέλεσεν, ἐξ ἧς, ὥς φησιν αὐτός, τὸ βουλεύεσθαι καὶ λέγειν καὶ πράττειν τὰ συμφέροντα παραγίνεται τοῖς μαθοῦσιν. ἐπιφανέστατος δὲ γενόμενος τῶν κατὰ τὸν αὐτὸν ἀκμασάντων χρόνον καὶ τοὺς κρατίστους τῶν Ἀθήνησί τε καὶ ἐν τῇ ἄλλῃ Ἑλλάδι νέων παιδεύσας, ὧν οἱ μὲν ἐν τοῖς δικανικοῖς ἐγένοντο ἄριστοι λόγοις, οἱ δ' ἐν τῷ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν διήνεγκαν,*

3 Isocr Panath 11 cf or XV 46 15 Isocr epist V, 4 (?) cf or XV 175. 255 sq. 276 sq

2 *προτεῦσαι* P | *παρὰ* om F 5 *ὑπὲρ* ex *ὥσπερ* F¹ *περὶ* supra addito *ὑπὲρ* B *περὶ* Isocr 7 *καὶ πολιτικῶν* ex Isocr addidi | *ὑπελάμβανε* ex *ὑπολάμβανε* F¹ 9 *ἕξειν* ex *ἕξιν* M | *πρὸς ἀρετήν* om BP 10 *περὶ αὐτοῦ* F¹PM 11 *τε* FMP: *δὲ* Bv 12 *προταγόραν* P *πρωταγ[οραν σο]φιστῶν* F cum ras | *χωρίσας πρῶτος τοὺς ἐριστικοὺς λόγους τῶν πολιτικῶν* uit X orr 837ᵇ, unde Dionysium corrigere uoluit Corais 13 *ἐριστικῶν* ex *ἐργετικῶν* F | *τε* om F 14 *αὐτὴν*] *ταύτην* Wolfius 15 *τί ῥητορικῆς ὄφελος* m saec XIV in mg F 17 *ἐπι[φαν]έστατος* F cum ras 18 *ἀκμασάντων* ex *κμασάντων* F¹ 20 *οἱ δὲ* PB

[καὶ] ἄλλοι δὲ τὰς κοινὰς τῶν Ἑλλήνων τε καὶ βαρβάρων πράξεις ἀνέγραψαν, καὶ τῆς Ἀθηναίων πόλεως εἰκόνα ποιήσας τὴν ἑαυτοῦ σχολὴν | κατὰ τὰς ἀποικίας 537
τῶν λόγων, πλοῦτον ὅσον οὐδεὶς τῶν ἀπὸ φιλοσοφίας χρηματισαμένων περιποιησάμενος, ἐτελεύτα τὸν βίον ἐπὶ Χαιρωνίδου ἄρχοντος ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης δυεῖν δέοντα βεβιωκὼς ἑκατὸν ἔτη, γνώμῃ χρησάμενος ἅμα τοῖς ἀγαθοῖς τῆς πόλεως συγκαταλῦσαι τὸν ἑαυτοῦ βίον, ἀδήλου ἔτι ὄντος, πῶς χρήσεται τῇ τύχῃ Φίλιππος παραλαβὼν τὴν ἀρχὴν τῶν Ἑλλήνων. τὰ μὲν οὖν ἱστορούμενα περὶ αὐτοῦ κεφαλαιωδῶς ταῦτ' ἐστίν.

2 ἡ δὲ λέξις, ᾗ κέχρηται, τοιοῦτόν τινα χαρακτῆρα ἔχει. καθαρὰ μέν ἐστιν οὐχ ἧττον τῆς Λυσίου καὶ οὐδὲν εἰκῇ τιθεῖσα ὄνομα τήν τε διάλεκτον ἀκριβοῦσα ἐν τοῖς πάνυ τὴν κοινὴν καὶ συνηθεστάτην. καὶ γὰρ αὕτη πέφευγεν ἀπηρχαιωμένων καὶ σημειωδῶν ὀνομάτων τὴν | ἀπειροκαλίαν, κατὰ δὲ τὴν τρο- 538
πικὴν φράσιν ὀλίγον τι διαλλάττει τῆς Λυσίου καὶ κέκραται συμμέτρως, τό τε σαφὲς ἐκείνῃ παραπλήσιον ἔχει καὶ τὸ ἐναργές, ἠθική τέ ἐστι καὶ πιθανὴ καὶ ⟨πρέπουσα⟩. στρογγύλη δὲ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, καὶ συγκεκροτημένη καὶ πρὸς ἀγῶνας δικανικοὺς εὔθετος, ὑπτία δέ ἐστι μᾶλλον καὶ κεχυμένη πλουσίως,

1 καὶ deleuit Corais 6 χαιρωνίδου τοῦ F Χαιρώνδου Meursius, sed illud et Dionysius et Plutarchus in suo auctore repperisse uidentur 7 χερωνείᾳ B 8 τ[οῖ]ς cum ras M 9 ἑαυτοῦ om PB 10 τὴν τῶν ἑλλήνων ἀρχὴν MPBv 16 πάν͠υ M 17 ἀπηχρειωμένων ex ἀπο- F¹ uerum restituit F²
18 ἀπειρακαλίαν P 21 πιθανὴ καὶ πρέπουσα. στρογγύλη δὲ scripsi coll p 71, 8: πιθανή· καὶ στρογγύλη δὲ libri (δ' PB) 24 δ' B

οὐδὲ δὴ σύντομος οὕτως, ἀλλὰ καὶ κατασκελὴς καὶ βραδυτέρα τοῦ μετρίου. δι' ἣν δὲ αἰτίαν τοῦτο πάσχει, μετὰ μικρὸν ἐρῶ. οὐδὲ τὴν σύνθεσιν ἐπιδείκνυται τὴν φυσικὴν καὶ ἀφελῆ καὶ ἐναγώνιον, ὥσπερ ἡ Λυσίου, ἀλλὰ πεποιημένην μᾶλλον εἰς σεμνότητα πομπικὴν καὶ ποικίλην καὶ πῇ μὲν εὐπρεπεστέραν ἐκείνης πῇ δὲ περιεργοτέραν. ὁ γὰρ ἀνὴρ οὗτος τὴν εὐέπειαν ἐκ παντὸς διώκει καὶ τοῦ γλαφυρῶς λέγειν στοχάζεται μᾶλλον ἢ τοῦ ἀφελῶς. τῶν τε γὰρ φωνηέντων τὰς παραλλήλους θέσεις ὡς ἐκλυούσας τὰς ἁρμονίας τῶν ἤχων καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας περιίσταται, περιόδῳ τε καὶ κύκλῳ περιλαμβάνειν τὰ νοήματα πειρᾶται ῥυθμοειδεῖ πάνυ καὶ οὐ πολὺ ἀπέ-
539 χον|τι τοῦ ποιητικοῦ μέτρου, ἀναγνώσεώς τε μᾶλλον οἰκειότερός ἐστιν ἢ χρήσεως. τοιγάρτοι τὰς μὲν ἐπιδείξεις τὰς ἐν ταῖς πανηγύρεσι καὶ τὴν ἐκ χειρὸς θεωρίαν φέρουσιν αὐτοῦ οἱ λόγοι, τοὺς δὲ ἐν ἐκκλησίαις καὶ δικαστηρίοις ἀγῶνας οὐχ ὑπομένουσι. τούτου δὲ αἴτιον, ὅτι πολὺ τὸ παθητικὸν ἐν ἐκείνοις εἶναι δεῖ· τοῦτο δὲ ἥκιστα δέχεται περίοδος. αἵ τε παρομοιώσεις καὶ παρισώσεις καὶ τὰ ἀντίθετα καὶ πᾶς ὁ τῶν τοι-

9—14 adfert Syrianus I 10, 21 R cf Ioh Sicel W VI 102, 22—30: fragm artis Isocrateae XIII

2 δ' P 6 πηι F πῇ MBP | πη F πῇ MBP 7 τὴν εὐσέβειαν F¹ 9 μ[ᾶλλ]ον cum ras F 10 παρ' ἀλλήλους F | ἐκλυούσας Sy: λυούσας FMPBv | τὴν ἁρμονίαν Sy ceterum καὶ τὰς σκληρὰς τῶν συμφώνων post θέσεις addit ars Isocr 12 περιίσταται] ἐξίσταται Sy παραιτεῖται in mg M manu rec v
15 χρήσεως] ῥήσεως v post Wolfium | ἐπιδείξεις M (-πι- ex correctura) 17 τοὺς ex τὰς F² 20 παρομοιώσεις Sylburgius Wolfium secutus: γὰρ ὁμοιώσεις FBP in F initio γὰρ ἰσώσεις scriptum erat γὰρ ὁμειώσεις M 21 τῶν add F²

οὕτων σχημάτων κόσμος πολύς ἐστι παρ' αὐτῷ καὶ λυπεῖ πολλάκις τὴν ἄλλην κατασκευὴν προσιστάμενος ταῖς ἀκοαῖς.

3 καθόλου δὲ τριῶν ὄντων, ὥς φησι Θεόφραστος, ἐξ ὧν γίνεται τὸ μέγα καὶ σεμνὸν καὶ περιττὸν ἐν λέξει, τῆς τε ἐκλογῆς τῶν ὀνομάτων καὶ τῆς ἐκ τούτων ἁρμονίας καὶ τῶν περιλαμβανόντων αὐτὰ σχημάτων, ἐκλέγει μὲν | εὖ πάνυ καὶ τὰ κράτιστα τῶν ὀνομάτων 540
τίθησιν, ἁρμόττει δὲ αὐτὰ περιέργως, τὴν εὐφωνίαν ἐντείνων μουσικήν, σχηματίζει τε φορτικῶς καὶ τὰ πολλὰ γίνεται ψυχρὸς ἢ τῷ πόρρωθεν λαμβάνειν ἢ τῷ μὴ πρέποντα εἶναι τὰ σχήματα τοῖς πράγμασι διὰ τὸ μὴ κρατεῖν τοῦ μετρίου. ταῦτα μέντοι καὶ μακροτέραν αὐτῷ ποιεῖ τὴν λέξιν πολλάκις, λέγω δὲ τό τε εἰς περιόδους ἐναρμόττειν ἅπαντα τὰ νοήματα καὶ τὸ τοῖς αὐτοῖς τύποις τῶν σχημάτων τὰς περιόδους περιλαμβάνειν καὶ τὸ διώκειν ἐκ παντὸς τὴν εὐρυθμίαν. οὐ γὰρ ἅπαντα δέχεται οὔτε μῆκος τὸ αὐτὸ οὔτε σχῆμα τὸ παραπλήσιον οὔτε ῥυθμὸν τὸν ἴσον. ὥστε ἀνάγκη παραπληρώμασι λέξεων οὐδὲν ὠφελουσῶν χρῆσθαι καὶ ἀπομηκύνειν πέρα τοῦ χρησίμου τὸν λόγον. λέγω δὲ οὐχ ὡς διαπαντὸς αὐτοῦ ταῦτα ποιοῦντος (οὐχ οὕτως μαίνομαι· καὶ γὰρ συντίθησί ποτε ἀφελῶς τὰ ὀνόματα καὶ λύει τὴν περίοδον εὐγενῶς καὶ τὰ περίεργα σχήματα καὶ φορτικὰ φεύγει καὶ μάλιστα ἐν τοῖς συμ-

4 Theophrastus περὶ λέξεως fr V Schmidt

4 φησιν MB 6 τὸ μέγα καὶ περιττὸν ἐν λέξει m saec XIV in mg F 8 τῶν ὀνομάτων F^1: ὀνόματα F^2MPB 10 τε] δὲ Wolfius 12 uerba πρέπον (sic)—διὰ τὸ μὴ in M omissa manus uetus in mg suppleuit 20 ὠφελοῦσι Sadaeus 21 πέρα MPB: παρα F 22 οὔτω v 24 ἐγενῶς P

541 βουλευτικοῖς τε καὶ δικανικοῖς λόγοις), | ἀλλ' ὡς ἐπὶ τὸ πολὺ τῷ ῥυθμῷ δουλεύοντος καὶ τῷ κύκλῳ τῆς περιόδου καὶ τὸ κάλλος τῆς ἀπαγγελίας ἐν τῷ περιττῷ τιθεμένου κοινότερον εἴρηκα περὶ αὐτοῦ. κατὰ δὴ ταῦτά φημι τὴν Ἰσοκράτους λέξιν λείπεσθαι τῆς Λυσίου καὶ ἔτι κατὰ τὴν χάριν. καίτοι γε ἀνθηρός ἐστιν, εἰ καί τις ἄλλος, καὶ ἐπαγωγὸς ἡδονῇ τῶν ἀκροωμένων Ἰσοκράτης, ἀλλ' οὐκ ἔχει τὴν αὐτὴν χάριν ἐκείνῳ. τοσοῦτον δὲ αὐτοῦ λείπεται κατὰ ταύτην τὴν ἀρετήν, ὅσον τῶν φύσει καλῶν σωμάτων τὰ συνερανιζόμενα κόσμοις ἐπιθέτοις. πέφυκε γὰρ ἡ Λυσίου λέξις ἔχειν τὸ χαρίεν, ἡ δὲ Ἰσοκράτους βούλεται. ταύταις μὲν δὴ ταῖς ἀρεταῖς ὑστερεῖ Λυσίου κατὰ γοῦν τὴν ἐμὴν γνώμην. προτερεῖ δέ γε ἐν ταῖς μελλούσαις λέγεσθαι· ὑψηλότερός ἐστιν ἐκείνου κατὰ τὴν ἑρμηνείαν καὶ μεγαλοπρεπέστερος μακρῷ καὶ ἀξιωματικώτερος. θαυμαστὸν γὰρ δὴ καὶ μέγα τὸ τῆς Ἰσοκράτους κατασκευῆς ὕψος, ἡρωϊκῆς μᾶλλον ἢ ἀνθρωπίνης φύσεως οἰκεῖον. δοκεῖ δή μοι μὴ ἄπο σκοποῦ τις ἂν εἰκάσαι τὴν μὲν
542 Ἰσοκράτους ῥητορικὴν τῇ Πολυκλείτου | τε καὶ Φειδίου τέχνῃ κατὰ τὸ σεμνὸν καὶ μεγαλότεχνον καὶ ἀξιωματικόν, τὴν δὲ Λυσίου τῇ Καλάμιδος καὶ Καλλιμάχου τῆς λεπτότητος ἕνεκα καὶ τῆς χάριτος. ὥσπερ γὰρ

11 cf anonym in Hermog W VII^2 1036, 15

1 ἐπὶ τὸ F: ἐπὶ MPBv 4 κατὰ per ras ex καὶ τὰ F 5 τῆς] ταῖς B sed τῆς corr in mg 8 χάριν . . ἐκείνῳ duabus fere litteris erasis F 12 χαρίεν F solus | ἡ δὲ F: ἡ δ' MPBv | ἰσωκράτους F 13 καταγ' οὖν F 14 μελλούσαις ex μελούσαις F^1 16 μεγαλοπρεπέστερος a: μεγαλοπρεπέστατος libri 17 ισοκράτκους F corr F^1 18 οἰκεῖον ex οἰκεῖν F 19 ἀπὸ P ἄπο ex ἄπω F 22 καλαμίδος P

ἐκείνων οἳ μὲν ἐν τοῖς ἐλάττοσι καὶ ἀνθρωπικοῖς ἔργοις εἰσὶν ἐπιτυχέστεροι τῶν ἑτέρων, οἳ δ' ἐν τοῖς μείζοσι καὶ θειοτέροις δεξιώτεροι, οὕτως καὶ τῶν ῥητόρων ὃ μὲν ἐν τοῖς μικροῖς ἐστι σοφώτερος, ὃ δ' ἐν τοῖς μεγάλοις περιττότερος, τάχα μὲν γὰρ καὶ τῇ φύσει μεγαλόφρων τις ὤν, εἰ δὲ μή, τῇ γε προαιρέσει πάντως τὸ σεμνὸν καὶ θαυμαστὸν διώκων. ταῦτα μὲν οὖν περὶ τῆς λέξεως τοῦ ῥήτορος.

4 τὰ δὲ ἐν τῷ πραγματικῷ τόπῳ θεωρήματα τὰ μὲν ὅμοια τοῖς Λυσίου, τὰ δὲ κρείττονα. ἡ μὲν εὕρεσις ἡ τῶν ἐνθυμημάτων ἡ πρὸς ἕκαστον ἁρμόττουσα πρᾶγμα πολλὴ καὶ πυκνὴ καὶ οὐδὲν ἐκείνης λειπομένη. καὶ κρίσις ὡσαύτως ἀπὸ μεγάλης φρονήσεως γινομένη. τάξις δὲ καὶ μερισμοὶ τῶν πραγμάτων καὶ ἡ κατ' ἐπιχείρημα | ἐξεργασία καὶ τὸ διαλαμβάνεσθαι τὴν 543 ὁμοείδειαν ἰδίαις μεταβολαῖς καὶ ξένοις ἐπεισοδίοις τά τε ἄλλα ὅσα περὶ τὴν πραγματικὴν οἰκονομίαν ἔστιν ἀγαθὰ πολλῷ μείζονά ἐστι παρ' Ἰσοκράτει καὶ κρείττονα, μάλιστα δ' ἡ προαίρεσις ἡ τῶν λόγων, περὶ οὓς ἐσπούδαζε, καὶ τῶν ὑποθέσεων τὸ κάλλος, ἐν αἷς ἐποιεῖτο τὰς διατριβάς. ἐξ ὧν οὐ λέγειν δεινοὺς μόνον ἀπεργάσαιτ' ἂν τοὺς προσέχοντας αὐτῷ τὸν νοῦν, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους, οἴκῳ τε καὶ πόλει καὶ ὅλῃ τῇ Ἑλλάδι χρησίμους. κράτιστα γὰρ δὴ παιδεύματα

2 δὲ BP 3 οὕτω MPv 5 γὰρ] ἄρα Usener ἂν Krüger alii alia, sed cum τάχα iunctum nescio an propriae significationis multum γάρ perdiderit 7 πάντως FM: πάντων PB 9 πραγματικῷ FPB: πρακτικῷ M | τόπῳ Wolfius: τρόπῳ 10 τοῖς MPB: τῆς F | εὕρεσις ἡ FM: εὕρεσις PB 11 ἁρμόζουσα F 14 τάξεις BP 16 ὁμοείδειαν Krüger: ὁμοειδείαν MB ὁμοειδίαν FP ὁμοείδιαν corr M | ἐπισοδίοις PB 17 ἔστιν M: ἐστὶν FBP 18 ἰσοκράτει ex ἰσοκράτη F 19 δ' ἡ] δὴ M

πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἔστιν εὑρεῖν λόγοις. καὶ ἔγωγέ φημι χρῆναι τοὺς μέλλοντας οὐχὶ μέρος τι τῆς πολιτικῆς δυνάμεως ἀλλ' ὅλην αὐτὴν κτήσασθαι τοῦτον ἔχειν τὸν ῥήτορα διὰ χειρός. καὶ εἴ τις ἐπι- 544 τηδεύει τὴν ἀληθινὴν φιλοσοφίαν, μὴ τὸ θεωρη|τικὸν αὐτῆς μόνον ἀγαπῶν ἀλλὰ καὶ τὸ πρακτικόν, μηδ' ἀφ' ὧν αὐτὸς ἄλυπον ἕξει βίον, ταῦτα προαιρούμενος, ἀλλ' ἐξ ὧν πολλοὺς ὠφελήσει, παρακελευσαίμην ἂν αὐτῷ τὴν ἐκείνου τοῦ ῥήτορος μιμεῖσθαι προαίρεσιν.

5 τίς γὰρ οὐκ ἂν γένοιτο φιλόπολίς τε καὶ φιλόδημος ἢ τίς οὐκ ἂν ἐπιτηδεύσειε τὴν πολιτικὴν καλοκἀγαθίαν ἀναγνοὺς αὐτοῦ τὸν Πανηγυρικόν; ἐν ᾧ διεξιὼν τὰς τῶν ἀρχαίων ἀρετάς φησίν, ὡς οἱ τὴν Ἑλλάδα ἐλευθερώσαντες ἀπὸ τῶν βαρβάρων οὐ τὰ πολέμια δεινοὶ μόνον ἦσαν, ἀλλὰ καὶ τὰ ἤθη γενναῖοι καὶ φιλότιμοι καὶ σώφρονες, οἵ γε τῶν μὲν κοινῶν μᾶλλον ἐφρόντιζον ἢ τῶν ἰδίων, τῶν δὲ ἀλλοτρίων ἧττον ἐπεθύμουν ἢ τῶν ἀδυνάτων καὶ τὴν εὐδαιμονίαν οὐ πρὸς ἀργύριον ἔκρινον ἀλλὰ πρὸς εὐδοξίαν, μέγαν οἰόμενοι τοῖς παισὶ καταλείψειν πλοῦτον καὶ ἀνεπίφθονον τὴν παρὰ τοῖς πλήθεσι τιμήν· κρείττονα δὲ ἡγοῦντο τὸν εὐσχήμονα 545 θάνατον ἢ | τὸν ἀκλεῆ βίον, ἐσκόπουν δὲ οὐχ ὅπως οἱ νόμοι καλῶς καὶ ἀκριβῶς αὐτοῖς ἕξουσιν, ἀλλ' ὡς

12 Paneg 81 16 Paneg 76 21 Paneg 77 22 Paneg 78

1 ἀρ[ετη]ν cum ras F | λόγοις ἐστὶν εὑρεῖν PB 3 κτήσεσθαι Sadaeus 4 εἴ τι M cum σ lateat in foramine tineae 5 τὸ postea add F[1] 6 πρακτικόν] πραγματικόν libri v 7 ταῦτα om MPBv 11 καλοκά[γ]αθίαν M cum ras 12 πανιγυρικὸν corr in πανηγυρικὸν P 19 ἔκριν[ο]ν F cum ras | μέγαν F: μέγα MBP | τοῖς—τὴν omissa in mg suppleuit m uetus M 22 ἀκλεῆ ex εὐκλεῆ F[2]? | δ' Pv

ἡ τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων μετριότης μηθὲν ἐκβήσεται τῶν πατρίων· οὕτως δὲ εἶχεν αὐτοῖς τὰ πρὸς ἀλλήλους φιλοτίμως καὶ πολιτικῶς, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, πότεροι πλείω τὴν πόλιν ἀγαθὰ ποιήσουσιν, οὐχ οἵτινες τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν αὐτοὶ ἄρξουσι. τῇ δὲ αὐτῇ προθυμίᾳ χρώμενοι καὶ πρὸς τὴν Ἑλλάδα τῷ θεραπεύειν προσήγοντο τὰς πόλεις καὶ τῷ πείθειν ταῖς εὐεργεσίαις μᾶλλον ἢ τῷ βιάζεσθαι τοῖς ὅπλοις κατεῖχον, πιστοτέροις χρώμενοι τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἀξιοῦντες μᾶλλον ἐμμένειν ἢ ταῖς ἀνάγκαις, τοιαῦτα δὲ περὶ τῶν ἡττόνων ἀξιοῦντες γινώσκειν, οἷα περὶ σφῶν αὐτῶν τοὺς κρείττους ἂν ἠξίωσαν φρονεῖν, οὕτω δὲ παρεσκευασμένοι τὰς γνώμας, ὡς ἰδίᾳ μὲν ἔχοντες τὰς ἑαυτῶν πόλεις, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα οἰκοῦντες. |

6 τίς δ' οὐκ ἂν ἀγαπήσειε μέγεθος ἔχων ἀνὴρ καὶ 546
δυνάμεώς τινος ἡγούμενος, ἃ πρὸς Φίλιππον αὐτῷ τὸν Μακεδόνα γέγραπται; ἐν οἷς ἀξιοῖ στρατηγὸν ἄνδρα καὶ τηλικαύτης ἐξουσίας κύριον διαλλάττειν μὲν τὰς διαφερομένας πόλεις ἀλλὰ μὴ συγκρούειν πρὸς ἀλλήλας, τὴν δὲ Ἑλλάδα μεγάλην ἐκ μικρᾶς ποιεῖν ὑπεριδόντα ⟨τε⟩ τῆς περὶ τὰ μικρὰ φιλοτιμίας τοῖς τοιούτοις ἐπι-

2 Paneg 79 6 Paneg 80 10 Paneg 81 20 Phil 30
23 Phil 68

1 οἱ τῶν BP 2 οὕτω δ' Pv 5 ποιήσουσιν ex ποιοῦσιν F[2] 6 ἀπολύσαντες P | ωξουσι F[1] corr F[2] | τῇ δ' Mv 8 προσήγοντο ex προσήκοντι F[1] 13 γινώσκειν] διδάσκειν F 14 παρεσκευασάμενοι BP 15 ἰδίας Krüger 17 δ' om P | ἀγαπήσειεν F 20 τηλικαύταις ἐξουσίαις BP | διαλάττειν F | [μὲ]ν cum ras F 23 τε add Holwellus | φιλοτιμία M[1]

χειρεῖν ἔργοις, ἐξ ὧν κατορθώσας τε πάντων ἡγεμόνων ἐπιφανέστατος ἔσται καὶ ἀποτυχὼν τήν γε εὔνοιαν τὴν παρὰ τῶν Ἑλλήνων κτήσεται· ἧς οἱ τυχόντες πολλῷ μᾶλλόν εἰσι ζηλωτότεροι τῶν μεγάλας πόλεις καὶ πολλὰς χώρας καταστρεψαμένων. ἔτι δὲ παρακελεύεται μιμεῖσθαι τὴν Ἡρακλέους τε προαίρεσιν καὶ τῶν ἄλλων ἡγεμόνων, ὅσοι μετὰ τῶν Ἑλλήνων ἐπὶ τοὺς βαρβάρους ἐστράτευσαν, καί φησι χρῆναι τοὺς ἑτέρων διαφέροντας προαιρεῖσθαι μὲν τὰς μέγεθος ἐχούσας πράξεις, ἐπιτελεῖν δὲ αὐτὰς μετ' ἀρετῆς, ἐνθυμουμένους ὅτι τὸ μὲν σῶμα θνητὸν ἔχομεν, ἀθάνατοι δὲ γιγνόμεθα δι'
547 ἀρετήν, | καὶ τοῖς μὲν πρὸς ἄλλο τι τῶν ἀγαθῶν ἀπλήστως διακειμένοις ἀχθόμεθα, τοὺς δὲ τιμὴν μείζω τῆς ὑπαρχούσης ἀεὶ κτωμένους ἐπαινοῦμεν, καὶ ὅτι τῶν μὲν ἄλλων, ἐφ' οἷς εἰσιν ἀνθρώπιναι σπουδαί, πλούτου καὶ ἀρχῆς καὶ δυναστείας, πολλάκις τοὺς ἐχθροὺς συμβαίνει γίγνεσθαι κυρίους, τῆς δὲ ἀρετῆς καὶ τῆς παρὰ τοῖς πλήθεσιν εὐνοίας τοὺς οἰκείους ἑκάστου κληρονομεῖν. πολλὴ γὰρ ἀνάγκη τοὺς ἀναγιγνώσκοντας ταῦτα δυνάστας φρονήματός τε μείζονος ὑποπίμπλασθαι καὶ μᾶλλον ἐπιθυμεῖν τῆς ἀρετῆς.

5 Phil 109 sq 6 Phil 90, 119 8 Phil 41 10 Phil 134
12 Phil 135 14 Phil 136

1 κατορθώσας τε] κατωρθώσατε F[1] | πάντων τῶν BP 3 πολλῶν F 4 ζηλωτώτεροι F 5 καταστρεψα[μέν]ων cum ras F 10 μετὰ ἀρετῆς FMv 11 γινόμεθα FMv 13 ἀπλήστως] πλείστως F[1] ἀπλείστως F[2] 15 ἐφ' οἷς εἰσιν ἀνθρώπιναι σπουδαί scripsi partim ex Useneri sententia: ἐφοῖς ἐὰν ἀνθρωπίν[α]ις τοῦ δὲ F cum ras ἐφ' οἷς lac XVIII fere litt τοῦ δὲ M ἐφ' οἷς lac XII fere litt τοῦ δὲ PB ἐφ' οἷς χαίρουσιν οἱ πολλοί, τοῦ τε ex interpolatione Wolfii v 17 συμβ[αί]νει cum ras F[1] | γίνεσθαι FMv 18 καὶ τοῖς F[1] 20 post ταῦτα rasura in F in exitu uersus

7 τίς δὲ ἂν μᾶλλον ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν προτρέψαιτο καθ' ἕκαστόν τε ἄνδρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις ὅλας τοῦ Περὶ τῆς εἰρήνης λόγου; ἐν γὰρ δὴ τούτῳ πείθει τοὺς Ἀθηναίους τῶν μὲν ἀλλοτρίων μὴ ἐπιθυμεῖν, ἐπὶ δὲ τοῖς παροῦσι στέργειν, καὶ τῶν μὲν μικρῶν πόλεων ὡσπερανεὶ κτημάτων φείδεσθαι, τοὺς δὲ συμμάχους .... τε καὶ εὐεργεσίαις πειρᾶσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγκαις μηδὲ ταῖς βίαις. τῶν | δὲ προγόνων μιμεῖσθαι μὴ τοὺς πρὸ τῶν 548 Δεκελεικῶν γενομένους, οἳ μικροῦ ἐδέησαν ἀπολέσαι τὴν πόλιν, ἀλλὰ τοὺς πρὸ τῶν Περσικῶν, οἳ καλοκἀγαθίαν ἀσκοῦντες διετέλεσαν. ἐπιδείκνυταί τε ὡς οὐχ αἱ πολλαὶ τριήρεις οὐδ' οἱ μετὰ βίας ἀρχόμενοι Ἕλληνες μεγάλην ποιοῦσι τὴν πόλιν, ἀλλ' αἱ δίκαιαί τε προαιρέσεις καὶ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν. παρακαλεῖ τε τὴν τῶν Ἑλλήνων εὔνοιαν οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγουμένους μερίδα πρὸς εὐδαιμονίαν, καὶ πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν, διδάσκων ὡς οὔτε πρὸς πλοῦτον οὔτε πρὸς δόξαν οὔθ' ὅλως πρὸς εὐδαιμονίαν οὐθὲν ἂν συμβάλλοιτο τηλικαύτην δύναμιν, ὅσην ἀρετὴ καὶ τὰ μέρη ταύτης· καὶ τοῖς μὴ ταῦτα ὑπειληφόσιν ἐπιτιμῶν, οἳ τὴν μὲν ἀδικίαν κερ-

5 de pace 7 7 de p 134 9 de p 74 sq 12 de p 29 cf de p 137 sq 64 sq 15 de p 135 18 de p 136 20 de p 32

1 *περὶ τῆς εἰρήνης* M in mg rubro 4 [*ἐν*] *γὰρ* F cum ras 6 *πόλεως* PB | *ὡσπερ ἂν εἰ* MP *ὥσπερ ἂν εἶ* B 7 *τοὺς* ex *τοῖς* M | *εὐνοίᾳ τε* Wolfius: *γε* libri quid desit, non constat 8 *τὰς βίας* F[1] 9 *δὲ* om F 14 *δίκαῖαι τὲ* M 15 *παρακαλεῖν* F 17 *ἡγουμένους* Krüger: *ἡγούμενος* | *μερίδα* om MBPv | *καὶ πολιτικοὺς μὲν εἶναι* in mg F[2] 18 *ταῖς* inter lineas add F 23 *ταὐτὰ* B | *εἰληφόσιν* F[1]

δαλέαν ἡγοῦντο καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην ἀλυσιτελῆ καὶ μᾶλλον 549 ἑτέροις ἢ τοῖς ἔχουσιν ὠφέλι|μον. τούτων γὰρ οὐκ οἶδ' εἴ τις ἂν ἢ βελτίους ἢ ἀληθεστέρους ἢ μᾶλλον πρέποντας φιλοσοφίᾳ δύναιτο λόγους εἰπεῖν.

τίς δὲ τὸν Ἀρεοπαγιτικὸν ἀναγνοὺς λόγον οὐκ ἂν 8 γένοιτο κοσμιώτερος, ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν, ὑπὲρ ἧς τῶν δημαγωγῶν οὐθεὶς ἐπεχείρει λέγειν, θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθυῖαν ἀκοσμίαν, ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ' ἕκαστον, ὅ τι καθ' ἡδονὴν αὐτῷ γίνοιτο, καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὴν ἄκαιρον παρρησίαν δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην, ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνός τε καὶ Κλεισθένους 550 κατασταθεῖσαν πολιτείαν. ἧς | τὴν προαίρεσιν καὶ τὰ ἤθη διεξιὼν δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότε ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν ἢ .... δημοκρατίαν δὲ αὐτοὺς νομίζειν οὐ τὴν ἀκολασίαν,

13 Areop 20 16 Areop 16 19 Areop 49

1 *ἡγοῦντο* sanum est | alterum *τὸν* add F[2] 3 *ἑταίροις* M 4 *ἢ μᾶλλον—λόγους* om P 6 *ἀρεοπαγητικὸν* F 8 *ἐπιβολὴν* in *ἐπηβολὴν* corr F[2] 9 *ἀθηναίους* F corr eadem m 10 *δημοκρατείαν* F corr eadem m 16 fort *ἀνανεώσασθαι* 18 *καταθεῖσαν* PB 19 *ἤθη* Holwelliana: *ἔθη* 20 *ἢ τὴν τάξιν λύειν* continuant libri, quae sunt uerba interpolatoris proprio marte lacunam explentis. Isocrates enim haec habet: *ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις ἢ λοιδορήσασθαι δεινότερον ἐνόμιζον ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτεῖν* 21 *δημοκρατείαν* PB, F initio | *αὐτο*[*ὺ*]*ς* F cum ras

ἀλλὰ τὴν σωφροσύνην. τὸ δὲ ἐλεύθερον οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν τίθεσθαι, ἐξουσίαν τε οὐθενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀνατιθέναι τὰς ἀρχάς, τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνοντας, οἷοί περ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες. ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ καταχορηγεῖν. χωρὶς δὲ τούτων πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων ἢ παίδων ὄντων ἐποιοῦντο, ἐνθυμουμένους, ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης μᾶλλον ὠφελεῖται τὸ κοινόν. κρείττονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ⟨παρασκευάσουσιν⟩ ἐπιτη|δεύειν, 551 καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν, ὅ τι ἂν οἱ νόμοι κωλύωσι. καρτερεῖν δὲ τὰ δεινὰ καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

9 τίς δ' ἂν μᾶλλον πείσειε καὶ πόλιν καὶ ἄνδρας

4 Areop 22 6 Areop 24 9 Areop 37 13 Areop 39, 40, 42, 48

4 ἀλλὰ Wolfius: ἀλλ' ἐν FMP ἀλλ' B 5 ὑπολαμβάνον[τας] F^2 cum ras 8 εἰς τὰ] εἰ τὰ P | καταχορηγεῖν Corais: καταχορηγήσειν MP καταχ[ο]ρηγήσειν F cum ras καταχωρηγήσειν P καταχορηγῆσαι Wolfius | χορὶς corr in χωρὶς B 9 ποιῆσθαι F^1 10 γινομένων PB | ἐποιοῦν F^1 in fine uersus corr F^2 13 κρείττονα δε F | ὑπολαμβανοντες F 15 ἀνείρξουσι B 16 παρασκευάσουσι βουλήσεσθαι suppleuit Krüger ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον ζημίας ἐξαμαρτάνειν Isocr 21 πείσειε] ποί.σειε F ex ποιήσειε | πόλιν FM: πόλεις BP

τοῦ ῥήτορος πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν Ἀρχίδαμος, ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ προέσθαι Μεσσήνην Βοιωτοῖς μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν; ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις ἥ τε περὶ Λεῦκτρα μάχη καὶ πολλαὶ μετ' ἐκείνην ἕτεραι, καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθει τε καὶ εἰς μέγεθος ἀρχῆς προεληλύθει, τὰ δὲ τῆς Σπάρτης ταπεινὰ καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας γεγόνει. τελευτῶσα γοῦν, ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο εἰ χρὴ Μεσσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ νέῳ μὲν ὄντι καὶ 552 οὔπω βασι|λεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς. ἐν ᾧ διεξέρχεται πρῶτον μέν, ὡς δικαίως ἐκτήσαντο Μεσσήνην Λακεδαιμόνιοι, παραδόντων τε αὐτὴν τῶν Κρεσφόντου παίδων ὅτε ἐξέπεσον ἐκ τῆς ἀρχῆς, καὶ τοῦ θεοῦ προστάξαντος δέχεσθαι καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις, πρὸς δὲ τούτοις ἐπικυρώσαντος μὲν τὴν κτῆσιν τοῦ πολέμου, κάτοχον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. διδάσκει δέ, ὡς οὐ Μεσσηνίοις τοῖς οὐκέτ' οὖσιν ἀλλὰ δούλοις καὶ εἵλωσιν ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν

17 Arch 16 19 Arch 23 20 Arch 26sq 22 Arch 28

1 μάλῐ M | δὲ P 4 βιωτοῖς P 8 ἥνθη MPB | τε] μὲν F quod fort uerum est 10 ἐγεγόνει v | γ' οὖν F 11 ἢ χρὴ BP εἰ χρῆ F | μησσηνίας P 14 σ[υ]νετάξατο cum ras F 16 τ[εύ]ξεσθαι cum ras F^2 21 κτήσιν F^1 (i e κτίσιν) 23 μησσηνί|νίοις F in fine uersus, in mg crucis signum 24 εἵλωσιν FM | παρ[έ]ξουσ[ι] cum ras duplici F

πόλιν. διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων,
οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας, καὶ τῆς δόξης
ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ
αὐτῶν παραινεῖ τε μὴ συγκαταπίπτειν ταῖς τύχαις μηδ'
ἀπογιγνώσκειν τὰς μεταβολάς, ἐνθυμουμένους ὅτι
πολλοὶ μὲν ἤδη μείζω δύναμιν ἔχοντες ἢ Θηβαῖοι ὑπὸ
τῶν ἀσθενεστέρων ἐκρατήθησαν, πολλοὶ δὲ εἰς πολιορ-
κίαν κατακλεισθέντες καὶ δεινότερα ἢ Λακεδαιμόνιοι
πάσχοντες διέφθειραν τοὺς ἐπιστρατεύσαντας. καὶ
πα|ράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, ἥτις ἐκ 553
πολλῆς εὐδαιμονίας ἀνάστατος γενομένη τοὺς ἐσχάτους
ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ
προσταττόμενον. παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ
τοῖς παροῦσι καὶ θαρρεῖν περὶ τῶν μελλόντων, ἐπιστα-
μένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορ-
θοῦνται πολιτείᾳ χρηστῇ καὶ πολέμων ἐμπειρίαις, ἐν
οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. οἴεται δὲ
δεῖν οὐ τοὺς κακῶς πράττοντας εἰρήνης ἐπιθυμεῖν,
οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν
τὰ πράγματα ἐλπίς, ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ
τἀκινδύνῳ τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν.

4 Arch 40 10 Arch 42 13 Arch 48 17 Arch 50
20 Arch 104

1 διεξέρχηται P 3 τοῖς παρὰ F[1] 5 ἐνθυμούμενος P
6 ὑπὸ] πρὸ P in ras ut uidetur 7 ἀσθεν[εστ]έρων P cum ras | ἐκροτήθησαν P 9 παθόντες Sylburgius 12 κίνδυνος P ποιῇ MB: ποιεῖ F ποιεῖ corr in ποιῇ P 13 τε καὶ F[1] ἀλλὰ δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαρρεῖν περὶ τῶν μελλόντων Isocr 16 πολιτείᾳ χρηστῇ καὶ ταῖς περὶ τὸν πόλεμον ἐμπειρίαις Isocr 18 οὐ τοὺς F ci Reiskius: αὐτοὺς MPBv | ante εἰρήνης in M manus recentior μὴ inseruit 21 τἀκινδύνῳ] τῷ κινδύνῳ libri, sed γὰρ τῷ in ras F[2] χρὴ δὲ τοὺς μὲν εὖ πράττοντας τῆς εἰρήνης ἐπιθυμεῖν· ἐν ταύτῃ γὰρ τῇ καταστάσει πλεῖστον ἄν τις χρόνον τὰ παρόντα διαφυλάξειεν Isocr | ἀγαθὸν F corr F[1]

πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθών, ὅσα καὶ
κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη
κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης
554 ἄξια δράσουσι, καὶ ὡς καὶ διαβληθήσονται παρὰ | τοῖς
Ἕλλησιν, ἐπιλογισάμενος καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπι-
κουρία τις ἔσται τὸν ἀγῶνα ποιουμένοις καὶ παρὰ
θεῶν καὶ παρὰ συμμάχων καὶ παρὰ πάντων ἀνθρώπων,
οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη, καὶ τὴν
κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις ἐπιτρο-
πευόντων τῆς Ἑλλάδος Βοιωτῶν ἐπιδειξάμενος, τελευ-
τῶν, εἰ καὶ μηθὲν τούτων μέλλοι γίνεσθαι μηδ' ὑπο-
λείποιτό τις ἄλλη σωτηρίας ἐλπίς, ἐκλιπεῖν κελεύει
τὴν πόλιν, διδάσκων αὐτούς, ὡς χρὴ παῖδας μὲν καὶ
γυναῖκας καὶ τὸν ἄλλον ὄχλον εἴς τε Σικελίαν ἐκπέμψαι
καὶ Ἰταλίαν καὶ τἄλλα χωρία τὰ φίλια, αὐτοὺς δὲ
καταλαβομένους τόπον, ὅστις ἂν ὀχυρώτατος ᾖ καὶ
πρὸς τὸν πόλεμον ἐπιτηδειότατος, ἄγειν καὶ φέρειν
τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.
οὐδεμίαν γὰρ ἀξιώσειν δύναμιν ὁμόσε χωρεῖν ἀνδράσι
κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοη-
μένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δὲ ὀργὴν
καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι. ταῦτα γὰρ
οὐ Λακεδαιμονίοις μόνοις συμβουλεύειν φαίην ἂν
555 αὐτὸν ἔγωγε ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ πᾶ|σιν

1 Arch 52 sq 3 Arch 57 5 Arch 59 8 Arch 64 sq
11 Arch 70 sq 13 Arch 73 16 Arch 74 20 Arch 75

4 καὶ ante διαβληθήσονται om v 12 ἐκλείπειν P | κελεύοι F corr F[1] 13 χρῇ F 14 τἄλλα τὸν ἄλλον M 15 τὰ ἄλλα P 16 ἂν postea add F | ὀχυρότατος MPB 19 ἀνδράσι—ἑλλήνων om P 20 μὲν add F[2] | ἀπονενοημενως F sed ως ex ος 21 δὲ om F[1] 22 εὐπρεπῆ τὴν ἀνάγκης? 23 μόνοις om v | συμφολεύειν P

ἀνθρώποις πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν καὶ τὸ καλόν.

10 ἔχων δὲ πολλοὺς αὐτοῦ καὶ ἄλλους διεξιέναι λόγους πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας, ὧν οἳ μὲν εἰς ὁμόνοιαν καὶ σωφροσύνην τὰ πλήθη παρακαλοῦσιν, οἳ δὲ εἰς μετριότητα καὶ νόμιμον ἀρχὴν τοὺς δυνάστας προάγουσιν, οἳ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πράττειν ἕκαστον ὑποτιθέμενοι, δεδοικὼς μὴ πέρα τοῦ δέοντος ὁ λόγος ἐκμηκυνθῇ μοι, ταῦτα μὲν ἐάσω, τοῦ δ᾽ εὐπαρακολούθητα γενέσθαι μοι μᾶλλον τὰ πρόσθεν εἰρημένα, καὶ τῆς διαφορᾶς ἕνεκα, ᾗ διαλλάττει Λυσίου, τὰς ἀρετὰς αὐτῶν εἰς βραχύτερον συναγαγὼν λόγον ἐπὶ τὰ παραδείγματα μεταβήσομαι. |

11 πρώτην μὲν τοίνυν ἔφην ἀρετὴν εἶναι λόγων τὴν 556
καθαρὰν ἑρμηνείαν, ἐν ᾗ διαλλαγὴν οὐδεμίαν εὕρισκον παρ᾽ οὐδετέρῳ. ἔπειτα τὴν ἀκρίβειαν τὴν διαλέκτου τῆς τότε συνήθους· καὶ ταύτην ἑώρων ὁμοίαν παρ᾽ ἀμφοτέροις. μετὰ ταῦτα ἐπελογιζόμην, ὅτι τοῖς κυρίοις καὶ συνήθεσι καὶ κοινοῖς ὀνόμασιν ἀμφότεροι κέχρηνται, ἡ δὲ Ἰσοκράτους λέξις προσλαβοῦσά τι τῆς τροπικῆς κατασκευῆς μέχρι τοῦ μὴ λυπῆσαι προῆλθεν. τῆς σαφηνείας καὶ τῆς ἐναργείας ἀμφοτέρους κρατεῖν ἀπεφηνάμην, ἐν δὲ τῷ συντόμως ἐκφέρειν τὰ νοήματα

5 *ὁμόνοιαν*] *τὸν βίον* libri v 9 *πέρα*] *παρὰ* F^1 | *ὁ* add F^2 10 *τοῦ δὲ* P *τοὺς δ᾽* in mg *τοῦ δ᾽* B | *παρακολουθοῦντα* P 12 *διαλάττει* B 13 *αὐτῶν* ex *αὐτὸν* F^2 | *συναγαγὸν* M | *ἐπὶ* ex *ἔτι* F^2 | *τὰ* add F^2 14 *καταβήσομαι* F^1 | *συγκριτικὰ* in mg rubro M 16 *εὑρισκον* ex *εὑρίσκων* per ras F 17 *τὴν διαλέκτου* F: *τῆς διαλέκτου* BPM 19 *ἀμφωτέροις* ex *ἀμφοτέροις* F^2 21 *προλαβοῦσα* B 22 *τοῦ καὶ λυπῆσαι* Sylburgius | *προῆλθε* MBPv | *τῆς δὲ σαφηνείας* v 23 *ἐνεργείας* F corr in *ἐναργείας*

Λυσίαν μᾶλλον ἡγούμην ἐπιτυγχάνειν. περὶ τὰς αὐξήσεις Ἰσοκράτη κατορθοῦν ἄμεινον ἐδόκουν. ἐν τῷ συστρέφειν τὰ νοήματα καὶ στρογγύλως ἐκφέρειν ὡς πρὸς ἀληθινοὺς ἀγῶνας ἐπιτήδειον Λυσίαν ἀπεδεχόμην. ἐν
557 ταῖς ἠθοποιίαις ἀμφο|τέρους εὕρισκον δεξιούς, τῆς δὲ χάριτος καὶ τῆς ἡδονῆς ἀναμφιλόγως ἀπεδίδουν τὰ πρωτεῖα Λυσίᾳ. τὸ μεγαλοπρεπὲς ἑώρων παρ᾽ Ἰσοκράτει. τοῦ πιθανοῦ καὶ πρέποντος οὐδέτερον ἐδόκουν ἀπολείπεσθαι. ἐν τῇ συνθέσει τῶν ὀνομάτων Λυσίαν μὲν ἀφελέστερον ἔκρινον, Ἰσοκράτην δὲ περιεργότερον, καὶ τὸν μὲν τῆς ἀληθείας πιθανώτερον εἰκαστήν, τὸν δὲ τῆς κατασκευῆς ἀθλητὴν ἰσχυρότερον.

ταῦτα ἔφην περὶ τῆς λέξεως τῆς ἑκατέρου. τῶν δὲ 12
πραγμάτων ποιούμενος ⟨τὴν⟩ ἐξέτασιν, τὴν μὲν εὕρεσιν θαυμαστὴν παρ᾽ ἀμφοῖν κατελαβόμην καὶ ἔτι τὴν κρίσιν. |
558 τῇ δὲ τάξει τῶν ἐνθυμημάτων καὶ τοῖς μερισμοῖς τῶν ἐπιχειρημάτων καὶ τῇ καθ᾽ ἕκαστον εἶδος ἐξεργασίᾳ τοῖς τε ἄλλοις ἅπασι τοῖς ἐν τῷ πραγματικῷ τόπῳ θεωρήμασι παρὰ πολὺ προτερεῖν ἡγούμην Ἰσοκράτην Λυσίου, κατὰ δὲ τὴν λαμπρότητα τῶν ὑποθέσεων καὶ τὸ φιλόσοφον τῆς προαιρέσεως πλεῖον διαφέρειν ἢ παιδὸς ἄνδρα, ὡς ὁ Πλάτων εἴρηκεν, εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, καὶ τῶν ἄλλων ἁπάντων ῥητόρων, ὅσοι φιλοσόφως τοῦ μαθήματος τούτου προέστησαν. τῆς μέντοι

22 Plato Phaedr 279^a

1 *ἡγοῦμαι* corr in *ἡγούμην* P 2 *ἰσοκράτη* ex *ἰσοκράτει* in ras F^2 4 *ἐπιτηδειότερον* Sadaeus 7 *τὸ* add F^2 | *ἑώρων* Kiessling: *ἡρῷον* MPB *Ηρῷον* F | *παρ. ἰσοκράτει* F eraso *α* 10 *ἔκρινον* om P 11 *πιθανότερον* FMBP: corr Sylburgius 12 *τῆς* om F 13 *τ[αῦτα]* in litura M 14 *τὴν* addidi 19 *παρὰ* add F^2 23 *καὶ—ῥητόρων* in mg suppl. F^2

ἀγωγῆς τῶν περιόδων τὸ κύκλιον καὶ τῶν σχηματισμῶν τῆς λέξεως τὸ μειρακιῶδες οὐκ ἐδοκίμαζον. δουλεύει γὰρ ἡ διάνοια πολλάκις τῷ ῥυθμῷ τῆς λέξεως καὶ τοῦ κομψοῦ λείπεται τὸ ἀληθινόν. κράτιστον δὲ ἐπιτήδευμα ἐν διαλέκτῳ | πολιτικῇ καὶ ἐναγωνίῳ τὸ 559
ὁμοιότατον τῷ κατὰ φύσιν. βούλεται δὲ ἡ φύσις τοῖς νοήμασιν ἕπεσθαι τὴν λέξιν, οὐ τῇ λέξει τὰ νοήματα. συμβούλῳ δὲ δὴ περὶ πολέμου καὶ εἰρήνης λέγοντι καὶ ἰδιώτῃ τὸν περὶ ψυχῆς τρέχοντι κίνδυνον ἐν δικασταῖς τὰ κομψὰ καὶ θεατρικὰ καὶ μειρακιώδη ταῦτα οὐκ οἶδα ἥντινα δύναιτο ἂν παρασχεῖν ὠφέλειαν, μᾶλλον δὲ οἶδα ὅτι καὶ βλάβης ἂν αἴτια γένοιτο. χαριεντισμὸς γὰρ πᾶς ἐν σπουδῇ καὶ κακοῖς γινόμενος ἄωρον πρᾶγμα καὶ πολεμιώτατον ἐλέῳ.

13 οὗτος δὲ οὐκ ἐμὸς ὁ λόγος πρώτου μὰ Δία, ἐπεὶ πολλοὶ καὶ τῶν παλαιῶν ταύτην εἶχον ὑπὲρ αὐτοῦ τὴν δόξαν. Φιλόνικος μὲν γὰρ ὁ διαλεκτικὸς τὴν ἄλλην κατασκευὴν τῆς λέξεως ἐπαινῶν τἀνδρὸς μέμφεται τῆς κενότητός τ' αὐτῆς καὶ τοῦ φορτικοῦ ἐοικέναι τέ | φησιν αὐτὸν ζωγράφῳ ταῖς αὐταῖς ἐσθῆσι καὶ τοῖς 560
αὐτοῖς σχήμασι πάσας ἐπικοσμοῦντι τὰς γραφάς·

15 cf Euripides fr 488 N

1 σχημάτων F 2 ἐδοκίμα[ζ]ον cum ras F 4 δὲ Krüger: τε 5 ἐν ἀγωνίῳ F | τὸ ex τῶι F[2] 6 ὁμοιώτατον P 7 νοήμασιν] ὀνόμασιν P | ἕπεσθ[αι τὴν] M cum ras 8 δὲ δὴ] an δὴ? μέντοι Wolfiana in mg | λέγον P 11 δύναιτο a: δύναιντο MB δύναιντ' P δύναιτο F supra addito ν, ut uidetur 12 αἴτια FM: αἰτία BP 13 καὶ κακοῖς Casaubonus: καὶ κακῶς F καὶ καλῶς MBPv 15 ἐμὸς λόγος P 16 ὑπὲρ αὐτοῦ ex ὑπὲρ ἑαυτοῦ corr F 19 κενότητος BP ci H Stephanus Sylburgius: καινότητος FM | τ' αὐτῆς] ταύτης libri v 20 αὐτῷ P | αἰσθήσεσι F ἐσθήσεσι MPB: corr Ammon

'ἅπαντες γοῦν εὕρισκον τοὺς λόγους αὐτοῦ τοῖς αὐτοῖς τρόποις τῆς λέξεως κεχρημένους, ὥστ' ἐν πολλοῖς τεχνικῶς τὰ καθ' ἕκαστα ἐξεργαζόμενον τοῖς ὅλοις ἀπρεπῆ παντελῶς φαίνεσθαι διὰ τὸ μὴ προσηκόντως τοῖς ὑποκειμένοις τῶν ἠθῶν φράζειν'. Ἱερώνυμος δὲ ὁ φιλόσοφός φησιν ἀναγνῶναι μὲν ἄν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, δημηγορῆσαι δὲ τήν τε φωνὴν καὶ τὸν τόνον ἐπάραντα καὶ ἐν ταύτῃ τῇ κατασκευῇ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν οὐ παντελῶς. τὸ γὰρ μέγιστον καὶ κινητικώτατον τῶν ὄχλων παρεῖσθαι, τὸ παθητικὸν καὶ ἔμψυχον· δουλεύειν γὰρ αὐτὸν τῇ λειότητι διαπαντός, τὸ δὲ κεκραμένον καὶ παντοδαπὸν ἐπιτάσει τε καὶ ἀνέσει καὶ τὸ ταῖς
561 παθητικαῖς ὑπερθέσεσι διειλημ|μένον ἀποβεβληκέναι. καθόλου δέ φησιν αὐτὸν εἰς ἀναγνώστου παιδὸς φωνὴν καταδύντα μήτε τόνον μήτε πάθος μήτε ὑπόκρισιν δύνασθαι φέρειν. πολλοῖς δὲ καὶ ἄλλοις ταῦτα καὶ παραπλήσια τούτοις εἴρηται, περὶ ὧν οὐδὲν δέομαι γράφειν. ἐξ αὐτῆς γὰρ ἔσται τῆς Ἰσοκράτους λέξεως τεθείσης καταφανὴς ὅ τε τῶν περιόδων ῥυθμὸς ἐκ παντὸς διώκων τὸ γλαφυρὸν καὶ τῶν σχημάτων τὸ μειρακιῶδες περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ

5—17 eadem laudat Philodemus rhet p 198 Sudh

1 γ' οὖν F | τοῖς αὐτοῖς τύποις Sylburgius 3 τα inter lineam add F[1] | τοῖς ὅλοις a: τοῖς ὀλίγοις MBP τοῖς ολόγοις in τοῖς ολίγοις corr F 7 τε om F 8 τόνον] τρόπον F[1] 9 ἀποκρίσεως F 10 κ. ινητικώτατον cum ras M 11 παρεῖσθαι Philod: παραιτεῖσθαι 12 διὰ παντὸς PBv | δὲ add F[2] | κεκραμμένον P κεκλασμένον Philod 13 καὶ ἐπιτάσει τε καὶ ἀνέσει καὶ ταῖς κτλ Philod 14 ὑπερθέσεσιν et ἀποβεβληκέναι Philod: ὑποθέσεσι et ὑπερβεβηκέναι | διειλημένον F 16 τόρον F[1] | μήτεπάθος F cum ras post τε 19 ἔσται om F | τὴν P

παρομοιώσεις κατατριβόμενον. καὶ οὐ τὸ γένος μέμφομαι τῶν σχημάτων (πολλοὶ γὰρ αὐτοῖς ἐχρήσαντο καὶ συγγραφεῖς καὶ ῥήτορες, ἀνθίσαι βουλόμενοι τὴν λέξιν), ἀλλὰ τὸν πλεονασμόν.

14 τῷ γὰρ μὴ ἐν καιρῷ γίνεσθαι μηδὲ ἐν ὥρᾳ . . . . προσίστασθαί φημι ταῖς ἀκοαῖς. ἐν γοῦν τῷ πανηγυρικῷ τῷ περιβοήτῳ λόγῳ πολύς ἐστιν ἐν τοῖς τοιούτοις· | 'πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων 562 ἐπαίνων ἀξίους ἡγοῦμαι'· ἐνταῦθα γὰρ οὐ μόνον τῷ κώλῳ τὸ κῶλον ἴσον, ἀλλὰ καὶ τὰ ὀνόματα τοῖς ὀνόμασι, τῷ μὲν πλείστων τὸ μεγίστων, τῷ δ' ἀγαθῶν τὸ ἐπαίνων, τῷ δὲ αἰτίους τὸ ἀξίους. καὶ αὖθις· 'οὐδὲ ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δὲ ὡς ἀλλοτρίων'· τό τε γὰρ κῶλον τὸ δεύτερον τῷ κώλῳ πάρισον καὶ τῶν ὀνομάτων τῷ μὲν ἀπέλαυον τὸ ἠμέλουν ἀντίθετον, τῷ δὲ ἰδίων τὸ ἀλλοτρίων. οἷς ἐπιτίθησιν· 'ἀλλὰ ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δὲ ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων.' ἀντίκειται [γὰρ] δὴ πάλιν κἀνταῦθα τῷ μὲν ἐκήδοντο τὸ ἀπείχοντο, τῷ δὲ οἰκείων τὸ μηδὲν προσηκόντων. καὶ οὔπω ταῦθ' ἱκανά, ἀλλ' ἐν τῇ μετὰ ταῦτα περιόδῳ πάλιν ἀντιστρέφει τῷ μὲν

8 Isocr Paneg 75 sq

2 *ἐχρήσαντο.* F interpunctione erasa 3 *ἀνθῖσαι* ex *ἀνθῆσαι* per rasuram F 5 *μηδ' ἐν* BP (?) | lacunam significaui 6 *προ[σι]στασθαι* F² cum ras | *ἐν γοῦν* F: *ἔν γε οὖν* MBP 7 *τῷ* inter lineam add F¹ | *λόγος* BP 9 *ἐ[παίν]ων* F² cum ras | uerba inde ab *ἐνταῦθα* usque ad 12 *ἀξίους* om BP 11 *τῷ μὲν πλείστῳ τὸ μέγιστον· τῷ δὲ ἀγαθῷ τὸν ἔπαινον* MF: corr Wolfius 13 *ἀπέλαυνον* F *ἀπέλαβον* BP | *ἠμέλλουν* P 14 *τῷ κώλῳ τῷ πρὸ αὐτοῦ* Wolfius, sed *τὸ δεύτερον* est 'iterum' 15 *ἀπέλαβον* BP | *ἠμέλλουν* P 16 *ἰδίωι* F¹ | *ἀλλότριον* F¹P 18 *γὰρ* seclusi 20 *ταῦτ' ἱκανά* M

'αὐτός τε μέλλοι μάλιστα εὐδοκιμήσειν' τὸ ἐπιφερόμενον 'καὶ τοῖς παισὶ μεγάλην δόξαν καταλείψειν', τῷ δὲ 'οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν' τὸ συναπτόμενον αὐτῷ 'οὐδὲ τὰς τόλμας τὰς αὐτῶν ἤσκουν'. καὶ οὐδὲ 563 μικρὸν διαλιπὼν ἐπιφέρει τού|τοις· 'ἀλλὰ δεινότερον μὲν ἐνόμιζον εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.' οὐκοῦν καὶ δεύτερον τῷ μὲν καλῶς τὸ κακῶς ἀντίστροφον, τῷ δὲ ἀκούειν τὸ ἀποθνήσκειν πάρισον. εἰ μέτριος εἴη μέχρι δεῦρο, ἀνεκτός, ἀλλ' οὐκ ἀνήσει. πάλιν γοῦν ἐν τῇ μετ' αὐτὴν περιόδῳ τίθησιν· 'ὅτι τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων ἀλλ' ὀλίγων συνθημάτων, καὶ περὶ τῶν κοινῶν καὶ περὶ τῶν ἰδίων ὁμονοήσουσιν.' οὐκοῦν τὸ γραμμάτων καὶ συνθημάτων πάρισον καὶ τὸ πολλῶν καὶ ὀλίγων καὶ κοινῶν καὶ ἰδίων ἀντίθετα. ἔπειθ' ὥσπερ οὐδὲν εἰρηκὼς τοιοῦτον ἀθρόαις ἐπικλύσει ταῖς παρισώσεσιν, ἐπιφέρων ταυτί· 564 'καὶ τὰ τῶν ἄλλων διῴκουν θεραπεύοντες ἀλλ' | οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας καὶ στρατηγεῖν οἰόμενοι δεῖν αὐτῶν ἀλλὰ μὴ τυραννεῖν αὐτῶν καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι καὶ σωτῆρες ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προσ-

2 *μεγίστην* Isocr 4 *τὰς αὐτῶν* FMB *τὰς καθ' ἑαυτῶν* v | *ἤκουν* M supra addito *σ* | *καὶ δε* F¹ 6 *τῶν πολιτικῶν* F¹ 7 *ὑπὲρ τῆς πόλεως* Isocr *ΓΕ* | *ἀποθνήισκειν* F solus | *οὔκουν* F¹ 9 *πάρεισον* P | *εἴη* Sadaeus: *εἰ* FMBP *ἦν* manus recentior in mg M, v | *μέχρι το* coeperat F¹ sed *το* confestim in *δ* mutauit 10 *γοῦν* F 11 *μετὰ ταύτην* Fuhr *μεθ' αὐτὴν* MF 14 *τῶν* corr in *τὸ* P | post *συνθημάτων* B inserit *καὶ περὶ τῶν κοινῶν καὶ περὶ τῶν ἰδίων* eadem manu expuncta 15 *τὸ* add F² 16 *ἐπεὶ θ'* F 17 *ἐπιφέρων ταυτί· καὶ* Holwellus: *ἐπιφέρων ταὐτίκα* MBP *ἐπιφέροντ' αὐτίκα* F 20 *αὐτῶν* F: *αὐτὸν* MBP omittunt libri Isocratei

αγόμενοι τὰς πόλεις ἀλλ' οὐ βίᾳ καταστρεφόμενοι, πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες.' καὶ τί δεῖ τὰ καθ' ἕκαστα διεξιόντα μηκύνειν; ὀλίγου γὰρ ἅπας ὁ λόγος ὑπὸ τῶν τοιούτων αὐτῷ κεκόμψευται σχημάτων. οἱ μέντοι γε ἐπὶ τελευτῇ τοῦ βίου γραφέντες λόγοι ἧττόν εἰσι μειρακιώδεις, ὡς ἂν οἶμαι τελείαν ἀπειληφότες τὴν φρόνησιν παρὰ τοῦ χρόνου. καὶ περὶ μὲν τούτων ἱκανὰ ταῦτα. |

15 ὥρα δὲ ἂν εἴη καὶ τῶν παραδειγμάτων ἅψασθαι 565
καὶ δεῖξαι τούτοις τίς ἐστιν ἡ τοῦ ῥήτορος ἰσχύς. ἅπαντα μὲν οὖν τὰ γένη τῶν προβλημάτων καὶ πάσας τὰς ἰδέας τῶν λόγων ἀμήχανον ἐν ὀλίγῳ δηλῶσαι, ἀρκεῖ δὲ μία τε δημηγορία παραληφθεῖσα καὶ λόγος εἷς ἐκ ⟨τῶν⟩ δικανικῶν. ὁ μὲν οὖν συμβουλευτικὸς λόγος ἔστω, ἐν ᾧ παρακαλεῖ τοὺς Ἀθηναίους διαλύσασθαι μὲν τὸν συμμαχικὸν κληθέντα πόλεμον, ὃν ἐπολέμουν πρὸς αὐτοὺς Χῖοί τε καὶ Ῥόδιοι καὶ οἱ τούτων σύμμαχοι, παύσασθαι δὲ πλεονεκτοῦντας καὶ τῆς κατὰ γῆν καὶ κατὰ θάλατταν ἐπιθυμοῦντας ἀρχῆς· διδάσκων ὡς ἔστιν οὐ μόνον κρείττων ἡ δικαιοσύνη τῆς ἀδικίας ἀλλὰ καὶ ὠφελιμωτέρα. τὸ μὲν οὖν ὕπτιον καὶ ἀναβεβλημένον

1 *καταστρεφόμενοι* B Isocr: *προσκαταστρεφόμενοι* FMPv 2 *πιστοτέρους* BPF^1 corr ex *πιστοτέροις* 3 *συνθήκαις*] *συντύχαις* BP 4 *διεξιὼν τα* F corr F^1 5 *μη[κ]ύ[νει]ν* cum ras duplici F^2 6 *κεκόμψεται* M 7 *ὡς δ' ἂν* BP 8 *ἀνειληφότες* P *εἰληφότες* B 9 *χρόνου* ex *λόγου* F^2 11 *δεῖξαι τούτοις τίς ἐστιν* Wolfius: *δεῖξαι τίς ἐστι τούτοις* 13 *[δη]λ[ῶ]σαι* cum ras F^1 14 *παραληφθ[εῖ]σα* cum ras F, in eodem libro post *παραληφθεῖσα* aliquid erasum est | *τῶν* add Wolfius *ἐκ* in *τῶν* mutat H Stephanus 15 *ὁ μὲν οὖν ⟨περὶ εἰρήνης⟩* Wolfius | *ἔστω* Krüger: *ἐστὶν* 18 *χῖοι* ex *χοῦοι* corr M *χίοι* F | *τε* add F^2 19 *καὶ κατὰ γῆν* malim 21 *κρείττον* P corr in *κρείττων* | *ἀ[δικί]ας* cum ras F 22 *ὠφεληματέρα* P corr in *ὠφελιμωτέρα*

τῆς ἀγωγῆς καὶ τῶν περιόδων ὁ χαριεντισμὸς ἔνεστι κἀν τούτοις, τὰ δὲ θεατρικὰ τῶν σχημάτων τεταμιευμένως παρείληπται. ταῦτα μὲν δὴ παρορᾶν δεῖ τοὺς
566 ἀναγιγνώ|σκοντας καὶ μὴ ἄξια ἡγεῖσθαι σπουδῆς, ὥσπερ ⟨καὶ⟩ κατ' ἀρχὰς ἔφην, τοῖς δὲ ἄλλοις πάνυ προσέχειν τὸν νοῦν. ἄρχεται δὲ ὁ λόγος ἐντεῦθεν·

'Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα 16
μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν αὐτοὶ μέλλουσι συμβουλεύειν. οὐ μὴν ἀλλ' εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν, ⟨δοκεῖ μοι πρέπειν⟩ καὶ περὶ τῶν νῦν παρόντων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. ἥκομεν γὰρ ἐκκλησιάσοντες περί τε πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσαμένους ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν τηλικοῦτόν ἐστιν. ὁρῶ δὲ ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν δὲ οὐδὲ τῆς φωνῆς ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν
567 ποιεῖτε. καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώ|θατε τοὺς ἄλλους ἅπαντας ἐκβάλλειν πλὴν τοὺς συναγορεύοντας

7 Isocr VIII 1—17

2 *κἂν* M *καν* F^1 *καὶ* F^2 | *σχημάτωὶ* (sic) F in fine uersus 4 *ἀναγινώσκοντας* P | *καὶ μὴ*] *καὶ* F^1 5 *καὶ* add Sadaeus 6 *ἐντεῦθεν* F: *ἐνθένδε* MBP 7 *εἰώθασι* F 9 *περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύσειν* Is 12 *νῦν* FB: *νυνὶ* MP | *ποιεῖσθαι* F 13 *τοῦ πολέμου* MBP 15 *βουλοομένους* B^1 *βουλευομένους* Is 16 *ἄμμεινον* M 17 *δ'* BP 18 *ἐξ ἴσου*] *ἀξίους* F^1 corr eadem m 20 *τὴν φωνὴν* Is 21 *τὸν ἄλλων* F corr F^1 | *τοὺς ἄλλους ἅπαντας* MBPF^2: *τοὺς ἄλλους πάντας* F^1 *πάντας τοὺς ἄλλους* Is et sic fort Dionysius 22 *πλὴν* ex *τὴν* F^1

ταῖς ἐπιθυμίαις ὑμῶν. οἷς καὶ δικαίως ἄν τις ἐπιτιμήσειεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν τέχνην ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις αὐτοὶ μᾶλλον φαίνεσθε τούτοις πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις. καὶ γάρ τοι πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν· ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν ἐρρύηκεν. ἅπασι γὰρ ἦν φανερόν, ὅτι μᾶλλον ἡσθήσεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. οἱ μὲν γὰρ προσδοκίαν ἐμποιοῦσιν, ὡς τὰς κτήσεις τὰς ἐν | ταῖς 568
πόλεσι κομιούμεθα καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν ἔχοντες, οἱ δ' οὐδὲν τοιοῦτον ὑποτείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν, ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστ' οὐδὲ οἱ κεκτημένοι τοὺς μεγί-

1 ταῖς ὑμετέραις ἐπιθυμίαις· ἃ καὶ δικαίως ἄν τις ὑμῖν Is 5 διάκεισθαι P διάκεισθε ex διακεῖσθαι F 7 φαίνεσθαι P φαίνεσθε μᾶλλον Is | τούτοις F[1]: τοῖς τούτοις B τοῖς τοιούτοις MPF[2] 13 ἡσθήσεσθε Is ΓΕ: ἥσθησθε FMBP 14 ἢ [τοῖς π]ερὶ F sic ut et ἢ et quae sunt in ras litterae ab F[2] additae sint | περὶ τοῖς B | συμβουλεύουσι F 15 ὡς καὶ τὰς κτήσεις Is 16 δύναμην F 17 πάλιν ex πόλιν F | ἐντυγχάνομεν F corr F[1] 19 ἐπιθυμεῖν ex ἐπιτυχεῖν F 20 τοῖς παροῦσιν Is: τὸ ἴσον MBP τὸ ἶσον F conf p 64, 5 21 οὕτως MBP οὕτω corr in οὕτως F 23 ἀπλήστως ex ἀπείστως F[1] | ὥστ' Is: ὡς FMBP

στους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσι. διόπερ ἄξιόν ἐστι δεδιέναι, μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις. λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων ἀλλὰ τῶν θεῶν
569 ἀκηκοότες, ὅτι κατορθώσομεν ἅπαντα καὶ ῥᾳ|δίως κρατήσομεν τῶν ἐχθρῶν. χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ βουλεύεσθαι (περίεργον γάρ), ἀλλὰ πράττειν ὡς ἐγνώκασι, περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ τι δὲ ἂν τύχῃ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. συνεληλύθατε γὰρ ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον, ὥσπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστὶν οὐ θέλετε ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἐβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν ἢ τοῖς χαριζομένοις, εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες

3 διόπερ] ὅπερ Is 4 γενόμεθα F | ταύταις ex τούταις F | ἀνίαις B ἀνοίαι[ς]. F cum ras 5 ὡρμεῖσθαι P et F corr F[1] 7 ante ὅτι lacunam habet F | καὶ κατορθώσομεν F et vIs 8 ἐπικρατήσομεν Is 10 βουλεύονται F[1] 11 τὰ συμβησόμενα F | ὡς δόξει P 12 δ' ἂν BP ὅ τι ἂν τύχῃ δὲ Is 14 ταραχωδέστατον F ταραχωδέστερα P corr in ταραχωδέστατα | διάκεισθε ex διακεῖσθε F 15 μὲν γὰρ Is 16 ἐκλέξασθαι τὸ βέλτιστον Is: ἐκλέξ[αι] το βέλτιον F cum ras ἐκλέξαι τὸ βέλτιον MBP | ὥσπερ ἤδη F 17 οὐ θέλεται F οὐκ ἐθέλετε Is 18 πρὸς ἡδονὴν δημηγορούντων Is: πρὸς ἡδονὴν τῷ πλήθει δημαγωγοῦντας Di in argumento enarrando de Dem p 1001 εἰς ἡδονὴν κατηγορούντων FMBP 21 καταχαριζομένοις Is | εἰδότες FMBP

ῥᾳδίως ἐξαπατᾶν δύνανται· τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν | τὸ βέλτιστον. ὑπὸ δὲ τῶν 570 μὴ πρὸς ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθοιτε τοιοῦτον. οὐ γάρ ἔστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ⟨ὑμᾶς μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες. χωρὶς δὲ τούτων πῶς ἂν ἄνθρωποι δυνηθεῖεν⟩ καλῶς ἢ κρῖναι περὶ τῶν γεγενημένων ἢ βουλεύεσθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δ' αὐτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς παράσχοιεν; θαυμάζω δὲ τὰ τῶν πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ⟨ἀκηκόασιν, ὅτι⟩ διὰ μὲν [γὰρ] τοὺς παραινοῦντας ⟨ἀντέχεσθαι⟩ τῆς εἰρήνης οὐδὲν πώποτε ⟨κακὸν⟩ ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως πολεμεῖν αἱρουμένους ⟨πολλαῖς ἤδη καὶ⟩ μεγάλαις συμφοραῖς περιεπέσομεν. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ' ἑτοίμως ἔχομεν μηδὲν εἰς τὸ | πρόσθεν ἡμῖν 571 αὐτοῖς πράττοντες τριήρεις πληροῦν καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι καὶ βοηθεῖν καὶ πολεμεῖν, ὥσπερ ἂν τύχωμεν ἐν ἀλλοτρίᾳ πόλει κινδυνεύοντες. τούτων

2 τῷ] τὸ B | καθορᾶν ὑμᾶς Is | β[έλτιστον] cum ras F^2 6 καλῶς δυνηθεῖεν Is 7 βουλεύσασθαι Is βούλεσθαι F^1 8 μὲν om F | τοὺς ante τῶν om P 9 ἐξετάσειεν in mg ἐξετάζοιεν B | αὐτοὺς FM 11 τῶν τε πρεσβυτέρων Is | εἰ— νεωτέρων add in mg F^2 | καὶ τῶν νεωτέρων IsB (?): τὰ τῶν νεωτέρων MPF 12 ἀκηκόασιν ὅτι Is: ἀσύναπται F, lac XVIII litt M, XI fere litt P neque in B spatium non uacuum 13 ἀντέχεσθαι τῆς εἰρήνης Is: τῆς εἰρήνης sine spatio F, lac XXI fere litt M, item lac in P (XII litt) et B 14 κακὸν Is: οὐδ' ἐλλειπῆ F lacunae in M (c XIII litt) P (VIII fere litt) B | πολεμεῖν] τὸν πόλεμον Is 15 nulla in libris lac 16 περιεπέσωμεν P 17 μηδὲν Is: μηδ' FMBP | τοὔμπροσθεν Is 18 πράττοντες F: om cum lac XIII fere litt M, XI fere litt P, cum lac B 19 πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει Is

δ' αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως τῶν κοινῶν ὥσπερ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ' ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν, ὅταν δ' ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων ἐπαινεῖτε καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς ⟨ἰδίας⟩ οὐσίας ὑμῖν λειτουργούντων. ὥστ' ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. ἐγὼ δ' οἶδα μέν, ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις καὶ διότι δημοκρατίας οὔσης 572 οὐκ ἔστι παρρησία πλὴν ἐνθάδε μὲν | τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τοῖς θεάτροις τοῖς κωμῳδοδιδασκάλοις. ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας ⟨τὰ⟩ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων οὐκ ἂν

1 αἴτιό[ν] F^2 | ἡμᾶς B sed in mg ὑμᾶς | ὑπὲρ τῶν κοινῶν ὥσπερ ὑπὲρ Is hinc ὑπὲρ τῶν κοινῶν v 2 σπουδάζειν] φροντίζειν Fuhr 4 συμβόλους P 5 δὲ ὑπερ (sic) F 8 νομίζε[τε] M^1 cum ras 12 ὥστε F 13 ὑποδώσειν F^1 15 καὶ ὅτι Is | δημοκρατίας ex δημοκρατείας F 16 πλὴν ἐνθάδε μὲν οὐκ ἔστι παρρησία FMBP 18 κωμωδιδασκάλοις FMBP 19 τοὺς μὲν F^1 20 ἁμάρτημα FB 21 τοῖς ex τοὺς F^2 | ποιοῦσιν B φρονοῦσιν in mg γρ ποιοῦσιν P | πρὸς δὲ τοὺς ἐπιπλήττοντας M: τοὺς δ' ἐπιπλήττοντας FBP 24 οὐκ ἂν δὲ F^1 ita ut δὲ eadem manu dèletum sit

ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων ἀλλ' ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων, πρῶτον μὲν περὶ ὧν ὁ πρύτανις προτίθησιν, ἔπειτα περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων. οὐδὲν γὰρ ὄφελος ἔσται τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἂν μὴ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα. φημὶ δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους τε καὶ Ῥοδίους καὶ Βυζαντίους καὶ Κῴους ἀλλὰ πάν|τας ἀνθρώπους, καὶ 573
χρῆσθαι ταῖς συνθήκαις μὴ ταύταις, αἷς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις ⟨μὲν⟩ πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξεῖναι καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.'

17 ταῦτα προειπὼν καὶ οὕτω διαθεὶς τοὺς ἀκούοντας πρὸς τὸν μέλλοντα λόγον ἐπιτηδείως ἐγκώμιόν τε κάλλιστον τῆς δικαιοσύνης διαθέμενος καὶ τὰ καθεστηκότα

17 Isocr VIII 41—53

1 παρελήλυθε P 2 μνηστεύων BP | ἀποφαινόμενος BP 3 γινώσκων P 4 οἱ πρυτάνεις προτιθέασιν Is | προστίθησιν P | τῶν τῆς πόλεως P: τῆς πόλεως FMB 5 νῦν περὶ Is: ὑπερ accentu super ε eraso F ὑπὲρ MBP 6 ἢν μὴ Is | καὶ περὶ τῶν λοιπῶν ὀρθῶς Is: [περ]ὶ τῶν ὀρθῶς λοιπὸν F (ras ab F²) περὶ τούτων ὀρθῶς λοιπὸν MBP 7 βουλευσόμεθα BP 8 verba τὴν—10 κεχρῆσθαι om M sed in mg m uetus notis rubris usa suppleuit supra posito — hoc quoque rubro — κείμενον 8 Χίους τε] Χίους Is 9 καὶ Κῴους om Is | ἀλλὰ πάντας ἀνθρώπους κεχρῆσθαι FMBPv ἀλλὰ πρὸς ἅπαντας ἀνθρώπους, καὶ χρῆσθαι Is 10 ταῖς θήκαις P 14 ἐξιέναι Is ἐξεῖναι ex ἐξεῖναι F | τὴν αὑτῶν Is: τὴν αὐτὴν FM αὐτὴν PB αὑτῶν in mg B 15 μᾶλλον F, B in mg: om MP | τῇ F¹ τῆι F² 17 προ[ει]πὼν F ras ab F² | διατιθεὶς F teste Sadaeo 18 an ὡς πρὸς? | μέλλοντ[α] cum ras M

πράγματα μεμψάμενος ἐπιτίθησι τούτοις τὴν σύγκρισιν τῶν τότε ἀνθρώπων πρὸς τοὺς προγόνους· 'Τούτου δὲ ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. τίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν καὶ μὴ συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γινομένοις οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν
574 ἡμᾶς | νομίσειεν, οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον; οἳ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποριζομένους ἐκεῖθεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν, οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἳ μὲν ὑπὲρ τῆς . . . .

1 τούτους F¹ 2 τότε] τε F 4 μέλλων MBP, F in ras 5 hinc confer de Dem p 1002 sq 1009 sq | ἂν om M 6 μὴ συνδιαφθειρόμενος FMBP μὴ συνδιεφθαρμένοις D (= Dem) μήπω συν- Is 7 τοῖς γινομένοις D: τοῖς γιγνομένοις Is τοῖς γενομένοις FMBP 8 ἡμᾶς P, B in mg: ὑμᾶς FMB 10 ἀξιοῦντες, in mg ἀξιοῦμεν B 11 ἔχομεν Is 13 ἀσίας ex οὐσίας F² | περιζομένους M 16 ἡγεμονίαις M 17 καταδου[λ]ούμενοι cum ras M 18 ἐκείνης corr in ἐκείνοις B | ἕξομεν] ηρομεν F 20 διαγνοίαις F¹ | κατεκείνων F¹ | τῶν τὸν χρόνον M 21 οἱ μὲν ὑπὲρ ταύτης φροντίζομεν pergunt FP οἱ μὲν ὑπὲρ τῆς φροντίζομεν B cum spatio uacuo inter τῆς et φροντίζομεν, M cum spatio circiter XVI ll inter τῆς et φροντίζομεν relicto. totum folium in archetypo excidisse uidetur; supplementa ex libri de Dem p 1003 sq peti possunt.

. . . .

. . . .

. . . .

φροντίζομεν· ἓν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων· ὡς θανάτου τῆς ζημίας ἐπικειμένης, ἥν τις ἁλῷ δεκάζων, | τοὺς τοῦτο φανερώτατα ποιοῦντας [575] *στρατηγοὺς χειροτονοῦμεν καὶ τὸν πλείστους διαφθεῖραι δυνηθέντα τῶν πολιτῶν τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν. σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ἀγαπῶντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν. ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γινώσκομεν, ἀλλ' ὧν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα*

4 uerba *ἓν*—6 *δεκάζων* desunt in M spatio circa XXV ll et unius uersus integri (i e XLIII—XLV ll) relicto, item B uacuum habet trium uersuum spatium, deinde in mg *ὅσον οἱ μὲν ὑπὲρ ταύτης φροντίζομεν ἐὰν γὰρ ἀκούσαντες γνούσεσθε καὶ περὶ τῶν ἄλλων. ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης εἴ τις ἁλῷ δὲ καὶ ζῶν τοὺς τοῦτο φανερώτατα ποιοῦντας* | *ἓν*] *ἐὰν* FPB | *γνώσησθε* F 5 *ἄλλων* F rasura supra ω facta | *ὡς*] *ὥστε* FBP | *ἣν* Is: *εἰ* PB *ἐὰν* F 6 *δεκάζων* Is: *δὲ καὶ ζῶν* FBP | *καὶ τοὺς* MB in textu, P 7 *χειροτονοῦμεν* M sed *οῦ* ex correctura, ut uidetur | *καὶ τῶν* F^1 8 *τῶν πολιτῶν δυνηθέντα* Is | *τοιοῦτον* M 11 *δημοκρατείαν* FM *δημοκρατ[ί]αν* P cum ras 12 *αὐξανομένην* Is 16 *ἀγαπῶντας*] *ποιοῦντας* uel *ἐμποιοῦντας* Is | *δημοκρατείας* FMP 19 *οὐ* add F^2 in fine uersus | *ταὐτὰ*] *οὐ τὰ* F^1 | *γιγνώσκομεν* Is | *ὧν μὲν* Is 20 *π[ρὶν]* cum ras F^2

συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλιπόντες τοῖς ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν |
[576] *ἐπιτιμῶμεν. προσποιούμενοι δὲ σωφρονέστατοι τῶν Ἑλλήνων εἶναι, τοιούτοις χρώμεθα συμβούλοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειε, καὶ τοὺς αὐτοὺς τούτους κυρίους ἁπάντων ⟨τῶν κοινῶν⟩ καθίσταμεν, οἷς οὐδεὶς οὐδὲν ἂν τῶν ἰδίων ἐπιτρέψειε.'*

τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβουλευτικοῖς λόγοις 18
ὁ ἀνήρ. ἐν δὲ τοῖς δικανικοῖς τὰ μὲν ἄλλα πάνυ ἀκριβὴς καὶ ἀληθινὸς καὶ τῷ Λυσίου χαρακτῆρι ἔγγιστα μὲν προσεληλυθώς, ἐν δὲ τῇ συνθέσει τῶν ὀνομάτων τὸ λεῖον ἐκεῖνο καὶ εὐπρεπὲς ἔχων, ἔλαττον μὲν ἢ ἐν τοῖς ἄλλοις λόγοις, οὐ μὴν ἀλλὰ ἔχων γε. μηθεὶς δ' ἀγνοείν ⟨μ'⟩ ὑπολάβῃ μήθ' ὅτι Ἀφαρεὺς ὁ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γενόμενος ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς Ἀντιδόσεως λόγῳ διορίζεται μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι, μήθ' ὅτι δέσμας πάνυ πολλὰς δικανικῶν
[577] *λόγων Ἰσοκρατείων περιφέρεσθαί φησιν ὑπὸ τῶν βυβλιοπωλῶν Ἀριστοτέλης. ἐπίσταμαι γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα, καὶ οὔτε Ἀριστοτέλει πείθομαι ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ οὔτ' Ἀφαρεῖ*

1 *συνελθόντες* Is: *οὖν ἐλθόντες* F^1 *ἐλθόντες* MBPF^2 | *ο[ὐ]* cum lit maiore M | *πολὺν* F^1 sed *λὺν* in ras maiore 2 *τοῖς ἐνταῦθα* uel *ἐνθάδε ψηφισθεῖσιν* Is 3 *σωφρονέστατοιο* (sic) M *σοφώτατοι* Is 4 *τούτοις* F^1 ut uidetur, corr in ras F^2 | *ὧν*] *ὡς* P 7 *οἷς* F^2 ex *οὓς* | *οὐδὲν ἂν*] *οὐδένα* F *οὐδεὶς ἂν οὐδὲν* Is | *ἐπιτρέψειεν* P 8 *βουλευτικοῖς* F 10 *ἀκρυβὴς* B | *ἔγγυστα* BP 12 *ἐλάττων* F^1 | *ἢ* in ras F^2 | *ἐν ἄλλοις* MBPv 13 *ἀλλὰ* om MBP *ἀλλ'* v | *ἔχων* ex *ἔχω* M | *μηδεὶς* MBPv 14 *μ'* add Wolfius | *μήθ'* hic et 18 Krüger: *μηδ'* | *ἀφορεὺς* P | *σημείωσαι ἀφαρεύς* F in mg 16 *ἀντιδόσεως* ex *ἀντιδώσεως* F 17 *ὑπὸ* add F^2 18 *δ . . . . εσμὰς* (IV uel V litt euanidae) P *δεσμᾶς* F *δεσμὰς* M 20 *βιβλιοπωλῶν* libri v

τούτου γ' ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ συντίθεμαι. ἱκανὸν δὲ ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο καὶ τὴν ἀπολογίαν τὴν ὑπὲρ αὐτοῦ τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλην ἀντιγραφαῖς ἐποιήσατο, πιστεύω γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια οὐ μέντοι πολλούς, καὶ χρῶμαι παραδείγματι ἐξ αὐτῶν ἑνί (οὐ γὰρ ἐγχωρεῖ πλείοσι) τῷ Τραπεζιτικῷ λεγομένῳ, ὃν ἔγραψε ξένῳ τινὶ τῶν μαθητῶν κατὰ Πασίωνος τοῦ τραπεζίτου. ἔστι δὲ ὁ λόγος οὗτος· |

19 „Ὁ μὲν ἀγών μοι μέγας ἐστίν, ὦ ἄνδρες δικασταί· 578
οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυνεύω, ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι· οὐσία γάρ μοι ἱκανὴ καταλειφθήσεται καὶ τούτων στερηθέντι. εἰ δὲ δόξαιμι μηδὲν προσῆκον τοσαῦτα χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅπαντα βίον. ἔστι δέ, ὦ ἄνδρες δικασταί, πάντων χαλεπώτατον τοιούτων ἀντιδίκων τυχεῖν. τὰ μὲν γὰρ συμβόλαια πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις ἄνευ μαρτύρων γίνεται, τοῖς ἀδικουμένοις δὲ πρὸς τοιούτους ἀνάγκη κινδυνεύειν, οἳ καὶ φίλους πολλοὺς κέκτηνται καὶ χρήματα ⟨πολλὰ⟩ διαχειρίζουσι καὶ πιστοὶ διὰ τὴν τέχνην δοκοῦσιν εἶναι. ὅμως δὲ

12 Isocr XVII 1—12

1 πραττομένῳ P 5 ὑπὲρ αὐτοῦ τὴν om v 6 ἀριστοτελην (sic) F: ἀριστοτέλη MPB 9 τραπεζητικῷ F^{1}P corr in τραπεζιτικῷ 10 ἔγραψεν MBP | καπασίωνος F 11 ἔστιν FP 13 παρὰ M 15 οὐσία μὲν γὰρ Is 17 προσῆκον τοσαῦτα Is ΓΕ: προσήκοντος αὐτὰ τὰ F^1 προσῆκον αὐτὰ τὰ F^{2}MBP 18 πάντα F 19 τοιούτων ex οὐ τῶν F^2 20 τὰ πρὸς τοὺς Is ΓΕ 23 πολλὰ ex Is inseruit ς

καὶ τούτων ὑπαρχόντων ἡγοῦμαι φανερὸν πᾶσι ποιήσειν, ὅτι ἀποστεροῦμαι τοσούτων χρημάτων ὑπὸ Πασίωνος. ἐξ ἀρχῆς δὲ ὑμῖν, ὅπως ἂν δύνωμαι, διηγήσομαι τὰ
579 πεπραγμένα. ἐμοὶ γάρ, ὦ ἄνδρες | δικασταί, πατὴρ μέν ἐστι Σωπαῖος, ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες ἴσασιν οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον, ὥστε πολλῆς μὲν χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου. πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ τῆς ἄλλης Ἑλλάδος ἐπεθύμησ' ἀποδημῆσαι. ἐμπλήσας δὲ ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς ἐξέπεμψεν ἅμα κατ' ἐμπορίαν καὶ θεωρίαν. συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα ἐχρώμην τῇ τούτου τραπέζῃ. χρόνῳ δ' ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης, ὡς καὶ ὁ πατὴρ οὑμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ κἀγὼ τοῖς φυγάσι συγγενοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει, ἐπιστέλλει δὲ τοῖς ἐνθάδε ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου, τὰ χρήματα παρ' ἐμοῦ παραλαβεῖν καὶ αὐτὸν εἰσπλεῖν κελεύειν, ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ' ὑμῶν ἐξαιτεῖν. ἐν τοσούτοις δὲ κακοῖς
580 ὤν, ὦ ἄνδρες δικασταί, | λέγω πρὸς Πασίωνα τὰς ἐμαυτοῦ συμφοράς. οὕτω γὰρ οἰκείως πρὸς αὐτὸν

2 τῶν χρημάτων Is ΓΕ 3 δὲ] οὖν Is | ὅπως ἂν δύνωμαι] om Is ΓΕ ὡς ἂν δύνωμαι v 5 Σωπαῖος Is: Σιωπεύς P Σινωπεύς FMP 7 πολῆς P | ἁπάσης—ἐπιμελεῖσθαι add F^2 in mg 8 τῆς in textu add F 9 τῇ ἄλλης F 10 ἐπεθύμησεν FM ἐπεθύμησεν B α super εν addito ἐπεθύμησαν P | γρ. ἐμπλήσας Γ rc: ἐπιδημήσας F, omisso etiam sequente δὲ M lacunam habet XV fere litt, P X fere litt, item in B spatium uacuum. γεμίσας δ' a v Is γεμίσας οὖν Is ΓΕ 11 σίτου] ποῦ F που MPB 14 δὲ ὕστερον MBP 15 ὡς ὁ πατὴρ Is 16 καὶ ἐγὼ FBP | συγγενόμην F 18 λαβεῖν F 19 αὐτὸν FB in mg, P: αὐτῶν M αὐτῷ B intra uers | κελεύει FMBP 20 ποιῆι FP ποιῇ MB | ἐξετεῖν PB 22 οὕτως FMBP

διεκείμην, ὥστε μὴ μόνον περὶ τῶν χρημάτων ἀλλὰ καὶ περὶ τῶν ἄλλων τούτῳ μάλιστα πιστεύειν. ἡγούμην δέ, εἰ μὲν προοίμην ἅπαντα τὰ χρήματα, κινδυνεύσειν, εἴ τι πάθοι ἐκεῖνος, στερηθεὶς καὶ τῶν ἐνθάδε καὶ τῶν ἐκεῖ πάντων ἐνδεὴς γενήσεσθαι, εἰ δ' ὁμολογῶν εἶναι ἐπιστείλαντος Σατύρου μὴ παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς ἐμαυτὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον. βουλευομένοις οὖν ἡμῖν ἐδόκει βέλτιστον εἶναι τὰ μὲν φανερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν παρὰ τούτῳ κειμένων μὴ μόνον ἔξαρνον εἶναι, ἀλλὰ καὶ ὀφείλοντά με καὶ τούτῳ καὶ ἑτέροις ἐπὶ τόκῳ φαίνεσθαι καὶ πάντα ποιεῖν, ἐξ ὧν ἐκεῖνοι μάλιστα ἤμελ|λον πεισθήσεσθαι μὴ εἶναί μοι χρήματα. τότε 581
μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐνόμιζόν μοι Πασίωνα δι' εὔνοιαν ἅπαντα ταῦτα συμβουλεύειν. ἐπειδὴ δὲ ταῦτα πρὸς τοὺς περὶ Σάτυρον διεπραξάμην, ἔγνων αὐτὸν ἐπιβουλεύοντα τοῖς ἐμοῖς. βουλομένου γὰρ ἐμοῦ κομίσασθαι τἀμαυτοῦ καὶ πλεῖν εἰς Βυζάντιον, ἡγησάμενος οὗτος κάλλιστον καιρὸν αὐτῷ παραπεπτωκέναι· τὰ μὲν γὰρ χρήματα πολλὰ εἶναι τὰ παρ' αὐτῷ κείμενα ⟨καὶ⟩ ἄξια ἀναισχυντίας, ἐμὲ δὲ πολλῶν ἀκουόντων ἔξαρνον γεγενῆσθαι μηδὲν κεκτῆσθαι πᾶσί τε φανερὸν ἀπαιτούμενον καὶ ἑτέροις ὁμολογοῦντα ὀφείλειν· καὶ

1 περὶ χρημάτων Is 2 μ[άλι]στα F^2 cum ras | ἡγούμην — 8 πρὸς Σάτυρον om Is 3 προαιροίμην F | κινδυνεύειν F 5 ενδε[ὴς] cum ras F^2 8 βουλομένοις M 10 ἴξαρνον B | post εἶναι P περὶ δὲ τῶν παρὰ τούτῳ κειμένων iterat 11 καὶ τούτῳ καὶ ἑτέροις Is: καὶ τούτω καθάπερ εἴ γε F καθάπερ MBP 12 εκείνοι. cum ras F 13 ἤμελλε F^1 | πειθήσεσθαι F^1 16 παρὰ Σατύρου Is 19 οὗτος Is: αὐτὸς F^{2}MBP αὐτοῖς F^1 | αὐτῷ F^{1}M 20 γὰρ in litura corrector M 22 πᾶσί τε] πᾶσι δ' εἶναι Is

πρὸς τούτοις, ὦ ἄνδρες δικασταί, νομίζων, εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων, εἰ δ' εἰσπλευσοίμην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός· ταῦτα
582 διαλογιζόμενος | διενοεῖτό με ἀποστερεῖν τὰ χρήματα καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο ἀπορεῖν ἐν τῷ παρόντι καὶ οὐκ ἂν ἔχειν ἀποδοῦναι. ἐπειδὴ δ' ἐγώ, βουλόμενος εἰδέναι τὸ πρᾶγμα, προσπέμπω Φιλόμηλον αὐτῷ καὶ Μενέξενον ἀπαιτήσοντας, ἔξαρνος γίνεται πρὸς αὐτοὺς μηδὲν ἔχειν τῶν ἐμῶν. πανταχόθεν δέ μοι τοσούτων κακῶν προσπεπτωκότων τίνα οἴεσθέ με γνώμην ἔχειν; ᾧ γε ὑπῆρχε σιωπῶντι μὲν ὑπὸ τούτου ἀπεστερῆσθαι τῶν χρημάτων, λέγοντι δὲ ταῦτα μὲν μηδὲν μᾶλλον κομίσασθαι, πρὸς Σάτυρον δὲ εἰς τὴν μεγίστην διαβολὴν ἐμαυτὸν καὶ τὸν πατέρα καταστῆσαι. κράτιστον οὖν ἡγησάμην ἡσυχίαν ἄγειν. μετὰ ταῦτα, ὦ ἄνδρες δικασταί, ἀφικνοῦνταί μοι ἀπαγγέλλοντες, ὅτι ὁ πατὴρ ἀφεῖται καὶ Σατύρῳ οὕτως ἁπάντων μεταμέλει τῶν πεπραγμένων, ὥστε πίστεις τε τὰς μεγίστας αὐτῷ δεδωκὼς εἴη καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς
583 ἧς εἶχε πρότερον καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυ|ναῖκα τῷ ἑαυτοῦ υἱεῖ εἰληφώς. πυθόμενος δὲ ταῦτα Πασίων

2 μ[ε] cum ras P 3 δε ἄλλ[ο]σε ποι cum ras F 4 μελλήσειν F | εἰς τὸν Πόντον om Is 6 λογιζόμενος Is 7 πρὸς μὲν ἐμὲ B^{2}P: προσμένει με F^1 προσμένειν με F^{2}MB^1 8 ἔχειν] ἔχειν ἃ F | ἐγὼ om Is 9 εἰδέναι σαφῶς Is | πᾶγμα B 10 γίγνεται Is 12 οἴεσθαι M 13 ᾧ γε ὑπῆρχε a: ὥστε ὑπῆρχέ μοι FMBP ᾧ ὑπῆρχε Is 14 ἀποστερῆσθαι P | ταῦτα μὲν om v τὰ μὲν F^1 16 μεταβολὴν P 17 ante μετὰ in M πρα rubro deletum μετὰ δὲ ταῦτα v cum Is 19 σάτυρος PB 20 ὡς FMBPv | πίστεις δὲ F^1 22 εἶχεν F

καὶ εἰδὼς ὅτι φανερῶς ἤδη πράξω ⟨περὶ⟩ τῶν ἐμαυτοῦ, ἀφανίζει τὸν παῖδα, ὃς συνῄδει ⟨περὶ⟩ τῶν χρημάτων. ἐπειδὴ δὲ ἐγὼ προσελθὼν ἐπεζήτουν αὐτόν, ἡγούμενος ἔλεγχον ἂν τοῦτον σαφέστατον γενέσθαι περὶ ὧν ἐνεκάλουν, λέγει λόγον δεινότατον, ὡς ἐγὼ καὶ Μενέξενος διαφθείραντες καὶ πείσαντες τὸν ἐπὶ τῇ τραπέζῃ καθήμενον ἓξ τάλαντα ἀργυρίου λάβοιμεν παρ' αὐτοῦ. ἵνα δὲ μηδεὶς ἔλεγχος μηδὲ βάσανος γένοιτο περὶ αὐτῶν, ἔφασκεν ἡμᾶς ἀφανίσαντας τὸν παῖδα ἀντεγκαλεῖν αὐτῷ καὶ ἐξαιτεῖν τοῦτον, ὃν αὐτοὶ ἠφανίσαμεν. καὶ ταῦτα λέγων καὶ ἀγανακτῶν καὶ δακρύων εἷλκέ με πρὸς τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν, καὶ οὐ πρότερον ἀφῆκεν, ἕως αὐτῷ κατέστησα ἓξ ταλάντων ἐγγυητάς. καί μοι ἀνάβητε τούτων μάρτυρες.' |

20 ταῦθ' ὅτι μὲν ὅλῳ τῷ γένει διαφέρει τῶν ἐπι- 584
δεικτικῶν τε καὶ συμβουλευτικῶν κατὰ τὸν χαρακτῆρα τῆς λέξεως, οὐθείς ἐστιν ὃς οὐκ ἂν ὁμολογήσειεν. οὐ μέντοι παντάπασί γε τὴν Ἰσοκράτειον ἀγωγὴν ἐκβέβηκεν, ἀκαρῆ δέ τινα διασῴζει τῆς κατασκευῆς τε καὶ σεμνολογίας ἐκείνης ἐνθυμήματα καὶ ποιητικώτερα μᾶλλόν ἐστιν ἢ ἀληθινώτερα. οἷον ὅταν φῇ· 'ἡγούμην

1 περὶ τῶν˘ τῶν MBP τὰ F 2 Κίττον τὸν παῖδα Is et sic fort Dionysius 3 αὐτὸςν P 4 ἔλεγχον ἂν τοῦτον Is: ἔλεγεν αὐτοῦ τὸ F in M lac XVIII fere litt in P VIII uel IX litt item in B spatium uacuum | σαφέστερον FMBP | γεγενῆσθαι F γενήσεσθαι MBP 5 πάντων δεινότατον Is 6 τὸν FMBP: αὐτὸν Is 7 τάλαν τάλαντα P 8 ἔλεγκος B 9 [αντεγ]καλεῖν cum ras F 10 αὐτῶ ex αὐτὸν F^2 13 καθέστησα F 14 καί μοι κάλει τούτων μάρτυρας Is 15 ταῦτα BP | διαφέρει a: ἀφαιρεῖ FMBP 16 κατὰ Wolfius: καὶ 19 ἀκαρῆ a: ἀκαιρῆ MBP ἀκαιρ[εῖ] F cum ras 20 ποιητικωτέρα FM 21 ἀληθινωτέρα FM | φῇ] φησίν FMPBv | ἡγούμην δὲ μὴ παραδοὺς M

δέ, εἰ μὲν προείμην τὰ χρήματα, κινδυνεύσειν.' τὸ γὰρ ἀποίητόν τε καὶ ἀφελὲς τοιοῦτον· 'ἡγούμην δὲ [μὴ] παραδοὺς τὰ χρήματα κινδυνεύσειν.' ἔτι ἐκεῖνο· 'καὶ πρὸς τούτοις, ὦ ἄνδρες δικασταί, νομίζων, εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ δὲ ἄλλοσέ ποι τραποίμην, οὐδὲν αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων, εἰ δὲ εἰσπλευσοίμην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός.' ἥ τε γὰρ περίοδος ἐκμηκύνεται καὶ ... πέρα τοῦ δικανικοῦ τρόπου καὶ ἡ σύνθεσις ἔχει τι τοῦ ποιητικοῦ τό τε σχῆμα τῆς λέξεως ἐκ τῶν ἐπιδεικτικῶν εἴληπται παρισώσεων
585 καὶ πα|ρομοιώσεων. τό τε οὖν ἐπιχειροίην καὶ τραποίμην καὶ εἰσπλευσοίμην ἐν ἑνὶ χωρίῳ κείμενα καὶ τῶν κώλων τριῶν ὄντων τὸ [μὲν] μῆκος ἴσον ὑπάρχον τεκμήρια τῆς Ἰσοκράτους κατασκευῆς ἐστι. καὶ τὰ τούτοις ἐπιφερόμενα· 'διενοεῖτό με ἀποστερεῖν τὰ χρήματα καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο ἀπορεῖν καὶ οὐκ ἂν ἔχειν' παρόμοιά τε καὶ παραπλήσια ἀλλήλοις ἐστίν. καὶ πρὸς τούτοις, ἃ μετ' ὀλίγον ἐπιτίθησιν· 'ὥστε πίστεις τε ⟨τὰς⟩ μεγίστας αὐτῷ δεδωκὼς εἴη καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ ἑαυτοῦ υἱεῖ εἰληφώς.' καὶ γὰρ ἐνταῦθα πάλιν τὸ δεδωκὼς καὶ πεποιηκὼς καὶ

1 προείμην F^1: μὴ προείμην F^2MBP προοίμην p 580 | ἅπαντα τὰ χρήματα p. 580 2 τοιοῦτον] τοιτον F | μὴ seclusit Fuhr 4 ἐνόμιζον FMBP 5 με: μὲν F 6 σα[τύ]ρῳ cum ras F 8 πόντον ex τόπον F^1 9 ἐκμ[η]κύνεται cum lit M | καὶ seclusit Wolfius 10 τε om P 12 τό γε FBP | τρεψοίμην FMBP 13 ἑνὶ ex ἐστι corr F^2 | χορίῳ ex χειρίῳ F 14 μὲν seclusit Hudson 16 ἐπιφερόμεν[α] F cum ras | με] καὶ FMBP 17 ἐποιεῖτο P 18 ἐστί F 19 καὶ F^1 sed κ ex ν correctum | ὡς πίστεις FMBP 21 πεποι¦κως F | εἶχεν F 23 [πεποιη]κὼς F^2 cum ras

εἰληφὼς παρόμοιον καὶ ⟨τὸ⟩ τὴν ἀρχὴν καὶ τὴν ἀδελφήν. ἔχοι δὲ ἄν τις καὶ ἄλλα πρὸς τούτοις λέγειν, ἐξ ὧν ὁ χαρακτὴρ τοῦ ῥήτορος ἔσται καταφανής, ἀνάγκη δὲ ἴσως στοχάζεσθαι τοῦ χρόνου. |

1 τὸ add Usener 2 ἔχει corr in ἔχοι P | δ' PB | καὶ ἀλλὰ add in mg F[2] 3 δ' P 4 ἰσοκράτης ἀθηναῖος: ∼ subscribit F τέλος ἰσοκράτου ἀθηναί | λόγος | φυ λα' M ||

---

586 ## ΙΣΑΙΟΣ ΑΘΗΝΑΙΟΣ

Ἰσαῖος δὲ ὁ Δημοσθένους καθηγησάμενος καὶ διὰ τοῦτο μάλιστα γενόμενος περιφανής, ὡς μέν τινες ἱστοροῦσιν, Ἀθηναῖος ἦν τὸ γένος, ὡς δ' ἕτεροι γράφουσι, Χαλκιδεύς. ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ λόγων αὐτοῦ τεκμαίρομαι, καὶ μέχρι
587 τῆς Φιλίππου | δυναστείας παρεξέτεινε. γενέσεως δὲ καὶ τελευτῆς τοῦ ῥήτορος ἀκριβῆ χρόνον εἰπεῖν οὐκ ἔχω οὐδὲ δὴ περὶ τοῦ βίου τἀνδρός, οἷός τις ἦν, οὐδὲ περὶ τῆς προαιρέσεως τῶν πολιτευμάτων οὐδέν, ἀρχὴν
588 εἰ προείλετό τινα ἢ πολιτείαν, οὐδ' | ὅλως περὶ τῶν τοιούτων οὐδενὸς διὰ τὸ μηδεμιᾷ τοιαύτῃ περιτυγχάνειν ἱστορίᾳ. οὐδὲ γὰρ ὁ τοὺς Ἰσοκράτους μαθητὰς ἀναγράψας Ἕρμιππος, ἀκριβὴς ἐν τοῖς ἄλλοις γενόμενος, ὑπὲρ τοῦδε τοῦ ῥήτορος οὐδὲν εἴρηκεν ἔξω δυεῖν τούτων, ὅτι διήκουσε μὲν Ἰσοκράτους καθηγήσατο δὲ

1 Per totam uitae et artis enarrationem confer γένος Ἰσαίου hinc maximam partem haustum Westerm p 261 5—7 cf vitt X orr 839[e]

4 δὲ F 6 λόγων ex λέγων F[1] ἐκ λόγων αὐτοῦ etiam Plut ἐκ τῶν λόγων Sylburgius ἐκ τινῶν λόγων Reiskius 9 τἀνδρὸς MB: το ἀνδρὸς P τοῦ ἀνδρὸς F 10 οὐδέν] οὐδὲ FMBPv | ἀρχὴν κτλ. cf Plutarchi de uitioso pudore 531[c] πῶς δὲ περὶ ἀρχὴν ἢ γάμον ἢ πολιτείαν ἀγνωμονοῦντα νουθετήσεις; 12 διὰ τὸ postea add F[1] | μηδεμιᾷ Krüger: μηδὲ 14 ἀκριβῶς P 16 διήκουσε ex διήκοσε F[1]

Δημοσθένους. [συνεγένετο δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων.]

2 λείπεται δὴ περὶ τῆς προαιρέσεως καὶ δυνάμεως αὐτοῦ καὶ τίνι κέχρηται χαρακτῆρι λέγειν. γένους μὲν δὴ λόγων ἑνὸς ἀσκητὴς ἐγένετο τοῦ δικανικοῦ καὶ περὶ τοῦτο μάλιστα ἐσπούδασε. χαρακτῆρα δὲ τὸν Λυσίου κατὰ τὸ πλεῖστον ἐζήλωσε καὶ εἰ μή τις ἔμπειρος πάνυ τῶν ἀνδρῶν εἴη καὶ τριβὰς ἀξιολόγους ἀμφοῖν ἔχων, οὐκ ἂν διαγνοίη ῥᾳδίως πολλοὺς τῶν λόγων, ὁποτέρου τῶν ῥη|τόρων εἰσίν, ἀλλὰ παρακρού- 589
σεται ταῖς ἐπιγραφαῖς ⟨οὐχ⟩ οὕτως ἀκριβῶς ἐχούσαις, ὡς διὰ μιᾶς δηλοῦταί μοι γραφῆς. οὐ μὴν ἀπαράλλακτός γέ ἐστιν ἡ τοῦ χαρακτῆρος ὁμοιότης, ἀλλὰ ἔχουσα διαφοράς τινας οὐ μικρὰς οὐδὲ ὀλίγας καὶ κατὰ τὴν ἑρμηνείαν καὶ κατὰ τὰ πράγματα, περὶ ὧν καιρὸς ἂν εἴη λέγειν, ὡς ἡμεῖς ὑπειλήφαμεν. ἐπειδὴ δὲ κατὰ τὴν λέξιν μᾶλλον ἔοικε τῷ Λυσίᾳ, τὴν ἀρχὴν ἀπὸ ταύτης ποιησάμενος τὰς ὁμοιότητάς τε καὶ τὰς διαφοράς, ἃς ἔχει πρὸς ἐκείνην, ἐρῶ.

3 καθαρὰ μὲν καὶ ἀκριβὴς καὶ σαφὴς κυρία τε καὶ ἐναργὴς καὶ σύντομος, πρὸς δὲ τούτοις πιθανή τε καὶ

6—10 cf uitae X orr 839ᵉ

1 uerba seclusa om Blass Att Bereds III 14, 2 (ed princ 1877) cf Harpocr u Ἰσαῖος praeter testimonia a Sadeao p 279 adlata 3 δὴ B: δὲ FMP | καὶ τῆς δυνάμεως F 5 μὲν add F² 6 ἐσπούδα[σε] F cum ras 7 καὶ εἰ] ὥστ' εἰ uitarum auctor 9 πολλοὺς τῶν λόγων ῥᾳδίως uitarum auctor | παρακρούσεται ex παρακούσεται F² 11 οὐχ add Hudson οὕτως in οὗτοι γ' uel οὐδαμῶς mutant alii 12 διὰ μιᾶς] διὰ ἰδίας Blass, δι' ἄλλης Usener | ἀπαράλακτός P 16 ὑπειλείφαμεν F | ἐπεὶ MBP 20 ἀκριβὴς] fuit cum ἀκραιφνής conicerem

πρέπουσα τοῖς ὑποκειμένοις στρογγύλη τε καὶ δικανικὴ οὐχ ἧττόν ἐστιν ἡ Ἰσαίου λέξις τῆς Λυσίου, καὶ κατὰ μὲν ταῦτα οὐκ ἄν τις αὐτὴν διαγνοίη. διαφέρειν δὲ ἐκείνης δόξειεν ἂν ἐν τοῖσδε· ἡ μὲν γὰρ ἀφελής τε καὶ ἠθικὴ μᾶλλόν ἐστι σύγκειταί τε φυσικώτερον καὶ
590 ἐσχημάτισται ἁπλούστερον | ἡδονῇ τε καὶ χάριτι πολλῇ κεχορήγηται. ἡ δὲ Ἰσαίου τεχνικωτέρα δόξειεν ἂν εἶναι καὶ ἀκριβεστέρα τῆς Λυσίου τήν τε σύνθεσιν περιεργοτέρα τις καὶ σχηματισμοῖς διειλημμένη ποικίλοις, ὅσον τε ἀπολείπεται τῆς χάριτος ἐκείνης, τοσοῦτον ὑπερέχει τῇ δεινότητι τῆς κατασκευῆς καὶ πηγή τις ὄντως ἐστὶ τῆς Δημοσθένους δυνάμεως. τὴν μὲν οὖν λέξιν οὕτως ἄν τις διαγνοίη, ἐν δὲ τοῖς πράγμασι τοιαύτας τινὰς εὑρήσει διαφοράς. παρὰ Λυσίᾳ μὲν οὐ πολλὴν τὴν ἐπιτέχνησιν οὔτ' ἐν ⟨τοῖς⟩ μερισμοῖς τῶν πραγμάτων οὔτ' ἐν τῇ τάξει τῶν ἐνθυμημάτων οὔτ' ἐν ταῖς ἐξεργασίαις αὐτῶν ὄψεται· ἁπλοῦς γὰρ ὁ ἀνήρ. παρ' Ἰσαίῳ δὲ ⟨ἀκριβέστερον⟩ καὶ τεχνικώτερον ἤδη γινόμενα ταῦτα εὑρήσει. καὶ γὰρ ἐφόδοις χρῆται καὶ προκατασκευαῖς καὶ μερισμοῖς τεχνικωτέροις καὶ τίθησιν ἐν οἷς δίδωσι χρῆσιν ἕκαστον καὶ μέχρι πολλοῦ προάγει τὰς τῶν ἐπιχειρημάτων ἐξεργασίας σχημάτων τε μετα-

1 scholion φανεροῦσα τοὺς δικανικοὺς ἀγῶνας (l. φέρουσα)

1 τε F¹: δὲ MBPF² | δικανικὴ φανεροῦσα τοὺς δικανικοὺς ἀγῶνας FMBP scholion agnouit Reiskius 4 ἐκείνοις M 5 ἐστιν FP 6 χάρητι corr in χάριτι P 7 κεχορήγηται] κέχρηται FMBPv | τεχνηκωτέρα M 8 περὶ εργωτέρα F 12 ἐστὶ] ἐστὶν in fine uersus add F² 14 παρὰ Λυσίᾳ μὲν primo in παρὰ μὲν Λυσίᾳ correxit deinde lectionem alteram restituit M 15 τοῖς suppeditat γένος Ἰσαίου 16 οὔτε ἐν τῶς F 18 παρὰ MBP | ἀκριβέστερον add Sadaeus 21 χρῆσιν] χωρίον FMBPv fort χρῆσιν χωρίοις conf de Dem p 1062 22 ἐπιχειρημάτων Krüger: ἐγχειρημάτων

βολαῖς ἐναγωνίων καὶ παθητικῶν ποικίλλει τοὺς λόγους. καὶ πρὸς μὲν τὸν ἀντίδικον διαπονηρεύεται, τοὺς δὲ δικαστὰς καταστρατη|γεῖ, τοῖς δὲ πράγμασιν, ὑπὲρ ὧν 591 ὁ λόγος, ἐκ παντὸς πειρᾶται βοηθεῖν.

4 ἵνα δὲ μᾶλλον ἡ διαφορὰ τῶν ἀνδρῶν γένηται καταφανής, εἰκόνι χρήσομαι τῶν ὁρατῶν τινι. εἰσὶ δή τινες ἀρχαῖαι γραφαί, χρώμασι μὲν εἰργασμέναι ἁπλῶς καὶ οὐδεμίαν ἐν τοῖς μίγμασιν ἔχουσαι ποικιλίαν, ἀκριβεῖς δὲ ταῖς γραμμαῖς καὶ πολὺ τὸ χαρίεν ἐν ταύταις ἔχουσαι. αἱ δὲ μετ' ἐκείνας εὔγραμμοι μὲν ἧττον, ἐξειργασμέναι δὲ μᾶλλον, σκιᾷ τε καὶ φωτὶ ποικιλλόμεναι καὶ ἐν τῷ πλήθει τῶν μιγμάτων τὴν ἰσχὺν ἔχουσαι. τούτων μὲν δὴ ταῖς ἀρχαιοτέραις ἔοικεν ὁ Λυσίας κατὰ τὴν ἁπλότητα καὶ τὴν χάριν, ταῖς δὲ ἐκπεπονημέναις τε καὶ τεχνικωτέραις ὁ Ἰσαῖος. ἦν δὲ περὶ αὐτοῦ δόξα παρὰ τοῖς τότε γοητείας καὶ ἀπάτης, ὡς δεινὸς ἀνὴρ τεχνιτεῦσαι λόγους ἐπὶ τὰ πονηρότερα, καὶ εἰς τοῦτο διεβάλλετο. δηλοῖ δὲ τοῦτο τῶν ἀρχαίων τις ῥητόρων ἐν τῇ Δημοσθένους | κατηγορίᾳ Πυθέας, 592 ὡς ἐμοὶ δοκεῖ. πονηρίαν γὰρ τῷ Δημοσθένει καὶ κακίαν τὴν ἐξ ἀνθρώπων πᾶσαν ἐνοικεῖν φήσας, κατὰ τόδε τὸ μέρος οἷον εἰς διαβολὴν ἐπιτίθησιν, ὅτι τὸν Ἰσαῖον ὅλον καὶ τὰς τῶν λόγων ἐκείνου τέχνας σεσί-

19 Pytheae fr III S

1 ἐνα[γων]ίων cum ras F | ποικί.λει cum ras F 6 εἰσὶ δὴ M: εἰ δὴ FPB 7 χρώμασιν omisso μὲν F 9 δ' ἐν ταῖς Holwellus | χάριεν FB 11 ἐξειργασμένα F 12 ποικι.λόμενα F cum ras | τῶι postea add F 13 ἔοικεν F 15 ὁ om F¹ 17 ἀνὴρ FMBP: corr Krüger | πονηρότ[ερ]α cum ras F² 18 διέβαλεν F¹ corr F² fort καὶ διεβάλλετο 21 φήσας Sylburgius: φῆσαι F φησὶ MBP | κατὰ τόδε τὸ μέρος οἷον] καὶ τόδε τὸ μέρος ὅλον FMBPv

τισται. καὶ μὰ Δία οὐκ ἄπο σκοποῦ τὴν διαβολὴν ταύτην εἶχεν ἑκάτερος. ἐμοὶ γοῦν οἱ μὲν Ἰσαίου τε καὶ Δημοσθένους λόγοι, κἂν περὶ ἀληθεῖς καὶ δικαίας συνταχθῶσιν ὑποθέσεις, ὕποπτοι δοκοῦσιν εἶναι τῆς πολλῆς ἐπιτεχνήσεως ἕνεκα, οἱ δὲ Ἰσοκράτους καὶ Λυσίου παντὸς μάλιστα δίκαιοί τε καὶ ἀληθεῖς, κἂν μὴ τοιαῦτα τὰ πράγματα ἐν αὐτοῖς, ὅτι κακοῦργον οὐδὲν ἐπιφαίνουσιν ἐπὶ τῆς κατασκευῆς, ἀλλ' εἰσὶν ἐλεύθεροί τινες καὶ ἀφελεῖς.

5 ταυτί μοι τὰ διαλλάττοντα ἔδοξεν εἶναι, ἐξ ὧν ἄν τις οὐ χαλεπῶς διαγνῶναι τοὺς Λυσίου τε καὶ Ἰσαίου λόγους δυνηθείη. εἰ δὲ ὀρθῶς ὑπείληφα, ἐξέσται τῷ βουλομένῳ σκοπεῖν ⟨ἐπ' αὐτῶν τῶν παραδειγμάτων ποιουμένῳ⟩ τὴν ἐξέτασιν. ἄρξομαι δὲ ἀπὸ τῶν περὶ τὴν λέξιν θεωρημάτων. ἔστι δή τις Ἰσαίου λόγος | 593 ὑπὲρ Εὐμάθους, μετοίκου τινὸς τῶν τραπεζιτευόντων Ἀθήνησιν, ὃν εἰς δουλείαν ἀγόμενον ὑπὸ τοῦ κληρονομήσαντος τὸν ἀπηλευθερωκότα τῶν ἀστῶν τις ἀφαιρεῖται καὶ τὴν ἀπολογίαν ποιεῖται περὶ αὐτοῦ. τὸ προοίμιον δέ ἐστι τοῦ λόγου τοιόνδε· "Ἄνδρες δικασταί,

20 Isaei fr XVI 1 S

1 ἄπο ex ἄπω F ἀπὸ BP 2 ἔμοιγ' οὖν M ἐμοί γ' οὖν F | τε add F² 3 καὶ περὶ ἀληθείας καὶ δικαίας συντάξεως αἱ ὑποθέσεις FMBP: corr Blass καὶ περὶ ἀληθεῖς — συνταχθέντες ὑποθέσεις ci Reiskius 7 τὰ add F² om F¹MBP sed ante πράγματα P in initio uersus lacunam XI fere litt habet, B spatium X fere litt, ᾗ insuper addi Krüger iussit 9 ἐλευθέριοί Krüger praue 10 διαλλόττοντα F 11 Ἰσαίου] λυσαίου P corr in ἰσαίου 13 suppleuit Krüger 15 δέ τις F 16 εὐμαθοὺς M εὐμαθοὺς* F signum add F² sed in mg nihil, εὐμαθοῦς PBv: corr Reiskius 17 ἀγόμενον MBPF² καταλεγόμενον F¹ 18 ἀφαιρεῖται τίς F signa transpositionis add F²

ἐγὼ καὶ πρότερον Εὐμάθει τούτῳ ἐγενόμην χρήσιμος δικαίως καὶ νῦν, εἴ τι ἔστι κατ' ἐμέ, πειράσομαι συσσῴζειν αὐτὸν μεθ' ὑμῶν. μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ ἢ ἄλλῃ τινὶ ἀδικίᾳ πρὸς τὰ Εὐμάθους πράγματα προσῆλθον. τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδότου ἄρχοντος καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης παρ' Εὐμάθει τούτῳ, μεταπεμψάμενος τοὺς οἰκείους καὶ φίλους τοὺς ἐμοὺς Εὐμάθης ἐνεφάνισε τὰ χρήματα, ἃ ἦν μοι παρ' αὐτῷ, καὶ ἀπέδωκε πάντα ὀρθῶς καὶ δικαίως. ἀνθ' ὧν ἐγὼ σωθεὶς ἐχρώμην τε αὐτῷ ἔτι μᾶλλον καὶ κατασκευαζομένῳ τὴν τράπεζαν εἰσευπόρησα ἀργυρίου. καὶ μετὰ ταῦ|τα ἄγοντος αὐτὸν 594 Διονυσίου ἐξειλόμην εἰς ἐλευθερίαν εἰδὼς ἀφειμένον ἐν τῷ δικαστηρίῳ ὑπὸ Ἐπιγένους. ἀλλὰ περὶ μὲν τούτων ἐπισχήσω.'

6 ἔστι δὴ καὶ παρὰ τῷ Λυσίᾳ τις ὑπὲρ ἀνδρὸς ξένου δίκην φεύγοντος περὶ κλήρου ποιούμενος τὴν ἀπολογίαν. τοῦτον ἐπιγράφει τὸν λόγον Καλλίμαχος 'περὶ Φερενίκου ὑπὲρ τοῦ Ἀνδροκλείδου κλήρου' καὶ ἔστι πολλοῖς πρό-

1 εὐμαθεῖ libri 2 καὶ δικαίως F | ἐστὶν ἐν ἐμοὶ F 3 συσώζειν P | μικὰ F^1 4 μηδεὶς Schoemann P p 596: μηθεὶς FMBP 5 εὐμαθοὺς F εὐμαθοῦς ceteri hic et infra omnes nisi aliter notatur, item εὐμαθεῖ εὐμαθής | πραγμα (sic) P 6 Κηφισοδότου p 597: Κηφισοδώρου FMBP 7 καὶ λο F^1 corr F^2 | οἰκείους MBPF^2 in mg: ἰδίους F^1 8 τετελευτικὼς F^1 10 οἰκείους τε καὶ F | ἐνεφάνισεν F 12 ἐχρώμην αὐτῷ F 14 εἰσευπόρησα] πρὸς εἰς εὐπόρησα M πρὸς εἰσευπόρησα B πρὸς εἰς εὐπορίαν F apparet igitur in archetypo fuisse προσευπόρησα addito εἰς super πρὸς. προσεισευπόρισα F^2 προσεισεπόρησα P et mg B 15 ἀφειμένου P 16 ἐν τῷ δικαστηρίῳ delet Rabe 17 ἐπισχήσω Sylburgius: ὑποσχήσω FMP ὑπὸ σχήσω B 21 ἀνδρὸς κλείδου P

τερον ἠγωνισμένος ἔτεσι θατέρου. ἐν ᾧ τὴν αἰτίαν πρώτως ἐπιδείκνυσιν ὁ περὶ τοῦ ξένου ποιούμενος τοὺς λόγους ὥσπερ ὁ τὸν μέτοικον ἐξαιρούμενος εἰς ἐλευθερίαν. ἔστι δὲ τὸ προοίμιον τοῦ λόγου τόδε· ''Ἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί, περὶ τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς Φερενίκου πρῶτον εἰπεῖν πρὸς ὑμᾶς, ἵνα μηδεὶς ὑμῶν θαυμάσῃ, ὅτι ὑπὲρ 595 οὐδενὸς ὑμῶν πώποτε εἰρηκὼς πρό|τερον ὑπὲρ τούτου νυνὶ λέγω. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, ξένος ἦν Κηφισόδοτος ὁ τούτου πατήρ, καὶ ὅτε ἐφεύγομεν, ἐν Θήβαις παρ' ἐκείνῳ κατηγόμην καὶ ἐγὼ καὶ ἄλλος Ἀθηναίων ὁ βουλόμενος, καὶ πολλὰ καὶ ἀγαθὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ παθόντες ὑπ' αὐτοῦ εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθομεν. ἐπεὶ δ' οὖν οὗτοι ταῖς αὐταῖς τύχαις ἐχρήσαντο καὶ φυγάδες Ἀθήναζε ἀφίκοντο, ἡγούμενος τὴν μεγίστην αὐτοῖς ὀφείλειν χάριν οὕτως οἰκείως αὐτοὺς ὑπεδεξάμην, ὥστε μηδένα γνῶναι τῶν εἰσιόντων, εἰ μή τις πρότερον ἠπίστατο, ὁπότερος ἡμῶν ἐκέκτητο τὴν οἰκίαν. οἶδε μὲν οὖν καὶ Φερένικος, ὦ ἄνδρες δικασταί, ὅτι πολλοὶ λέγειν εἰσὶν ἐμοῦ δεινότεροι καὶ μᾶλλον τοιούτων πραγμάτων ἔμπειροι, ἀλλ' ὅμως ἡγεῖται τὴν ἐμὴν οἰκειότητα πιστοτάτην εἶναι. αἰσχρὸν οὖν μοι δοκεῖ εἶναι κελεύοντος τούτου καὶ δεομένου τὰ δίκαια αὐτῷ βοηθῆσαι περιιδεῖν αὐτόν,

5 Lysiae fr CXX S

1 ἠγονισμένος F^1 ἠγωνισμένους M 2 πρώτως Reiskius πρῶτον Krüger: πρῶτος FMBP 7 θαυμάσῃ p 596: θαυμάζῃ FMBP 8 πόποτε M 9 ἐμοὶ μὲν P 13 δημοσια accentu super o deleto F 16 χάριν in ras F^1 19 οἶδεν F 23 αἰσχρόν μοι οὖν F | κελεύοντος] ἱκετεύοντος recte Hirschig 24 περι[ι]δεῖν F cum ras

*καθ᾽ ὅσον οἷός τ᾽ εἰμὶ ἐγώ, τῶν ὑπ᾽ Ἀνδροκλείδου
δεδομένων στερηθῆναι.᾽*

7 *τί δὴ ταῦτα τὰ προοίμια ἀλλήλων διαφέρει; παρὰ
Λυσίᾳ μὲν ἡδεῖά ἐστιν ἡ εἰσβολὴ καὶ δι᾽ οὐδὲν | ἄλλο* 596
*μᾶλλον ἢ ὅτι φυσικῶς πως εἴρηται καὶ ἀφελῶς·
ʽἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί, περὶ
τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς Φερενίκου πρῶτον εἰπεῖν
πρὸς ὑμᾶς.᾽ καὶ τὸ ἐπιλεγόμενον τούτῳ ἔτι μᾶλλον
ἀκατάσκευον φαίνεται εἶναι καί, ὡς ἂν ἰδιώτης τις
εἰπεῖν δύναιτο, [τὸ] εἰρημένον· ʽἵνα μηδεὶς ὑμῶν
θαυμάσῃ, ὅτι ὑπὲρ οὐδενὸς ⟨ὑμῶν⟩ πώποτε εἰρηκὼς
πρότερον ὑπὲρ τούτου νῦν λέγω.᾽ παρὰ δὲ Ἰσαίῳ
κατεσκεύασται τὸ δοκοῦν εἶναι ἀφελὲς καὶ οὐ λέληθεν,
ὅτι ἐστὶ ῥητορικόν· ʽἐγὼ καὶ πρότερον Εὐμάθει τούτῳ
ἐγενόμην χρήσιμος δικαίως καὶ νῦν, εἴ τι ἔστι κατ᾽
ἐμέ, πειράσομαι συσσῴζειν αὐτόν.᾽ ὑψηλότερά ⟨τε γάρ⟩
ἐστι καὶ ἧττον ἐκείνων ἀφελέστερα, καὶ ἔτι μᾶλλον τὰ
ἐπιφερόμενα· ʽμικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς
ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ ἢ ἄλλῃ τινὶ ἀδικίᾳ
πρὸς τὰ Εὐμάθους πράγματα προσῆλθον.᾽ ἥ τε γὰρ
προπέτεια καὶ ἡ ἀδικία καὶ τὸ πρὸς τὰ Εὐμάθους
πράγματα | προσελθεῖν πεποιημένοις μᾶλλον ἔοικεν ἢ* 597
αὐτοφυέσι. καὶ αὖθίς γε παρὰ μὲν τῷ Λυσίᾳ ἡ πρό-

1 *ὅσον* ex *ὅστον* F | *τε* BP 4 *ἡδεῖά* Reiskius: *ἰδία* FMB *ἴδια* P 8 [*ὑ*]*μᾶς* F^2 cum ras 9 *ἀκατάσκευ*[*ον*] cum litura corr M | *εἶναι φαίνεται* MBP 10 *τὸ* deleui 11 *πόποτε* M 13 *κατεσκεύασθαι* B *κατασκεύασθαι* P 14 *ὅτι ἔστι* M | *ἐγὼ πρότερον* M 16 *ὑψηλοτέρα* FM^1P | *γὰρ* add Sylburgius 17 [*ἧττο*]*ν* F^1 cum ras | *ἀφελεστέρα ἐκείνων* M *ἀφελέστερα ἐκείνων* BP 18 *μηθεὶς* FMB *μηδεὶς* P corr in *μηθεὶς* 19 *ἀκίᾳ* P 20 *εὐμαθοὺς* M | [*π*]*ρά*[*γ*]*ματα προσ*[*ῆ*]*λθ*[*ο*]*ν* F^1 cum ras 22 *πεποιημέναις* FMBP: corr Sylburgius 23 *αὖθι γε* M *αὖθι σγε* F^1 habuisse uidetur

*φασις λέγεται ἀνεπιτηδεύτως· ʽἐμοὶ γάρ, ὦ ἄνδρες
δικασταί, ξένος ἦν Κηφισόδοτος ὁ τούτου πατήρ, καὶ
ὅτε ἐφεύγομεν, ἐν Θήβαις παρ᾽ ἐκείνῳ κατηγόμην καὶ
ἐγὼ καὶ ἄλλος Ἀθηναίων ὁ βουλόμενος.᾽ ἡδέως τε καὶ
ἀφοριστικῶς τὰ μετὰ ταῦτα ἐπιτίθεται· ʽκαὶ πολλὰ καὶ
ἀγαθὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ παθόντες ὑπ᾽ αὐτοῦ εἰς
τὴν ἡμετέραν αὐτῶν κατήλθομεν.᾽ παρὰ δὲ τῷ Ἰσαίῳ
πέφρασται περιεργότερον καὶ οὐ μακρὰν ἀπέχει τῆς
Δημοσθένους κατασκευῆς· ʽτριηραρχοῦντος γάρ ⟨μου⟩
ἐπὶ Κηφισοδότου ἄρχοντος καὶ λόγου ἀπαγγελθέντος
πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ
ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης παρ᾽ Εὐμάθει*
598 *τούτῳ.᾽ τό τε γὰρ | λόγου ἀπαγγελθέντος καὶ τὸ ὡς
ἄρα τετελευτηκὼς εἴην καὶ τὸ οὔσης ἐμοὶ παρακαταθήκης οὐκ ἂν φαίην ἔγωγε ἀφελῶς εἰρῆσθαι. ἐκείνως
γὰρ λεγόμενα μᾶλλον ἀποίητα· ʽὅτε γὰρ ἐτριηράρχουν
καὶ ἀπηγγέλη τοῖς ἐνθάδε, ὡς ἄρα τετελευτηκὼς εἴην,
ἔχων μου παρακαταθήκην Εὐμάθης οὑτοσί.᾽*

καὶ τὰ λοιπὰ δὲ τῶν προοιμίων μέρη παρ᾽ ᾧ μὲν 8
*ἀφελέστερον ἄν τις εὕροι λεγόμενα, παρ᾽ ᾧ δὲ ῥητορικώτερον. ἐν ἑτέρῳ δὲ ἀγῶνι πάλιν ὁ μὲν Ἰσαῖος ἐπιτρόπῳ τινὶ συντάξας ἀπολογίαν ὑπὸ τοῦ ἰδίου ἀδελφιδοῦ
κρινομένῳ τοιαύτῃ κέχρηται ⟨τῇ⟩ ἀρχῇ· ʽἘβουλόμην*

23 Isaei fr X 1 S

5 *μετὰ*] *μὲν* P 7 *κατήθομεν* F^1 10 *κηφισοδώρου* F^1 | *ἀπαγγελθόντος* MP 11 *οἰκείους* F sed *οἰκεί* in ras m^1 | *εἴη* F 13 *τούτῳ*] *τού* postea add F^1 | *τὸ* post *καὶ* om F 14 *παρακαθήκης* F, corr m recentissima 15 *ἐκείνωι* F 17 *ἀπηγγέλ*[*η*] F cum ras *ἀπηγγέλῃ* P 19 *μὲν — παρ᾽ ᾧ* om in M adduntur in mg superiore 21 *δὲ* Reiskius: *τὲ* M *τε* FBP 22 *συντάξας* F cum ras post ς. praestat aut *συνταξάμενος* aut *συγγράψας* | *ὑπὸ τῶν ἰδίων ἀδελφῶν* FMBP *ἀδελφιδῶν* uel *ἀδελφιδοῦ* mg Bodl: corr Buermann 23 *τῇ* add Sadaeus | *ἐβουλόμην*

μέν, ὦ ἄνδρες δικασταί, μὴ λίαν οὕτως Ἁγνόθεον πρὸς χρήματ' ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν καὶ δίκας τοιαύτας λαγχάνειν, ἀλλ' ὄντα γε οὖν ἀδελφιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας οὐ | 599 μικρᾶς ἀλλ' ἱκανῆς ὥστε καὶ λειτουργεῖν, ὑφ' ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι, τῶν δ' ἐμῶν μὴ ἐπιθυμεῖν· ἵνα βελτίων τ' ἐδόκει πᾶσιν εἶναι σῴζων αὐτὴν καὶ πλείω ποιῶν χρησιμώτερον ὑμῖν πολίτην παρεῖχεν ἑαυτόν. ἐπεὶ δὲ τὴν μὲν ἀνήρηκε καὶ πέπρακε καὶ αἰσχρῶς καὶ κακῶς διολώλεκεν, ὡς οὐκ ἂν ἐβουλόμην, πιστεύων δ' ἑταιρίαις καὶ λόγων παρασκευαῖς ἐπὶ τὴν ἐμὴν ἐλήλυθεν, ἀνάγκη, ὡς ἔοικε, συμφορὰν μὲν εἶναι νομίζειν, ὅτι τοιοῦτός ἐστιν οἰκεῖος ὤν, ἀπολογεῖσθαι δὲ περὶ ὧν ἐγκέκληκε καὶ ἔξω με τοῦ πράγματος διαβέβληκεν ὡς ἂν οὖν δυνώμεθα προθυμότατα πρὸς ὑμᾶς.' ὁ δὲ Λυσίας ἀνδρὶ ὑπὸ τῶν ἀδελφῶν τῆς ἑαυτοῦ γυναικὸς ἐγκαλουμένῳ κακῆς ἐπιτροπῆς συγγράψας λόγον τοιούτῳ κέχρηται τῷ προοιμίῳ· 'Οὐχ ἱκανόν, ὦ ἄνδρες δικασταί, τοῖς ἐπιτρόποις, ὅσα πράγματα διὰ τὴν ἐπιτροπείαν ἔχουσιν, ἀλλὰ καὶ διασῴζοντες τὰς τῶν φίλων οὐσίας συκοφαν-

19 Lys fr LXII S

p 601: ἠβουλόμην FMBP   1 Ἁγνόθεον Cobet: ἀγνοηθέντα | πρὸς χρήματ' Bekker: προσχήματ' MB προσχήματα P προσσχήματ' F   3 ἀλλ' ὄντα γε οὖν Dobraeus: ἀλλ' οὐ τό γε οὖν F[2] ἄλλω τό γε οὖν F[1] ἀλλ' οὐ τό γε MBP ἀλλ' οὐ τό γε οὖν libri p 601   5 μικρᾶς ex μηκρᾶς F[1]   6 αὐτῷ Reiskius: αὐτῶν | τῶν δὲ PB   7 τε δοκῆ MB τε δοκῇ P τε δοκῆι F: corr Reiskius   8 παρεῖχεν post αὐτὴν expunxit M   9 [ἐπεὶ] in ras F[2] | ἀνήιρηκε cum ras post κε F   11 οὐκὰν M | ἠβουλόμην libri. super ή in F accentus erasus est | ἑταιρείαις Sauppius   12 ἔοικεν M   14 ἀπ[ο]λογεῖσθαι F cum ras | ἐγκέκληκεν MBP | με] μὲν F   15 οὖν seclusit Bekker   18 λόγ[ο]ν F cum ras   20 ἐπιτροπίαν BF[1]

τοῦνται ὑπὸ τῶν ὀρφανῶν πολλοί. ὅπερ κἀμοὶ νῦν 600 συμβέβηκεν. ἐγὼ γάρ, | ὦ ἄνδρες δικασταί, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα, ὧν ἐπίτροπος κατελείφθην, συκοφαντοῦμαι νῦν ὑπ' αὐτῶν ἀδίκως.'

οὐ πολλῶν οἶμαι δεῖν λόγων, ὅτι τοῦτο μὲν ἀφελῶς 9 καὶ ἡδέως εἴρηται ἦθός τε οὐ πεπλασμένον ἀλλὰ φυσικὸν ἐπιφαίνει. τὸ γάρ· 'οὐχ ἱκανόν, ὦ ἄνδρες δικασταί, τοῖς ἐπιτρόποις, ὅσα πράγματα διὰ τὴν ἐπιτροπείαν ἔχουσιν' οὐδεὶς ἂν εἴποι ῥήτορος εἶναι, ἀλλὰ παντὸς ἰδιώτου καταστάντος εἰς ἀγῶνα ἄδικον. τὸ δ' Ἰσαίου πεποιῆσθαι ῥητορικῶς καὶ κεκαλλιλογῆσθαι σεμνότερον ἅπαντες ἂν φήσειαν, τὸ γάρ· 'ἐβουλόμην μέν, 601 ὦ ἄν|δρες δικασταί, μὴ λίαν οὕτως Ἁγνόθεον πρὸς χρήματα ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν.' καὶ ἔτι μᾶλλον παρὰ Λυσίᾳ μὲν χαριέντως πάνυ καὶ ἀφελῶς εἰρῆσθαι τό· 'ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα.' θάτερον δὲ τρανότερον καὶ οὐχ ὡς ἂν ἰδιώτης συνέθηκεν· 'ἀλλ' ὄντα γε οὖν ἀδελφιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας οὐ μικρᾶς ἀλλ' ἱκανῆς,

1 νῦν add F[2]   2 καταληφθεὶς M   4 διαχειρήσας BP   7 λό[γω]ν F cum ras   8 ἦθός ex ἦτός F[1]   10 ἐπιτροπὴν F ἐπιτροπίαν P[1]   13 κεκαλλιλογῆσθαι Sylburgius: καλλιολογήσασθαι F καλλιλογίσασθαι M καλλιλογίσασθαι BP   14 γὰρ om MBP   15 ἀγνοηθέντα FMBP | προσσχηματα accentu super προσ eraso F προσχήματα MBP   17 Λυσί[α] cum litura corr M   18 εἰρεῖσθαι P   20 διαχειρήσας B   22 τραγικώτερον Reiskius praue   23 μετέθηκεν F | ἀλλ' οὐ τό γε οὖν FMBP | ἐμὸν bis exstat in P

ὥστε καὶ λειτουργεῖν, ὑφ' ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι.' ἑνὸς δ' ἔτι μνησθήσομαι γένους, ἐξ οὗ μάλιστα ἡ διαφορὰ τῶν ἀνδρῶν ἔσται καταφανής.

10 ὑποτίθεται δὲ ἑκάτερος ἰδιώτην ἄνδρα καὶ ἀπράγμονα καὶ νέον παρὰ τὴν ἑαυτοῦ προαίρεσίν τε καὶ φύσιν ἠναγκασμένον ἐν δικαστηρίῳ λέγειν, ὁ μὲν Λυσίας ἐν τῷ πρὸς Ἀρχεβιάδην λόγῳ τὸν τρόπον τοῦτον· 'Ἐπειδὴ τάχιστα ἔλαχέ μοι ταύτην τὴν δίκην Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, προσῆλθον αὐτῷ
λέγων, ὅτι | νέος καὶ ἄπειρος εἴην πραγμάτων καὶ 602
οὐδὲν δεόμενος εἰσιέναι εἰς δικαστήριον. ἐγὼ οὖν σε ἀξιῶ μὴ εὕρεμα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς φίλους καὶ τοὺς σαυτοῦ διηγήσασθαι περὶ τοῦ χρέως, ὅθεν γεγένηται. κἂν δόξῃς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἀλλὰ λαβὼν ἄπει τὰ σαυτοῦ. δίκαιος δὲ εἶ μηδὲν παραλιπεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ νεώτερός εἰμι τοῦ συμβολαίου, ἵνα ἀκούσαντες, περὶ ὧν οὐκ ἴσμεν, βουλευσώμεθα περὶ ὧν σὺ λέγεις· ἐάν πως φανερὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν ἐφίεσαι ἢ

8 Lys fr XIX S

1 αὐτῶν libri 2 δέτι F δε ἔτι M δὲ ἔτι BP | μνησθήμαι F sed μνησθή in exitu uersus 4 δὴ Krüger 7 ἀρχεβιάδην F ~ et accentum add F² | τοῦτον τὸν τρόπον P 9 ἀρχεβιαδης F lineolam add F² 10 εἴην Franzius: ἦν FMBP 12 εὕρημα P 13 τοὺς σαυτοῦ FP, Bmg: τοὺς αὐτοῦ MB 14 διηγήσασθαι τὴν ἡλικίαν τὴν ἐμὴν περὶ P. sed superscriptum rubro περιττεῖ, praeterea τὴν ἡλικίαν τὴν ἐμὴν punctis infra additis deletur | χρέως Scheibius: χρέους 15 δόξῃς FMBP p 605: δοκῇς FMBP | ἀληθ[ῆ] F cum ras 16 ἄπει Reiskius: ἐπὶ FMBP ἄπιθι Toupius | εἶ Reiskius: εἰμι 17 παραλ[ι]πεῖν F¹ cum ras 18 συμβολαίου Emperius: συμβουλεύειν 19 βουλευσ[ό]μεθα P cum ras

δικαίως τὰ σεαυτοῦ ζητεῖς κομίσασθαι. ταῦτ' ἐμοῦ προκαλουμένου οὐδεπώποτ' ἠθέλησε συνελθεῖν οὐδὲ λόγον περὶ ὧν ἐνεκάλει ποιήσασθαι οὐδὲ δίαιταν ἐπιτρέψαι, ἕως ὑμεῖς τὸν νόμον τὸν περὶ τῶν διαιτητῶν
603 ἔθε|σθε.' ὁ δὲ Ἰσαῖος ἐν ἀμφισβητήσει χωρίου τοῦ ὑπὸ τῶν δημοτῶν κατεσχημένου, οἷς τὸ χωρίον ὑπέκειτο, ταύτῃ χρώμενον εἰσάγει τῇ ἀρχῇ· 'Μάλιστα μὲν ἐβουλόμην, ὦ ἄνδρες δικασταί, μηδ' ὑφ' ἑνὸς ἀδικεῖσθαι τῶν πολιτῶν, εἰ δὲ μή, τοιούτων ἀντιδίκων τυχεῖν, πρὸς οὓς οὐδὲν ἂν ἐφρόντιζον διαφερόμενος. νῦν δέ μοι πάντων πραγμάτων λυπηρότατον συμβέβηκεν. ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν, οὓς περιορᾶν μὲν ἀποστεροῦντας οὐ ῥᾴδιον, ἀπέχθεσθαι δὲ ἀηδές, μεθ' ὧν ἀνάγκη καὶ ⟨συνθύειν καὶ⟩ συνουσίας κοινὰς ποιεῖσθαι. πρὸς μὲν οὖν πολλοὺς χαλεπὸν ἀντιδικεῖν· μέγα γὰρ μέρος συμβάλλεται ⟨τὸ⟩ πλῆθος αὐτοῖς πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν· ὅμως δὲ διὰ τὸ πιστεύειν τοῖς πράγμασι, πολλῶν μοι καὶ δυσκόλων συμπιπτόντων οὐχ ἡγούμην
604 δεῖν κατοκνῆσαι δι' ὑμῶν | πειρᾶσθαι τυγχάνειν τῶν δικαίων. δέομαι οὖν ὑμῶν συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν λέγειν ἐπὶ δικαστηρίου τετόλμηκα· διὰ

7 Isaei fr VII 1 S

1 τὰσ ἑαυτοῦ M primo | κομίσασθαι ex κοσμήσασθαι F¹ 2 παρακαλουμένου F | οὐδεπώποτε θελῆσαι FMBP sed ἠθέλησε p 605 3 ἐνεκάλει Bekker: ἐνεκαλεῖτο FMBP | διαιτᾶν F¹ ex δίαιταν 5 χωρίον τὸ—κατεσχημένον FMBP: corr Sylburgius 7 εἰσάγει Sylburgius: εἰσαγαγεῖν FMB εἰσαγαγ[εῖ] P cum ras 8 ἐβουλόμην om MBP | μὴ δ' ὑφ' M 10 ἂν οὐδὲν F¹ 13 ἀπέχεσθαι M primo | δὲ ἡδέως FMBP: corr Sylburgius 14 καὶ θύειν add Sauppius 16 τὸ add Sylburgius 18 ἡγησάμην BP 19 δεῖν hic libri omittunt, uerum exstat p 606 | διὰ FMBP | πειρᾶσθαι om F¹ add F² in mg, signo post ὑμῶν posito 20 ὑμῶν add F² | συγγνώμην F

γὰρ τοὺς ἀδικοῦντας ἀναγκάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον τοιοῦτόν τι ποιεῖν. πειράσομαι δ' ὑμῖν ἐξ ἀρχῆς, ὡς ἂν δύνωμαι, διὰ βραχυτάτων εἰπεῖν περὶ τοῦ πράγματος.'

11 τίς ἂν οὖν οὐκ ἂν ὁμολογήσειε τὸν μὲν Λυσίου νέον καὶ ἰδιώτην καὶ ἀπράγμονα ἀρχέτυπόν τινα εἶναι τῆς ἀληθείας διαφέροντα ἐκείνης οὐδ' ὁτιοῦν, τὸν ἕτερον δὲ ἀπόγραφόν τινα καὶ οὐ λανθάνοντα ὅτι πέπλασται ῥητορικῇ τέχνῃ; καὶ γὰρ αἱ λέξεις καὶ τὰ νοήματα παρ' ἐκείνῳ μὲν τὸ αὐτοφυές, παρὰ δὲ τούτῳ τὸ κατασκευαστὸν ἀποφαίνουσιν. ὃ μέν γε ἀρχῇ κέχρηται, ὅτι νέος τε καὶ ἄπειρος εἴη πραγμάτων καὶ οὐδὲν δεόμενος εἰς δικαστήριον εἰσιέναι. καὶ ἐπιφέρει πάνυ ἠθικῶς· 'ἐγὼ οὖν σε ἀξιῶ μὴ εὕρεμα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν.' καὶ τὸ μετὰ τοῦτο, ὡς φύσιν εἶχε γε|νέσθαι τε καὶ ῥηθῆναι, λέγει· ὡς ἐπὶ διαιτητὰς 605 ἠξίουν ⟨τοὺς⟩ κοινοὺς ἐλθεῖν φίλους 'κἂν δόξῃς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἀλλὰ λαβὼν ἄπει τὰ σαυτοῦ.' καὶ τὰ λοιπὰ ἐν ἤθει χρηστῷ διεξελθὼν τελευτῶν ἐπιτίθησι· 'ταῦτ' ἐμοῦ προκαλουμένου οὐδεπώποτε ἠθέλησε συνελθεῖν.' ὁ δὲ Ἰσαῖος τουτὶ μὲν τὸ μέρος τό· 'παρὰ τὴν ἑαυτοῦ γνώμην ἠναγκάσθαι λέγειν ἐν δικαστηρίῳ νέον ὄντα' ἐπὶ τελευτῇ τοῦ προοιμίου τίθησιν. ἄρχεται δὲ ἀπὸ διανοίας οὐ φαύλης μὰ Δία οὐδὲ ἰδιωτικῆς, ἀνιαρότερον εἶναι

2 *ποιεῖν* ex *εἰπεῖν* F[2] | *ἐξ ἀρχῆς* in mg postea add F[1] 5 *ἂν* post *τίς* delet Krüger | *ὁμολογήσειεν* B *ὡμολογήσειεν* MP | *Λυσίου* ex *Λυσίαν* F[1] 6 *λόγον νέον* P sed *λόγον* punctis infra additis tollitur 17 *ἠξίον* Reiskius | *τοὺς* addidi | *καὶ δόξῃς* P 18 *οὐθέν σοι* M *οὐθέν σε* FBP 19 *καὶ λαβὼν* F | *ἐπὶ* MBP *ἔπι* F | *σαὐτοῦ* M 22 *ἑαυτοῦ* Reiskius: *ἐμαυτοῦ* FMBP 23 *νέον ὄντα*] *νέοντα* M 25 *ἰδιωτικῆς*] *ῆς* in litura M | *ἀνιαρότερον* F[2]: *ἀνιαρώτερον* F[1]MBP

λέγων πρὸς τοιούτους ἀπέχθεσθαι, μεθ' ὧν ἀνάγκην εἶναι τῶν τιμιωτάτων κοινωνεῖν. ἔπειτα ἀπολύεταί τι τῶν μελλόντων αὐτὸν λυπεῖν, τὸ δὴ πολλοὺς ὄντας τοὺς δημότας πρὸς αὐτὸν ἀντιδικεῖν. συντίθησί τε τὰ ὀνόματα οὐ φαύλως μὰ Δία οὐδ' ὡς ἂν ἰδιώτης· 606 'ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν', φη|σίν, 'οὓς περιορᾶν μὲν οὐ ῥᾴδιον ἀποστεροῦντας, ἀπέχθεσθαι δ' ἀηδές, μεθ' ὧν ἀνάγκη καὶ ⟨συνθύειν καὶ⟩ συνουσίας κοινὰς ποιεῖσθαι.' ἡ γὰρ ἀηδὴς ἀπέχθεια καὶ αἱ κοιναὶ συνουσίαι τεχνικώτερον σύγκεινται μᾶλλον ἢ ἀφελέστερον, καὶ ἔτι τὸ 'πολλῶν μοι καὶ δυσκόλων συμπιπτόντων οὐχ ἡγούμην δεῖν κατοκνῆσαι δι' ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων.' ἥκιστα γὰρ ἰδιώτης ἂν οὕτως· 'οὐχ ἡγούμην δεῖν κατοκνῆσαι' οὐδέ γε τὸ 'δι' ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων', ἀλλ' ἐκείνως πως μᾶλλον· 'τοσούτων γέ μοι συμπιπτόντων δυσκόλων ἐφ' ὑμᾶς ἠνάγκασμαι καταφυγεῖν, ἵνα τῶν δικαίων τύχω δι' ὑμῶν.'

οἶμαι μὲν οὖν καὶ ἐκ τούτων οὐκ ἄδηλον εἶναι 12 τὴν τῶν ἀνδρῶν διαφοράν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν μελλόντων λέγεσθαι μᾶλλον ἔσται καταφανὴς καὶ μάλιστα ἐκ τῶν ἀποδεικτικῶν καὶ παθητικῶν λόγων, ἐν 607 οἷς ὁ μὲν | Λυσίας ἁπλούστερός τίς ἐστι καὶ κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων καὶ κατὰ τὴν κοινότητα

1 *λέγων* om F | *ἀπέχεσθαι* MF | *ἀνάγκην*] *ἀνάγκη* FMBPv 2 *εἶναι* om Sylburgius 4 *ἀντιδικεῖν* Sylburgius: *ἀδικεῖν* 7 *ἀπέχεσθαι* F 8 *ἀηδές* Sylburgius: *ἂν ἡδέως* | post *καὶ* in F duarum fere litterarum est ras 9 *κοινὰς* p 603: *τινὰς* MBPF[2] om F[1] 11 *τὸ* add F[2] | *καὶ δυσκόλων* p 603: *δυσκόλων* FMBP 12 *ἡγοῦμαι* FMBP 13 *δικαίων* MBP: *ἰδίων* F 14 *οὐχηγούμην* F[1] *οὐχ ἡγοῦμαι* MBPF[2] | fort *οὐδέ γ' οὕτω·* 15 *τυγχάνειν* in mg manus recentior M 16 *τὸ σούτων* F | *γέμοι* F 20 *διαφοράν* bis P 23 *ἐστιν* MB 24 *καινότητα* Usener et ipse olim

τῶν σχημάτων, οὑτοσὶ δὲ ποικιλώτερος. πολλὰ γὰρ ἄν τις ἰδὼν εὕροι παρ' αὐτῷ .... ὡς ἐν τούτῳ· 'πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα πρὸς θεῶν; οὐκ ἐκ τῶν μαρτύρων; οἴομαί γε. πόθεν δὲ τοὺς μάρτυρας; οὐκ ἐκ τῶν βασάνων; εἰκός γε. πόθεν δέ γε ἀπιστεῖσθαι τοὺς λόγους τοὺς τούτων; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη μεγάλη. φαίνομαι τοίνυν ἐγὼ μὲν διώκων ταῦτα καὶ τὰ πράγματα εἰς βασάνους ἄγων, οὗτος δὲ ἐπὶ διαβολὰς καὶ λόγους καθιστάς, ὅπερ ἂν τις πλεονεκτεῖν βουλόμενος ποιήσειεν. ἐχρῆν δὲ αὐτόν, εἴπερ τι δίκαιον ἐφρόνει καὶ μὴ παρακρούσασθαι τὰς ὑμετέρας γνώμας ἐζήτει, μὴ μὰ Δία ταῦτα ποιεῖν, ἀλλ' ἐπὶ τὸν λογισμὸν μετὰ μαρτύρων ἐλθεῖν καὶ ἐξετάζειν ἕκαστα τῶν ἐν τῷ λόγῳ τοῦτον τὸν τρόπον παρ' ἐμοῦ πυνθανόμενον· εἰσφορὰς λογίζῃ πόσας; τόσας· κατὰ 608
πόσον ἀργύριον εἰσενηνεγμένας; κατὰ τόσον καὶ τόσον· κατὰ ποῖα ψηφίσματα; ταυτί· ταύτας εἰλήφασι τίνες; οἵδε· καὶ ταῦτα μαρτυρόμενον σκέψασθαι τὰ ψηφίσματα, τὸ πλῆθος τῶν εἰσφορῶν, τὰ εἰσενηνεγμένα, τοὺς

2 Isaei fr X 2 S

1 *σχημάτων* ex *ὀνομάτων* F¹ 2 lacunam significaui. sententiae quidem *ἐξηλλαγμένα τοῦ συνήθους* satisfacit cf p 111, 8 3 *εἰρη|πρὸς* F in transitu uersus 4 *μαρτυριῶν* Is VIII, 28 | *γε* Is VIII, 28 Sylburgius: *δὲ* FMBP | *πόθεν δέ γε ἀπιστεῖσθαι τοὺς λόγους* pergit P 5 *πόθεν δέ γε—τούτων* in mg suppleuit m antiqua M 6 *τούτων* in ras F¹ 7 *μὲν* om F 10 *ποιήσειεν* Schoemann: *ἐποίησεν* 11 *εἴ πέρ* FM | *φρονεῖ* et 12 *ζητεῖ* libri: corr Reiskius | *παρακρούσασθαι* Sylburgius: *παρακρούσεσθαι* FMBPA | *τὰς ὑτέρας* P 14 *ἕκαστα* in ras F¹ 15 *πόσας;* Reiskius: *πρὸς* | *κατὰ πόσον* Reiskius: *καὶ πόσον* 16 *εἰσενηνεγμένης* FMBP: corr Sylburgius 17 *ποῖα* Reiskius: *πόσα* | *εἰλήφασί τινες* FMBP: corr Reiskius 18 *οἵδε· καὶ ταῦτα μαρτυρόμενον* Buermannum secutus scripsi: *οἱ καὶ ταῦτα μαρτυρόμενοι* FM *οἱ δὲ ταῦτα μαρτυρόμενοι* BP 19 *εἰσενενεγμένα* P

λαβόντας, καὶ εἰ μὲν εὖτε ...., τῷ λόγῳ πιστεύειν, εἰ δὲ μή, νῦν παρασχέσθαι μάρτυρας, εἴ τι ψεῦδος ἦν ὧν ἐλογισάμην αὐτοῖς.'

ταυτὶ μὲν διαλελυμένα καὶ ἐξ ἐπερωτήσεως. οἷς ὁ 13
Λυσίας μὲν ἥκιστα κέχρηται, Δημοσθένης δὲ ὁ παρὰ τουτουὶ τὰς ἀφορμὰς λαβὼν ἀφειδέστερον, οἷον· 'οὐκ οὖν σὺ μισθοφορὰν λέγεις; φήσει τις. καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, ἵνα τῶν κοινῶν τὸ μέρος λαμβάνων ἕκαστος, ὅτου
609 δέοιτο | ἡ πόλις, τοῦτο παρέχοι. ἔξεστιν ἄγειν ἡσυχίαν· οἴκοι μένων βελτίων εἶ, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος. συμβαίνει τι τοιοῦτον, οἷα καὶ τὰ νῦν· στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας ἡμῶν· ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτα ἐν ἴσῃ τάξει παραλαμβάνων πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι. ὅλως δὲ οὔτε ἀφελὼν οὔτε προσθεὶς πλὴν τι μικρῷ τὴν ἀταξίαν ἀνελών, εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ

6 Demosth Olynth *γ* 34—35

1 ante *τῷ* lac IX fere litt in M VII litt BP sine lac F qui *εὖ͂τε*, *εὐτε* P *εὖτε* M *εὖ τε* B 2 *παράσχεσθε* F *παρέσχεσθε* M 3 *αὐτοῖς* Sylburgius: *αὐτῆς* 5 *ὁ* del Usener 6 *τουτουὶ*] *τούτου* FMBPv | *οὐκοῦν* M 7 *σὺ* P: *σοὶ* F *σοι* MB | *λέγεις* F corr in *λέγει*, iterum *λέγεις* rest F² *λέγει* MBP | *φήσει τις* Dem: *φήσεις* F¹MBP *φησί* F² 8 *ὦ Ἀθηναῖοι* FMBP 10 *ὑπάρχοι* Dem 11 *οἴκοι* ex *οἴκο* F² | *μένειν* F | *βέλτιον εἴ του* MF | *ἀνάγκη* libri 12 *ἀπηλλαγμένος* M sed ς in litura ampliore | *συμβ[αί]νειν* F *αι* ab F² 15 *ἐστί τις* M | *οὗτος* ex *οὕτως* F 16 *λαμάνων* F | *ἀφελεῖ* M 17 *παραλαμβάνων* F: *λαμβάνων* MBP | *πάντ'* ex *τότ'* F² 19 *τι* non agnoscit D in *τινὶ* mutat Reiskius | *μικρῶι* F *μικρῷ* P *μικρῶ* MB | *ἀταξίαν* ex *ἀξίαν* F²

δικάζειν, τοῦ ποιεῖν τοῦθ', ὅ τι καθ' ἡλικίαν ἕκαστος
ἔχοι καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας.' ἐκεῖνα δὲ
κατὰ συστροφὴν καὶ παρακεκινδυνευμένα τῷ τε βραχέως
καὶ ἀγκύλως καὶ ἐκ παραδόξου συντίθεσθαι, καὶ οὐχ
ἅπασιν οὐδὲ ἐκ προχείρου γνωριζόμενα· 'καὶ οὗτος ὁ
πάντων ἀνθρώπων σχετλιώτατος, οὐ παρεχομένων |
αὐτῶν μάρτυρας [δοῦναι], ὧν ἐναντίον ἡμῖν ἀποδοῦναι 610
φασίν, [ὡς] ἐκείνοις πιστεύειν προσποιεῖται μᾶλλον,
ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ⟨ἡμῖν⟩, ὡς οὐκ ἀπειλήφαμεν.
καίτοι πᾶσι φανερόν, ὡς ἔοικεν, ⟨οἳ καὶ⟩ τὸν τούτου
πατέρα ἀπεστέρουν ὄντα ἐπίτιμον, ὅτι ἡμῖν ἑκόντες
οὐκ ἂν ἀπέδοσαν, εἰσπράξασθαι ⟨δὲ⟩ οὕτως ἔχοντες
οὐκ ἂν ἐδυνήθημεν.' καὶ γὰρ τοῦτό ἐστι τὸ σχῆμα,
ᾧ πολλάκις Δημοσθένης κέχρηται· 'εἶτ' οἴεσθε, οἳ μὲν
αὐτὸν οὐδὲν ⟨ἂν⟩ ἠδυνήθησαν ποιῆσαι κακόν, αὐτοὶ
δὲ μὴ παθεῖν ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξα-
πατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν
δὲ ἐκ προρρήσεως πολεμῆσαι;' καὶ ἔτι γε τὰ τοιαῦτα·
'ᾧ γάρ, ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων,

5 Isaei fr XLV 1 S 14 Demosth Phil γ 13 19 Isaei fr XLV 2 S

1 ἕκαστο[ς] cum ras F[2] 2 καιρὸν F[1] | ἐκεῖνα Victorius: ἐκείνα F[2] ex ἐκείνω, ἐκείνω MB ἐκείνῳ P 3 κατὰ F[2]: om F[1]MBP | τε add F[2] 5 οὗτος γὰρ F[1] 6 παρεχόμενος FMBP: corr Schoemann 7 δοῦναι seclusit Schoemann | ἡμ[ῖ]ν cum ras F[2] 8 φησίν P, F[1] corr in φασὶν | ὡς F[1]M (teste Usenero) ὡν F[2] ὧν BP seclusit Bekker ὅμως Schoemann | πιστεύει F[2] 9 ἡμῖν add Reiskius 10 πᾶσιν M | οἳ καὶ addidi 11 ἀπεστέρουν Bekker: ἀποστεροῦν FMBP 12 ἀπέδωσαν P | ἀπέδοσαν—οὐκ ἂν om in mg suppleuit m uetus M | δ' add Sauppius 13 σχ[ῆ]μα cum litura M 14 ᾧ] ὃ F | οἴεσθαι P | εἰ οἳ μὲν FPB, sed εἰ in ras et οἱ F οἱ εἰ μὲν M εἰ μὲν de Thuc p 948 οἳ μὲν de Dem 979 15 ἂν addidi ex iudiciis de Thuc et de Dem 16 τοὺς μὲν FMBP: corr Reiskius e Dem 19 ὑπῆρξεν ut uidetur F[1]

κατελελειτούργητο, δανειζομένῳ δ' οὐδεὶς ἂν ἔδωκεν
ἐπ' αὐτοῖς ἔτι πλέον οὐδέν, ἀποδεδωκότι τὰς μισθώσεις
ἔχειν ἐμοὶ προσῆκον ἀναμφισβητήτως, οὗτοι τηλικαύτην
611 δίκην λαχόντες καὶ σφέτερα | αὐτῶν εἶναι φάσκοντες
ἐκώλυσάν μ' ἐξ αὐτῶν ποιήσασθαι τὴν ἐπισκευήν.' καὶ
τί δεῖ τὰ πλείω παρατιθέντα μηκύνειν; πολλὰ γὰρ ἄν
τις εὕροι τῶν Ἰσαίου ⟨καὶ⟩ κατὰ τὴν σύνθεσιν καὶ
κατὰ τοὺς σχηματισμοὺς ἐξηλλαγμένα μὲν τῆς Λυσίου
λέξεως, ἐοικότα δὲ τῇ Δημοσθένους δεινότητι.
εἰρηκὼς δὲ καὶ περὶ τῶν πραγμάτων ὅτι δεινότερός 14
ἐστιν οἰκονομῆσαι Λυσίου καὶ ὅλους τοὺς λόγους καὶ
τὰ μέρη αὐτῶν καὶ οὐδὲν ἔξω ποιῶν τῆς τέχνης, ᾗ
μετὰ ταῦτα πολλῇ ὁ Δημοσθένης ἐχρήσατο, βούλομαι
καὶ τὰς ὑπὲρ τούτων παρασχέσθαι πίστεις. ἔσται δὲ
κεφαλαιώδης τε καὶ ὡς πρὸς ἀνεγνωκότας τὸν ἄνδρα
ὁ λόγος· οὐ γὰρ ἐγχωρεῖ παραδείγματα πάντων τιθέναι.
αὐτίκα τὰς διηγήσεις τότε μὲν ἀπροκατασκευάστους καὶ
συντόμους καὶ οὐδὲν προκαταλαμβανούσας τῶν ἀπο-
δεικτικῶν ἐν τῇ προσηκούσῃ τίθησι χώρᾳ, καθάπερ ἐν
τῷ πρὸς Μέδοντα ποιεῖ λόγῳ καὶ ἐν τῷ πρὸς Ἁγνόθεον
612 καὶ ἐν | τῇ πρὸς τοὺς δημότας ἀμφισβητήσει περὶ τοῦ
χωρίου καὶ ἐν ἄλλοις συχνοῖς. τότε δὲ μερίσας αὐτὰς

1 κατελελειτούργητο Buermann: καταλελειτουργηκότα MBP καταλειτουργηκότα F 3 lacunam subesse Buermann uidit, qui ἐκεῖνα suppleuit post ἀναμφισβητήτως, rectius post ἔχειν additurus 5 ἐκώλυσάν με Reiskius: ἐκώλυσαν μὲν 7 καὶ inserui 8 ἐξηλαγμένα F 12 ῆι cum ras post ι F 13 πολλὴ F 15 κεφαλαιώδης ex κειφαλ- F | τὸν ἄνδρα ὁ λόγος Reiskius: τὸν λόγον ἄνδρας 16 ἐγχωρεῖ Sadaeus: ἐνεχώρει | ἁπάντων P 17 τοτε F ras super ο facta τοτὲ MBPv 18 προλαμβανούσας Reiskius | ἀποδεικτ[ικῶ]ν cum ras F 19 ἐν τῷ Sauppius: ἐφ' ᾧ 20 λό|λόγωι F 22 τοτε F cum ras super ο facta τοτὲ MBPv | αὐτὰς κατὰ κεφάλαια] αὐτοῖς τὰ κεφάλαια FMBP αὐτὰς εἰς τὰ κεφάλαια Reiskius

κατὰ κεφάλαια καὶ παρ' ἕκαστον αὐτῶν τὰς πίστεις
παρατιθεὶς ἐκμηκύνει τε μᾶλλον καὶ ἐκβαίνει τὸ τῆς
διηγήσεως σχῆμα, τῷ συμφέροντι χρώμενος. ταύτης
ἐστὶ τῆς ἰδέας ἥ τε πρὸς Ἕρμωνα ὑπὲρ τῆς ἐγγύης
ἀπολογία καὶ ἡ πρὸς *Εὐκλείδην* ἀμφισβήτησις ὑπὲρ
τῆς τοῦ χωρίου λύσεως καὶ ἡ ὑπὲρ *Εὐφιλήτου* πρὸς
τὸν Ἐρχιέων δῆμον ἔφεσις. ἐν γὰρ δὴ τοῖς λόγοις
τούτοις μακροτέρας τὰς διηγήσεις οὔσας οὐχ ἅμα
τίθησιν ὅλας, ἀλλὰ κατὰ μέρη διαλαμβάνων ἐφ' ἑκάστῳ
κεφαλαίῳ τούς τε μάρτυρας ἐπάγεται καὶ τὰς ἄλλας
παρέχεται πίστεις, δεδοικώς, παρ' ὅσα γοῦν ἐμοὶ δοκεῖ,
μὴ δυσπαρακολούθητος γένηται διὰ τὸ πλῆθος τῶν
κεφα|λαίων ὁ λόγος καὶ πελαγίσῃ, αἵ τε πίστεις εἰς 613
ἓν χωρίον ἅπασαι συναχθεῖσαι, πολλαὶ καὶ περὶ πολλῶν
οὖσαι πραγμάτων, μὴ συνταράξωσι τὴν σαφήνειαν.
τοιγάρτοι μετὰ τὰς διηγήσεις τὰς οὕτως ᾠκονομημένας
οὐκ ἔτι τὰς προηγουμένας ἀποδείξεις πολλοῖς βεβαιοῦται
λόγοις οὐδ' ἔστιν ὅμοιος τοῖς νέοις τεχνογράφοις, ἀλλὰ
τὰς τῶν ἀντιδίκων πίστεις ἀναιρεῖν οἴεται δεῖν.

15 τότε δὲ προκατασκευάζεταί τινα πρὸ τῶν διηγήσεων
πράγματα καὶ προλαμβάνει τὰ μέλλοντα πιστοτέρας
αὐτὰς ἢ κατ' ἄλλο τι χρησιμωτέρας ποιήσειν [οἰόμενος],
ὡς ἐν τῇ λήξει τῇ πρὸς Ἀριστογείτονα καὶ Ἄρχιππον
εὑρίσκεται πεποιηκώς, ἐν ᾗ κλήρου τις ἀμφισβητῶν,
ἀδελφὸς ὢν τοῦ τελευτήσαντος, προκαλεῖται τὸν ἔχοντα

1 π[ί]στεις F[1] cum ras 2 ἐκβαίνει] ἐκλαμβάνει P 4 Ἕρμωνα—καὶ ἡ πρὸς om MBP | τῆ.ς F una littera cum accentu erasa 7 ἐρχιέον F 8 τούτοις add F[2] 11 παρ' ὅσα γ' Reiskius: γὰρ ὅσα γ' FM γὰρ ὥσ γ' BP 12 γένηται] ται in fine uersus add F[2] 13 πελαγίσῃ Usener: πολλάκις FMBP 17 οὐκέτι M 20 τοτὲ M τοτε ex τότε F 22 χρησιμοτέρας M | οἰόμενος seclusit Krüger 23 λήξει seu κλήσει Valesius: λύσει 25 προκαλεῖται Sylburgius: προσκαλεῖται

τἀφανῆ χρήματα εἰς ἐμφανῶν κατάστασιν, ὁ δὲ τοῦ
κλήρου κρατῶν παραγράφεται τὴν κλῆσιν, δεδόσθαι
λέγων ἑαυτῷ τὰ χρήματα κατὰ διαθήκας. διττῆς δὲ
614 τῆς ἀμφισβητήσεως ὑπαρχούσης, | τῆς μὲν περὶ τοῦ
γεγονέναι τὰς διαθήκας ἢ μή, τῆς δέ, τῶν διαθηκῶν
ἀμφισβητουμένων ἤδη, τίνα δεῖ τοῦ κλήρου κρατεῖν,
πρῶτον ἀποδοὺς τὸν ὑπὲρ τῶν νόμων λόγον καὶ ⟨κατὰ⟩
τοῦτο ἀποδείξας τὸ μέρος, ὡς οὐ δεῖ τὸν ἐπίδικον
κρατεῖσθαι κλῆρον πρὸ δίκης, οὕτως ἐπὶ τὴν διήγησιν
ἔρχεται, δι' ἧς ἀποδείκνυσιν οὐδὲ γεγενημένας ὑπὸ
τοῦ τετελευτηκότος τὰς διαθήκας. καὶ οὐδὲ ταύτην τὴν
διήγησιν ἁπλῶς πως συστρέψας καὶ ἀκατασκευάστως
τίθησιν, ἀλλὰ καὶ ταύτην μακροτέραν οὖσαν ἀποτομαῖς
τισι διαλαμβάνει καὶ καθ' ἕκαστον εἶδος μάρτυρας
ἀναβιβάζεται καὶ προκλήσεις ἀναγινώσκει καὶ συνθήκας
παρέχεται τεκμηρίοις τε καὶ σημείοις καὶ τοῖς ἐκ τῶν
εἰκότων ἐλέγχοις ἅπασι χρῆται. πολλὰς δ' ἂν ἔχοιμι
καὶ ἄλλας παρασχέσθαι διηγήσεις, πρὸς τὸ συμφέρον
ᾠκονομημένας ὑπὸ τοῦ ῥήτορος προκατασκευαῖς, παρα-
σκευαῖς, μερισμοῖς, χωρίων ἀλλαγαῖς, πραγμάτων μετα-
615 γωγαῖς, τῷ τὰ κεφάλαια ἀνεστράφθαι, τῷ | μὴ κατὰ
τοὺς χρόνους τὰ πραχθέντα εἰρῆσθαι, τῷ [ὡς] μὴ
πάντα μηδ' ἅμ' ὡς φύσιν εἶχε πραχθῆναι μηδ' ὡς ἂν
ἰδιώτης τις εἴποι λέγεσθαι, μυρίοις ἄλλοις τοιούτοις

24 post λέγεσθαι scholion μὴ μετρίως

1 ἐμφανῶν Reiskius: ἐμφανῆ 3 λέγ[ων] F[2] cum ras 7 καὶ κατὰ τοῦτο Sadaeus post Sauppium: καὶ ταῦτα 10 οὐδὲ Sylburgius: οὔτε 11 τελευτηκότος FP 14 καὶ add F[2] 19 παρασκευαῖς om MBP 21 τῷ prius τὸ] add F[2] 22 πραχθέντ[α] M cum litura | τῷ] τῶς BP | ὡς seclusit Sylburgius 23 μηδ' ἅμ' ὡς] μηδαμῶς FMBPv μηδ' ὡς Blass 24 μὴ μετρίως Holwellus eiecit

τρόποις. ἀλλ' οὔτε χρόνον ἱκανὸν ἔχω περὶ πασῶν
λέγειν, ἐκδιηγούμενος εὐθὺς ἐφ' ἑκάστης τὴν τέχνην,
ὡς ἐβουλόμην ἄν, οὔθ' ὁ πρὸς τοὺς ἐπισταμένους τὰ
πράγματα λόγος ἐν τῷ πλήθει τῶν παραδειγμάτων τὸ
πιστὸν ἔχει ἀλλ' ἀρκεῖ τοῖς τοιούτοις καὶ ἡ βραχεῖα
δήλωσις.

16 ἐρῶ δὲ καὶ κεφαλαιωδῶς περὶ ταύτης τῆς ἰδέας ἣν
ἐγὼ δόξαν ἔχω καὶ τίνι διαφέρειν οἴομαι τὸν Ἰσαῖον
τοῦ Λυσίου. τοῦ Λυσίου μὲν δή τις ἀναγινώσκων
τὰς διηγήσεις οὐδὲν ἂν ὑπολάβοι λέγεσθαι κατὰ τέχνην
ἢ πονηρίαν, ἀλλ' ὡς ἡ φύσις καὶ ἡ ἀλήθεια φέρει, αὐτὸ
τοῦτο ἀγνοῶν τῆς τέχνης, ὅτι τὸ μιμήσασθαι τὴν φύσιν
αὐτῆς μέγιστον ἔργον ἦν. ἐπὶ δὲ τῶν Ἰσαίου διηγημά-
των τοὐναντίον ἂν πάθοι, μηδὲν ὑπολαβεῖν αὐτοφυῶς 616
καὶ ἀπραγματεύτως λέγεσθαι μηδ' εἴ τινα ὡς ἔτυχε
γενόμενα εἴρηται, ἐκ κατασκευῆς δὲ πάντα καὶ με-
μηχανημένα πρὸς ἀπάτην ἢ ἄλλην τινὰ κακουργίαν.
καὶ τῷ μὲν ἂν καὶ τὰ ψευδῆ λέγοντι πιστεύσειεν ἄν,
τῷ δὲ μηδ' ἂν ἀληθεύῃ, χωρὶς ὑποψίας προσέξει.

ἐν δὲ τοῖς ἀποδεικτικοῖς διαλλάττειν ἂν δόξειεν
Ἰσαῖος Λυσίου τῷ τε μὴ κατ' ἐνθύμημά τι λέγειν ἀλλὰ
κατ' ἐπιχείρημα καὶ τῷ μὴ βραχέως ἀλλὰ διεξοδικῶς μηδὲ

7 καὶ om Fv 9 δὴ Sadaeus: ἂν FMBP οὖν Sylburgius 10 ὑπολάβῃ FMBP: corr Krüger 11 ἡ ante ἀλήθεια add F² om B | αὐτὸ. F (ς del?) 12 ὅτι τῆς τέχνης libri | μιμήσασθαι] μι in ras F | τὴςν (sic) P 14 πάθοι Sadaeus: παθεῖν FMBP | ὑπολαβὼν ci Usener 15 αὐτοπραγματεύτως libri: corr Reiskius 16 μεμηχανευμένα libri: corr Usener 17 κακοργίαν F¹ 18 καὶ τὰ ψευδῆ] καταψευδη (sic) F | πιστεύσειν MBP 19 μηδ' ἂν MF²: μηδὲν F¹ μηδὲν ἂν BP | προσέξει Sadaeus: προσέξειν 20 ἀποδεικτικοῖς Sylburgius: ἐπιδεικτικοῖς FMP ἐπιδεικτικῆς B 21 τε ex δὲ F² | ἐνθύμημά τι Victorius: ἐνθυμήματι F¹ ἐνθύμημα F²MBP

ἁπλῶς ἀλλ' ἀκριβῶς αὔξειν τε μᾶλλον καὶ δεινότερα
ποιεῖν τὰ πράγματα καὶ τὰ πάθη ποιεῖν γεννικώτερα.
ἐν γὰρ δὴ τούτοις οὐχ ἧττόν ἐστι φανερὸς τῇ Δημο-
σθένους τέχνῃ τὰς ἀφορμὰς δεδωκώς, ἀλλ' οὐ τὴν
Λυσίου διώκων ἀφέλειαν, ὡς ἐκ πολλῶν ἔστι λόγων,
617 μᾶλλον δὲ ἐκ πάντων τῶν γραφέντων ὑπ' αὐτοῦ
τεκμήρασθαι. εἰ δέ τι δεῖ καὶ παραδείγμασι χρῆσθαι,
μή τις ἀναπόδεικτα δόξῃ λέγειν ἡμᾶς, ποιήσω καὶ
τοῦτο, προχειρισάμενος τὸν ὑπὲρ Εὐφιλήτου λόγον, ἐν
ᾧ τὸν Ἐρχιέων δῆμον εἰς τὸ δικαστήριον προσκαλεῖταί
τις τῶν ἀποψηφισθέντων ὡς ἀδίκως τῆς πολιτείας
ἀπελαυνόμενος. ἐγράφη γὰρ δή τις ὑπὸ τῶν Ἀθηναίων
νόμος ἐξέτασιν γενέσθαι τῶν πολιτῶν κατὰ δήμους,
τὸν δὲ ἀποψηφισθέντα ὑπὸ τῶν δημοτῶν τῆς πολιτείας
μὴ μετέχειν, τοῖς δὲ ἀδίκως ἀποψηφισθεῖσιν ἔφεσιν
εἰς τὸ δικαστήριον εἶναι, προσκαλεσαμένοις τοὺς δη-
μότας, καὶ ἐὰν τὸ δεύτερον ἐξελεγχθῶσι, πεπρᾶσθαι
αὐτοὺς καὶ τὰ χρήματα εἶναι δημόσια. κατὰ τοῦτον
τὸν νόμον ὁ Εὐφίλητος προσκαλεσάμενος τοὺς Ἐρχιέας
618 ὡς ἀδίκως κατα|ψηφισαμένους αὐτοῦ τὸν ἀγῶνα τόνδε
διατίθεται. προείρηται μὲν δὴ τὰ πράγματα ταῦτ'
ἀκριβῶς καὶ πεπίστωται διὰ τῶν μαρτύρων, οἷς δὲ

1 ἀλλὰ B 2 γεννικώτερα Usener: γενικώτερον FMBP 3 τοίτοις F | φανερῶς FP 4 ἀλλὰ B 5 ἀφέλειαν Sylburgius: ἀσφάλειαν | πολλῶν Krüger: τε ἄλλων | λόγος MBP 6 ὑπαντοῦ F ras super π facta 7 δ' ἔτι F 9 τὸν] το in ras F² | ante λόγον in F τὸν erasum est 10 προσκαλεῖται M teste Usenero, Reiskius: προκαλεῖται FBP 12 δή τις δη B¹ 13 δῆμος M corr eadem m 15 ὑποψηφισθεῖσιν P ἀποψηφισθε[ῖσιν] F¹ cum ras 16 προκαλεσαμένοις FMBP: corr Reiskius 17 ἐξελεχθῶσι F | πεπράσθαι libri 19 προκαλεσάμενος libri: corr Reiskius | Ἐρχιέας MP: ἀρχιερέας F ἐχιέας B 20 ἀδίκους F¹ 21 ταῦτα P

βεβαίας βούλεται ποιῆσαι τὰς μαρτυρίας, τάδε ἐστίν, ὡς μὲν ἐγὼ δόξης ἔχω, πάντ’ ἀκριβῶς ἐξειργασμένα. κρινέτω δὲ ὁ βουλόμενος, εἰ τὰ προσήκοντα ἔγνωκα περὶ αὐτῶν·

17 ‘ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἀδελφὸς ἡμῖν ἐστιν οὑτοσὶ Εὐφίλητος, οὐ μόνον ἡμῶν ἀλλὰ καὶ τῶν συγγενῶν ἁπάντων ἀκηκόατε μαρτυρούντων. σκέψασθε δὲ πρῶτον τὸν πατέρα ἡμῶν, τίνος ἕνεκεν ἂν ψεύδοιτο καὶ τοῦτον μὴ ὄντα αὐτοῦ υἱὸν εἰσεποιεῖτο. πάντας γὰρ εὑρήσετε τοὺς τὰ τοιαῦτα πράττοντας ἢ οὐκ ὄντων αὐτοῖς γνησίων παίδων ἢ διὰ πενίαν ἀναγκαζομένους ξένους ἀνθρώπους εἰσποιεῖσθαι, ὅπως ὠφελῶνταί τι ἀπ’ αὐτῶν δι’ αὐτοὺς Ἀθηναίων γεγονότων. τῷ τοίνυν πατρὶ τούτων οὐδέτερον ὑπάρχει. γνήσιοι μὲν γὰρ αὐτῷ ἡμεῖς δύο υἱεῖς ἐσμεν· ὥστε οὐκ ἄν γε δι’ 619
ἐρημίαν τοῦτον εἰσεποιεῖτο. ἀλλὰ μὴν οὐδὲ τροφῆς τε καὶ εὐπορίας τῆς παρὰ τούτου δεόμενος. ἔστι γὰρ αὐτῷ ⟨βίος⟩ ἱκανὸς καὶ χωρὶς τούτου μεμαρτύρηται ὑμῖν τοῦτον ἐκ παίδων τρέφων καὶ ἀσκῶν καὶ εἰς ⟨τοὺς⟩ φράτερας εἰσάγων· καὶ ταῦτα οὐ μικρὰ δαπανήματά ἐστιν. ὥστε τόν τε πατέρα ἡμῶν οὐκ εἰκός ἐστιν, ὦ ἄνδρες δικασταί, μηδὲν ὠφελούμενον οὕτως ἀδίκῳ

5 sq Isaei or XII

1 *βεβαίως* M | *ποιῆσαι βούλεται* MBP | *τάδ’* Pv 2 *πάντα* B 5 *τοί νῦν*: *τοι* ex *και* F 6 *ὁ Εὐφήλητος* F^1 7 *ἀκηκ[ό]ατε* corr B 8 *εἵνεκεν* F | *ψεύδοιτο.* F cum ras 10 *εὑρήσετ[ε]* F^1 cum ras | *τὰ* add F^2 11 *τὴν πενίαν* P 14 *γὰρ* add F^1 15 *υἱοὶ* M sec Sadaeum | malim *ἦμεν* 16 *εἰσποιοῖτο* F^1 | malim *τροφῆς γε* 17 *ἀπορίας* MBP 18 *βίος* add Reiskius | *ἱκανὸς* F^1MB^1: *ἱκανῶς* F^2PB^2 | *μεμαρτύρ[η]ται* F cum ras *με* postea add F^1 19 *τοὺς* add Schoemann 20 *φράτορας* PMBF sed is *το* in ras | malim *εἰσαγαγών* cf Is or II 45 21 *τε* om F^1 *γε* Bekker falso 22 *ἀδίκω* M cum ras sub *ω* facta

πράγματι ἐπιχειρῆσαι. ἀλλὰ μὴν οὐδ’ ἐμέ γε οὐθεὶς ἀνθρώπων οὕτως τελέως ἂν ἄφρονα ὑπολάβοι, ὥστε τούτῳ μαρτυρεῖν τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων διανείμωμαι. καὶ γὰρ οὐδ’ ἀμφισβητῆσαί μοι ἐξουσία γένοιτ’ ἂν ὕστερον, ὡς οὐκ ἔστιν ἀδελφὸς οὗτος. ἐμοῦ γὰρ οὐθεὶς ἂν ὑμῶν τὴν φωνὴν ἀνάσχοιτ’ ἂν ἀκούων, ⟨εἰ⟩ νῦν μὲν ὑπόδικον ἐμαυτὸν καθιστὰς μαρτυρῶ, ὡς ἔστιν ἀδελφὸς ἡμέτερος, ὕστερον δὲ φαι-
620 νοίμην τούτοις ἀν|τιλέγων. οὐ μόνον τοίνυν ἡμᾶς, ὦ ἄνδρες δικασταί, εἰκός ἐστι τἀληθῆ μεμαρτυρηκέναι ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς. ἐνθυμήθητε γὰρ πρῶτον μέν, ὅτι οἱ τὰς ἀδελφὰς ἡμῶν ἔχοντες οὐκ ἄν ποτε ἐμαρτύρουν περὶ τούτου τὰ ψευδῆ. μητρυιὰ γὰρ ἡ τούτου μήτηρ ἐγεγένητο ταῖς ἡμετέραις ἀδελφαῖς. εἰώθασι δέ πως ὡς ἐπὶ τὸ πολὺ διαφέρεσθαι ἀλλήλαις αἵ τε μητρυιαὶ καὶ αἱ πρόγονοι. ὥστε εἰ οὗτος ἐξ ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ καὶ οὐκ ἐκ τοῦ ἡμετέρου πατρός, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταί, τοὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν . . . . . ἐπέτρεψαν. καὶ μὴν οὐδ’ ἂν ὁ θεῖος πρὸς μητρὸς ἡμῖν ὤν, τούτῳ δὲ οὐδὲν προσήκων δήπου τῇ τούτου μητρὶ ἠθέλησεν ἄν, ὦ ἄνδρες δικασταί, μαρτυρῆσαι

1 *οὐδεὶς* Schoemann, item infra 4 *ἀμφισ[βη]τησαί* cum ras F^1 6 *οὗτος. ἐμοῦ γὰρ οὐθεὶς*] *οὗτος ἐμοῦ. οὐθεὶς γὰρ* FMBP *ἐμοῦ* in *ἐμὸς* mutat Krüger. *ἐμὴν* post *τὴν* add Sauppius 7 *εἰ* suppleuit Sylburgius 9 *ὑμᾶς* B^1 15 *ἀλλήλων* P et mg B 16 *οἱ πρόγονοι* FMBP: corr Reiskius | *εἰ* cum litura corr M 19 *ἑαυτὸν* B^1 et M^1 | *εἴασαν καὶ ἐπέτρεψαν* MBP, item F^2 sed ut *εἴασαν καὶ* in ras sit. hoc deleuit Buermann, lacunae signa insuper addenda esse putaui. fuerat in F^1 uocabulum a uocali cum spiritu aspero incipiens, accentus super *ν*, pro *ι* in fine *ς* uidetur fuisse, loco alterius *α* aut *κ* aut *η* dispicitur. uelut *ἑκουσίως*? 20 *οὐδ’* Bekker: *οὐκ* 21 *προσῆκον* F, P corr in *προσήκων* 22 *μαρτυρῆσαι*] *υ* e corr B

ψευδῆ μαρτυρίαν, δι' ἣν ἡμῖν γίνεται βλάβη περιφανής, εἴπερ ξένον ὄντα τοῦτον εἰσποιοῦμεν ἀδελφὸν ἡμῖν αὐτοῖς. ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, πρὸς τούτοις ⟨πῶς⟩ ἄν τις ὑμῶν καταγνοίη ψευδομαρτυριῶν Δημαράτου τουτουὶ καὶ Ἡγήμονος καὶ Νικοστράτου; οἳ πρῶτον μὲν οὐδὲν αἰσχρὸν οὐδέ|ποτε φανήσονται 621 *ἐπιτηδεύσαντες, εἶτα δ' οἰκεῖοι ὄντες ἡμῖν καὶ εἰδότες ἡμᾶς ἅπαντας μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ τὴν αὑτοῦ συγγένειαν ἕκαστος. ὥστε ἡδέως κἂν τῶν ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ ἄλλοθέν ποθεν ἔχοι ἂν ἐπιδεῖξαι αὑτὸν Ἀθηναῖον ἢ ἐκ τούτων, ὧν καὶ ἡμεῖς Εὐφίλητον ἐπιδείκνυμεν. ἐγὼ μὲν γὰρ οὐκ οἶμαι ἄλλο τι ἂν αὐτὸν ⟨εἰπεῖν⟩ ἢ ὅτι ἡ μήτηρ ἀστή τέ ἐστι καὶ ⟨γαμετὴ καὶ ἀστὸς⟩ ὁ πατήρ· καὶ ὡς ταῦτ' ἀληθῆ λέγει, παρέχοιτ' ἂν αὑτῷ τοὺς συγγενεῖς μάρτυρας· εἶτα, ὦ ἄνδρες δικασταί, εἰ μὲν οὗτοι ἐκινδύνευον, ἠξίουν ἂν τοῖς αὑτῶν οἰκείοις ὑμᾶς πιστεύειν μαρτυροῦσι μᾶλλον ἢ τοῖς κατηγόροις. νυνὶ δὲ ἡμῶν πάντα ταῦτα παρεχομένων ἀξιώσουσιν ὑμᾶς τοῖς αὑτῶν πείθεσθαι λόγοις μᾶλλον ἢ τῷ πατρὶ τῷ Εὐφιλήτου καὶ ἐμοὶ καὶ τῷ ἀδελφῷ | καὶ τοῖς φράτορσι* 622

3 *ἔτι* ex *ἔστι* F | *τοί|νῦν* F 4 *πῶς* mg Bodl. harum emendationum Sylburgium auctorem esse Reiskius iudicauit | *ὑμῶν* Sylburgius: *ἡμῶν* | *ψευδομαρτυρίαν* FMBP: corr Schoemann 5 *τουὶ* F | [*νικ*]*οστράτου* cum ras F^1 8 *ἅπαντα* FMBP: corr Reiskius 9 *αὐτοῦ* libri 11 *ποτεν* B^1 | *ἔχοι ἂν* Holwellus ante Reiskium: *ἔχοιεν* FMB *ἔχειεν* P | *αὐτὸν* FMP 12 *γὰρ* ex *οὖν* F^2 13 *εἰπεῖν* add Sauppius. lacunam senserat Holwellus 14 *ἀστή* M teste Usenero, Reiskius: *αὐτή* FBP. in defectibus supplendis praeierunt Buermann et Herwerden. *γαμετὴ* an *ἐγγυητὴ* fuerit incertum esse Buermann monet 15 *αὐτῷ* libri 17 *ἂν* in MBP om in F erasum restituit Holwellus | *αὐτῶν* FMBP | *οἰκεί*[*οις*] cum ras F^2 | *ὑμᾶς* Sylburgius: *ἡμᾶς* F^1MBP *ἡμῆν* F^2 19 *ὑμᾶς* ex *ἡμᾶς* P^2 20 *αὐτῶν* libri

καὶ πάσῃ τῇ ἡμετέρᾳ συγγενείᾳ; καὶ μὴν οὗτοι μὲν οὐδὲν οὐδενὶ κινδυνεύοντες ἰδίας ἔχθρας ἕνεκα ⟨ταῦτα⟩ ποιοῦσιν, ἡμεῖς δὲ πάντας ὑποδίκους ἡμᾶς αὐτοὺς καθιστάντες μαρτυροῦμεν. καὶ πρὸς ταῖς μαρτυρίαις, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μήτηρ, ἣν οὗτοι ὁμολογοῦσιν ἀστὴν εἶναι, ὅρκον ὀμόσαι ἐπὶ τοῦ διαιτητοῦ ἐβούλετο ἐπὶ Δελφινίῳ, ἦ μὴν τουτονὶ Εὐφίλητον εἶναι ἐξ αὑτῆς καὶ τοῦ ἡμετέρου πατρός. καίτοι τίνα προσῆκε μᾶλλον αὑτῆς ἐκείνης τοῦτ' εἰδέναι; ἔπειτα, ὦ ἄνδρες δικασταί, ὁ πατὴρ ὁ ἡμέτερος, ὃν εἰκός ἐστι μετὰ τὴν τούτου μητέρα ἄριστα τὸν αὑτοῦ υἱὸν γινώσκειν, οὗτος καὶ τότε καὶ νυνὶ βούλεται ὀμόσαι, ἦ μὴν Εὐφίλητον τοῦτον υἱὸν εἶναι αὑτοῦ ἐξ ἀστῆς καὶ γαμετῆς γυναικός. πρὸς τούτοις τοίνυν, ὦ ἄνδρες δικασταί, ἐγὼ ἐτύγχανον μὲν τρισκαιδεκαετὴς ὤν, ὥσπερ καὶ πρότερον εἶπον, ὅτε οὗτος
623 *ἐγένετο, ἕτοιμος δέ εἰμι ὀμόσαι, ἦ μὴν Εὐφίλητον τουτονὶ ἀδελφὸν εἶναι ἐμαυτοῦ ὁμοπάτριον. ὥστε, ὦ ἄνδρες δικασταί, δικαίως ἂν καὶ τοὺς ἡμετέρους ὅρκους πιστοτέρους νομίζοιτε ἢ τοὺς τούτων λόγους. ἡμεῖς μὲν γὰρ ἀκριβῶς εἰδότες ὀμόσαι περὶ αὐτοῦ θέλομεν,*

2 *ἔχ*[*θ*]*ρας* M cum ras | *ταῦτα* Reiskius inseruit 3 *ποιοῦσιν*] *ν* insuper add F^1 | *ὑποδίκους ἡμᾶς* Victorius: *ὑποδιημᾶς* F^1 *ὑποδίκους* F^2MBP | *ἡμεῖς δὲ—καθιστάντες* om in M suppleuit m uetus in mg inferiore 5 *δικασταί* om FB | *εὐφιλήπου* M 6 *αὐτὴν* F 7 *ἐπι* (sic) bis F 8 *αὐτῆς* libri 9 *ἐκείνης ἄμεινον* MBP 10 *τοῦτο* F | *ἔπειτα δὲ* F uerum *δὲ* neque ab F^1 neque F^2, sed alia manu additum 11 *ἄριστα τὸν* Reiskius: *ἄριστον* 12 *αὐτοῦ* libri | *γιγνώσκειν* Sylburgius: *ἐγίνωσκεν* | *νῦν* P 13 [*β*]*ούλεται* F cum ras | *ἦ μὴν* Sylburgius: *ἡμῖν* MBF *ὑμῖν* P mg B 14 *αὐτοῦ* FMBP | *ἐξ αὐτῆς* F | *τούτους* F^1 16 *πρῶτον* F | *ὅ.τε* una littera erasa F 17 *εἰμι*] *εἰ μὴ* P | *ἦ μὴν* Sylburgius: *ἡμῖν* P *ὑμῖν* FMB 19 *δικασταί* in ras M | post *ἂν* forsitan lacuna sit

οὗτοι δὲ ταῦτα ἀκηκοότες παρὰ τῶν τούτου διαφόρων ἢ αὐτοὶ πλάττοντες λέγουσι. πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταί, ἡμεῖς μὲν τοὺς συγγενεῖς μάρτυρας καὶ ἐπὶ τῶν διαιτητῶν καὶ ἐφ' ὑμῶν παρεχόμεθα, οἷς οὐκ ἄξιον ἀπιστεῖν, οὗτοι δέ, ἐπειδὴ ἔλαχεν Εὐφίλητος τὴν δίκην τὴν προτέραν τῷ κοινῷ τῶν δημοτῶν καὶ τῷ τότε δημαρχοῦντι, ὃς νῦν τετελεύτηκε, δύο ἔτη τοῦ διαιτητοῦ τὴν δίαιταν ἔχοντος οὐκ ἠδυνήθησαν οὐδεμίαν μαρτυρίαν εὑρεῖν, ὡς οὑτοσὶ ἄλλου τινὸς πατρός ἐστιν ἢ τοῦ ἡμετέρου. τοῖς δὲ διαιτῶσι μέγιστα ⟨ταῦτα⟩ σημεῖα ἦν τοῦ ψεύδεσθαι τούτους καὶ κατεδιῄτησαν αὐτῶν ἀμφότεροι. καί μοι λαβὲ τῆς προτέρας διαίτης τὴν μαρτυρίαν. — Μαρτυρία. — Ὡς μὲν τοίνυν καὶ τότε ὦφλον τὴν δίαιταν, ἀκηκόατε. ἀξιῶ | δέ, ὦ 624
ἄνδρες δικασταί, ὥσπερ οὗτοι μέγα τοῦτ' ἂν ἔφασαν εἶναι σημεῖον, ὡς οὐκ ἔστιν Ἡγησίππου, εἰ οἱ διαιτηταὶ αὐτῶν ἀπεδιῄτησαν, οὕτω τὸ νῦν ἡμῖν τοιοῦτον εἶναι μαρτύριον ὅτι ἀληθῆ λέγομεν, ἐπεὶ ἔδοξαν αὐτοὶ ἀδικεῖν τοῦτον Ἀθηναῖον ὄντα καὶ κυρίως πρῶτον ἐγγραφέντα ὕστερον ἐξαλείψαντες. ὅτι μὲν οὖν ἀδελφὸς ἡμῶν ἐστιν οὑτοσὶ Εὐφίλητος καὶ πολίτης ὑμέτερος καὶ ἀδίκως ὑβρίσθη ὑπὸ τῶν ἐν τῷ δήμῳ συστάντων, ἱκανῶς οἴομαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, ἀκηκοέναι.'

18 οὗτος ὁ χαρακτὴρ τῶν Ἰσαίου λόγων καὶ ταῦτα τὰ

5 ἀπειθεῖν P corr in ἀπειστεῖν | εὐφίλητος om F[1] in mg add F[2] ἀφίλητος M 7 τετελεύτηκεν BP 11 ταῦτα add Reiskius | καταδιῄτησαν BP 12 αὐτὸν F[2] | λαβὲ Reiskius: λάβετε libri sed accentum om F et λαβ primo M | προτέρ[α]ς F cum ras 13 μαρτυρία om F in mg rubro adscripsit P 14 ὦφλον Holwellus: ὤφειλον 15 μέγα Reiskius: μετὰ | τοῦτ' ἂν Schoemann: ταῦτα | ἔφησαν F 17 ἀπεδιαίτησαν P 18 an αὐτοῖς? 19 ἀθηναῖοι M teste Sadaeo 20 ἐξαλήψαντες P 22 ὑπὸ bis P | δήμω ex δημο F[2]

διαλλάττοντα παρὰ τὴν Λυσίου ἀγωγήν. οὐθὲν δὲ κωλύει καὶ κεφαλαιωδῶς περιλαβόντα δι' ἐλαχίστης δηλώσεως τὰ φανερώτατα εἰπεῖν, ὅτι μοι δοκεῖ Λυσίας μὲν τὴν ἀλήθειαν διώκειν μᾶλλον, Ἰσαῖος δὲ τὴν τέχνην, καὶ ὃ μὲν στοχάζεσθαι τοῦ χαριέντως, ὃ δὲ τοῦ δεινῶς. εἰ δέ τις παραθεωροίη ταῦτα ὡς μικρὰ καὶ φαῦλα, οὐκ ἂν ἔτι γένοιτο ἱκανὸς αὐτῶν κριτής. ἀλλὰ γὰρ αἱ ὁμοιότητες συνταράξουσιν αὐτοῦ τὴν γνώμην, ὥστε
625 μὴ δια|γνῶναι τὸν ἴδιον ἑκατέρου χαρακτῆρα. καὶ περὶ μὲν τούτων ὡς ἔχω δόξης δεδήλωταί μοι.

βούλομαι δὲ ἤδη καὶ περὶ τῶν ἄλλων ῥητόρων 19
ἀποδοῦναι τὸν λόγον, ἵνα μή τις ἀγνοίᾳ με δόξῃ παραλιπεῖν αὐτοὺς ἐπιφανεῖς ὄντας καὶ ὀνόματος ἠξιωμένους οὐ μετρίου ἢ φυγῇ τοῦ πόνου τὸ ῥᾷστον αἱρούμενον τῶν ἔργων τὴν περὶ αὐτῶν ἀφεικέναι σκέψιν. ἐγὼ γὰρ οὔτε ἠγνόουν, οὓς ἅπαντες ἴσασιν, οὔτε ὤκνουν ⟨ἂν⟩ ὑπὲρ αὐτῶν γράφειν, εἴ τι χρήσιμον ἔμελλεν ἐξοίσειν ἡ γραφή. ἐνθυμούμενος δέ, ὅτι τὴν μὲν ποιητικὴν κατασκευὴν καὶ τὸ μετέωρον δὴ τοῦτο καὶ πομπικὸν εἰρημένον οὐδεὶς Ἰσοκράτους ἀμείνων ἐγένετο, παρέλιπον ἑκών, οὓς ᾔδειν ἧττον ἐν ταῖς ἰδέαις ταύταις κατορθοῦντας, Γοργίαν μὲν τὸν Λεοντῖνον ἐκπίπτοντα τοῦ μετρίου καὶ πολλαχοῦ παιδαριώδη γιγνόμενον ὁρῶν, Ἀλκιδάμαντα δὲ τὸν ἀκουστὴν αὐτοῦ παχύτερον ὄντα τὴν λέξιν καὶ κενότερον, Θεόδωρον δὲ

5 στοχάζεται corr in στοχάζεσθαι B 7 κριτής Krüger: κρατῆσαι 8 συντάξουσιν BP 10 παρὰ μὲν M sed in mg m recentior περὶ 12 με om F 14 αἱρούμενον] ἡγούμενον F et M mg 15 ἀφεικέναι ex ἀφηκέναι F[2] 17 ἂν add Holwellus 23 πολλαχοῦ MBP: πανταχοῦ F | M in mg rubro Γοργίας et cetera deinceps nomina habet 25 κενότερον Krüger: κοινότερον FMBP sed κοινο in ras F

τὸν Βυζάντιον ἀρχαῖόν τινα καὶ οὔτε ἐν ταῖς | τέχναις 626
ἀκριβῆ οὔτε ἐξέτασιν ἱκανὴν ἐν τοῖς ἐναγωνίοις δεδωκότα λόγοις, Ἀναξιμένην δὲ τὸν Λαμψακηνὸν ἐν ἁπάσαις μὲν ταῖς ἰδέαις τῶν λόγων τετράγωνόν τινα εἶναι βουλόμενον (καὶ γὰρ ἱστορίας γέγραφε καὶ περὶ τοῦ ποιητοῦ συντάξεις καταλέλοιπε καὶ τέχνας ἐξενήνοχεν, ἧπται δὲ καὶ συμβουλευτικῶν καὶ δικανικῶν ἀγώνων), οὐ μέντοι τέλειόν γε ἐν οὐδεμιᾷ τούτων τῶν ἰδεῶν ἀλλ' ἀσθενῆ καὶ ἀπίθανον ὄντα ἐν ἁπάσαις θεωρῶν. οὐ δὴ δεῖν ᾠόμην Ἰσοκράτους ἐν ἅπασι πάντων τούτων ὑπερέχοντος λόγον τινὰ ποιεῖσθαι περὶ ἐκείνων οὐδέ γε περὶ τῶν συμβιωσάντων Ἰσοκράτει καὶ τὸν χαρακτῆρα τῆς ἑρμηνείας ἐκείνου ἐκμιμησαμένων οὐθενός, Θεοδέκτου λέγω καὶ Θεοπόμπου καὶ Ναυκράτους Ἐφόρου τε καὶ Φιλίσκου καὶ Κηφισοδώρου καὶ ἄλλων συχνῶν. οὐδὲ γὰρ ἐκεῖνοι κρίνεσθαι πρὸς τὴν Ἰσοκράτους δύναμίν εἰσιν ἐπιτήδειοι.

20 τῶν μὲν δὴ κατὰ ταύτην τὴν ἀγωγὴν κοσμουμέ|νων 627
ἐκεῖνον τὸν ἄνδρα διαφορώτατον ἡγησάμενος, οὐκ ἔτι περὶ τῶν ἄλλων ἠξίωσα μακρολογεῖν καὶ δαπανᾶν εἰς οὐδὲν ἀναγκαῖον τὸν χρόνον. τῶν δὲ τοὺς ἀκριβεῖς προαιρουμένων λόγους καὶ πρὸς τὴν ἐναγώνιον ἀσκούντων ῥητορικήν, ὧν ἐγένετο Ἀντιφῶν τε ὁ Ῥαμνούσιος

1 βιζάντιον M | τινα] τι add F² 2 ἐξέτασιν ἱκανὴν ἐν τοῖς ἐναγωνίοις δεδωκότα λόγοις non intellego 3 λαμψακηνῶν F primo | ἕνα πάσαις F¹ 4 μὲν om F 5 γὰρ om F¹ 8 τελεῖόν F in quo ν postea additum est | γε ex τε M 10 δὲ P corr in δὴ | δεῖ F corr F¹ | οἰόμην in mg ᾠόμην B 13 οὐθ' ἑνός F οὐδενός PB 14 ante λέγω duae litterae in F erasae sunt | καὶ ναυκράτους—κρίνεσθαι πρὸς τὴν om in M suppleuit m uetusta atramento eodem usa sed signis rubris | Ναυσικράτους alibi audit 15 φιλίστου libri: corr Goeller 16 συγκρίνεσθαι van Vliet non necessario 18 μέντοι BP 20 δαπανῶν BP 22 ἀσκοῦντων (sic) ex ἀσκοῦντας F¹ 23 ἀντιφῶ F¹ corr eadem m

καὶ Θρασύμαχος ὁ Καλχηδόνιος καὶ Πολυκράτης ὁ Ἀθηναῖος Κριτίας τε ὁ τῶν τριάκοντα ἄρξας καὶ Ζωΐλος ὁ τὰς καθ' Ὁμήρου συντάξεις καταλιπὼν καὶ ἄλλοι τοιοῦτοί τινες, οὐδένα ἡγούμενος οὔτε ἀκριβέστερον οὔτε χαριέστερον γεγονέναι Λυσίου· Ἀντιφῶν γε μὴν τὸ αὐστηρὸν ἔχει μόνον καὶ ἀρχαῖον, ἀγωνιστὴς δὲ λόγων οὔτε συμβουλευτικῶν οὔτε δικανικῶν ἐστι, Πολυκράτης δὲ κενὸς μὲν ἐν τοῖς ἀληθινοῖς, ψυχρὸς δὲ καὶ φορτικὸς ἐν τοῖς ἐπιδεικτικοῖς, ἄχαρις δὲ ἐν τοῖς χαριεντισμοῦ δεομένοις ἐστί, Θρασύμαχος δὲ κα-
628 θαρὸς μὲν καὶ λεπτὸς καὶ δεινὸς εὑρεῖν τε | καὶ εἰπεῖν στρογγύλως καὶ περιττῶς, ὃ βούλεται, πᾶς δέ ἐστιν ἐν τοῖς τεχνογραφικοῖς καὶ ἐπιδεικτικοῖς, δικανικοὺς δὲ [ἢ συμβουλευτικοὺς] οὐκ ἀπολέλοιπε λόγους, τὰ δὲ αὐτὰ καὶ περὶ Κριτίου καὶ περὶ Ζωΐλου τις ἂν εἰπεῖν ἔχοι πλὴν ὅσον τοῖς χαρακτῆρσι τῆς ἑρμηνείας διαλλάττουσιν ἀλλήλων· τούτων δή, φημί, τῶν ἀνδρῶν καὶ τῶν παραπλησίων τούτοις διαφέρειν οἰόμενος Λυσίαν καὶ ὥσπερ ἀρχέτυπον ἀπογράφων ὑπερέχειν, ἐκεῖνον τὸν ἄνδρα ταύτης τῆς προαιρέσεως τῶν λόγων ἐποιησάμην κανόνα. τὸν δὲ δὴ τρίτον Ἰσαῖον εἴ τις ἔροιτό με τίνος ἕνεκα προσεθέμην, Λυσίου δὴ ζηλωτὴν ὄντα, ταύτην ἂν αὐτῷ φαίην τὴν αἰτίαν, ὅτι μοι δοκεῖ τῆς Δημοσθένους δεινότητος, ἣν οὐθείς ἐστιν ὃς οὐ τελειο-

1 ὁ θρασύμαχος P | χαλκηδόνιος FMBP sed χ et κ in ras F² 2 ζώιλος F¹ 4 οὐθένα BP 7 λόγων οὔτε λόγων F¹ | ἐστιν MBP 8 ἀλιθινοῖς P 10 θρασίμαχος B 11 εὑρεῖν] ν postea add F¹ 12 στρογγύλος F | περιττὸς F | δ' BP 13 δικανικοὺς ex δικανικὸς M 14 ἢ συμβουλευτικοὺς del Schwarz | fort οὐ καταλέλοιπε cf de Dinarcho p 630 18 εἰόμενος M 19 ἀπογράφων Reiskius: ὑπογράφων 20 post ἄνδρα interpungunt libri | προαιρ[έσεως τῶν λόγων] M cum ras 21 τις] τι in ras F 22 οὐ προσεθέμην FBP | [ζ]ηλωτὴν F cum ras

τάτην ἁπασῶν οἴεται γενέσθαι, τὰ σπέρματα καὶ τὰς
ἀρχὰς οὗτος ὁ ἀνὴρ παρασχεῖν. διὰ μὲν δὴ ταύτας
τὰς αἰτίας τούσδε τοὺς ἄνδρας μόνους παρέλαβον. εἰ
δὲ περὶ πάντων ἠξίουν γράφειν, εἰς κενό|τητας ἄν μοι 629
ὁ λόγος ἐξέπιπτε καὶ πρὸς τῷ μηθὲν ἢ μὴ πολὺ τὸ
χρήσιμον ἔχειν εἰς ἀπέραντόν τινα καὶ οὐ σύμμετρον
ἐξεμηκύνθη γραφήν. καὶ περὶ τούτων μὲν ἅλις. ἑτέραν
δὲ ἀρχὴν ποιήσομαι τοῦ λόγου περί τε Δημοσθένους
καὶ Ὑπερείδου καὶ τρίτου λέγων Αἰσχίνου. ἡ γὰρ δὴ
τελειοτάτη ῥητορικὴ καὶ τὸ κράτος τῶν ἐναγωνίων
λόγων ἐν τούτοις τοῖς ἀνδράσιν ἔοικεν εἶναι.

1 καὶ bis F in transitu uersuum 5 πρὸς τὸ BP | ἢ μὴ MBP: ἢ F 9 ὑπερίδου MBP 11 λόγον M | ἔοικεν] οι postea inter lineas add F[1] Ἰσαῖος ἀθηναῖος τέλος: φῦλλ ΙΒ rubro subscribit M

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ

ΤΩΝ ΑΡΧΑΙΩΝ ΡΗΤΟΡΩΝ

ΤΟΥ Β ΤΑ ΣΩΙΖΟΜΕΝΑ

M Ambrosianus
B Parisinus
P Palatinus
v lectio ab editione principe Sylburgi uolgata

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ
ΠΕΡΙ ΤΗΣ ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΕΞΕΩΣ

* * * * * * * * * * * * * * *

δικανικοῖς μὲν οὖν οὐ περιέτυχον αὐτοῦ λόγοις, δημηγορικοῖς δὲ ὀλίγοις καί τισι καὶ τέχναις, τοῖς δὲ πλείοσιν ἐπιδεικτικοῖς. τῆς δὲ ἰδέας αὐτοῦ τῶν λόγων τοιοῦτος ὁ χαρακτήρ, ἐγκωμιάζει δὲ τοὺς ἐν πολέμοις ἀριστεύσαντας Ἀθηναίων· ʽΤί γὰρ ἀπῆν τοῖς ἀνδράσι τούτοις, ὧν δεῖ ἀνδράσι προσεῖναι; τί δὲ προσῆν, ὧν δεῖ ἀπεῖναι; εἰπεῖν δυναίμην, ἃ βούλομαι, βουλοίμην δέ, ἃ δεῖ, λαθὼν μὲν τὴν θείαν νέμεσιν, φυγὼν δὲ τὸν ἀνθρώπινον φθόνον. οὗτοι γὰρ ἐκέκτηντο ἔνθεον μὲν τὴν ἀρετήν, ἀνθρώπινον δὲ τὸ θνητόν, ⟨πολλὰ μὲν δὴ τὸ παρὸν ἐπιεικὲς τοῦ αὐθάδους δικαίου προκρίνοντες, πολλὰ δὲ νόμου ἀκριβείας λόγων ὀρθότητα⟩, τοῦτον νομίζοντες θειότατον καὶ κοινότατον νόμων τὸ δέον ἐν τῷ δέοντι καὶ λέγειν καὶ σιγᾶν καὶ ποιεῖν, ⟨καὶ δισσὰ ἀσκήσαντες μάλιστα ὧν δεῖ, γνώμην ⟨καὶ ῥώμην⟩, τὴν μὲν βουλεύοντες τὴν δ᾽ ἀποτελοῦντες⟩,

1 totius libelli argumentum breuissime comprehendit anonymus W VII 1049 cf VII 93, 6 et 880, 9

1 τοῦ Ἁλικαρνασσέως v 2 λεκτικῆς Δ. δεινότητος v 4 Syrianus εἰς τὸ περὶ ἰδεῶν Ἑρμογένους β′ ὑπόμνημα p 90, 12 R: Διονύσιος ὁ πρεσβύτερος ἐν τῷ δευτέρῳ περὶ χαρακτήρων περὶ Γοργίου λέγων τάδε φησί· ʽδικανικοῖς μὲν οὖν᾽ κτλ cf W V 548, 8—551, 4 7 τοιούτου Syriani S 9 δὲ S] δαὶ Syriani V | προσῆν διαπεῖναι S 11 λαθεῖν omisso μὲν S 12 ἀνθρωπίνων S 13 uncinis saepta hic et infra om Sy, exhibet W 16 νόμων ex νόμου V 18 καὶ ῥώμην add Fossius

θεράποντες μὲν τῶν ἀδίκως δυστυχούντων, κολασταὶ δὲ τῶν ἀδίκως εὐτυχούντων, ⟨αὐθάδεις πρὸς τὸ συμφέρον⟩, εὐόργητοι πρὸς τὸ πρέπον, τῷ φρονίμῳ τῆς γνώμης παύοντες τὸ ἄφρον, ὑβρισταὶ εἰς τοὺς ὑβρίζοντας, κόσμιοι εἰς τοὺς κοσμίους, ἄφοβοι εἰς τοὺς ἀφόβους, δεινοὶ ἐν τοῖς δεινοῖς. μαρτύρια δὲ τούτων τρόπαια ἐστήσαντο τῶν πολεμίων Διὸς μὲν ἀγάλματα τούτων δὲ ἀναθήματα, οὐκ ἄπειροι οὔτε ἐμφύτου Ἄρεως οὔτε νομίμων ἐρώτων οὔτε ἐνοπλίου ἔριδος οὔτε φιλοκάλου εἰρήνης, σεμνοὶ μὲν πρὸς τοὺς θεοὺς τῷ δικαίῳ, ὅσιοι δὲ πρὸς τοὺς τοκέας τῇ θεραπείᾳ, δίκαιοι δὲ πρὸς τοὺς ἀστοὺς τῷ ἴσῳ, εὐσεβεῖς δὲ πρὸς τοὺς φίλους τῇ πίστει. τοιγαροῦν αὐτῶν ἀποθανόντων ὁ πόθος οὐ συναπέθανεν, ἀλλ' ἀθάνατος ἐν οὐκ ἀθανάτοις σώμασι ζῇ οὐ ζώντων.' * * * *
* * * * * * * * * * * * * * * * *
⟨'ἐστασίαζέ τε οὖν τὰ τῶν πόλε⟩ων, καὶ τὰ ἀφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν ἐς τὸ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ [τῇ] τῶν τιμωριῶν ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα

17 Thucydides III 82, 3 sqq

4 τὸν ἀφρόν S 5 κόσμηοι V 7 δὲ post τρόπαια add V 9 νομίμων S: νόμων V 10 φιλοκάλλου ex φιλοκαλίου S 12 δὲ om S | ἀστοὺς S: αὐτοὺς V 14 οὐ om V | ἀλλὰ θάνατος V ἀλλὰ ἀθ. S 15 οὐκ ἐν V 17 hinc incipiunt MBP | Θουκυδίδου ἔκφρασις τῆς στάσεος τῶν Κερκυραίων superscribit P | supplementa Sylburgius dedit | καὶ τὰ ἀφυστερίζοντα incipit P 18 πύστα B πείστει P πύστει Θ (i e Thucydides) sed ἐπὶ πύστει Δ (Dionysius) p 886 (i e ἐπιπύστει) | τῶν προγεγρ τῶν προγενομένων P τῶν προγεγενημένων Δ ibidem 19 τοῦ καινοῦσθαι ΘΔ p 886 20 ἐπιτεχνήσει Δ p 887 | τῇ om B? Δ p 886, 887 seclusit Sylburgius 21 τῶν ὀνομάτων ἀξίωσιν Δ p 887

954 ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος
ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς
δειλία εὐπρεπής, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα.
καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπίπαν ἀργόν, τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων πιστὸς ἀεί, ὁ δὲ ἀντιλέγων αὐτῷ ὕποπτος. ἐπιβουλεύσας δέ τις τυχών τε ξυνετὸς καὶ ὑπονοήσας ἔτι δεινότερος. προβουλεύσας δέ, ὅπως μηδὲν αὐτῷ δεήσει, τῆς τε ἑταιρίας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον
955 εἶναι ἀπροφασίστως τολμᾶν. οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ καὶ νομίμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῷ κοινῇ τι παρανομῆσαι· τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προύχοιεν, καὶ οὐ γενναιότητι. ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ προπαθεῖν. καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἴσχυον οὐκ ἐχόντων ἄλλοθεν δύ-

1 ἀντίλλαξαν P 2 φιλαίταιρος corr in φιλέταιρος P | ἐννομίσθη P 3 πρόσχημα τοῦ ἀνάνδρου Δ p 808 4 τὸ εἰς ἅπαν ξυνετὸν ibidem Δ 5 ἀσφαλείᾳ Θ libri partim 9 δεικονότερος P 10 αὐτῶν Θ | τε om Δ p 889 | διαλύτης P 11 ἐκπεπληγμένους B 13 ξυνεγγενὲς P corr in ξυγγενὲς 15 ἀπροφασείστως P 16 ὠφελίας Θ 17 εἰς MP 18 τῷ θείω νόμῳ Θ | ἐκρατίνοντο P 20 εἰ προὔχοιεν M: εἴπα οὔχοιεν B εἴ πως οὔχοιεν P 21 ἀντιμωρήσασθαί P 22 ἦν] ἢ P | ἢ om PB 24 uerba ἑκατέρῳ—ἄλλοθεν om P | ἀλλόθεν B

ναμιν.᾽ ἡ μὲν οὖν ἐξηλλαγμένη καὶ περιττὴ καὶ
ἐγκατάσκευος καὶ τοῖς ἐπιθέτοις κόσμοις ἅπασι συμ-
πεπληρωμένη λέξις, ἧς ὅρος καὶ κανὼν ὁ Θουκυδίδης,
ὃν οὐθεὶς οὐθ᾽ ὑπερεβάλετο τῶν ἐπιγινομένων οὔτε
⟨εἰς ἄκρον⟩ ἐμιμήσατο, τοιαύτη τις ἦν. |

2 ἡ δὲ ἑτέρα λέξις ἡ λιτὴ καὶ ἀφελὴς καὶ δοκοῦσα 956
κατασκευήν τε καὶ ἰσχὺν τὴν πρὸς ἰδιώτην ἔχειν
λόγον καὶ ὁμοιότητα πολλοὺς μὲν ἔσχε καὶ ἀγαθοὺς
ἄνδρας προστάτας συγγραφεῖς τε καὶ φιλοσόφους καὶ
ῥήτορας. καὶ γὰρ οἱ τὰς γενεαλογίας ἐξενέγκαντες καὶ
οἱ τὰς τοπικὰς ἱστορίας πραγματευσάμενοι καὶ οἱ τὰ
φυσικὰ φιλοσοφήσαντες καὶ οἱ τῶν ἠθικῶν διαλόγων
ποιηταί, ὧν ἦν τὸ Σωκρατικὸν διδασκαλεῖον πᾶν ἔξω
Πλάτωνος, καὶ οἱ τοὺς δημηγορικοὺς ἢ δικανικοὺς
συνταττόμενοι λόγους ὀλίγου δεῖν πάντες ταύτης ἐγέ-
νοντο τῆς προαιρέσεως. ἐτελείωσε δ᾽ αὐτὴν καὶ εἰς
ἄκρον ἤγαγε τῆς ἰδίας ἀρετῆς Λυσίας ὁ Κεφάλου, κατὰ
τοὺς αὐτοὺς χρόνους Γοργίᾳ τε καὶ Θουκυδίδῃ γενό-
μενος. τίς δὲ ἦν ἡ προαίρεσις αὐτοῦ καὶ τίς ἡ δύναμις,
ἐν τῇ πρὸ ταύτης δεδήλωται γραφῇ καὶ οὐδὲν δεῖ νῦν
πάλιν ὑπὲρ | τῶν αὐτῶν λέγειν. ἀρκέσει δὲ τοσοῦτο 957
μόνον εἰπεῖν, ὅτι τὴν διαπασῶν ἁρμονίαν οὗτοι πρὸς
ἀλλήλους οἱ ἄνδρες ἡρμόσαντο, τὰς ἀκρότητας ἀμφο-
τέρας τῆς λέξεως, αἳ πλεῖστον ἀλλήλων ἀπέχουσι, δαι-
μονίᾳ σπουδῇ προελόμενοί τε καὶ τελειώσαντες. καὶ

2 ηεγκατάσκευος B ει ἐγκατάσκευος P | ἅπας B 4 οὔτ᾽ B (?) 5 εἰς ἄκρον Kiessling add | ἐτιμήσατο BP 6 ἡ δ᾽ ἕτερα P ἡ δ᾽ ἑτέρα B ἡ δευτέρα Sylburgius 7 iunge ἰδιώτην λόγον 9 προστάτας in ras M πρὸς τὰς B | συγγραφεῖς τε in ras M 12 οἱ] ἢ in mg rubro οἱ B 13 διδασλεῖον P 14 ἢ δικανοὺς ἢ δικανικοὺς P 16 fort προαιρέσεως ζηλωταί 17 Λυσίας] λύρας P λήρας in mg rubro λυϱ̆ B 23 οἱ ἡρμόσαντο P

ὅνπερ ἡ νήτη πρὸς ὑπάτην ἐν μουσικῇ λόγον ἔχει,
τοῦτον ἡ Λυσίου λέξις ἐν πολιτικῇ διαλέκτῳ πρὸς τὴν
Θουκυδίδου. ἣ μὲν γὰρ καταπλήξασθαι δύναται τὴν
διάνοιαν, ἣ δὲ ἡδῦναι, καὶ ἣ μὲν συστρέψαι καὶ συν-
τεῖναι τὸν νοῦν, ἣ δὲ ἀνεῖναι καὶ μαλάξαι, καὶ εἰς
πάθος ἐκείνη προαγαγεῖν, εἰς δὲ ἦθος αὕτη καταστῆσαι.
πλὴν ἀλλὰ καὶ τὸ μὲν βιάσασθαι καὶ προσαναγκάσαι
τι τῆς Θουκυδίδου λέξεως ἴδιον, τὸ δ᾽ ἀπατῆσαι καὶ
κλέψαι τὰ πράγματα τῆς Λυσίου. καὶ ἡ μὲν νεωτερο-
958 ποιία καὶ τὸ τολμηρὸν τῆς | τοῦ συγγραφέως οἰκεῖον
ἰδέας, ἡ δ᾽ ἀσφάλεια καὶ τὸ ἀκίνδυνον τῆς τοῦ ῥήτορος.
. . . . ὅτι οὐκ ἐν ἐπιτηδεύσει φαίνεται
. . . .
ἀνεπιτήδευτον εἶναι θέλει. κατεσκεύασται μὲν οὖν
ἑκατέρα καὶ εἰς ἄκρον γε ἥκει τῆς ἰδίας κατασκευῆς·
ῥέπει δὲ ἣ μὲν ἐπὶ τὸ μᾶλλον ἢ πέφυκεν εἶναι δοκεῖν,
ἣ δὲ ἐπὶ τὸ ἧττον. παραδειγμάτων δὲ καὶ ταύτης τῆς
λέξεως οὐθὲν ἐν τῷ παρόντι οἶμαι δεῖν. δύο μὲν δὴ
χαρακτῆρες οὗτοι λέξεως, τοσοῦτον ἀλλήλων διάφοροι
κατὰ τὰς ἀγωγάς, καὶ ἄνδρες οἱ πρωτεύσαντες ἐν αὐτοῖς,

1 πρὸς τὴν ὑπάτην exspectat Sylburgius | λόγος in λόγον corr M 2 τοῦτον ex τοσοῦτον M[1] τοσοῦτον B | εἰ λυσίου λέξιν B | ἐν τ πολιτικῇ sic B 5 ἡ δὲ ἡδῦναι ante ἡ δὲ ἀνεῖναι repetit B 6 δὲ om B 7 πλὴν ἀλλὰ] ἤδη τᾶλλα M ἤδη τἄλλα BP del Sylburgius τί δεῖ τἄλλα Reiskius | βιάσθαι B 8 δὲ BP 10 τὸ om P 11 ἡ δὲ B | ἀφέλεια Sylburgius | uerba ἰδέας· ἡ δ᾽ ἀσφάλεια in M postea addita sunt | post ῥήτορος lacuna XVI litt in M, uersus paene totius in B, XVII litt et uersus totius in P 12 post φαίνεται lacuna XIX fere litt in M, dimidii uersus in B, totius uersus et XII litt in P. sententia haec fere esse debuit: ‘In eo discrepat Lysias a Thucydide, quod uerba οὐκ ἐν ἐπιτηδεύσει composita uideri, sed dictionem ἀνεπιτήδευτον εἶναι uoluit.’ 14 κατεσκεύασται M, B mg: κατεσκευάσθαι P, B in textu 15 ἑκάτερα B 16 εἶναι] δεινὴ ci Usener 20 προτεύσαντες MBP: corr v | ἐν] ἂν B

οὓς διεξῆλθον, δεινοὶ μὲν ἐν τοῖς αὐτῶν ἔργοις ἀμφότεροι, καθ' ὃ δὲ ἴσοι ἀλλήλων ἦσαν, ἀτελεῖς.

3 τρίτη λέξεως . . . ἣν ἡ μικτή τε καὶ σύνθετος ἐκ τούτων τῶν δυεῖν, ἣν ὁ μὲν πρῶτος ἁρμοσάμενος καὶ καταστήσας εἰς τὸν νῦν ὑπάρχοντα κόσμον εἴτε Θρασύ|μαχος ὁ Καλχηδόνιος ἦν, ὡς οἴεται Θεόφραστος, 959
εἴτε ἄλλος τις, οὐκ ἔχω λέγειν. οἱ δὲ ἐκδεξάμενοι καὶ ἀναθρέψαντες καὶ οὐ πολὺ ἀποσχόντες τοῦ τελειῶσαι ῥητόρων μὲν Ἰσοκράτης ὁ Ἀθηναῖος ἐγένετο, φιλοσόφων δὲ Πλάτων ὁ Σωκρατικός· τούτων γὰρ ἀμήχανον εὑρεῖν τῶν ἀνδρῶν ἑτέρους τινὰς ἔξω Δημοσθένους ἢ τἀναγκαῖα καὶ χρήσιμα κρεῖττον ἀσκήσαντας ἢ τὴν καλλιλογίαν καὶ τὰς ἐπιθέτους κατασκευὰς βέλτιον ἀποδειξαμένους. ἡ μὲν οὖν Θρασυμάχου λέξις, εἰ δὴ πηγή τις ἦν ὄντως τῆς μεσότητος, αὐτὴν τὴν προαίρεσιν ἔοικεν ἔχειν σπουδῆς ἀξίαν· κέκραται γὰρ εὖ πως καὶ αὐτὸ τὸ χρήσιμον εἴληφεν ἑκατέρας. δυνάμει δὲ ὡς οὐκ ἴσῃ ⟨τῇ⟩ βουλήσει κέχρηται, παράδειγμα ἐξ ἑνὸς τῶν δημηγορικῶν λόγων τόδε· "Ἐβουλόμην μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μετασχεῖν ἐκείνου τοῦ χρόνου τοῦ παλαιοῦ καὶ τῶν πραγμάτων,

6 Theophrasti περὶ λέξεως fr IV Schmidt 19 Thrasymachi fr I S

1 δεινὸς B | αὐτῶν MBP | ἀμφοτέροις B 3 ἰδέα intercidisse putat Sylburgius ἰδέα seu ἁρμονία Krüger | ἣν ο ἡ sic P 5 καταστάσας B 6 Καλχηδόνιος Vliet: χαλκηδόνιος 10 ἀμήχανος B 12 ἀσκήσαντες MB 13 ἀποδειξαμένους Sylburgius: ἀποδεξαμένους 14 εἰ δὴ H. Schenkl: ἢ | πηγή Sadaeus: λοιπή | τῆς om BPv 17 δυνάμει δὲ ὡς Sauppius: δυναμέως· ὡς δὲ | τῇ Reiskius add 18 θήσω post ἐξ ἑνὸς v inserit inde a Sylburgio 19 ὦ Ἀθηναῖοι v ὦ θ M ὦ B ωθεν sic P 20 τοῦ παλαιοῦ del Vliet | καὶ τῶν πραγμάτων Sauppius suspectat. frustra meo quidem iudicio hiatus ex hoc fragmento remouere Blassius studuit

960 ἡνίκα | σιωπᾶν ἀπέχρη τοῖς νεωτέροις, τῶν τε πραγμάτων οὐκ ἀναγκαζόντων ἀγορεύειν καὶ τῶν πρεσβυτέρων ὀρθῶς τὴν πόλιν ἐπιτροπευόντων. ἐπειδὴ δ' εἰς τοιοῦτον ἡμᾶς ἀνέθετο χρόνον ὁ δαίμων, ὥστε . . . . τῆς πόλεως ἀκούειν, τὰς δὲ συμφορὰς . . αὐτοὺς καὶ τούτων τὰ μέγιστα μὴ θεῶν ἔργα εἶναι μηδὲ τῆς τύχης ἀλλὰ τῶν ἐπιμεληθέντων, ἀνάγκη [δὲ] λέγειν. ἢ γὰρ ἀναίσθητος ἢ καρτερικώτατός ἐστιν, ὅστις ἐνεξαμαρτάνειν ἑαυτὸν ἔτι παρέξει τοῖς βουλομένοις καὶ τῆς ἑτέρων ἐπιβουλῆς τε καὶ κακίας αὐτὸς ὑποσχήσει τὰς αἰτίας. ἅλις γὰρ ἡμῖν ὁ παρελθὼν χρόνος καὶ ἀντὶ μὲν εἰρήνης ἐν πολέμῳ γενέσθαι καὶ κινδύνῳ, εἰς τόνδε τὸν χρόνον τὴν μὲν παρελθοῦσαν ἡμέραν ἀγαπῶσι, τὴν δ' ἐπιοῦσαν δεδιόσιν, ἀντὶ δ' ὁμονοίας εἰς ἔχθραν καὶ ταραχὰς πρὸς ἀλλήλους ἀφικέσθαι. καὶ
961 τοὺς μὲν ἄλλους | τὸ πλῆθος τῶν ἀγαθῶν ὑβρίζειν τε ποιεῖ καὶ στασιάζειν, ἡμεῖς δὲ μετὰ μὲν τῶν ἀγαθῶν ἐσωφρονοῦμεν, ἐν δὲ τοῖς κακοῖς ἐμάνημεν, ἃ τοὺς ἄλλους σωφρονίζειν εἴωθεν. τί δῆτα μέλλοι τις ἂν γεγωνίσκειν [εἰπεῖν], ὅτῳ γε . . . λυπεῖσθαι ἐπὶ τοῖς

3 ἐπειδὴ δ' postea add M, ἡ in ras: καὶ ἐπειδὴ BP 4 τοσοῦτον BP | ἡμοῖς P 4 et 5 lac XX litt M, XV litt B, XVI litt et uersus totius P 5 lac XIX litt M, qui non habet nisi συμφο, συμφορᾶς deinde lac XIII fere litt B, συμφορὰς cum lac VII litt P 7 τύχης] τέχνης μὴ δὲ τῆς τύχης B | δὲ deleui δὴ Sylburgius 8 καρτερώτατος MBP: corr Usener 9 ἐνεξαμαρτάνειν Reiskius: ἐξαμαρτάνειν 10 ὑποσχείσει P 11 καὶ del Sauppius fort uerbum latet 12 γέναισθαι P | κινδύνῳ] διὰ κινδύνων MB διὰ κίνδυνον P 13 τῆς μὲν P 14 ὁμονίας P 16 ὑβρίζειν—17 ἀγαθῶν sine lacunae indicio om Pv 18 ἐμάνημεν, ἃ M: ἐμάνυ μὲν ἃ B ἐμάνη μέν, ὃς P 20 γεγωνίσκειν] γιγνώσκειν εἰπεῖν MBP γιγνώσκειν ἢ εἰπεῖν Reiskius γιγνώσκων εἰπεῖν Blass | post ὅτῳ γε lacunae signum (excidit uelut προσήκει μᾶλλον) addidi, post νομίζειν Blass

παροῦσι καὶ νομίζειν ἔχειν τι τοιοῦτον, ὡς μηδὲν ἔτι
τοιοῦτον ἔσται; πρῶτον μὲν οὖν τοὺς διαφερομένους
πρὸς ἀλλήλους καὶ τῶν ῥητόρων καὶ τῶν ἄλλων ἀπο-
δείξω γε παρὰ λόγον πεπονθότας πρὸς ἀλλήλους, ὅπερ
ἀνάγκη τοὺς ἄνευ γνώμης φιλονικοῦντας πάσχειν·
οἰόμενοι γὰρ ἐναντία λέγειν ἀλλήλοις οὐκ αἰσθάνονται
τὰ αὐτὰ πράττοντες οὐδὲ τὸν τῶν ἑτέρων λόγον ἐν
τῷ σφετέρῳ λόγῳ ἐνόντα. σκέψασθε γὰρ ἐξ ἀρχῆς, ἃ
ζητοῦσιν ἑκάτεροι. πρῶτον μὲν ἡ πάτριος πολιτεία
ταραχὴν αὐτοῖς παρέχει ῥᾴστη γνωσθῆναι καὶ κοινο-
τάτη τοῖς πολίταις οὖσα πᾶσιν. ὁπόσα μὲν οὖν ἐπέ-
κεινα τῆς ἡμετέρας γνώμης ἐστίν, † ἀκούειν ἀνάγκη
λέγειν | τῶν παλαιοτέρων, ὁπόσα δ' αὐτοὶ ἐπεῖδον οἱ 962
πρεσβύτεροι, ταῦτα δὲ παρὰ τῶν εἰδότων πυνθάνεσθαι.'
τοιαύτη μὲν οὖν τις ἡ Θρασυμάχειος ἑρμηνεία, μέση
τοῖν δυεῖν καὶ εὔκρατος καὶ εἰς ⟨ἀμφο⟩τέρους τοὺς
χαρακτῆρας ἐπίκαιρον ἀφετήριον.
4 ⟨ἡ δὲ Ἰσο⟩κράτους λέξις, ὃς μέγιστον ὄνομα ἐν
τοῖς Ἕλλησιν ⟨ἐκτήσατο ἐπὶ σοφίᾳ⟩, ἀγῶνα μὲν οὔτ'
ἴδιον οὔτε δημόσιον οὐδένα ⟨πώποτε τἀνδρὸς ἀγω-⟩

1 post νομίζειν in P εἴωθεν· τί δῆτα uerba repetuntur 2 τοιοῦτον del Usener 4 παρὰ λόγον Usener: προλέγων 5 φιλονεικοῦντας MB 7 πράττειν πράττοντες Pv 8 σφετέρῳ Cobet: ἑτέρῳ MBP ἐν τῷ τῶν ἑτέρων deleto λόγῳ Blass | σκέψασθαι BP 10 ῥᾴστη Sylburgius: ῥᾴστην | κοινωτάτη M 11 ἐπέκεινα Reiskius: ἐκείνων 12 γνώμης] μνήμης Sauppius | conieci ἀκοῇ μὲν (cf Thucyd I 23, 3 τά τε πρότερον ἀκοῇ λεγόμενα) seu ἀκοὴν ἀνάγκη λέγειν τῶν παλαιοτέρων (uelut ἀκοὴν τεθνεῶτος οὐ ζῶντος μαρτυρεῖν Demosthenes). ἀκούειν ἀνάγκη λεγόντων τῶν παλαιοτέρων Reiskius ἀκούοντας (?) ἀνάγκη λέγειν τῶν παλαιοτέρων Blass 15 μέση τοῖς B
16 δυ[εῖ]ν cum ras M | lac IV litt M, XII B, XV fere P: suppleuit Sylburgius 18 lac X litt M, XII fere B, XXXVII fere P: suppleuit Sylburgius 19 Ἕλλη cum lac XXI litt M, Ἕλλησιν cum lac VII litt B, XXXVI fere litt P: suppleui

νισαμένου γραφὰς δὲ συνταξαμένου πολλὰς καὶ καλὰς
εἰς ἅπασαν ἰδέαν λόγων, ὅντινα χαρακτῆρα ἔχειν ἐφαί-
νετό μοι, διὰ πλειόνων μὲν ἐδήλωσα πρότερον. οὐθὲν
δὲ κωλύσει καὶ νῦν ἐπὶ κεφαλαίων αὐτὰ τὰ ἀναγκαιό-
τατα εἰπεῖν· ὅτι τῆς μὲν Λυσιακῆς λέξεως τὸ καθαρὸν
ἔχει καὶ τὸ ἀκριβές· οὔτε γὰρ ἀρχαίοις οὔτε πεποιη-
μένοις οὔτε γλωττηματικοῖς ὀνόμασιν ἀλλὰ τοῖς κοινο-
963 τάτοις καὶ συνηθεστάτοις κέ|χρηται. ἠθική τε καὶ
πιθανὴ καὶ ἡδεῖά ἐστι καὶ πέφευγε τὴν τροπικήν,
ὥσπερ ἐκείνη, [τὴν ἁπλῆν] φράσιν, τῆς δὲ Θουκυδίδου
καὶ Γοργίου τὴν μεγαλοπρέπειαν καὶ σεμνότητα καὶ
καλλιλογίαν εἴληφε. καὶ εἰς μὲν τὸ διδάξαι τὸν
ἀκροατὴν σαφέστατα, ὅ τι βούλοιτο, τὴν ἁπλῆν καὶ
ἀκόσμητον ἑρμηνείαν ἐπιτηδεύει τὴν Λυσίου, εἰς δὲ τὸ
καταπλήξασθαι τῷ κάλλει τῶν ὀνομάτων σεμνότητά τε
καὶ μεγαληγορίαν περιθεῖναι τοῖς πράγμασι τὴν ἐπί-
θετον καὶ κατεσκευασμένην φράσιν τῶν περὶ Γοργίαν
ἐκμέμακται. ἁμαρτάνει δὲ ἐν οἷς ὡραΐζεταί ποτε, τοὺς
Γοργίου νεαροὺς σχηματισμοὺς ζηλοῦσα (τὰ γὰρ ἀντί-
θετά τε καὶ πάρισα καὶ τὰ παραπλήσια τούτοις οὔτε
μετριάζοντα οὔτ' ἐν καιρῷ γινόμενα καταισχύνει τὴν
μεγαλοπρέπειαν αὐτῆς), καὶ ἔτι μᾶλλον ἐν οἷς τὴν εὐέ-
964 πειαν διώκουσα καὶ τὴν εὐρυθμίαν δι' εὐλαβείας | μὲν

1 lac XVI—XVIII litt σαμένου M, lac VIII litt νισαμένου B, XXXVIII fere litt νισαμένου P: suppleui | γραφὰς δὲ συνταξαμένου bis scripsit P 2 εἰδέαν MBP | οὔτινα B 3 διαπλειόνων MB 5 λσιακῆς B λυρακῆς P 8 συν[η]θεστάτοις cum ras M 10 τὴν ἁπλῆν seclusi 12 εἴληφε] ἀνείληφε MBPv 13 BP in mg rubro σημείωσαι 14 λύρου P λύροῦ B
15 κατ[απ]λήξασθαι cum ras M 18 ἐκμέμακται siue ἐκμέμαχεν Krüger: ἐκμέμακεν 19 ζελοῦσα corr in ζηλοῦσα P
21 οὔτ' ἐν Sadaeus: οὔτε 22 εὐέπιαν MBP

λαμβάνει τὸ συγκροῦσαι τὰ φωνήεντα τῶν γραμμάτων δι᾿ εὐλαβείας δὲ ποιεῖται τὸ χρήσασθαί τινι τῶν τραχυνόντων. διώκει δ᾿ ἐκ παντὸς τρόπου τὴν περίοδον οὐδὲ ταύτην στρογγύλην καὶ πυκνὴν ἀλλ᾿ ὑπαγωγικήν τινα καὶ πλατεῖαν καὶ πολλοὺς ἀγκῶνας, ὥσπερ οἱ μὴ κατ᾿ εὐθείας ῥέοντες ποταμοὶ ποιοῦσιν, ἐγκολπιζομένην. ταῦτα μέντοι πολλαχῇ μακροτέραν τε αὐτὴν ποιεῖ κἀναληθεστέραν ἀπαθῆ τε καὶ ⟨ἄψυχον⟩ καὶ πανηγυρικὴν μᾶλλον ἢ ἐναγώνιον. τοῖς δὲ παραδείγμασιν ὀλίγον ὕστερον, ὅταν ὁ καιρὸς ἀπαιτῇ, χρήσομαι.

5 ἡ δὲ δὴ Πλατωνικὴ διάλεκτος βούλεται μὲν εἶναι καὶ αὐτὴ μῖγμα ἑκατέρων τῶν χαρακτήρων, τοῦ | τε 965
ὑψηλοῦ καὶ ἰσχνοῦ, καθάπερ εἴρηταί μοι πρότερον, πέφυκε δ᾿ οὐχ ὁμοίως πρὸς ἀμφοτέρους τοὺς χαρακτῆρας εὐτυχής. ὅταν μὲν οὖν τὴν ἰσχνὴν καὶ ἀφελῆ καὶ ἀποίητον ἐπιτηδεύῃ φράσιν, ἐκτόπως ἡδεῖά ἐστι καὶ φιλάνθρωπος. καθαρὰ γὰρ ἀποχρώντως γίνεται καὶ διαυγής, ὥσπερ τὰ διαφανέστατα τῶν ναμάτων, ἀκριβής τε καὶ λεπτὴ παρ᾿ ἡντινοῦν ἑτέραν τῶν [εἰς] τὴν αὐτὴν διάλεκτον εἰργασμένων. τήν τε κοινότητα διώκει τῶν ὀνομάτων καὶ τὴν σαφήνειαν ἀσκεῖ, πάσης ὑπεριδοῦσα

1 τὸ συγκρι τὸ συγκροῦσαι P 4 ταύτην τὴν B 6 ποιοῦσιν del Krüger | ἐγκολπιζομένην M ci Sylburgius: ἐγκαλπιζομένην B ἐγκαλοπιζομένην P ἐγκαλλωπιζομένην v 8 κἀναληθεστέραν] καὶ ἀληθεστέραν MBP sed ἀναληθεστέραν in mg rubro B καὶ ἀναλθεστέραν Capperonerius ἢ ἀληθεστέραν Kiessling | τε καὶ lac X litt M τε lac VIII litt B, lac XXXIII fere litt P: suppleuit Sadaeus | καὶ ante πανηγυρικὴν om M 9 ἐναγώνιον M, B mg: ἐγκώνιον BP 10 ἀπαιτεῖ P 11 quae secuntur usque ad p 139, 21, eadem exstant paullulum uariata in ep ad Pomp p 758 R sqq (Δ) 12 μῖγμα] δεῖγμα Δ 13 ὑψιλοῦ P 14 δὲ BPΔ | ἀμφοτέρων B 15 οὗ P | ἰσχὴν BP 17 τε γὰρ Δv 18 ναγμάτων P σωμάτων Δ 19 ἥντινα οὖν in ἥντιν᾿ οὖν corr rubro M | τὴν Δ: εἰς τὴν MBP 21 ὑπεριδοῦσαν M^1

κατασκευῆς ἐπιθέτου. ὅ τε πίνος αὐτῇ [καὶ ὁ χνοῦς] ὁ τῆς ἀρχαιότητος ἠρέμα καὶ λεληθότως ἐπιτρέχει χλοερόν τέ τι καὶ τεθηλὸς καὶ μεστὸν ὥρας ἄνθος ἀναδίδωσι. καὶ ὥσπερ ἀπὸ τῶν εὐωδεστάτων λειμώνων αὖρά τις ἡδεῖα ἐξ αὐτῆς φέρεται. καὶ οὔτε τὸ λιγυρὸν ἔοικεν ἐμφαίνειν λάλον οὔτε τὸ κομψὸν θεατρικόν. ὅταν δὲ εἰς τὴν περιττολογίαν καὶ τὸ καλλιεπεῖν, ὃ
966 πολλάκις | εἴωθε ποιεῖν, ἄμετρον ὁρμὴν λάβῃ, πολλῷ χείρων ἑαυτῆς γίνεται· καὶ γὰρ ἀηδεστέρα [τῆς ἑτέρας] καὶ κάκιον ἑλληνίζουσα καὶ παχυτέρα φαίνεται μελαίνει τε τὸ σαφὲς καὶ ζόφῳ ποιεῖ παραπλήσιον ἕλκει τε μακρὸν ἀποτείνασα τὸν νοῦν, συστρέψαι δέον ἐν ὀνόμασιν ὀλίγοις. ἐκχεῖται δ᾿ εἰς ἀπειροκάλους περιφράσεις πλοῦτον ὀνομάτων ἐπιδεικνυμένη κενόν, ὑπεριδοῦσά τε τῶν κυρίων καὶ ἐν τῇ κοινῇ χρήσει κειμένων τὰ πεποιημένα ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. μάλιστα δὲ χειμάζεται περὶ τὴν τροπικὴν φράσιν, πολλὴ μὲν ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ᾿ ἐν ταῖς μετωνυμίαις, σκληρὰ ⟨δὲ καὶ⟩ οὐ σῴζουσα τὴν ἀναλογίαν ἐν ταῖς

1 scholion ὁ ῥύπος ἤτοι ὁ ἐπικείμενος χνοῦς ὡς (καὶ P) ἐπὶ μήλων (μύλων B μέλων P) καὶ ἀπίων (ἀπι᾿ BP) καὶ δαμασκηνῶν (δαμασκινῶν BP) in mg rubro MBP

1 πῖνος libri | καὶ ὁ χνοῦς (σχνοῦς BP) om Δ 3 ἱλαρὸν Δ | τεθηλὰ B 4 ηρεὐωδεστάτων B | λειμύων B 5 εἰσφέρεται Δ 7 καλλιεπεῖν M ci Sylburgius: κάλλιον εἰπεῖν BP, M mg κάλλιστον εἰπεῖν Δ 9 τῆς ἑτέρας om Δ del Sadaeus 10 παχυτέρα τῆς B | μελαίνει] μέλει B 11 τε γὰρ τὸ Δv 12 συστρέψαι δὲ Δ 13 ἐκχεῖται εἰς Δ χεῖται δ᾿ εἰς MBP 14 κενὸν om Δ 15 δὲ Δ | κυρίων ὀνομάτων Δ 17 χειμάζ ται περ[ὶ] cum ras M | μὲν γὰρ Δv 18 δὲ MΔ (codd PB) om P μεσωνυμίας P μὲ σῶν νυμίαις B ἐπωνυμίαις Δ deinde ἄκαιρος δ᾿ — μεσωνυμίαις repetit P 19 ante σκληρὰ lac V litt B, XXII litt P | σκληρᾶς B σκληρὰς P | post σκληρὰ lac VI litt M, III litt B, XXVIII litt P

⟨μεταφοραῖς⟩. ἀλληγορίας τε περιβάλλεται πολλὰς ⟨καὶ
μακράς⟩, οὔτε μέτρον ἐχούσας οὔτε καιρόν. σχήμασί
τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν καὶ μά-
λιστα τοῖς Γοργιείοις ἀκαίρως καὶ μειρακιωδῶς |
ἐναβρύνεται. καὶ πολὺς ὁ τελέτης ἐν τοῖς τοιούτοις 967
παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που
καὶ ἄλλοι συχνοὶ πρότερον. οὐ γὰρ ἐμὸς ὁ μῦθος.

6 μηδεὶς δέ με τὰ τοιαῦτα ὑπολάβῃ λέγειν ἁπάσης
καταγινώσκοντα τῆς ἐξηλλαγμένης καὶ ἐγκατασκεύου
λέξεως, ⟨ᾗ⟩ κέχρηται Πλάτων· μὴ γὰρ δὴ οὕτω σκαιὸς
μηδ' ἀναίσθητος ἐγὼ γενοίμην, ὥστε ταύτην τὴν δόξαν
ὑπὲρ ἀνδρὸς τηλικούτου λαβεῖν, ἐπεὶ πολλὰ περὶ πολλῶν
οἶδα μεγάλα καὶ θαυμαστὰ καὶ ἀπὸ τῆς ἄκρας δυνά-
μεως ἐξενηνεγμένα ὑπ' αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι
βουλόμενον ὅτι ⟨τὰ⟩ τοιαῦτα ἁμαρτήματα ἐν ταῖς
κατασκευαῖς εἴωθεν ἁμαρτάνειν καὶ χείρων μὲν αὐτὸς
αὑτοῦ γίνεται, ὅταν τὸ μέγα διώκῃ καὶ περιττὸν ἐν
τῇ φράσει, μακρῷ δέ τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν
καὶ ἀκριβῆ καὶ δοκοῦσαν μὲν ἀποίητον εἶναι κατε-
σκευασμένην δ' ἀμωμήτῳ καὶ ἀφελεῖ κατασκευῇ | διά- 968
λεκτον εἰσφέρῃ. ἢ γὰρ οὐδὲν ἁμαρτάνει καθάπαξ ἢ

1 lac XV litt M, VI litt B, VII litt P, *μεταφοραῖς* suppleui: *μεταφοραῖς γίγνεται* Δv | *ἀλληγορί[ας]* cum ras M | post *πολλὰς* lac XIX fere litt M, XIII litt B, item lac in P 2 *οὔτε μέτρον* M, sed ita ut *οὔτε με* postea additum sit: *τρον* BP | *σχήμαυρ* sic B 3 *ἐσχάτης* P 4 *Γοργιείοις* Reiskius: *γοργίοις* MBP *γοργείοις* Δ 5 *πολὺς ὁ τελέτης* Usener: *πολυτέλειά τις* MBP *πολὺς ὁ τελετὴς* Δ | *ἐστιν ἐν τοῖς* Δv 7 *πρότερον* om Δ 9 *ἐξηλλασμένης* P *ἐξηλασμένης* B 10 *ᾗ* add Δ | *κέχριται* P | *Πλάτων τῆς τοιαύτης φράσεως* Δ | *δὴ* Cobet: *ἂν* MBP om Δ 12 *καὶ περὶ* Δv 14 *ἐξενηνεγμένος* P *ἐξενηνεσμένος* B 15 *βουλόμενον* Δ(M), Reiskius: *βουλόμενος* | *τὰ* suppeditat Δ 16 *μὲν* om Δ 17 *αὐτοῦ* P | *διώκει* P 18 *ἰσχὴν* B 19 *καὶ* ante *δοκ-* om Δ 20 *δὲ* PΔ | *ἀμωμήτως* MBP 21 *εἰσφέρει* P | *καθάπαξ ἢ βραχύ τι κομιδῇ* MBP: *ἢ κομιδῇ βραχύ τι* Δ

βραχύ τι κομιδῇ καὶ οὐκ ἄξιον κατηγορίας. ἐγὼ δὲ
ἠξίουν τηλικοῦτον ἄνδρα πεφυλάχθαι πᾶσαν ἐπιτίμησιν.
ταὐτὰ μέντοι καὶ οἱ κατ' αὐτὸν ἐκεῖνον γενόμενοι ὡς
ἁμαρτάνοντι τῷ ἀνδρὶ ἐπιτιμῶσιν, ὧν τὰ ὀνόματα
οὐθὲν δέομαι λέγειν, καὶ αὐτὸς ἑαυτῷ· τοῦτο γὰρ δὴ
τὸ λαμπρότατον. ᾔσθετο γάρ, ὡς ἔοικεν, τῆς ἰδίας
ἀπειροκαλίας καὶ ὄνομα ἔθετο αὐτῇ τὸ διθύραμβον, ὃ
νῦν ἂν ᾐδέσθην ἐγὼ λέγειν ἀληθὲς ὄν. τοῦτο δὲ
παθεῖν ἔοικεν, ὡς μὲν ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν
τοῖς Σωκρατικοῖς διαλόγοις ἰσχνοτάτοις ⟨οὖσι⟩ καὶ
ἀκριβεστάτοις, οὐ μείνας δ' ἐν αὐτοῖς ἀλλὰ τῆς Γοργίου
καὶ Θουκυδίδου κατασκευῆς ἐρασθείς. ὥστ' οὐθὲν ἔξω
τοῦ εἰκότος ἔμελλε πείσεσθαι σπάσας τινὰ καὶ τῶν
ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς, ὧν ἔχουσιν οἱ τῶν
ἀνδρῶν ἐκείνων χαρακτῆρες. |

969 παράδειγμα δὲ ποιοῦμαι τῆς γε ὑψηλῆς λέξεως 7
ἐξ ἑνὸς βυβλίου τῶν πάνυ περιβοήτων, ἐν ᾧ τοὺς
ἐρωτικοὺς διατίθεται λόγους ὁ Σωκράτης πρὸς ἕνα τῶν
γνωρίμων Φαῖδρον, ἀφ' οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ
βυβλίον. ἐν γὰρ δὴ τῷ συγγράμματι τούτῳ πολλὴν
μὲν ὥραν ἔχει καὶ χαρίτων ἐστὶ μεστὰ τὰ πρῶτα ταυτί·

2 *ἐπιτίμεσιν* B 3 *ταὐτὰ* Usener: *ταῦτα* | *μέντοι καὶ οἱ κατ' αὐτὸν ἐκεῖνον* MBP: *γὰρ οἵ τε κατ' αὐτὸν* Δ | *γενόμενος* P | *ὡς ἁμαρτάνοντι τῷ ἀνδρὶ* MBP: *πάντες* Δ 5 *οὐδὲν* Δ *ἀ οὐθὲν* P | *δεῖ με* Δ | *καὶ αὐτῷ* P, B sed is in mg rubro *αὐτὸς ἑαυτῷ* | *δὴ* om Δ 6 *γὰρ ὡς ἔοικεν — ἔθετο* om B | *ὡς ἔοικεν* om Δ 7 *ἔθετ'* Δ | *τὸ* Δ: *τὸν* MBPv 9 *μὲν* om Δ 10 *ἰσχνοτούτους* B | lac IV litt M, nulla in BP 11 *μείνους* B | *δ'* om BP | *Γοργίου*] *γίου* postea add M 14 *-τημάτων ἅμα* in M postea additum est | *ἁμαρ* P | *ἔχουσι* BP 15 *ἐκείνων χαρακτῆρες* in M postea additum 16 *παραδείγματα* Δ | *ποιήσομαι* Δ | *τῆς ἰσχνῆς καὶ τῆς ὑψ-* Δ | *ὑψιλῆς* P 17 *βιβλίου* M 18 *διατέθειται* Δ 21 *μεστὰ*] *μετὰ* BP

Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου. πορεύομαι δὴ πρὸς περίπατον ἔξω τείχους. συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ' μέχρι τῆς ἀναγνώσεως τοῦ Λυσιακοῦ λόγου καὶ μετὰ τὴν ἀνάγνωσιν ἕως τινός. εἶθ', ὥσπερ ἐξ ἀέρος εὐδίου καὶ σταθεροῦ πολὺς ἄνεμος καταρραγείς, ταράττει τὸ καθαρὸν τῆς φράσεως ἐς ποιητικὴν ἐκφέρων ἀπειροκαλίαν, ἐνθένδ' ἀρξάμενος· 'Ἄγετε δή, Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι εἴτε διὰ γένος τὸ Λιγύων μουσικὸν ταύτην ἔσχετε τὴν ἐπωνυμίαν, | ξύμ- 970 μοι λάβεσθε τοῦ μύθου.' ὅτι δὲ ψόφοι ταῦτ' εἰσὶ καὶ διθύραμβοι, κόμπον ὀνομάτων πολὺν νοῦν δὲ ὀλίγον ἔχοντες, αὐτὸς ἐρεῖ. διεξιὼν γάρ, ἀφ' ἧς αἰτίας ἔρως ἐτέθη τῷ πάθει τοὔνομα, καὶ τῇδε χρησάμενος· 'Ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τἀγαθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία, πρὸς ἡδονὴν ἄγουσα κάλλους καὶ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν, ἐπὶ σωμάτων κάλλος ἐρρωμένως ῥωσθεῖσα νικήσασα ἀγωγὴ ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα ἔρως ἐκλήθη' καὶ τοσαύτην ἐκμηκύνας περίφρασιν ὀλίγοις τοῖς ὀνόμασι δυναμένου περιλη-

1 Plato Phaedri 227[a] 8 Plato Phaedri 237[a] 14 Plato Phaedri 238[b]

1 ὦ φίλε — Λυσίου rubro in mg add P | λυίου B 2 δὴ MBP: δὲ v Π (Plato) 4 λυιακοῦ B tota haec μέχρι — ἕως τινὸς Sylburgius secluserat 5 λόγους B 6 πολὺς — καθαρὸν om B 7 ποιητικὸν ποιητικὴν P 9 λίγειε BP 10 μουσικὸν τὸ Λιγύων Π μουσικὸν — ξύμμοι om B | ἔσχε P | τὴν om Π
11 λάβεσθαι P 15 τἀγαθὸν] τὸ ὀρθὸν Π, quare Dionysius fort τοὐρθὸν legit | ὁρμώσ[η]ς cum ras M | κρατήσασθα B 16 ἀχθεῖσα Π | τῶν ἑαυτῆς MP: τῆς B ὑπὸ αὖ τῶν ἑαυτῆς v Π
17 ἐπιθυμίαν Pv | ἐπὶ σωμάτων κάλλος om Pv | λαβοῦσα ἐρρωμένως P?v | ἐρρωμένως] ἐρωμένων M 18 ῥωσθεῖσαν BP | ἀγωγῇ Π | γνώμης P | ἐπωνυμίαν Πv: ἐπιθυμίαν MBP 19 ἐλεκλήθη P

φθῆναι πράγματος ἐπιλαμβάνεται τῆς ἀκαιρίας τῆς αὐτὸς αὐτοῦ καί φησι· 'Σιγῇ τοίνυν μου ἄκουε. τῷ ὄντι γὰρ θεῖος εἶναι ἔοικεν ὁ τόπος. ὥστ' ἐὰν ἄρα πολλάκις νυμφόληπτος γένωμαι προϊόντος τοῦ λόγου, 971 μὴ θαυμάσῃς. τὰ νῦν γὰρ ⟨οὐκέ⟩τι πόρρω διθυράμβων τινῶν φθέγγομαι.' ⟨τάδ' οὐχ ὑ⟩π' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν λόγοις ἁλισκόμεσθα ⟨κατὰ τὴν τραγῳδί⟩αν, δαιμονιώτατε Πλάτων, διθυράμβων ψόφους καὶ λήρους ἠγαπηκότες. ἃ δ' ἐν τῇ παλινῳδίᾳ τὸν ἔρωτα ἀφοσιούμενος αὖθις ὁ Σωκράτης εἴρηκεν ἐνθένδε ἀρξάμενος· 'Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται διακοσμῶν πάντα καὶ ἐπιμελούμενος. τῷ δ' ἕπεται στρατιὰ θεῶν καὶ δαιμόνων κατὰ ἕνδεκα μέρη κεκοσμημένη. μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη. τῶν δ' ἄλλων, ὅσοι ἐν τῷ τῶν δώδεκα θεῶν ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες ἡγοῦνται κατὰ τάξιν, ἣν ἕκαστος ἐτάχθη, πολλαὶ μὲν οὖν καὶ μακάριαι θέαι τε καὶ ἔξοδοι ἐντὸς οὐρανοῦ, ἃς θεῶν γένος εὐδαιμόνων ἐπιστρέφεται, πράττων ἕκαστος δι' 972 αὐτοῦ τὰ αὐτῶν. ἕπεται | δ' αἰεὶ ὁ θέλων τε καὶ

2 Plato Phaedri 238[d] 6 Aeschyli fr 135 N 11 Plato Phaedri 246[e]—247[a]

1 τῆς αὐτὸς αὐτοῦ sanum est 2 αὐτοῦ M | φησι γῇ τοῖν νῦν B 3 θεῖος MΠ: θεῖοά B θειοα P | εἶναι add in mg rubro B | ἔοικεν om P ἔοικεν ὁ τόπος εἶναι Π | ὥστ' ἐὰν] ὥστε ἂν MBPv 4 προιόντος τοῦ λόγου γένωμαι Π 5 lac VIII litt M, XIV litt B, XXIII litt P: suppleuit Sylburgius 6 τινῶν om Π habet Dion. de Lys p 458 | lac IX litt M, XIV litt B, XIII litt P: suppleuit Porson | ἀλλὰ om BP 7 αὑτῶν M: αὐτῶν BP | ἁλισκόμεθα MPv ἁλιισκόμεθα B | lac V uel VI litt M, XII litt B, VIII litt P: suppleuit Porson 9 ἠγαποικότες P
12 ἅρμα] πρ̆|μα B | πρῶτον πορεύονται P 15 [μ]όνη cum ras M | τῶν ἄλλων P 18 θεαί MBP | διέξοδοι Π | ἐνδὸς BP 19 δι' αὐτοῦ MBP ἕκαστος αὐτῶν τὰ αὐτοῦ Π

δυνάμενος· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται.’ ταῦτα καὶ τὰ ὅμοια τούτοις, ἃ πολλά ἐστιν, εἰ λάβοι μέλη καὶ ῥυθμοὺς ὥσπερ οἱ διθύραμβοι καὶ τὰ ὑπορχήματα, τοῖς Πινδάρου ποιήμασιν ἐοικέναι δόξειεν ἂν τοῖς εἰς τὸν ἥλιον εἰρημένοις, ὥς γ’ ἐμοὶ φαίνεται· ‘’Ακτὶς ἀελίου, τί πολύσκοπ’ ἐμήσω θοῶν μ|ἆτερ 973 ὀμμάτων; ἄστρον ὑπέρτατον, ἐν ἁμέρᾳ κλεπτόμενον ἔθηκας ἀμάχανον ἰσχὺν πτανὸν ἀνδράσι καὶ σοφίας ὁδόν, ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα. ἐλαύνεις τι νεώτερον ἢ πάρος; ἀλλά σε πρὸς Διὸς ἱπποσόα θοάς, ἱκετεύω, ἀπήμονα ἐς οἶμον τινὰ τράποιο Θήβαις, ὦ πότνια, πάγκοινον τέρας. πολέμου δ’ εἰ σᾶμα φέρεις τινὸς ἢ καρποῦ φθίσιν ἢ νιφετοῦ σθένος ὑπέρφατον ἢ στάσιν οὐλομέναν ἢ πόντου κενεῶσιν ἀμ πέδον ἢ παγετὸν χθονὸς ἢ νότιον θέρος ὕδατι ζακότῳ διερὸν ἢ γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος, ὀλοφύ|⟨ρομαι οὐ⟩δὲν ὅ,τι πάντων μέτα πείσο- 974 μαι’. κἀνταῦθα οὐ⟨κ ἄκαιρος ἡ ἀλ⟩ληγορία, ὡς παρὰ Πλάτωνι.

6 Pindari fr 107 Bergkii

6 ἐμήσω Bamberger et Emper: ἐμῆς | θοῶν Bergkius: θεῶ | μᾶτερ Boissonadius: μ’ ἄτερ M μ’ ἀτερ B μ’ ἄτερ P 8 ἀγμάχανον B | ἰσχὲν B | ἀνδράσιν M 9 ἐπίσκοπον corr in ἐπίσκοτον M ἐπίσκοπτον B ἐπισκόπτεν P | ἀτραπὸν ἐσσυμένα Schneider: ἄτροπον ἐσσαμένα | ἐλαύνει B -νειν P 10 ἵππος θαθοὰς MBP: corr Blass 11 οἶμον Hermannus: ὄλβον | τράποιο Sylburgius: τρόποιο 12 πάςκοινον B | δ’ εἰ σᾶμα Hermannus: δὶς ἅμα 13 ὑπέρ[φ]ατον cum ras M 14 οὐλομένην corr in οὐλομέναν B οὐλομένην MP | κεῶσιν B | ἀμ Hermannus: ἀλλὰ 15 διερὸν Sylburgius: ἱερὸν 16 κατακλύσασα M κατασκλύσασα B κατασλύσασα P: corr Boeckh | θήσεις Barnes: θήσει | νέων B | ἀρχᾶς Boeckh: ἀρχῆς 17 ὀλοφυ BP ὀλοφ M lac IX litt M, XVII litt B, XXV litt P: suppleuit Hermannus | δὲν ὅτι M, om BP | μεταπείσομαι MBP: corr Hermannus 18 lac VIII litt M, XI litt B ca XXVI P: suppleui | ληγορία om BP

8 ἀλλὰ γάρ, ἵνα μὴ ⟨πέρα τοῦ δέοντος⟩ ὁ λόγος μοι προβῇ, Πλάτωνα μὲν ἐάσω, πορεύσομαι δ’ ἐπὶ τὸν Δημοσθένην, οὗ δὴ χάριν τούς τε χαρακτῆρας τῆς λέξεως, οὓς ἡγούμην εἶναι κρατίστους, καὶ τοὺς δυναστεύσαντας ἐν αὐτοῖς κατηριθμησάμην, οὐχ ἅπαντας· ’Αντιφῶν γὰρ δὴ καὶ Θεόδωρος καὶ Πολυκράτης ’Ισαῖός τε καὶ Ζωίλος καὶ ’Αναξιμένης καὶ οἱ κατὰ τοὺς αὐτοὺς γενόμενοι τούτοις χρόνους οὐθὲν οὔτε καινὸν οὔτε περιττὸν ἐπετήδευσαν, ἀλλὰ ἀπὸ τούτων τῶν χαρακτήρων καὶ παρὰ τούτους τοὺς κανόνας τὰς ἑαυτῶν λέξεις κατεσκεύασαν. τοιαύτην δὴ καταλαβὼν τὴν πολιτικὴν λέξιν ὁ Δημοσθένης οὕτω κεκινημένην ποικίλως, καὶ τηλικούτοις ἐπεισελθὼν ἀνδράσιν ἑνὸς μὲν οὐθενὸς 975 ἠξίωσε γενέσθαι ζηλω|τὴς οὔτε χαρακτῆρος οὔτε ἀνδρός, ἡμιέργους τινὰς ἅπαντας οἰόμενος εἶναι καὶ ἀτελεῖς, ἐξ ἁπάντων δ’ αὐτῶν ὅσα κράτιστα καὶ χρησιμώτατα ἦν, ἐκλεγόμενος συνύφαινε καὶ μίαν ἐκ πολλῶν διάλεκτον ἀπετέλει, μεγαλοπρεπῆ λιτήν, περιττὴν ἀπέριττον, ἐξηλλαγμένην συνήθη, πανηγυρικὴν ἀληθινήν, αὐστηρὰν ἱλαράν, σύντονον ἀνειμένην, ἡδεῖαν πικράν, ἠθικὴν παθητικήν, οὐδὲν διαλλάττουσαν τοῦ μεμυθευ-

16—18 cf anonymus W VII 1049, 8 21 sq memorat schol. Demosth. 604, 21 Dind. καὶ Διονύσιος αὐτὸν Πρωτέα ἐκάλεσεν, ὅτι εἰς πολλὰ καὶ τὰ ἐναντία μορφοῖ τὸν λόγον, νῦν

1 μὴ] μὲ B | lac XIV litt M, XII B, XX P: suppleuit Sadaeus post Krügerum 2 δὲ M 3 περὶ δημοσθένους mg B 4 δυναστεύσαν P 5 κατηριθμησάμ̂ M 6 καὶ πολυκρι καὶ πολυκράτους addito η super ους P 10 τούτους τοὺς] τοὺς B corr B[1] | ἑαυτὸν MBP ἑαυτῶν mg B 11 καλαβὼν P 12 οὕτω κ. π. corrupta aut spuria 13 μὲν om Pv 14 οὔτ’ P 15 ἡμιούργους BP 19 συνήθη—ἱλαράν om B 20 ἱ[λ]αράν cum ras M 21 διαλάττουσαν B

μένου παρὰ τοῖς ἀρχαίοις ποιηταῖς Πρωτέως, ὃς ἅπασαν
ἰδέαν μορφῆς ἀμογητὶ μετελάμβανεν, εἴτε θεὸς ἢ δαί-
μων τις ἐκεῖνος ἄρα ἦν παρακρουόμενος ὄψεις τὰς
ἀνθρωπίνας εἴτε διαλέκτου ποικίλον τι χρῆμα ἐν ἀνδρὶ
σοφῷ, πάσης ἀπατηλὸν ἀκοῆς, ὃ μᾶλλον ἄν τις εἰκά-
σειεν, ἐπειδὴ ταπεινὰς καὶ ἀσχήμονας ὄψεις οὔτε θεοῖς
οὔτε δαίμοσι προσάπτειν ὅσιον. ἐγὼ μὲν ⟨δὴ⟩ τοι-
αύτην τινὰ δόξαν ὑπὲρ τῆς Δημοσθένους λέξεως ἔχω
καὶ τὸν χαρακτῆρα τοῦτον ἀποδίδωμι αὐτῷ τὸν ἐξ
ἁπάσης μικτὸν ἰδέας. |

9 εἰ δὲ τὰ προσήκοντα ἔγνωκα, πάρεστι τῷ βουλομένῳ 976
σκοπεῖν ἐπ᾽ αὐτῶν ποιουμένῳ τῶν ⟨παραδειγ⟩μάτων
τὴν ἐξέτασιν. ἃ μὲν οὖν παρὰ τὸν Θουκυδίδου χαρακτῆρα
κατεσκεύασται τῷ ῥήτορι, ⟨τοιάδε τινά ἐστιν·⟩ ‘Πολλῶν,
ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων ὀλίγου δεῖν
καθ᾽ ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ᾽ οὗ τὴν
εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλλους
⟨Ἕλληνας⟩ ἀδικεῖ, καὶ πάντων εὖ οἶδ᾽ ὅτι φησάντων
γ᾽ ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν ⟨δεῖν⟩ καὶ
πράττειν, ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην
δώσει, εἰς τοῦτο ὑπηγμένα πάντα τὰ πράγματα καὶ
προειμένα ὁρῶ, ὥστε δέδοικα, μὴ βλάσφημον μὲν εἰπεῖν

μὲν ἱκετεύων, νῦν δὲ οἰκτιζόμενος, μετ᾽ ὀλίγον προτρέπων, αὖθις φοβῶν   14 Demosthenes Philippicae III 110

3 ὄψις BP   4 ποικίλου P | τι M: δὴ BPv   5 ἀπατητὸν B εἰκάσειαν B   7 δὴ add Sadaeus   9 χαρτῆρα P   12 ποιουμένῳ Sylburgius: ποιουμένων | lac X fere litt M, in BP λόγων deinde lac fere XIV litt B, XXXVI P: corr Krüger   14 ταιαῦτά τινά ἐστιν suppleuit Sadaeus post Krügerum, in MB lac XVIII fere litt, nulla in P   18 Ἕλληνας om libri, add ex Demosthene Sylburgius   19 δεῖν om libri, add Sylburgius   20 πράττειν ἅπασι προσήκειν v ἅπασι προσήκειν m recentissima in mg M | παύσηται MBP   22 προιέμενα BP

ἀληθὲς δὲ ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ
977 παριόντες καὶ χειροτονεῖν ὑμεῖς, | ἐξ ὧν ὡς φαυλό-
τατα τὰ πράγματα ἤμελλεν ἕξειν, οὐκ ἂν ἡγοῦμαι
δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι.’ κατὰ τί δὴ ταύτην
ἡγοῦμαι τὴν λέξιν ἐοικέναι τῇ Θουκυδίδου; καθ᾽ ὃ
κἀκείνην πείθομαι μάλιστα διαφέρειν τῶν ἄλλων. τουτὶ
δ᾽ ἔστι τὸ μὴ κατ᾽ εὐθεῖαν ἑρμηνείαν ἐξενηνέχθαι τὰ
νοήματα μηδ᾽, ὡς ἔστι τοῖς ἄλλοις σύνηθες λέγειν,
ἁπλῶς καὶ ἀφελῶς, ἀλλὰ ἐξηλλάχθαι καὶ ἀπεστράφθαι
τὴν διάλεκτον ἐκ τῶν ἐν ἔθει καὶ κατὰ φύσιν εἰς τὰ
μὴ συνήθη τοῖς πολλοῖς μηδ᾽ ὡς ἡ φύσις ἀπαιτεῖ. ὃ
δὲ λέγω, τοιοῦτόν ἐστιν. ἁπλῶς ἂν ὁ λόγος ἦν καὶ
κατ᾽ εὐθεῖαν ἑρμηνείαν ἐκφερόμενος, εἴ τις οὕτως
κατεσκεύασεν αὐτόν· ‘πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι,
λόγων γιγνομένων καθ᾽ ἑκάστην σχεδὸν ἐκκλησίαν,
περὶ ὧν ἀδικεῖ Φίλιππος ὑμᾶς τε καὶ τοὺς ⟨ἄλλους⟩
Ἕλληνας, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο.’ νυνὶ δὲ τό
τε ὀλίγου δεῖν παραληφθὲν ἀντὶ τοῦ σχεδὸν καὶ τὸ
978 ἀδικεῖ Φίλιππος διαιρεθὲν καὶ διὰ μακροῦ τὴν | ἀκο-
λουθίαν κομισάμενον καὶ τὸ οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ
τοὺς ἄλλους Ἕλληνας, δυναμένου καὶ χωρὶς ἀποφάσεως
διὰ τῆς συμπλοκῆς μόνης τὸ πρᾶγμα δηλῶσαι, τοῦ
συνήθους ἐξηλλαγμένην καὶ περίεργον πεποίηκε τὴν
λέξιν. ὁμοίως δὲ καὶ ⟨τὸ⟩ ἐπιλεγόμενον τούτῳ, εἰ μὲν
ἁπλῶς καὶ ἀπεριέργως ἔδει ῥηθῆναι, τοῦτον ἂν δή που

2 παρὰ ὄντες P | ἐξ ὧν om P   8 post σύνηθες interpungunt MBPv, post λέγειν Kiessling   12 ἐστιν addito ν super ιν et mg rubro ἦν B quod ad sequentia pertinet | ἦν Sylburgius: ἐστὶ   13 ἑρμηνείαν om B   15 γινομένων P   16 ευ ὑμᾶς P ἐς ὑμᾶς v | ἄλλους add Sylburgius   21 δυναμένου Reiskius: δυνάμενον   22 μόνης om Pv   24 λ[έξιν] postea add M | τὸ add Sylburgius   25 ἀπεριέργως postea add M περιέργως P

τὸν τρόπον ἀπήγ⟨γελτο· 'κ⟩αὶ πάντων λεγόντων, καὶ εἴ τινες τοῦτο μὴ ποιοῦσιν, ὅτι δεῖ καὶ λέγειν καὶ πράττειν ταῦτα, ἐξ ὧν ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει.' οὕτω δὲ ἐξενεχθέν· 'καὶ πάντων εὖ οἶδ' ὅτι φησάντων γ' ἄν' οὐ σῴζει τὴν εὐθεῖαν τῆς λέξεως ὁδόν. τό τε γὰρ οἶδ' ὅτι χώραν οὐκ ἀναγκαίαν εἶχε, καὶ τὸ φησάντων γ' ἂν ἀντὶ τοῦ φασκόντων παρειλημμένον οὐ τὴν ἀφελῆ διάλεκτον ἀλλὰ τὴν ἐξηλλαγμένην καὶ περίεργον ἐμφαίνει. ὅμοια δὲ τούτοις ἐστὶ κἀκεῖνα· 'εἶτ' οἴεσθε, οἳ μὲν οὐδὲν ἂν | αὐτὸν 979 ἠδυνήθησαν ποιῆσαι κακόν, αὐτοὶ δὲ μὴ παθεῖν ἐφυλάξαντο ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι;' ἐνταυθοῖ γὰρ οὐθὲν ἂν εἶχε περίεργον ἡ λέξις οὐδὲ σκολιόν, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον· 'εἶτ' οἴεσθε αὐτόν, οὓς μὲν ἑώρα μηδὲν δυναμένους αὐτὸν διαθεῖναι κάκιον, φυλαξαμένους δὲ ἂν ἴσως μὴ παθεῖν, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι;' ἐναλλαγείσης δὲ τῆς πτώσεως καὶ τῶν συνδέσμων πολλῶν εἰς βραχὺ συναχθέντων, οἶμαι, περίεργός τε καὶ ἀσυνήθης καὶ ἐξηλλαγμένη γέγονεν ἡ διάλεκτος. ἔτι κἀκεῖνα τῆς αὐτῆς ἐστιν ἰδέας· 'νῦν δὲ τοῦτο μὲν οὐκ

10 Demosthenes Philippicae γ 13 22 Demosthenes Midianae 69

1 ἀπήγγελτο καὶ πάντων] ἀπήγγελτο καὶ ἁπάντων Sylburgius ἀπηγ lac IX litt M, XXI litt B, XXIV litt P deinde ἁπάντων MBP 2 ποιοῦσι BPv | ὅτι om cum spatio XV litt B, IX litt P | καὶ post λέγειν om BP 4 πάντων] πάνωντ BP 6 an εὖ οἶδ'? 7 ἔχει Sylburgius 10 εἴ τοι ἔσθε P | οἳ D (Demosthenes) Δ p 610: οὓς MBP | οὐδὲν om P 11 ἠδυνήθημεν MBP ἐδυνήθησαν v ἠδυνήθησαν Δ p 610 12 τούτοις BP 14 εἶχεν BP | σκολιὰν M 15 fort ἐξενήνεκτο | εἴτ' M εἰτ' P 16 αὐτῶν αὐτὸν Pv | κάκιον] κακὸν MBPv κακῶς Krüger 22 αὐτοῖς P

ἐποίησεν, ἐν ᾧ τὸν δῆμον ἐτίμησεν ἄν, οὐδ' ἐνεανιεύσατο τοιοῦτον οὐδέν. ἐμοὶ δέ, ὅς, εἴτε τις, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν (μανία γὰρ ἴσως 980 ἐστὶν ὑπὲρ δύναμίν τι | ποιεῖν), εἴτε καὶ φιλοτιμίαν, χορηγὸς ὑπέστην, οὕτω φανερῶς ⟨καὶ μιαρῶς⟩ ἐπηρεάζων παρηκολούθησεν, ὥστε μηδὲ τῶν ἱερῶν ἱματίων μηδὲ τοῦ χοροῦ μηδὲ τοῦ σώματος τὼ χεῖρε τελευτῶν ἀποσχέσθαι μου.' τί δὴ πάλιν ἐστὶν ἐν τούτοις τὸ συνταράττον τὴν κατὰ φύσιν ἀπαγγελίαν; πρῶτον μὲν τό, πρὶν ἀπαρτίσαι τὸ ἡγούμενον εἴτε νόημα χρὴ λέγειν εἴτε κῶλον, ἕτερον παρεμβαλεῖν καὶ μηδὲ τοῦ δευτέρου τέλος ἔχοντος τὸ τρίτον ἐπιζεῦξαι, εἶτα τὴν τοῦ δευτέρου νοήματος ἀκολουθίαν ἐπὶ τῷ τρίτῳ τέλος εἰληφότι θεῖναι, κἄπειτα ἐπὶ πᾶσιν, ὃ τοῦ πρώτου μέρος ἦν, διὰ μακροῦ καὶ οὐκέ⟨τι⟩ τῆς διανοίας αὐτὸ προσδεχομένης ἀποδοῦναι. ⟨Ἐμοὶ⟩ δὲ ὃς — οὔπω τοῦτο τέλος ἔχει — εἴτε τις, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν — ἕτερον τοῦτο κεχωρισμένον τοῦ προτέρου ἀτελὲς καὶ αὐτό — μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμίν τι ποιεῖν — οὐδετέρου τοῦτο πάλιν τῶν 981 προειρημέ|νων μέρος ἀλλ' αὐτὸ καθ' αὐτό· κεφαλαιώδης γάρ τίς ἐστιν ἀπόφασις — ἢ φιλοτιμίαν — τοῦτο

2 εἴ τέ P | ἄνδρες add ex D 4 τι] ει τὶ P | φιλοτιμίᾳ libri D plerique in quibus S φιλοτιμία Δ infra 5 καὶ μιαρῶς om MBP add v ex D καὶ μιαρῶς—ἱερῶν om P 11 κῶλον P | τοῦ δένδρου τοῦ δευτέρου B 14 καὶ πειτα B | ἐποὶ P 15 οὐκέ c lac II litt M οὐκ sine lac BP: corr Sylburgius | αὐτῷ προσεχομένης B αὐτὸ προσεῦχομένης P 16 προσδεχομένης lac V—VI litt M, sed in mg ἀποδοῦναι lac IV siue V litt γὰρ ὃς. in BP ἐμοὶ deest cum lac XII litt B, IV litt P: suppl Sylburgius | δὲ ὃς Δ p 979] γὰρ ὃς MBP | post ὃς lacuna minor in P 18 τούτω, mg rubro τοῦτο B 20 ναμιν τι ποιεῖν bis P | οὐδ' ἑτέρου MBP | τοῦ πάλιν P 21 προηρημένων M 22 ἢ φιλοτιμίαν Usener: ἡ φιλοτιμία

δὲ τοῦ δευτέρου μέρος ἦν τοῦ εἴτε τις βούλεται νομίσαι μανίαν. τὸ δ' ἐπὶ τούτοις λεγόμενον ἅπασι τὸ χορηγὸς ὑπέστην τοῦ πρώτου μέρος ἦν τοῦ ἐμοὶ δέ, ὅς. μυρία τοιαῦτά ἐστι παρὰ Δημοσθένει καὶ μάλιστα ἐν τοῖς κατὰ Φιλίππου λόγοις, μᾶλλον δὲ . . . . μὴ οὕτως ἔχοντα πλὴν ἑνὸς λόγου τοῦ περὶ Ἁλοννήσου, πολλὰ δὲ καὶ ἐν τοῖς δικανικοῖς ἀγῶσι τοῖς γε οὖν δημοσίοις. καὶ σχεδὸν ἔν τε τούτοις καὶ ταῖς δημηγορίαις, ᾧπερ ἔφην, ἂν διαγνοίης σημείῳ προχειροτάτῳ τὸν Δημοσθένους χαρακτῆρα. τῷ δὲ ἧττον ἢ μᾶλλον αὐτοῖς κεχρῆσθαι τὸν ἄνδρα πρὸς τὰς φύσεις ἀποβλέποντα τῶν ὑποθέσεων καὶ τὰς ἀξιώσεις τῶν προσώπων πλανηθήσεταί τις· ὅπερ ἴσως οὐκ ἄλογον.

10 φέρε δὴ καὶ τίνι διαλλάττει τῆς Θουκυδίδου λέξεως ἡ Δημοσθένους ἡ παρὰ τὸν αὐτὸν κατεσκευασμένη χαρακτῆρα, εἴπωμεν· ἀπαιτεῖ γὰρ ὁ λόγος. οὐχὶ τῷ 982 ποιῷ μὰ Δία· τοῦτο μὲν γὰρ ὁμοίως ἐπιτηδεύουσιν ἀμφότεροι, λέγω δὲ τὸ ἐξαλλάττειν ἐκ τοῦ συνήθους καὶ μὴ τὸ κοινὸν ἀλλὰ τὸ περιττὸν διώκειν· τῷ δὲ ποσῷ καὶ ἔτι μᾶλλον τοῖς καιροῖς. ὃ μὲν γὰρ ἀταμιεύτως τῇ κατασκευῇ κέχρηται καὶ ἄγεται μᾶλλον ὑπ' αὐτῆς ἢ ⟨αὐτὸς⟩ ἄγει καὶ οὐδὲ τὸν καιρὸν αὐτῆς ἐπίσταται λαβεῖν δεξιῶς, ἀλλὰ καὶ παρὰ τοῦτον πολλάκις

22 cf Thucydides II 65, 8

2 ἅπασι Vliet: ἅπαν | χοριγὸς P 3 μέρους M 5 lacunam sensit Sylburgius, qui ὀλίγα τὰ addidit (σπάνια τὰ Reiskius). plura desunt uelut ἐν ἅπασι τοῖς συμβουλευτικοῖς σπάνια τὰ 6 ἀλονήσου MBPv 7 ἀγῶσι] ἀν͂ωσι P 8 τοι τούτοις P, horum et sequentium interpunctio in v librisque admodum laborat. 9 διανοίης P 11 τῶν ἀποβλέποντα B 13 ἄλλογον BP 16 γὰρ — τοῦτο μὲν bis scripsit B 18 λέγων δὲ B 22 ἢ om P | αὐτὸς add Sylburgius

ἁμαρτάνει. καθ' ὃ ἡ μὲν ἀμετρία τῆς ἐξαλλαγῆς ἀσαφῆ ποιεῖ τὴν λέξιν αὐτοῦ, τὸ δὲ μὴ κρατεῖν τῶν καιρῶν ἀηδῆ. ὁ δὲ ῥήτωρ τοῦ τε ἀρκοῦντος στοχάζεται καὶ τοὺς καιροὺς συμμετρεῖται οὐκ εἰς ἀνάθημα καὶ κτῆμα κα⟨τασκευάζων⟩ τὴν λέξιν μόνον ὥσπερ ὁ συγγραφεύς, ἀλλὰ καὶ εἰς χρῆσιν. ὥστε οὔτε τὸ σαφὲς ἐκβέβηκεν, οὗ πρώτου τοῖς ἐναγωνίοις λόγοις δεῖ, τό τε δεινὸς 983 εἶναι δοκεῖν, ἐφ' | ᾧ μάλιστα φαίνεται σπουδάζων, προσείληφε. τοιαῦτα μὲν δή τινά ἐστιν, ἃ παρὰ τὸν ὑψηλὸν καὶ ἐγκατάσκευον καὶ ἐξηλλαγμένον τοῦ συνήθους χαρακτῆρα, οὗ τὸ κράτος ἅπαν ἦν ἐν τῇ δεινότητι, καὶ Θουκυδίδην τὸν ἐν αὐτῷ πρωτεύσαντα μιμούμενος ὁ Δημοσθένης κατεσκεύακεν.

ἃ δὲ παρὰ τὸν ἰσχνόν τε καὶ ἀκριβῆ καὶ καθαρὸν 11 καὶ ζηλωτὸν . . . . ⟨ὅς⟩ ἀπὸ τοῦ διαλάμψαντος ἐν αὐτῷ Λυσιακὸς δ' ἂν εἰκότως λέγοιτο, τοιαῦτα. κωλύσει δ' οὐθέν, ἴσως δὲ καὶ χαριεστέραν ποιήσει τὴν θεωρίαν τεθεῖσα πρῶτον ἡ Λυσίου λέξις, ᾗ τὴν Δημοσθένους ἐοικέναι πείθομαι, διήγησίν τινα περιέχουσα ὑβριστικήν· "Ἄρχιππος γὰρ οὑτοσί, ὦ ⟨ἄνδρες⟩ Ἀθη-

4 cf Thucydides I 22, 4 20 Lysiae fr CCXXXII S

1 ἡ om B | τῇ ἀμετρίᾳ BP | ἐξαλαγῆς P 2 τ[ὴν] cum ras M 3 ἀηδῆ Sylburgius: μηδῆ addito α super μ M ἀμηδῆ BP | τε Sylburgius: δὲ 4 καιροὺς συμ posthac add M συμ quidem ex δεμ 5 lac XI litt M, XXV B, XXXVIII P: suppl Sylburgius 7 ἐναγ[ω]νίοις cum ras M 10 ἐξηλαγμένον P 11 χαρακτῆρα Sylburgius: χαρακτῆρος 12 πρωτεύσαντα Reiskius: πείσαντα 14 ἰσχνόν Kiessling: ἰσχυρόν M ἰο c lac V litt B, II litt P 15 ὅς intercidisse ante Krügerum sensit Martinius uersionis latinae auctor, uerum hoc quoque dicendum fuit cuinam ζηλωτός 16 Λισιακὸς B | δ' ἂν MBPv δ' om Martinius in uersione 17 οὐδέν BP | καὶ om BPv 18 ἢ τὴν P 20 eadem exstant apud Ioannem Siceliotam εἰς τὸ περὶ εὑρέσεως Ἑρμογένους βιβλίον (cf. Bekkeri anecd. p 1454)

ναῖοι, ἀπεδύσατο μὲν εἰς τὴν αὐτὴν παλαίστραν, οὗπερ
καὶ Τῖσις ὁ φεύγων τὴν δίκην. ὀργῆς δὲ γενομένης
ἐς σκώμματά τε αὐτοῖς καὶ | ἀντιλογίαν καὶ ἔχθραν 984
καὶ λοιδορίαν κατέστησαν. ἔστιν οὖν Πυθέας ἐραστὴς
μὲν τοῦ μειρακίου (πάντα γὰρ εἰρήσεται τἀληθῆ πρὸς
ὑμᾶς), ἐπίτροπος δὲ ὑπὸ τοῦ πατρὸς καταλελειμμένος.
οὗτος, ἐπειδὴ Τῖσις πρὸς αὐτὸν τὴν ἐν τῇ παλαίστρᾳ
λοιδορίαν διηγήσατο, βουλόμενος χαρίζεσθαι καὶ δοκεῖν
δεινὸς καὶ ἐπίβουλος εἶναι, ἐκέλευσεν αὐτόν, ὡς ἡμεῖς
ἔκ τε τῶν πεπραγμένων ᾐσθήμεθα καὶ τῶν εὖ εἰδότων
ἐπυθόμεθα, ἐν μὲν τῷ παρόντι διαλλαγῆναι, σκοπεῖν
δέ, ὅπως αὐτὸν μόνον που λήψεται. πεισθεὶς δὲ ταῦτα
καὶ διαλλαγεὶς καὶ χρώμενος καὶ προσποιούμενος ἐπι-
τήδειος εἶναι εἰς τοῦτο μανίας τηλικοῦτος ὢν ἀφίστατο,
. . . . τ' ἐτύγχανε μὲν οὖσα ἱπποδρομία Ἀνα-
κείων . . . . δ' αὐτὸν μετ' ἐμοῦ παρὰ τὴν θύραν
παριόντα· ⟨γείτονες γὰρ⟩ ἀλλήλων τυγχάνουσιν ὄντες·
τὸ μὲν πρῶτον ⟨συνδειπνεῖν⟩ ἐκέλευεν, ἐπειδὴ δὲ οὐκ
ἠθέλησεν . . . . ἐ⟩πὶ

in codice Barocciano 175 fol 83 | οὐτοὺς B οὐ τουρ P | ἄνδρες addidi
2 τίσις MBP 3 κόμματα BP | αὐτοῖς MBP | καὶ ἔχθραν om B | ἔχραν P 5 πρὸς ἡμᾶς B 7 τίσις MP τίσιν B 11 καὶ ἐν μὲν B 13 καταλλαγεὶς seu διαλλαγεὶς Scheibius: ἀπαλλαγεὶς | ἐπιτήδηος P 14 ἀφιστῶν ἀφίστατο B καθίστατο Scheibius
15 lac IX litt M, XVII litt B, XII litt P: deestne ὥσθ' ὁπότ'? ὥστ' Ioannes | ἐτύγχανεν BP | ἀν' ἀκείων P 16 lac X litt M, XX B, XXIV P: ἰδὼν Ioannes. equidem κατέλαβε intercidisse puto 17 παριόντα Scheibius: παριόντων MBP ἀπιόντα Ioannes | γείτονες γὰρ Ioannes: lac XII litt M, ca VIII litt B, XXXIV P | ἀλλήλοις Ioannes fort ἀλλήλοιν 18 συνδειπνεῖν Ioannes: lac XII litt M, XI B, VIII P | οὐκ ἐθέλησεν M οὐ μεθ' αὐτοῦ P 19 lac XXVI—XXX litt M, XV litt B, totius fere uersus P deinde πὶ κῶμον λέγων ὅτι μεθ' αὐτοῦ καὶ τὸ om P, καὶ τὸ om B: ἐδεήθη ἥκειν αὐτὸν ἐπὶ κῶμον Ioannes

κῶμον, λέγων ὅτι μεθ' αὐτοῦ καὶ τὸ . . . . . .
. . . . δειπνήσαντες οὖν ἤδη συσκοτάζοντος ἐλ-
θόντες κόπτομεν τὴν θύραν. οἳ δ' ἡμᾶς ἐκέλευον
985 εἰσιέναι. ἐπειδὴ δὲ ἔνδον ἐγενό|μεθα, ἐμὲ μὲν ἐκβάλ-
λουσιν ἐκ τῆς οἰκίας, τουτονὶ δὲ συναρπάσαντες ἔδη-
σαν πρὸς τὸν κίονα, καὶ λαβὼν μάστιγα Τῖσις, ἐντείνας
πολλὰς πληγάς, εἰς οἴκημα αὐτὸν καθεῖρξε. καὶ οὐκ
ἐξήρκεσεν αὐτῷ ταῦτα μόνον ἐξαμαρτεῖν, ἀλλ' ἐζηλωκὼς
μὲν τῶν νέων τοὺς πονηροτάτους ἐν τῇ πόλει, νεωστὶ
δὲ τὰ πατρῷα παρειληφὼς καὶ προσποιούμενος νέος
καὶ πλούσιος εἶναι, πάλιν τοὺς οἰκέτας ἐκέλευσεν ἡμέ-
ρας ἤδη γενομένης πρὸς τὸν κίονα αὐτὸν δήσαντας
μαστιγοῦν. οὕτω δὲ τοῦ σώματος ἤδη πονήρως δια-
κειμένου Ἀντίμαχον μεταπεμψάμενος τῶν μὲν γεγενη-
μένων οὐθὲν εἶπεν. ἔλεγε δ' ὡς αὐτὸς μὲν δειπνῶν
τύχοι, οὗτος δὲ μεθύων ἔλθοι, ἐκκόψας δὲ τὴν θύραν
καὶ εἰσελθὼν κακῶς λέγοι αὐτὸν καὶ τὸν Ἀντίμαχον
καὶ τὰς γυναῖκας αὐτῶν. Ἀντίμαχος δὲ ὠργίζετο μὲν
αὐτοῖς ὡς μεγάλα ἡμαρτηκόσιν, ὅμως δὲ μάρτυρας πα-
ρακαλέσας ἠρώτα αὐτόν, πῶς εἰσέλθοι. ὃ δὲ κελεύ-
σαντος Τίσιδος καὶ τῶν οἰκείων ἔφασκε. συμβουλευόν-
των δὲ τῶν εἰσελθόντων ὡς τάχιστα λῦσαι καὶ τὰ |
986 γεγενημένα δεινὰ νομιζόντων εἶναι ἀπέδοσαν αὐτὸν
τοῖς ἀδελφοῖς. οὐ δυναμένου δὲ βαδίζειν, ἐκόμισαν

2 ante δειπνήσαντες in M lac XXV litt, in B XIX litt: καὶ τῶν οἰκετῶν (οἰκείων Cobet) πιέτω Ioannes 4 ἐπεὶ δὲ δὴ B 5 ἐκ τῆς om P 6 μάστιγα Τῖσις] μάστιγά τις MBPv
8 ταῦτα bis P 9 νεωτέρων Ioannes 11 ἐκέλευεν BPv
12 δήσαντες Bv μαστιγοῦν δήσαντας Ioannes 13 πονήρως ἤδη Ioannes 14 Ἀντίμαχον — γεγενημένων mg M | γεγενημένων — αὐτὸς μὲν om Pv 15 ἔλεγεν B | δειπνῶν M: δειπνοῦν BP δειπνῦν v 19 ὁ μὲν ὅμως B 20 ἐρωτα B
21 οἰκετῶν MBP: corr Usener | ἔφασκεν B 23 ἀπέδωσαν M

αὐτὸν εἰς τὸ Δεῖγμα ἐν κλίνῃ καὶ ἐπέδειξαν πολλοῖς
μὲν Ἀθηναίων πολλοῖς δὲ καὶ τῶν ἄλλων ξένων οὕτως
διακείμενον, ὥστε τοὺς ἰδόντας μὴ μόνον τοῖς ποιή-
σασιν ὀργίζεσθαι ἀλλὰ καὶ τῆς πόλεως κατηγορεῖν, ὅτι
οὐ δημοσίᾳ οὐδὲ παραχρῆμα τοὺς τὰ τοιαῦτα ἐξαμαρ-
τάνοντας τιμωρεῖται.'

12 αὕτη μὲν ἡ Λυσίου διήγησις ἐκ τοῦ κατὰ Τίσιδος
λόγου. ἣν δὲ νῦν μέλλω λέγειν, Δημοσθένους ἐκ τοῦ
κατὰ Κόνωνος, ἧς τὴν πραγματικὴν ὁμοιότητα ἐάσαν-
τες . . . . τὴν
ἐν τῇ λέξει σκοπῶμεν· 'Ἐξήλθομεν ἔτος τουτὶ τρίτον
εἰς Πάνακτον φρουρᾶς ἡμῖν προγρα|φείσης. ἐσκήνω- 987
σαν οὖν οἱ υἱεῖς οἱ Κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν, ὡς
οὐκ ἂν ἐβουλόμην. ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ
προσκρούματα ἐκεῖθεν ἡμῖν συνέβη· ἐξῆς δὲ ἀκούσεσθε.
ἔπινον ἑκάστοτε οὗτοι τὴν ἡμέραν ὅλην, ἐπειδὴ τάχιστα
ἀριστήσειαν, καὶ τοῦθ', ἕωσπερ ἦμεν ἐν τῇ φρουρᾷ,
διετέλουν ποιοῦντες· ἡμεῖς δ', ὥσπερ ἐνθάδε εἰώθει-
μεν, οὕτω διήγομεν καὶ ἔξω. καὶ ἦν δειπνοποιεῖσθαι

1 scholion ὁ τόπος ἐν τῷ Πειραιεῖ (πειρακεῖ B), ἔνθα (ἔνθ' P) ἐδείκνυτο (ἐδεικαίνυτο B ἐδήκνυτο P) σῖτος καὶ ἄλλα ὄσπρια (ὅσπερ BP) ὑποδείγματα 11 Demosthenes κατὰ Κόνωνος or LIV 3—9

2 οὕτω Ioannes 7 Λυσίου M Sylburgius: λώρου BPv | an ἡ ἐκ? | τίσιδος posthac add M 9 κόνωνος posthac add M 10 lac XII litt M, XXXII litt B, totius fere uersus P 11 ἐξῆλθον D | τουτὶ τρίτον M m recens: lac X litt B, XVII litt P 12 φρουρῶς ὅλι (sic) B | ἐσκήνωσαν οὖν οἱ υἱεῖς m rec M: lac XIII litt B, XXXIII litt P 13 τουτουὶ κόνωνος BPM sed signis supra additis corr M | ὡς add m rec M om P 15 ξυνήβη B | ἐξῆς] ἐξ ὧν D | ἀκούσεσθαι MBP fort ἐξ ἧς δ' ἀκούσεσθ' αἰτίας Dionysius 16 ἔπινος B | τὴν ἡμέραν, ἐπειδὴ—ἀριστήσαιεν, ὅλην D 17 ὥσπερ MBP | ἐν] ἐπὶ D 18 εἰώθημεν MBP εἰώθαμεν D 19 καὶ ἦν] καὶ κνο B ἦν οὖν D

τοῖς ἄλλοις ὥραν συμβαίνοι, ταύτην ἂν οὗτοι ἐπαρῴ-
νουν ἤδη, τὰ μὲν πολλὰ εἰς τοὺς παῖδας τοὺς ἀκολού-
θους ἡμῶν, τελευτῶντες δὲ καὶ εἰς ἡμᾶς αὐτούς.
φήσαντες γὰρ καπνίζειν αὐτοὺς ὀψοποιουμένους τοὺς
παῖδας ἢ κακῶς λέγειν, ὅ τι τύχοιεν, ἔτυπτον καὶ τὰς
ἀμίδας κατεσκεδάννυσαν καὶ προσεούρουν καὶ ἀσελγείας
988 καὶ | ὕβρεως οὐδ' ὁτιοῦν ἀπέλειπον. ὁρῶντες δὲ ἡμεῖς
ταῦτα καὶ λυπούμενοι τὸ μὲν πρῶτον ἀπεπεμψάμεθα·
ὡς δ' ἐχλεύαζον ἡμᾶς καὶ οὐκ ἐπαύοντο, τῷ στρατηγῷ
τὸ πρᾶγμα εἴπομεν κοινῇ πάντες οἱ σύσσιτοι προσελ-
θόντες, οὐδὲν ἐγὼ τῶν ἄλλων ἔξω. λοιδορηθέντος δὲ
αὐτοῖς ἐκείνου καὶ κακίσαντος αὐτούς, οὐ μόνον περὶ
ὧν εἰς ἡμᾶς ἠσέλγαινον ἀλλὰ καὶ περὶ ὧν ἐποίουν
ὅλως ἐν τῷ στρατοπέδῳ, τοσούτου ἐδέησαν παύσασθαι
ἢ αἰσχυνθῆναι, ὥστε, ἐπειδὴ θᾶττον συνεσκότασεν,
εὐθὺς ὡς ἡμᾶς εἰσεπήδησαν ταύτῃ τῇ ἑσπέρᾳ. καὶ τὸ
μὲν πρῶτον κακῶς ἔλεγον, ἔπειτα δὲ καὶ πληγὰς ἐνέ-
τειναν ἐμοὶ καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ
τὴν σκηνὴν ἐποίησαν, ὥστε καὶ τὸν στρατηγὸν καὶ
τοὺς ταξιάρχους ἐλθεῖν καὶ τῶν ἄλλων τινὰς στρατιω-
τῶν, οἳ διεκώλυσαν μηδὲν ἡμᾶς ἀνήκεστον παθεῖν
989 μηδ' | αὐτοὺς ποιῆσαι παροινουμένους ὑπὸ τούτων.
τοῦ δὲ πράγματος εἰς τοῦτο παρελθόντος, ὡς δεῦρο
ἀνήλθομεν, ἦν ἡμῖν, οἷον εἰκός, ἐκ τούτων ὀργὴ καὶ

1 συμβαίνει P | ταύτην] τὴν τὴν B | ἤδη ἐπαρῴνουν οὗτοι D 2 παῖδας om P 3 ἡμῶν τοὺς ἀκ. D | δὲ καὶ εἰς om P εἰς om B 4 τοὺς] αὐτοὺς B 6 κατεσκεδάννουσαν BP | προσ⁝ούρουν una littera erasa M πρὸσσεούρουν B 11 οὐθὲν M οὐκ D 13 sq ὅλως ἐποίουν D 15 ἐπειδὲ BP | συνεσκόταζεν BPv 17 ἔπειτα] τελευτῶντες D 19 καὶ τὸν στρατὸν καὶ τὸν στρατηγὸν P 20 στρατιωτῶν τινας D 21 οἵπερ ἐκώλυσαν D | μηθὲν M 24 ἀνήλθομεν addito ἐπ super ἀν M ἦν ἡμῖν m rec M: lac XVIII litt B, V litt P

ἔχθρα πρὸς ἀλλήλους. οὐ μὴν ἔγωγε ᾤμην δεῖν οὔτε
δίκην λαχεῖν αὐτοῖς οὔτε λόγον ποιεῖσθαι τῶν συμ-
βάντων. ἀλλ' ἐκεῖν' ἁπλῶς ἐγνώκειν τὸ λοιπὸν εὐλα-
βεῖσθαι καὶ φυλάττεσθαι μὴ πλησιάζειν ὡς τοὺς τοιού-
τους. πρῶτον μὲν οὖν, ὧν εἴρηκα, τούτων βούλομαι
τὰς μαρτυρίας παρασχόμενος μετὰ ταῦτα, ὅσα ὑπὸ
τούτου πέπονθα, ἐπιδεῖξαι, ἵνα εἰδῆτε, ὅτι ⟨ᾧ⟩ προσ-
ῆκε τοῖς τὸ πρῶτον ἁμαρτηθεῖσιν ἐπιτιμᾶν, οὗτος
αὐτὸς πρὸς τούτοις πολλῷ δεινότερα διαπέπρακται. —
Μάρτυρες. — Ὧν μὲν τοίνυν οὐθένα ᾤμην δεῖν λόγον
ποιεῖσθαι, ταῦτά ἐστι. χρόνῳ δ' ὕστερον οὐ πολλῷ
περιπατοῦντος ὥσπερ εἰώ|θειν ⟨ἑσπέρας⟩ ἐν ἀγορᾷ 990
μου μετὰ Φανοστράτου τοῦ Κηφισέως τῶν ἡλικιωτῶν
τινος παρέρχεται Κτησίας, ὁ υἱὸς ⟨ὁ⟩ τούτου μεθύων
κατὰ τὸ Λεωκόριον ἐγγὺς ἰὼν Πυθοδώρου. κατιδὼν
δὲ ἡμᾶς καὶ κραυγάσας καὶ διαλεχθείς τι πρὸς αὑτὸν
οὕτως, ὡς ἂν μεθύων, ὥστε μὴ μαθεῖν, ὅ τι λέγει,
παρῆλθε πρὸς Μελίτην ἄνω. ἔπινον δ' ἄρα ἐνταῦθα
παρὰ Παμφίλῳ τῷ γναφεῖ Κόνων οὑτοσὶ Θεόδωρός
τις Ἀλκιβιάδης Σπίνθαρος ὁ Εὐβούλου Θεογένης ὁ
Ἀνδρομένους πολλοί τινες, οὓς ἐξαναστήσας ὁ Κτησίας

1 ἔχρα P | οὐ μὲν B | ἔγεγε B[1] ἔγἔγε P ἔγωγε μὰ τοὺς θεοὺς v ex D | ᾤμεν P 2 λαχεῖν, in mg rubro ἔχειν M | συμβάντων οὐδένα v ex D 3 ἐκεῖνο D: ἐκεῖνα MBPv | ἁπλῶς m rec M ex ἀπ, praeterea in mg ἁπλῶς M | ἐγγνώκειν BP 4 φιλάττεσθαι P | ὡς τοὺς τοιούτους] τοῖς τοιούτοις D (ὡς τοιούτοις A) fuit fort ὡς οὖσι τοιούτοις 5 τούτων ὧν εἴρηκα D 6 οἷα ὑπ' αὐτοῦ τούτου D 9 αὐτοῖς πρὸς τούτοις MBP αὐτὸς πρότερος D | εἴργασται D 10 μέντοι νῦν P | οὐδένα D 12 ἑσπέρας v ex D 13 Κηφίσεως B Κηφισιέως Palmer 14 ὁ υἱὸς] ὅῦς P οὓς B | ὁ add v ex D 18 μελέτην P | post ἐνταῦθα D: ταῦτα γὰρ ὕστερον ἐπυθόμεθα. 19 γναφεῖ M, mg B: γραφεῖ BPv | οὑτούς BP sed οὑτοσί B mg | Θεόδωρός — Εὐβούλου bis B Θεότιμός τις Ἀρχεβιάδης D 20 πίνθαρος M | ὁ prius om BP 21 Ἀνδρομέδους MBP: corr v ex D

ἐπορεύετο εἰς τὴν ἀγοράν. καὶ ἡμῖν συμβαίνει ἀναστρέ-
φουσιν ἐκ τοῦ Φερρεφαττίου καὶ περιπατοῦσι πάλιν
991 κατ' αὐτό πως τὸ Λεω|κόριον εἶναι, καὶ τούτοις περι-
τυγχάνομεν. ὡς δ' ἀνεμίχθημεν, εἷς μὲν αὐτῶν ἀγνώς
τις τῷ Φανοστράτῳ προσπίπτει καὶ κατεῖχεν ἐκεῖνον.
Κόνων δὲ οὑτοσὶ καὶ ὁ υἱὸς αὐτοῦ καὶ ὁ Ἀνδρομένους
υἱὸς ἐμοὶ περιπεσόντες τὸ μὲν πρῶτον ἐξέδυον, εἶτα
ὑποσκελίσαντες καὶ ῥάξαντες εἰς τὸν βόρβορον οὕτω
διέθηκαν ἐναλλόμενοι καὶ ὑβρίζοντες, ὥστε τὸ μὲν
χεῖλος διακόψαι τοὺς δ' ὀφθαλμοὺς συγκλεῖσαι. οὕτω
δὲ κακῶς ἔχοντα κατέλιπον, ὥστε μήτε ἀναστῆναι μήτε
φθέγξασθαι δύνασθαι. κείμενος δ' αὐτῶν ἤκουον πολλὰ
καὶ δεινὰ λεγόντων. καὶ τὰ μὲν ἄλλα βλασφημίας ἔχει
τινάς, ἃς κἂν ὀνομάζειν ὀκνήσαιμι, ὃ δὲ τῆς ὕβρεώς
ἐστι τῆς τούτου σημεῖον καὶ τεκμήριον, ὡς πᾶν τὸ
πρᾶγμα ὑπὸ τούτου γενόμενον, τοῦθ' ὑμῖν ἐρῶ· ᾖδεν
992 γὰρ τοὺς | ἀλεκτρυόνας μιμούμενος τοὺς νενικηκότας,
οἱ δὲ κροτεῖν αὐτὸν ἠξίουν τοῖς ἀγκῶσιν ἀντὶ πτερύ-
γων τὰς πλευράς.'

ταῦτ' οὐ καθαρὰ καὶ ἀκριβῆ καὶ σαφῆ καὶ διὰ 13

2 ἀπὸ τοῦ D | Φερεφαττίου MBPv 3 τούτοις DM, B mg: τοῦτο P, B in textu, τούτῳ v 4 ἀγνώς τις] ἀγνώστως M ἐγώστως B ἐγνόστως corr B mg ἐγνώστως P 6 Κόνων] μόνων P 7 περιπεσούντες P περιπεσόντες B repetit in mg | ἐξέδυσαν D 8 ὑποσκολίσαντες corr in ὑποσκελίσαντες P | εἰς τὸν βίον εἰς τὸν βόρβορον P 10 συγκλεῖσαι m rec M: spatium XVIII litt B, XIII litt P 11 κατέλειπον BPv καταλιπεῖν D | μήτε ex μὴ m rec M: μὴ BP | μέτε φθ. P 12 δύνασθαι in mg M | ἤ(κουον πολ)λὰ M litteris inclusis posthac additis 13 καὶ βλασφημίαν ἔχει τινὰ καὶ ὀνομάζειν ὀκνήσαιμ' ἂν ἐν ὑμῖν ἔνια D
14 κἂν] καὶ MBPv 15 τεκμίριον P | ὡς MBP: τοῦ D 16 γενόμενον] γέγονεν Blass γεγενῆσθαι D | τοῦτο — μιμούμενος add in mg B² 17 γὰρ τοὺς] γὰρ BP | ἀλεκτρίονας P | νεοκηκότας P 18 ἀγῶσιν B, sed ἀγκωσι mg B² 20 ταῦτα BPv

τῶν κυρίων τε καὶ κοινῶν ὀνομάτων κατεσκευασμένα ὥσπερ τὰ Λυσίου; ἐμοὶ μὲν γὰρ ὑπάρχειν δοκεῖ. τί δέ; οὐχὶ σύντομα καὶ στρογγύλα καὶ ἀληθείας μεστὰ καὶ τὴν ἀφελῆ καὶ ἀκατάσκευον ἐπιφαίνοντα φύσιν, καθάπερ ἐκεῖνα; πάντων μὲν οὖν μάλιστα. οὐχὶ δὲ καὶ πιθανὰ καὶ ἐν ἤθει λεγόμενά τινι καὶ τὸ πρέπον τοῖς ὑποκειμένοις προσώποις τε καὶ πράγμασι φυλάττοντα; ἡδονῆς δὲ ἄρα καὶ πειθοῦς καὶ χαρίτων καιροῦ τε καὶ τῆς ἄλλης ἁπάσης τῆς τοῖς Λυσιακοῖς ἐπανθούσης ἀρετῆς οὐχὶ πολλὴ μοῖρα; οὐκ ἔνεστ' ἄλλως εἰπεῖν. εἰ γοῦν μὴ διὰ τῆς ἐπιγραφῆς, οὗ τινός ἐστιν, ἑκάτερος τῶν λόγων γνώριμος ἦν, ἀλλ' ἀνεπιγράφοις περιετύχομεν αὐτοῖς, οὐ πολλοὺς ἂν ἡμῶν οἴομαι διαγνῶναι ῥαδίως, πό|τερος Δημοσθένους ἐστὶν ἢ Λυσίου· 993 τοσαύτην οἱ χαρακτῆρες ὁμοιότητα πρὸς ἀλλήλους ἔχουσι. τοιοῦτός ἐστι καὶ ὁ πρὸς Ἀπολλόδωρον ὑπὲρ Φορμίωνος καὶ ὁ κατ' Ὀλυμπιοδώρου [τῆς] βλάβης καὶ ὁ πρὸς Βοιωτὸν ὑπὲρ τοῦ ὀνόματος ἥ τε πρὸς Εὐβουλίδην ἔφεσις καὶ ἡ πρὸς Μακάρτατον διαδικασία καὶ οἱ ἄλλοι πάντες οἱ ἰδιωτικοὶ λόγοι οὐ πολλῷ πλείους τῶν εἴκοσιν ὄντες. οἷς γε δὴ κατὰ τὸ παρὸν ἐντετυχηκὼς γνώσῃ, ὁποῖα λέγω. καὶ τῶν δημοσίων δὲ ἀγώνων πολλὰ μέρη τούτῳ κατεσκεύασται τῷ χαρακτῆρι. ἔφερον δ' ἂν ἐξ ἑκάστου τὰ παραδείγματα, εἰ μὴ πλείων

1 τε om BPv 2 [Λυ]σίου cum ras B | ὑπάρχειν BPM mg: ἄρχει M in textu 9 τῆς ἄλλης ἁπάσης τῆς τοῖς Λυσιακοῖς ἐπανθούσης ἀρετῆς] τοῖς ἄλλοις ἅπασιν ἃ τοῖς λυσιακοῖς ἐπανθοῦσιν ἆρα MBPv 11 ἐστιν add mg B² 14 λυσίου ex λύρου corr B² 15 ἔχουσ[ι] cum ras M 17 ὀ.λυμπιοδώρου una littera erasa M | τῆς del Krüger 18 εὐουλίδην BP 20 εἴκοσι MBPv 22 ὁποῖα λέγω] οἷς οἶδα ἐγὼ MBPv Ammaeum adloquitur cf p 157, 16 | διμοσίων P 23 ἔφερον ex ἔφερων M ἔφερεν in mg ἔφερον B

ἔμελλε τοῦ μετρίου γενήσεσθαι ὁ λόγος. ἐν οἷς δῆλός ἐστι περὶ καλλιλογίαν καὶ σεμνότητα καὶ πάσας τὰς ἐπιθέτους κατασκευὰς ⟨οὐ⟩ μᾶλλον ἐσπουδακὼς ἢ περὶ 994 τὴν ἀκρίβειαν. ὁ δὲ | πρὸς τὴν ἐπιστολὴν καὶ τοὺς πρέσβεις τοὺς παρὰ Φιλίππου ῥηθεὶς λόγος, ὃν ἐπιγράφει Καλλίμαχος ὑπὲρ Ἁλοννήσου, ὁ τὴν ἀρχὴν τήνδε ἔχων· ‘Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν, ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται’ ὅλος ἐστὶν ἀκριβὴς καὶ λεπτὸς καὶ τὸν Λυσιακὸν χαρακτῆρα ἐκμέμακται εἰς ὄνυχα, ἐξαλλαγῆς δὲ ἢ σεμνολογίας ἢ δεινότητος ἢ τῶν ἄλλων τινός, ἃ τῇ Δημοσθένους δυνάμει παρακολουθεῖν πέφυκεν, ὀλίγην ἐπίδειξιν ἔχει. τίς οὖν ἐστι κἀν τούτοις ἡ διαφορά; καὶ πῶς ἂν διαγνοίη τις, ὅταν εἰς τὸν ἀναγκαῖον καταβῇ χαρακτῆρα ὁ Δημοσθένης, πῇ κρείττων ἐστὶ Λυσίου καὶ κατὰ τὴν λέξιν; ἀξιοῖς γὰρ δὴ καὶ τοῦτο μαθεῖν. φυσική τις ἐπιτρέχει τοῖς Λυσίου λόγοις εὐστομία καὶ χάρις, ὥσπερ ἔφην καὶ πρότερον, ᾗ προὔχει πλὴν Δημοσθένους τῶν ἄλλων ῥητόρων. αὕτη μέντοι, καθάπερ νότιός τις αὖρα, μέχρι 995 προοιμίου καὶ διηγήσεως αὐτὸν ἄγει, ὅταν δ' εἰς | τοὺς ἀποδεικτικοὺς ἔλθῃ λόγους, ἀμυδρά τις γίνεται καὶ ἀσθενής, ἐν δὲ δὴ τοῖς παθητικοῖς εἰς τέλος ἀποσβέννυται· τόνος γὰρ οὐ πολὺς αὐτῇ πρόσεστιν οὐδ' ἰσχύς.

7 [Demosthenes] περὶ Ἁλοννήσου or VII 1

1 γενήσεσθαι B mg, M sed γενή postea additum: γενῆσθαι P, B in textu, γενέσθαι v 2 καλλολογίαν MB 3 οὐ add Vliet 4 πρὸς] περὶ MBPv 5 λόγον mg B 6 immo περὶ | ἀλονήσου MBPv 7 ἔχων om v 10 ἐξαλαγῆς BP 13 ἡ διμοσθένους δυνάμει παρα ἡ διαφορὰ B¹ | διαγνοίην P 14 ἀναγκαῖον] Λυσιακὸν malit Usener 15 πῇ M, B mg: τῇ BP 20 δ' M, B mg: om BP 21 ἔλθει P

παρὰ δὲ τῷ Δημοσθένει πολὺς μὲν ὁ τόνος, αὐτάρκης δ' ἡ χάρις, ὥστε κἂν ταύτῃ τῷ διαρκεῖ καὶ μετρίῳ νικᾶν κἂν ἐκείνῳ τῷ παντὶ προέχειν. τοῦτο παρατήρημα δεύτερον, ᾧ διαγνοίη τις ἂν τὴν Δημοσθένους διάλεκτον, ὅταν εἰς ταῦτα τἀναγκαῖα συνάγηται. οὐ γὰρ ὥσπερ τὴν ἐξαλλαγὴν καὶ περιττολογίαν καὶ πάντας τοὺς ἐπιθέτους ἐκδύεται κόσμους, οὕτως καὶ τὸ μέγεθος καὶ τὸν τόνον, ἀλλ' ἔστιν αὐτῆς ἀναφαίρετος οὗτος εἴτ' ἄρα συγγενὴς εἴτε ἀσκήσει παρὼν εἰς ῥῆσιν. ἐπιτάσεις μέντοι καὶ ἀνέσεις λαμβάνει τινὰς ἀναλόγους. καὶ ταῦτ' ἤδη γνώριμα οἷς λέγω, καὶ οὐθὲν δεόμεθα παραδειγμάτων.

14 ὥστε περὶ μὲν τοῦ χαρακτῆρος .... τοῦ δὲ ῥητορικοῦ γένους τοῦ μεταξὺ τῶν ἄκρων ἑκατέρων, ὃ ἀτελὲς παραλαβὼν ὁ Δημοσθένης παρ' Ἰσοκράτους τε καὶ | ἔτι προτέρου Θρασυμάχου καὶ τελευταίου Πλά- 996
τωνος ἐτελείωσεν ὅσον ἦν ἀνθρωπίνῃ φύσει δυνατόν, πολλὰ μὲν ἄν τις ἐκ τῶν κατὰ Φιλίππου δημηγοριῶν πολλὰ δ' ἐκ τῶν ⟨ἄλλων⟩ δημοσίων λόγων παραδείγματα λάβοι, πλεῖστα δὲ καὶ κάλλιστα ἐκ τῆς ὑπὲρ Κτησιφῶντος ἀπολογίας· οὗτος γὰρ δή μοι δοκεῖ καλλίστῃ καὶ μετριωτάτῃ κατασκευῇ λέξεως κεχρῆσθαι ὁ

1 δημοσθένήου P | post πολὺς M repetit αὐτῇ πρόσεστιν sed et rasura et punctis deletum est | αὐτάρκις in αὐτάρκης corr P 2 μετρίω ex μέτρια B² 5 αὐτὰ Reiskius | τὰ ἀναγκαῖα B¹ 7 ἐκδύνεται B 9 ῥῆσιν postea add M εἰς χρῆσιν Reiskius εἰρήσεται Usener 10 ἐπιτά cum lac IV litt M ἐπιτάσις B¹ ἀναέσεις B | ἀναλόγους: να postea add M 11 ταῦ[τ' ἤ]δη cum ras B, in M δ postea additum est | δεόμεθα M sed εθα postea additum 13 χαρακτῆρος—14 τοῦ om Pv sine lacuna | post χαρακτῆρος lac VIII litt M, XIV litt B: fort τούτου ἅλις intercidit 14 ἑκατέρων] ἑκατέρου MBPv | ὃ ἀτελὲς Sadaeus: ὃν ἀτελῆ 16 προτέρου] πρότερον MBPv | τελευτέου P 19 ἄλλων addidi 20 ὑπὲρ] περὶ MBPv 21 καλλήστη P

λόγος. εἰ μὲν οὖν χρόνον ἀρκοῦντα εἶχον, καὶ τὰς λέξεις αὐτὰς ἂν παρετίθην. πολλῶν δέ μοι καὶ ἀναγκαίων ἔτι καταλειπομένων, τοῦτο μὲν ἐάσω, δείγμασι δὲ μόνον ἐν τῷ παρόντι χρήσομαι βραχυτάτοις ὡς ἐν εἰδόσι λέγων. ἔστι δὴ τὰ τοιαῦτα τοῦ μέσου χαρακτῆρος παραδείγματα ἐκ μὲν τῆς Αἰσχίνου κατηγορίας· ‛Ἀεὶ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν καὶ κολάζειν τοὺς προδότας καὶ δωροδόκους, μάλιστα δὲ νῦν ἐπὶ τοῦ καιροῦ τούτου γένοιτ' ἂν καὶ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ. νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα καὶ χαλεπόν, ὃ πολλῆς τινος εὐτυχίας καὶ παρ' ὑμῶν ἐπιμε-
997 λείας δεόμε|νον' καὶ ⟨τὰ⟩ ἑπόμενα τούτοις. ἐκ δὲ τῆς Ἀριστοκράτους κατηγορίας· ‛Πολλὰ μὲν δὴ παρ' ἡμῖν ἔστι τοιαῦτα, οἷα οὐχ ἑτέρωθι, ἓν δ' οὖν ἰδιώτατον πάντων καὶ σεμνότατον τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, περὶ οὗ τοσαῦτά ἐστι καλὰ παραδεδομένα καὶ μυθώδη καὶ ὧν αὐτοὶ μάρτυρές ἐσμεν, ὅσα περὶ οὐδενὸς ἄλλου δικαστηρίου' καὶ τὰ ἑξῆς. ἐκ δὲ τοῦ περὶ τῶν ἀτελειῶν λόγου· ‛Πρῶτον μὲν τοίνυν Κόνωνα σκοπεῖτε, εἰ ἄρα ἄξιον καταμεμψαμένους ἢ τὸν ἄνδρα ἢ τὰ πεπραγμένα ἄκυρόν τι ποιῆσαι τῶν ἐκείνῳ δοθέντων. οὗτος γάρ, ὡς ὑμῶν τινῶν ἔστιν ἀκοῦσαι τῶν κατὰ τὴν

7 Demosthenes de falsa legatione or XIX 258 14 Demosthenes κατ' Ἀριστοκράτους or XXIII 65 20 Demosthenes πρὸς Λεπτίνην or XX 68

3 τοῦτο postea add M 4 βραχυτούτοις P | ἐνειδόσι P 5 ἔστω· Krüger 6 αἰσχ[ί]νου cum ras M 7 [ἄν]δρες cum ras M 9 ἐπὶ καιροῦ τοῦτο D 12 ὃ καὶ D | εὐτυχίας D: συντυχίας MBPv 13 τὰ add Sylburgius 15 οἶα οἶα P οἴα οἴα B 17 ὑπὲρ D | ἔστιν εἰπεῖν καλὰ v ex D | μυθώδε P 20 κόνων' ἀσκοπεῖτε P 21 μέμψασθαι μεμψαμένους P μεμψαμένους B | αὐτῷ post πεπραγμένα v 22 ἐκείνων P 23 ἀνὴρ post γὰρ v | ἔστι BP

αὐτὴν ἡλικίαν ὄντων, μετὰ τὴν τοῦ δήμου κάθοδον τὴν ἐκ Πειραιέως ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης' καὶ τὰ ἀκόλουθα. ἐκ δὲ τῆς ὑπὲρ Κτησιφῶντος ἀπολογίας· ‘Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι ⟨καὶ⟩ δημηγορεῖν ἐμὲ προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· | οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δὲ ἀφ' 998 ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγώ, διεκώλυον λαβεῖν, ταῦτα ἀναμνήσω καὶ περὶ τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών· πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ. παρὰ γὰρ τοῖς Ἕλλησιν οὐ τισὶν ἀλλὰ πᾶσιν ὁμοίως φορὰ προδοτῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη, ὅσην οὐδείς τὸ πρότερον μέμνηται γεγονυῖαν' καὶ τὰ συναπτόμενα τούτοις.

15 τοῦτον ἔγωγε τὸν χαρακτῆρα .... εἴ
16 τις μὴ μάλιστα ἀποδέχοιτο τὴν αἰτίαν, δι' ἣν οὔτε τὰ Θουκυδίδεια ἐκεῖνα περιττὰ καὶ ἐξηλλαγμένα τοῦ συνήθους κράτιστα ἡγοῦμαι οὔτ' ἐν τοῖς Λυσιακοῖς τοῖς ἰσχνοῖς καὶ συνεσπασμένοις τὴν τελείαν τῆς λέξεως ἀρετὴν τίθεμαι, τοῦτ' ἂν εἴποιμι πρὸς αὐτόν· οἱ συνιόντες εἰς | τὰς ἐκκλησίας καὶ τὰ δικαστήρια καὶ τοὺς 999 ἄλλους συλλόγους, ἔνθα πολιτικῶν δεῖ λόγων, οὔτε δεινοὶ καὶ περιττοὶ πάντες εἰσὶ καὶ τὸν Θουκυδίδου

3 Demosthenes περὶ τοῦ στεφάνου or XVIII 60

1 αὐτ[ὴν] cum ras M αὐτῶν BP | μετὰ postea add M 2 Πειραιέως ex Πειραι posthac M item ἀσθε(νοῦς) | ἡμὲν BP | οὔσας B 3 ἐκ δὲ postea inseruit M | ὑπὲρ] περὶ MBPv 4 πρὸ τοῦ postea add M | καὶ ex D add v 7 διεκώλιον P διεκωλύθη D 8 περὶ om D uncis seclusit v 11 προδότων B[1] | φορὰν — συνέβη γενέσθαι D 12 οὐδείς πω πρότερον D 15 ἔγεγε B[1] | lacunae signa addidi 17 τὰ περιττὰ Reiskius 18 ἐν Sadaeus: ἐπὶ 19 συνεσκευασμένοις in mg MB 21 δηκαστήρια P

νοῦν ἔχοντες οὔθ' ἅπαντες ἰδιῶται καὶ κατασκευῆς λόγων γενναίων ἄπειροι, ἀλλ' οἳ μὲν ἀπὸ γεωργίας οἳ δ' ἀπὸ θαλαττουργίας οἳ δ' ἀπὸ τῶν βαναύσων τεχνῶν συνερρυηκότες, οἷς ἁπλούστερον καὶ κοινότερον διαλεγόμενος μᾶλλον ἄν τις ἀρέσαι. τὸ γὰρ ἀκριβὲς καὶ περιττὸν καὶ ξένον καὶ πᾶν, ὅ τι μὴ σύνηθες αὐτοῖς ἀκούειν τε καὶ λέγειν, ὀχληρῶς διατίθησιν αὐτούς, καὶ ὥσπέρ τι τῶν πάνυ ἀνιαρῶν ἐδεσμάτων ἢ ποτῶν ἀποστρέφει τοὺς στομάχους, οὕτως ἐκεῖνα ὀχληρῶς διατίθησι τὰς ἀκοάς. οἳ δὲ πολιτικοί τε καὶ ἀπ' ἀγορᾶς καὶ διὰ τῆς ἐγκυκλίου παιδείας ἐληλυθότες, οἷς οὐκ ἔνι τὸν αὐτὸν ὅνπερ ἐκείνοις διαλέγεσθαι τρόπον, ἀλλὰ δεῖ τὴν ἐγκατάσκευον καὶ περιττὴν καὶ ξένην διάλεκτον τούτοις προσφέρειν. εἰσὶ μὲν οὖν ἴσως ἐλάττους οἱ τοιοῦτοι τῶν ἑτέρων, μᾶλλον δὲ πολλοστὸν ἐκείνων μέρος, καὶ τοῦτο οὐθεὶς ἀγνοεῖ· οὐ μὴν καταφρονεῖσθαί γε διὰ ταῦτα ἄξιοι. ὁ μὲν οὖν τῶν ὀλί-
1000 γων καὶ εὐπαιδεύτων στοχαζόμενος | λόγος οὐκ ἔσται τῷ φαύλῳ καὶ ἀμαθεῖ πλήθει πιθανός, ὁ δὲ τοῖς πολλοῖς καὶ ἰδιώταις ἀρέσκειν ἀξιῶν καταφρονηθήσεται πρὸς τῶν χαριεστέρων, ὁ δ' ἀμφότερα τἀκροατήρια πείθειν ζητῶν ἧττον ἀποτεύξεται τοῦ τέλους. ἔστι δὲ οὗτος ὁ μεμιγμένος ἐξ ἀμφοτέρων τῶν χαρακτήρων. διὰ ταῦτα ἐγὼ τὴν οὕτως κατεσκευασμένην λέξιν μετριωτάτην εἶναι τῶν ἄλλων νενόμικα καὶ τῶν λόγων

4 οἷς] οἳ P | ἁπλούστυρον corr in ἁπλούστερον B | κοινώτερον M 5 μᾶλον P 7 διατίθηκεν B corr in mg B[2] 9 διατίθεσι B[1]P 11 ἐγκλίου παιδίας P 14 ἴσως ex ἴσω M 15 μἄλλον P 16 κείνων P κείνων in ἐκείνων corr BM | μέρως P 17 ἄξιοι Sylburgius: ἀξιοῖ 21 τἀκροατήρια Reiskius: τὰ κριτήρια 22 πείθεῖν P | τέλος B corr B[1] 24 κατασκευασμένην corr in κατεσκευασμένην M

τούτους μάλιστα ἀποδέχομαι τοὺς πεφευγότας ἑκατέρου
τῶν χαρακτήρων τὰς ὑπερβολάς.
16 εἰρηκὼς δὲ κατ' ἀρχάς, ὅτι μοι δοκοῦσιν Ἰσοκράτης
τε καὶ Πλάτων κράτιστα τῶν ἄλλων ἐπιτετηδευκέναι
τοῦτο τὸ γένος τοῦ χαρακτῆρος καὶ προαγαγεῖν μὲν
αὐτὸ ἐπὶ μήκιστον, οὐ μὴν καὶ τελειῶσαι, ὅσα δ' ἐνέ-
λιπεν ἐκείνων ἑκάτερος, ταῦτα Δημοσθένην ἐξειργα-
σμένον ἐπιδείξειν ὑποσχόμενος, ἐπὶ τοῦτ' ἤδη πορεύσο-
μαι, τὰς ἄριστα δοκούσας ἔχειν παρ' ἑκατέρῳ τῶν
ἀνδρῶν λέξεις προχειρισάμενος καὶ ἀντιπαραθεὶς αὐταῖς
τὰς Δημοσθένους, ὅσαι περὶ τὰς αὐτὰς συνετάχθησαν
ὑπο|θέσεις, ἵνα μᾶλλον αἱ τῶν ἀνδρῶν προαιρέσεις 1001
τε καὶ δυνάμεις γένωνται καταφανεῖς τὴν ἀκριβεστά-
17 την βάσανον ἐπὶ τῶν ὁμοίων ἔργων λαβοῦσαι. εἰσα-
γέσθω δὲ πρῶτος Ἰσοκράτης, καὶ τούτου λαμβανέσθω
λέξις ἐκ τοῦ περὶ τῆς εἰρήνης λόγου χαριέστατα δο-
κοῦσα ἔχειν, ἣν αὐτὸς ἐν τῷ περὶ τῆς ἀντιδόσεως
λόγῳ προφέρεται μέγα ἐπ' αὐτῇ φρονῶν, δι' ἧς συγ-
κρίνει τὴν ἐπὶ τῶν προγόνων πολιτείαν τῇ τότε κα-
θεστώσῃ καὶ τὰς πράξεις τὰς παλαιὰς ἀντιπαρατίθησι
ταῖς νέαις, τὰς μὲν ἀρχαίας ἐπαινῶν τὰς δ' ἐν τῷ
καθ' ἑαυτὸν χρόνῳ μεμφόμενος, τῆς τε μεταβολῆς τῆς
ἐπὶ τὰ χείρω τοὺς δημαγωγοὺς ἀποφαίνων αἰτίους ὡς
οὐ τὰ κράτιστα εἰσηγουμένους ἀλλὰ τὰ πρὸς ἡδονὴν
τῷ πλήθει δημηγοροῦντας. μακροτέρας δ' οὔσης τῆς

1 σημείωσαι mg P et 5 B 6 οὐ μὴν bis P 7 ἐξηργασμέ-νον B ἐξειργασμένων P 9 ἑκατέρῳ Sylburgius: ἑκατέρων 10 -θεὶς αὐταῖς τὰς Δημοσθένους ὅσαι παρ- B² in mg 11 περὶ Krüger: παρὰ 16 δὲ λέξις B sed δὲ lineola subducta deletur | τε περὶ P 18 προφέρεται postea add M 19 καθεστώσει P 20 ἀντιπαρατίθησι — ἀρχαίας in B perperam iterantur 22 χρό-νον χρόνῳ P | μεταβοολῆς B 25 πλήθη B | δημηγοροῦντας] δημαγωγοῦντας MBv δημαγογοῦντας P | δὲ B

συγκρίσεως αὐτὰ τὰ κυριώτατα ὑπ' ἐμοῦ παρείληπται.
ἔστι δὲ ταυτί· ʽΤίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν καὶ μὴ |
1002 συνδιεφθαρμένος ἡμῖν ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς
γιγνομένοις οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς
νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προ-
γόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων
ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις
πράττομεν ἀλλὰ πᾶν τοὐναντίον. οἳ μὲν γὰρ ὑπὲρ
τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν,
ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποριζομένους
ἐκεῖθεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν.
κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας
καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς
δὲ καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες
ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν.
οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς
διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων,
ὅσον οἳ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας τήν τε
1003 πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλμησαν καὶ | μαχό-
μενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν,
ἡμεῖς δ' οὐδ' ὑπὲρ τῆς ἡμετέρας πλεονεξίας κινδυ-
νεύειν ἀξιοῦμεν, ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν
στρατεύειν δ' οὐκ ἐθέλομεν, καὶ πόλεμον μὲν μικροῦ
δεῖν πρὸς πάντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ

2 Isocrates or VIII 41—50

2 ἔστι δ postea add M | τίς γὰρ ἂν postea add M | μήπω Is v 3 ἡμῖν ἀλλ' ἐξ- postea add M 4 γινομένοις MP 8 τὸ ἐναντίον B 10 ἀσίης BP, M corr in ἀσίας 12 τὰς — βοηθοῦντες add mg B² 13 βοητοῦντες P | αὐτὰς BP 15 τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξομεν v ἕξομεν τιμὴν P 18 τῶν ἄλλων Is 19 αὐτῶν Is 21 ἡμετέρας αὐτῶν Is v 22 πάν-των B¹ 23 στρατεύεσθαι Is

τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν ἀλλ' ἀνθρώπους τοὺς μὲν ἀπόλιδας τοὺς δ' αὐτομόλους τοὺς δ' ἐκ τῶν ἄλλων κακουργιῶν συνερρυηκότας, οἷς ὁπόταν τινὲς διδῶσι πλείω μισθόν, μετ' ἐκείνων ἐφ' ἡμᾶς ἀκολουθήσουσιν· ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, εἴπερ τινὲς ἐξαμαρτάνοιεν, οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας καὶ παρανομίας μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς ἥκειν οὐχ ὅπως ἀγανακτοῦμεν ἀλλὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτόν τι διαπεπραγμένους. εἰς τοῦτο δὲ
μωρίας ἐληλύθαμεν, ὥστ' | αὐτοὶ μὲν ἐνδεεῖς ἐσμεν 1004
τῶν καθ' ἡμέραν, ξενοτροφεῖν δὲ ἐπικεχειρήκαμεν καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν ἰδίᾳ λυμαινόμεθα καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων κοινοῖς ἀνθρώπων ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν. τοσούτῳ δὲ [καὶ] χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὐτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν, ἡμεῖς δ' εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις. καὶ τότε μέν, εἰ τριήρεις ἐπληροῦμεν, τοὺς μὲν ξένους καὶ τοὺς

3 ποτ' ἂν P | τις διδῷ Is 4 δίδωσι P 6 εἰ περί τινας ἐξαμάρτοιεν Is 9 ἐκλημάτων P | ἥξειν Is 12 τῶν καθ' ἡμέραν ἐσμὲν Is 14 ἰδίᾳ] δι' οὓς Is (ἰδίους Sauppius) 15 ἀνθρώπων κοινοῖς Is 16 τοσοῦτον p 1011, τοσούτων corr in τοσοῦτον B sed in mg τοσούτω 17 καὶ om Is Δ p 1011 secl v 18 κεῖνοι corr in ἐκεῖνοι B 19 τινα Δ p 1011 21 ἑαυτῶν Δ p 1011 αὐτῶν BP 22 τοσαύτην ἀπορίαν ἐληλυθότες καὶ om P 24 στρατοπαίδοις B 25 τριείρεις corr in τριήρεις P | πληροῖεν Is

δούλους ναύτας ἐνεβιβάζομεν τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξεπέμπομεν, νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις
1005 χρώμεθα τοὺς δὲ πολίτας ἐλαύ|νειν ἀναγκάζομεν,
ὥσθ', ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ' ὅπλων κινδυνεύουσιν. ἀλλὰ γὰρ καὶ τὰ κατὰ τὴν πόλιν ἰδὼν ἄν τις καλῶς διοικούμενα καὶ περὶ τῶν ἄλλων θαρσήσειεν; ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν; οἵτινες αὐτόχθονες μὲν εἶναι φαμὲν καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ' ἡμᾶς εἶναι [τῶν ἄλλων] παράδειγμα τοῦ καλῶς τε καὶ τεταγμένως πολιτεύεσθαι χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων. καὶ σεμνυνόμεθα μὲν καὶ μεγαλοφρονοῦμεν ἐπὶ τῷ βέλτιον τῶν ἄλλων γεγονέναι, ῥᾷον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας ἢ Τριβαλλοί τε καὶ Λευκανοὶ τῆς δυσγενείας.' |

1006 ἡ μὲν οὖν Ἰσοκράτους λέξις ἡ κάλλιστα τῶν ἄλλων 18
δοκοῦσα ἔχειν τοιαύτη τίς ἐστι, πολλῶν μὲν ἕνεκα 21
θαυμάζειν ἀξία· καθαρεύει τε γὰρ εἴ τις ἄλλη τοῖς ὀνόμασι καὶ τὴν διάλεκτόν ἐστιν ἀκριβής, φανερά τ'

1 εἰσεβίβαζον Is 2 ἐξέπεμπον Is 3 ἐλαύνειν ἀναγκάζομεν] μεθ' ὅπλων ἐξεπέμπομεν P 4 ἀποβαίνωσιν Δ p 1013 Is: ἀναβαίνωσιν | εἰς τὴν — 6 ἐκβαίνουσιν iterat B qui ἄρχειν omittit et ὑπηρετέσιον exhibet 6 οἱ δὲ — κινδυνεύουσιν om P 7 διῆλθον] εἶπον Δ p 1013 8 καὶ om Is secl v | ἰδ[ὼ]ν cum ras M ἄν τις ἰδὼν Is 9 καὶ om Is 10 μάλιστα MBP 12 οἰκισθῆσαν corr in οἰκισθῆναι B 13 τῶν ἄλλων damnauit Fuhr ἡμᾶς ἅπασιν εἶναι παράδειγμα Is | τε om Is 16 μέγα φρονοῦμεν Is 17 γεγονέναι τῶν ἄλλων Is 19 τε om Is | τῆς αὐτῶν Δ v cum Is v 21 ἔστιν B 22 καὶ ἄλλη Vliet 23 ὀνόμασι Krüger: νοήμασι

ἐστὶ καὶ κοινὴ καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας περιεί-
ληφεν, ἐξ ὧν ἂν μάλιστα γένοιτο διάλεκτος σαφής.
πολλοὺς δὲ καὶ τῶν ἐπιθέτων κόσμων ἔχει· καὶ γὰρ
ὑψηλὴ καὶ σεμνὴ καὶ ἀξιωματικὴ καλλιρρήμων τε καὶ
ἡδεῖα καὶ εὔμορφος ἀποχρώντως ἐστίν, οὐ μὴν τελεία
γε κατὰ τοῦτο τὸ μέρος, ἀλλ' ἔστιν ὧν ἄν τις αὐτὴν
ὡς ἐλλειπόντων μέμψαιτο καὶ οὐ μὰ Δία τῶν φαυλο-
τάτων. πρῶτον μὲν τῆς συντομίας· στοχαζομένη γὰρ
τοῦ σαφοῦς ὀλιγωρεῖ πολλάκις τοῦ μετρίου. ἐχρῆν δὲ
ὁμοίως προνοεῖν ἀμφοτέρων. μετὰ τοῦτο τῆς συστρο-
φῆς· ὑπτία γάρ ἐστι καὶ ὑπαγωγικὴ καὶ περιρρέουσα
τοῖς νοήμασιν, | ὥσπερ εἰσὶν αἱ τῶν ἱστορικῶν, ἡ δ' 1007
ἐναγώνιος στρογγύλη τε εἶναι βούλεται καὶ συγκεκρο-
τημένη καὶ μηδὲν ἔχουσα κολπῶδες. ἔτι πρὸς τούτοις
κἀκεῖνα πρόσεστι τῷ ἀνδρί. ἄτολμός ἐστι περὶ τὰς
τροπικὰς κατασκευὰς καὶ ψοφοδεὴς καὶ οὐκ εἰσφέρεται
τόνους κραταιούς. καίτοι γε τοῖς ἀθληταῖς τῆς ἀλη-
θινῆς λέξεως ἰσχυρὰς τὰς ἁφὰς προσεῖναι δεῖ καὶ
ἀφύκτους τὰς λαβάς. παθαίνειν τε οὐ δύναται τοὺς
ἀκροωμένους, ὁπόσα βούλεται, τὰ πολλὰ δὲ οὐδὲ βού-
λεται, πείθεται δὲ ἀποχρῆν τῷ πολιτικῷ διάνοιαν
ἀποδείξασθαι σπουδαίαν καὶ ἦθος ἐπιεικές. καὶ τυγ-
χάνει μέντοι γε τούτων ἑκατέρου· δεῖ γὰρ τἀληθῆ
μαρτυρεῖν. ἦν δὲ ἄρα πάντων ἰσχυρότατον τῷ μέλ-
λοντι πείθειν δῆμον ἢ δικαστήριον, ἐπὶ τὰ πάθη τοὺς
ἀκροατὰς ἀγαγεῖν. οὐδὲ δὴ τοῦ πρέποντος ἐν ἅπασιν
ἐπιτυγχάνει, ἀνθηρὰν δὲ καὶ θεατρικὴν ἐκ παντὸς

4 καλλιρήμων MBP: corr v 5 μὲν B 7 ἐλλιπόντων MBPv 10 συτροφῆς B 11 ὑπαγωγικὴ Ernestius: ἐπαγωγικὴ MP ἐπαγωσικὴ corr in ἐπαγωγικὴ B 13 τ' Bv | συγκεκρομένη P 15 τῶν ἀνδρί P 16 ψοφοδέης M

ἀξιῶν εἶναι τὴν διάλεκτον, ὡς τῆς ἡδονῆς ἅπαν ἐχού-
σης ἐν λόγοις τὸ κράτος, ἀπολείπεταί ποτε τοῦ πρέ-
ποντος. οὐχ ἅπαντα δέ γε τὰ πράγματα τὴν αὐτὴν
1008 ἀπαιτεῖ διάλεκτον, ἀλλ' | ἔστιν ὥσπερ σώμασι πρέ-
πουσά τις ἐσθής, οὕτως καὶ νοήμασιν ἁρμόττουσά τις
ὀνομασία. τὸ δ' ἐκ παντὸς ἡδύνειν τὰς ἀκοὰς εὐφώ-
νων τε καὶ μαλακῶν ὀνομάτων ἐκλογῇ καὶ πάντα
ἀξιοῦν εἰς εὐρύθμους κατακλείειν περιόδων ἁρμονίας
καὶ διὰ τῶν θεατρικῶν σχημάτων καλλωπίζειν τὸν
λόγον οὐκ ἦν πανταχῇ χρήσιμον. ἀλλὰ τοῦτό γε δι-
δάσκουσιν ἡμᾶς καὶ οἱ τὰ ἔπη καὶ οἱ τὰς τραγῳδίας
καὶ οἱ τὰ μέλη τὰ σπουδαῖα γράψαντες, οὐ τοσαύτην
ποιούμενοι τῆς ἡδονῆς δόσιν, ὅσην τῆς ἀληθείας.

εἰ δὲ ὀρθῶς ἐπιλογίζομαι ταῦτ' ἐγὼ καὶ ἔστιν ἐν 19
ταύταις ταῖς ἀρεταῖς ἐνδεέστερος ὁ ἀνήρ, πάρεστι τῷ
βουλομένῳ σκοπεῖν ἐπὶ τῆς ἀρτίως παρατεθείσης λέξεως
ποιουμένῳ τὴν ἐξέτασιν. εὐθέως γοῦν τὴν πρώτην
διάνοιαν ὀλίγοις ὀνόμασιν ἐξενεχθῆναι δυναμένην μα-
κρὰν ποιεῖ κυκλογραφῶν καὶ δὶς ἢ τρὶς τὰ αὐτὰ λέγων.
1009 ἐνῆν | μὲν οὖν ἐν τῷ πρώτῳ κώλῳ τῷ 'τίς γὰρ ἂν
ἄλλοθεν ἐπελθών' τὸ 'καὶ μὴ συνδιεφθαρμένος ἡμῖν,
ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γινομένοις·' δυνάμει γὰρ
ἄμφω ταὐτά. καὶ ἐν τῷ 'οἳ φιλοτιμούμεθα μὲν ἐπὶ
τοῖς τῶν προγόνων ἔργοις' τὸ 'καὶ τὴν πόλιν ἐκ τῶν
τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν'· τὸ γὰρ αὐτὸ

2 κρούτος P 5 ἐσθὴς MB | τις ὀνομασία Sylburgius: τοῖς ὀνόμασι 7 μαλακῶν Sadaeus: ἐκλεκτῶν | ἐκλογὴ Pv 13 δόσιν multos offendit cf p 1103. 1112 15 ἐνδεέτερος P 16 τοῖς BP | ἀρτ[ί]ως cum ras M 17 οὖν Sylburgius 18 ὀλίγοις τοῖς Sadaeus 20 τῷ alterum suppleuit B^2 23 καὶ] ἐστιν P | οἱ P

φιλοτιμεῖσθαί τε καὶ ἐπαινεῖν. καὶ ἐν τῷ ‘οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν’ τὸ ‘ἀλλὰ πᾶν τοὐναντίον’· ἤρκει γὰρ αὐτῶν εἰρῆσθαι θάτερον. ἐξῆν δέ γε μίαν ἐκ τοῖν δυοῖν ποιῆσαι περίοδον καὶ συντομωτέραν καὶ χαριεστέραν· ‘τίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν οὐκ ἂν μαίνεσθαι νομίσειεν ἡμᾶς, οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν’; πολλὰ τοιαῦτά ἐστι παραπληρώματα καθ’ ἑκάστην ὀλίγου δεῖν περίοδον οὐκ ἀναγκαίαν ἔχοντα χώραν, ἃ ποιεῖ τὴν ἑρμηνείαν ἀμετροτέραν, τὴν δὲ περίοδον κομψοτέραν. μακρὰ μὲν οὖν ἡ λέξις οὕτως ἐστὶν αὐτῷ, πλα|τεῖα δὲ καὶ ἀσυγκρότητος 1010
πῶς; ‘κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ [καὶ] καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν’. ταῦτα κεκολπωμένα σφίγξαι μᾶλλον ἐνῆν καὶ στρογγυλώτερα ὧδέ πως ποιῆσαι· ‘κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὴν Ἑλλάδα καὶ σῴζοντες ἐπὶ τὴν ἡγεμονίαν προῆλθον, ἡμεῖς δὲ καταδουλούμενοι καὶ διολλύντες ἀγανακτοῦμεν, εἰ μὴ τῶν ἴσων

10 scholion *μακροτέρα ἡ λέξις γίνεται ταῖς ἀναδιπλώσεσι τῶν κώλων, πλατεῖα δὲ ταῖς περιττολογίαις τῶν λέξεων καὶ τῇ ἐπισωρεύσει τῶν ὀνομάτων* mg M

3 *δέ γε* Sadaeus: *τε γὰρ* 4 *τοῖν*] *τῶν* MBPv | *δυεῖν* v 6 *οἱ* P 9 *οὐκ ἀναγκαίαν — περίοδον* in mg suppleuit M² 11 *κομψοτέραν* ex *τέραν* postea effecit M 12 ante *πλατεῖα* fenestra III litt in B *τεῖα* cum lacuna XII fere litt M | *καὶ* om P 13 *κἀκεῖνο* BP | *μὲν ἐλευ* postea add M 14 *βοηθοῦντας* M ita ut *θοῦντας* postea insertum sit | *αὐτὰς* BP 15 *καὶ* deest p 1002 17 *ἐκείνοις τιμὴν* v 18 *στρογγυλώτερα* Sylburgius: *στρογγυλότερα* 19 *μὴν* B 21 *διολύντες* BP

τευξόμεθα’. καὶ ἡ μετὰ ταῦτα διάνοια πλατέως τε εἴρηται καὶ ἀσυγκρότητός ἐστιν· ‘οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ ταῖς διανοίαις καὶ τοῖς ἔργοις τῶν κατ’ ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἳ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλμησαν καὶ μαχόμενοι καὶ ναυμαχοῦντες
1011 τοὺς βαρβάρους ἐνίκησαν’. ἐξῆν δέ γε | αὐτῆς ἐπιστρέψαι τὸ πλάτος οὕτως ἐξενέγκαντα· ‘οἳ τοσούτῳ χείρους ἐσμὲν τῶν προγόνων, ὅσον οἳ μὲν ὑπὲρ τοῦ σῶσαι τοὺς Ἕλληνας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐξέλιπον καὶ μαχόμενοι πρὸς τοὺς βαρβάρους ἐνίκησαν’. μυρία καὶ ταύτης ἐστὶ λαβεῖν τῆς ἀσθενείας δείγματα. ἔξω γὰρ ὀλίγων τινῶν, οἷς οὐκ ἐκ προνοίας μᾶλλον ἢ κατ’ αὐτοματισμὸν συμβέβηκε τὸ συνεστράφθαι, τἆλλα ἐν πλάτει λέγεται.

ἄτονος δὲ δὴ καὶ λαβὰς οὐ κραταιὰς ἔχουσα πῶς 20
ἐστιν ἡ λέξις; τῷ ἐπιφέρειν τινὰ τοῖς εἰρημένοις διάνοιαν τοιαύτην· ‘τοσοῦτον δὲ χείρους ἐσμὲν τῶν προγόνων οὐ μόνον τῶν εὐδοκιμησάντων ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός τινα ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς ἑαυτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν, ἡμεῖς δ’ εἰς τοσαύ-
1012 την ἀπορίαν ἐληλυθότες καὶ τοσοῦτοι τὸ πλῆ|θος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς χρώμεθα

2 *οἱ* P 6 *-χοῦντες — δέ γε* desunt in P sine lacunae indicio | *ἐμμαχοῦντες* B ut uidetur, deinde inserit *ἐκλ’ ἐξέλιπον*: deleuit B² 7 *ἐξῆν δέ γε* om v cum lacuna | *συστρέψαι* Sylburgius 8 *ἐξενεγκᾶνα* P *ἐξενέγκᾶνα* B *ἐξενέγκασθαι* B² in mg 16 *ἔχουσά πως ἐστὶν ἡ λέξις τῷ* MBP: corr Sylburgius 18 *τοιαύτην* Krüger: *ταύτην* | *τοσούτω* B² mg cf p 1004 23 *δὲ* v

τοῖς στρατοπέδοις’. φέρε δὲ πῶς ἐνῆν αὐτὴν εἰπεῖν στρογγυλωτέραν; ‘ἀλλὰ ταῦτα μὲν ἴσως χείρους ἐσμὲν τῶν προγόνων, τὰ δ’ ἄλλα βελτίους, οὐ λέγω τῶν εὐδοκιμησάντων, πόθεν γάρ; ἀλλὰ τῶν μισηθέντων. καὶ τίς οὐκ οἶδεν, ὅτι ἐκεῖνοι μὲν πλείστων ποτὲ πληρώσαντες χρημάτων τὴν ἀκρόπολιν οὐ κατεμισθοφόρουν τὸν κοινὸν πλοῦτον εἰς τοὺς πολεμίους, ἀλλὰ ἀπὸ τῶν ἰδίων εἰσφέροντες ἔστιν ὅτε καὶ τοῖς ἑαυτῶν σώμασι κινδυνεύειν ἠξίουν; ἡμεῖς δὲ οὕτως ὄντες ἄποροι καὶ τοσοῦτοι τὸ πλῆθος μισθοφόροις τοῖς στρατεύμασι πολεμοῦμεν ὥσπερ καὶ βασιλεὺς ὁ μέγας’. ἀλλὰ μὴν ὅτι γε ἄψυχός ἐστιν ἡ διάλεκτος αὐτοῦ καὶ οὐ παθητικὴ πνεύματός τε, οὗ μάλιστα δεῖ τοῖς ἐναγωνίοις λόγοις, ἐλαχίστην ἔχουσα μοῖραν, οἴομαι μὲν ἔγωγε καὶ χωρὶς ὑπομνήσεως ἅπασιν εἶναι φανερόν. εἰ δὲ ἄρα καὶ παραδειγμάτων δεῖ, πολλῶν ὄντων, ἅ τις ἂν εἰπεῖν ἔχοι, μιᾷ διανοίᾳ χρησάμενος ἀρκεσθήσομαι. διαδέ|χεται δὴ τὴν ὀλίγῳ πρότερον ἐξετασθεῖ- 1013
σαν ἀντίθεσιν ἑτέρα τοιαύτη τις ἀντίθεσις· ‘καὶ τότε μέν, εἰ τριήρεις ἐπληροῦμεν, τοὺς μὲν ξένους καὶ δούλους ναύτας ἐνεβιβάζομεν τοὺς δὲ πολίτας μεθ’ ὅπλων ἐξεπέμπομεν, νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν, ὥσθ’ ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους

1 φέρε δή Sadaeus | εἰπεῖν] an ποιεῖν? 5 πλεῖστον P 7 πολέμους Sylburgius | ἀλλ’ v 10 τοσοῦτο MB | μισθοφόροι P 11 καὶ fort tollendum est 14 μοίρα οἰόμαι P 17 ἔχ[οι] cum ras M 19 ἀντίθεσις delet Vliet 20 τοῦ μὲν P 22 ὁπλήταις P

ὀλίγῳ πρότερον εἶπον, μεθ’ ὅπλων κινδυνεύουσιν’. ἐν τούτοις οὐ μέμφομαι τὸν ἄνδρα τοῦ λήματος (γενναία γὰρ ἡ διάνοια καὶ δυναμένη κινῆσαι πάθος), τὸ δὲ τῆς λέξεως λεῖον καὶ μαλακὸν αἰτιῶμαι. τραχεῖαν γὰρ ἔδει καὶ πικρὰν εἶναι καὶ πληγῇ τι παραπλήσιον ποιεῖν· ἡ δ’ ἔστιν ὑγρὰ καὶ ὁμαλὴ καὶ ὥσπερ ἔλαιον ἀψοφητὶ διὰ τῆς ἀκοῆς ῥέουσα, θέλγειν γέ τοι καὶ ἡδύνειν ζητοῦσα τὴν ἀκοήν. ἀλλ’ εὖ τοῖς σχήμασιν ἔχει πρὸς
1014 ἀγῶνας πολλοῖς οὖσι καὶ | ποικίλοις καὶ διὰ τούτων παθαίνει τοὺς ἀκούοντας; πολλοῦ γε καὶ δεῖ. τὰ γὰρ ἐκλύοντα μάλιστα τὴν δύναμιν αὐτῆς καὶ ἀποστρέφοντα τὴν ἀκοὴν ταῦτ’ ἔστι τὰ μειρακιώδη πάρισα καὶ τὰ ψυχρὰ ἀντίθετα καὶ τὰ παραπλήσια τούτοις. αὐτίκα ἐν αὐτῇ ταύτῃ τῇ λέξει, περὶ ἧς ὁ λόγος, τό τε πρᾶγμα ὅλον ἐστὶν ἀντίθεσις καὶ τὰ κατὰ μέρος αὐτοῦ νοήματα ἓν πρὸς ἓν ἀντίκειται καὶ τῶν περιόδων ἑκάστη δι’ ἀντιθέτων κατεσκεύασται, ὥστ’ ἀποκναίειν τοὺς ἀκούοντας ἀηδίᾳ καὶ κόρῳ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι. πάσης διανοίας καὶ περιόδου καὶ λήμματος αἵ τε ἀρχαὶ καὶ αἱ ἐπιφοραὶ τοιαῦταί εἰσιν· οἳ μὲν γὰρ ἡμεῖς δέ, ⟨καί·⟩ κἀκεῖνοι ⟨μὲν ἡμεῖς δέ,⟩ καί· τότε μὲν νῦν δέ, καί· ὅσον οἳ μὲν ἡμεῖς δέ, καί· τοῦτο μὲν τοῦτο δέ. ταῦτ’ ἀπὸ τῆς ἀρχῆς ἕως τελευτῆς

1 ἐν] ἐκ P 2 λήματος Sylburgius: λήμματος 4 ἔνδει siue ἔοδει P 8 εὖ] ἐν MBPv | πρὸς] τοὺς MBPv 10 παθαίνει om M cum lac XI litt 11 ἐκλύον postea inseruit M | αὐτοῖς Pv | ἀποστρ[έφ]οντα cum ras M 12 ταῦτ’ Krüger: τοῦτ’ 15 ἀντίθεσις — πρὸς ἓν om Pv | αὖ τοῦ νοήματος Vliet (νοήματος B sec Capperonerium) 17 ἀντιθέντων P | κατασκεύασται M^1 19 πάσις P 20 οἱ Sadaeus: ἐκεῖνος MB ἐκεῖνοι Pv 21 καί add Sadaeus | κἀκεῖνοι καὶ· τότε μὲν, νῦν δὲ καὶ· ὅσον ὁ μὲν, ἡμεῖς δὲ M, om BPv: corr Sadaeus 23 ἐκεῖνος ταῦτ’ B sed ἐκεῖνος lineola subducta deletur

κεκύκλωκε. τροπαὶ δὲ καὶ μεταβολαὶ καὶ ποικιλίαι σχημά|των, ἃ πέφυκε λύειν τὸν τῆς διανοίας κόπον, 1015 οὐδαμοῦ. πολλὰ ἄν τις ἔχοι τοιαῦτα ἐπιτιμᾶν Ἰσοκράτει τῶν περὶ τὴν διάλεκτον ἐλλειμμάτων, ἀλλὰ καὶ ταῦθ' ἱκανά.

21 εἰσαγέσθω δὴ μετὰ τοῦτον ὁ Δημοσθένης, καὶ λαμβανέσθω κἀκείνου λέξις ἐκ μιᾶς τῶν κατὰ Φιλίππου δημηγορίας, δι' ἧς καὶ αὐτὸς συγκρίνει τὰ καθ' ἑαυτὸν ἔργα τοῖς ἐπὶ τῶν προγόνων καὶ τοὺς νέους δημαγωγοὺς τοῖς παλαιοῖς, οὐ καθ' ἓν ἔργον ἕκαστον ἀρχαῖον ἔργῳ καινῷ παρατιθεὶς οὐδὲ πάντα μικρολογῶν συγκρίσει, ἀλλὰ ὅλῃ ⟨τῇ θέσει⟩ ποιούμενος ὅλην τὴν ἀντίθεσιν διεξοδικὴν οὕτως· Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι τῶν τε ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος. οὐ γὰρ ἀλλοτρίοις χρωμένοις ὑμῖν παραδείγμασιν ἀλλ' | οἰκείοις, 1016 ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γίγνεσθαι. ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζοντο οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτούς, ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον·

13 Demosthenes Olynth. III 23—32

1 κεκύκλωκε·] κύκλῳ· καὶ MBPv 2 πέφυκεν P | κόπον Reiskius: σκοπὸν 3 ἔχ[ει] cum ras M | τοιαῦτα M, B mg: πολλὰ B in textu, P 4 ἐλλειμμάτων MB Reiskius: μμάτων P ἐμμάτων v 6 δὴ—λαμβανέσθω perperam iterata in B punctis delentur 8 δη' ἧς P 11 ἀρχαῖ[ον ἔρ]γῳ cum ras M | καινῷ] νῷ postea add M 12 τῇ θέσει Reiskius inseruit 15 ἔργων om P | ἡμῶν v 16 καὶ om BP 17 χρομένοις BP ὑμῖν χρωμένοις D | ἀλλ'—εὐδαίμοσιν add B^2 18 ὦ Ἀθηναῖοι in litura B | γίγναισθαι P γενέσθαι D 19 οἱ] σι P 22 ἢ] εἰ P

ὑπήκουε δὲ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι· πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι· μόνοι δ' ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι, ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν θεάσασθε ὁποῖοι ἔν ⟨τε⟩ τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις. δημόσια μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοσαῦτα καὶ τοιαῦτα κατεσκεύασαν 1017 ἡμῖν ἱερῶν καὶ τῶν ἐν | τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λειφθῆναι. ἰδίᾳ δὲ οὕτω σώφρονες ἦσαν καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου καὶ Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρ' οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. οὐ γὰρ εἰς περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν ἕκαστος αὔξειν ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν μεγάλην εἰκότως ἐκέκτηντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χρωμένοις, οἷς εἶπον, προστάταις. νυνὶ δὲ πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως καὶ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ

1 ὁ] οὐ BP 2 προσῆκοι BP 3 πεζοῖ P πεζοὶ v 4 μόνον B 5 ἐπὶ τοῖς ἔργοις δόξαν post κατέλιπον iterat P 7 θεάσατε BP | τε om MBP add v ex D 8 δημοσίᾳ D 9 τοιαῦτα καὶ τοσαῦτα D 11 λελεῖφθαι D 12 δὲ om P 13 τὴν Μιλτιάδου D 16 σεμνότερον M^1BP | ἐπράττετο αὐτοῖς D 17 αὔξειν ἕκαστος vD αὔξιν P 19 δὲ om Mv | αὐτοῖς MBPv 21 ἐκείνοις — 23 πράγματα om P 22 ὑμῖν v 23 τῶν νῦν M: τούτων B | εἴχει P 24 καὶ τὰ μὲν M^2: τὰ μὲν M^1BPv οἷς τὰ μὲν D

πολλὰ ἔχων εἰπεῖν· ἀλλ' ὅσης πάντες ὁρᾶτε ἐρημίας
ἐπειλημμένοι καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων,
Θη|βαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς 1018
ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ὑμῖν ἀντᾶραι, ἐξὸν
ἡμῖν καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν καὶ τὰ τῶν
ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας
οἰκείας, πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα
ἀνηλώκαμεν εἰς οὐδὲν δέον, οὓς δὲ ἐν τῷ πολέμῳ
συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν
οὗτοι, ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκα-
μεν. ἢ φρασάτω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν
ἰσχυρὸς γέγονεν ἢ παρ' ἡμῶν αὐτῶν ὁ Φίλιππος; ἀλλ'
ὦ τᾶν εἰ ταῦτα φαύλως, τά γε ἐν αὐτῇ τῇ πόλει νῦν
ἄμεινον ἔχει. καὶ τί ἂν εἰπεῖν τις ἔχοι τὰς ἐπάλξεις,
ἃς κονιῶμεν, καὶ τὰς ὁδούς, ἃς ἐπισκευάζομεν, καὶ
κρήνας καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς τοὺς ταῦτα
πολιτευομένους, ὧν οἳ μὲν ἐκ πτωχῶν πλούσιοι γε-
γόνασιν, οἳ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς | ἰδίας 1019
οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ
κατεσκευασμένοι, ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε,
τοσούτῳ τὰ τούτων ηὔξηται. τί δὴ τὸ πάντων αἴτιον
τούτων; καὶ τί δή ποτ' εἶχεν ἅπαντα καλῶς τότε καὶ
νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι
τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν πολιτευομένων

1 πόλλ' ἂν D | ἅπαντες D 4 ἐξὸν δ' v 6 ἐτηστερήμεθα B^1 in mg 7 πλέω P 8 δ' vD 10 ἠσκήκαμεν] κἀσήσαμεν B σηκαμεν addito κ super σ P 12 γέγονεν] γέννεν P | ὁ om D 13 ὦ τ' ἂν M | γά γε BP τά γ' vD 14 ἂν DM^2: δὴ M^1BPv 15 prius ἃς] ὥς B 16 κλήρους Pv 17 ὧν] ὡς Pv 19 οἰκομημάτων P 20 κατευασμένοι P | ἐλάσσω MBPv 21 εὔξηται P 22 ἃ πάντων ἅπαντα B ἅπαντα εἶχε D

ἦν καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, καὶ ἀγαπη-
τὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς
καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινος μεταλαβεῖν. νῦν δὲ τοὐ-
ναντίον κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι καὶ
διὰ τούτων ἅπαντα πράττεται, ὑμεῖς δὲ ὁ δῆμος ἐκνε-
νευρισμένοι καὶ περιῃρημένοι χρήματα, συμμάχους ἐν
ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες,
ἂν μεταδῶσι θεωρικὸν ὑμῖν ἢ βοΐδια πέμψωσιν οὗτοι.
καὶ τὸ πάντων ἀνανδρότατον· τῶν ὑμετέρων αὐτῶν
χάριν προσοφείλετε. οἳ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαν-
1020 τες ὑμᾶς ἐπάγουσιν ἐπὶ | ταῦτα καὶ τιθασεύουσι, χει-
ροήθεις αὑτοῖς ποιοῦντες. ἔστι δ' οὐδέποτ', οἶμαι,
μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα
πράττοντας. ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν
ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν.
ταῦτα μὰ τὴν Δήμητρα οὐκ ἂν θαυμάσαιμι εἰ μείζων
εἰπόντι μοι γένοιτο παρ' ὑμῶν βλάβη ⟨ἢ⟩ τῶν πεποιη-
κότων αὐτὰ ἑκάστῳ. οὐδὲ γὰρ παρρησία περὶ πάντων
ἀεὶ παρ' ὑμῖν ἐστιν, ἀλλ' ἔγωγ' ὅτι καὶ νῦν γέγονε,
θαυμάζω.' ταύτην τὴν διάλεξιν τίς οὐκ ἂν ὁμολογή-
σειε καὶ κατὰ τἆλλα μὲν πάντα διαφέρειν τῆς Ἰσοκρά-
τους; καὶ γὰρ εὐγενέστερον ἐκείνης καὶ μεγαλοπρε-
πέστερον ἡρμήνευκε τὰ πράγματα καὶ ... περιείληφεν

1 καὶ—ἀγαπητὸν ἦν om P 4 οἱ πολιτευόμενοι τῶν ἀγαθῶν D 6 χρήμματα P 8 ἐὰν D | θεωρικὸν in θεωρικῶν mutat M | ὑμεῖν P | βοΐδια] Βοηδρόμια D 9 ἀνδρειότατον D | ἡμετέρων P 11 τιθασσεύουσι MBPv 12 αὐτοῖς MBPv | δὲ BP 14 πράττοντες BP | ἅττα BP | ἂν add M^2 om BP 17 ἐμοὶ D μι P | ἢ add v S Demosthenis 18 ἑκάστῳ] γενέσθαι D 20 διάλεξιν] λέξιν Reiskius 21 κατὰ τἆλλα Reiskius: κατ' ἄλλα MBP τἄλλα Sylburgius 22 μεγαλοπρέστερον P 23 ἑρμήνευκε P | lacunam indicaui, deesse uidetur περιεργοτέροις

ὀνόμασι συγκεκρότηταί τε καὶ συνέσπασται καὶ περιτετόρνευται τοῖς νοήμασιν ἄμεινον ἰσχύϊ τε πλείονι κέχρηται καὶ τόνοις ἐμ|βριθεστέροις καὶ πέφευγε τὰ 1021 ψυχρὰ καὶ μειρακιώδη σχήματα, οἷς ἐκείνη καλλωπίζεται πέρα τοῦ μετρίου· μάλιστα δὲ κατὰ τὸ δραστήριον καὶ ἐναγώνιον καὶ ἐμπαθὲς ὅλῳ καὶ τῷ παντὶ κρεῖττον ἔχει ἐκείνης. ἐγὼ γοῦν, ὃ πρὸς ἀμφοτέρας πάσχω τὰς λέξεις, ἐρῶ· οἴομαι δὲ κοινόν τι πάθος ἁπάντων ἐρεῖν καὶ οὐκ ἐμὸν ἴδιον μόνον.

22 ὅταν μέν τινα τῶν Ἰσοκράτους ἀναγινώσκω λόγων, εἴτε τῶν πρὸς τὰ δικαστήρια καὶ τὰς ἐκκλησίας γεγραμμένων ἢ τῶν ...... ἐν ἤθει σπουδαῖος γίνομαι καὶ πολὺ τὸ εὐσταθὲς ἔχω τῆς γνώμης, ὥσπερ οἱ τῶν σπονδείων αὐλημάτων ἢ τῶν Δωρίων τε κἀναρμονίων μελῶν ἀκροώμενοι. ὅταν δὲ ⟨τῶν⟩ Δημοσθένους τινὰ λάβω λόγων, | ἐνθουσιῶ τε καὶ δεῦρο κἀκεῖσε ἄγομαι, 1022 πάθος ἕτερον ἐξ ἑτέρου μεταλαμβάνων, ἀπιστῶν, ἀγωνιῶν, δεδιώς, καταφρονῶν, μισῶν, ἐλεῶν, εὐνοῶν, ὀργιζόμενος, φθονῶν, ἅπαντα τὰ πάθη μεταλαμβάνων, ὅσα κρατεῖν πέφυκεν ἀνθρωπίνης γνώμης· διαφέρειν τε οὐδὲν ἐμαυτῷ δοκῶ τῶν τὰ μητρῷα καὶ τὰ κορυβαντικὰ καὶ ὅσα τούτοις παραπλήσιά ἐστι, τελουμένων, εἴτε ὀσμαῖς ἐκεῖνοί γε ... εἴτε ἤχοις εἴτε τῶν δαιμόνων πνεύματι αὐτῶν κινούμενοι τὰς πολλὰς καὶ ποι-

1 περιτετόρευται Pv 2 ὀνόμασιν Pv 3 κέχρηται M, B mg: χρῆται P, B in textu | τόνος B 5 πέρα M: πέρα καὶ B παρὰ P 8 λέξις BP 9 μόνον Pv 12 hiatum notauit Sylburgius | ἔθει v | σημείωσαι P mg 14 κἀναρμονίων] καὶ ἐναρμονίων M καὶ ἁρμονίων BPv | μερῶν BPv 15 τῶν add Krüger 16 λόγον Sylburgius | κἀκεῖσαι P 18 ἐλέων P 20 πέφυκεν om Pv 23 hiatum indicaui, desideratur εἴτ' ὄψεσιν | εἴτε τῶν δαιμόνων bis B | τῶν] τῷ Sadaeus 24 αὐτῶν] αὐτῷ MBPv

κίλας ἐκεῖνοι λαμβάνουσι φαντασίας. καὶ δή ποτε καὶ ἐνεθυμήθην, τί ποτε τοὺς τότε ἀνθρώπους ἀκούοντας αὐτοῦ λέγοντος ταῦτα πάσχειν εἰκὸς ἦν. ὅπου γὰρ ἡμεῖς οἱ τοσοῦτον ἀπηρτημένοι τοῖς χρόνοις καὶ οὐθὲν πρὸς τὰ πράγματα πεπονθότες οὕτως ὑπαγόμεθα καὶ κρατούμεθα καί, ὅποι ποτ' ἂν ἡμᾶς ὁ λόγος ἄγῃ, πορευόμεθα, πῶς τότε Ἀθηναῖοί τε καὶ οἱ ἄλλοι Ἕλλη- 1023 νες ἤγοντο ὑπὸ τοῦ ἀνδρὸς ἐπὶ τῶν ἀληθινῶν | τε καὶ ἰδίων ἀγώνων, αὐτοῦ λέγοντος ἐκείνου τὰ ἑαυτοῦ μετὰ τῆς ἀξιώσεως, ἧς εἶχε, τὴν αὐτοπάθειαν καὶ τὸ παράστημα τῆς ψυχῆς ἀποδεικνυμένου, κοσμοῦντος ἅπαντα καὶ χρωματίζοντος τῇ πρεπούσῃ ὑποκρίσει, ἧς δεινότατος ἀσκητὴς ἐγένετο, ὡς ἅπαντές τε ὁμολογοῦσι καὶ ἐξ αὐτῶν ἰδεῖν ἔστι τῶν λόγων, ὧν ἄρτι προηνεγκάμην, οὓς οὐκ ἔνι τῷ βουλομένῳ ἐν ἡδονῇ ὡς ἀνάγνωσμα διελθεῖν, ἀλλ' αὐτοὶ διδάσκουσι, πῶς αὐτοὺς ὑποκρίνεσθαι δεῖ, νῦν μὲν εἰρωνευόμενον, νῦν δὲ ἀγανακτοῦντα, νῦν δὲ νεμεσῶντα, δεδιττόμενόν τε αὖ καὶ θεραπεύοντα καὶ νουθετοῦντα καὶ παρορμῶντα καὶ πάνθ', ἃ βούλεται ποιεῖν ἡ λέξις, ἀποδεικνύμενον ἐπὶ τῆς προφορᾶς. εἰ δὴ τὸ διὰ τοσούτων ⟨ἐτῶν⟩ ἐγκαταμισγόμενον τοῖς βυβλίοις πνεῦμα τοσαύτην ἰσχὺν ἔχει καὶ οὕτως ἀγωγόν ἐστι τῶν ἀνθρώπων,

1 ἐκεῖνοι uacat 2 τότ' vM (?) 3 ταῦτα] τὰ τοιαῦτα Krüger 4 ἡμ[εῖς] M cum ras 5 ὑπαγόμεθα cum lac IX litt om M 8 ἤγοντο] ἔχοντο B 11 τῆς ψυχροῦ τῆς ψυχῆς B | ἀποδειγνυμένου BP 12 χρηματίζοντος v 13 ἀσκητὴς] ἀθλητὴς Kiessling 14 προνεγκάμην P 15 ἔνι] ἐν M | ἡδονῆς B | ἀνάγνωμα Pv 18 νεμεσοῦντα B et corr in νεμεσωντα P | τε αὖ καὶ M: μὲν δὴ (δὲ?) τη (τε?) καὶ αὐ καὶ B αὖ καὶ Pv 20 παν ἢ B in textu, πάνθ' ἃ B[1] mg 21 ἐτῶν add Cobet 22 ἐγκαταμισγόμενον Sylburgius: ἐγκαταμιγόμενον MBP ἐγκαταμιγνύμενον v | βιβλίοις M 23 ἀγωγόν ἐστι τῶν ἀνθρώπων] ἄγον ἐπὶ τῶν αὐτῶν MBP ἄγων ἐπὶ τῶν αὐτῶν v

ἦ που τότε ὑπερφυές τι καὶ δεινὸν χρῆμα ἦν ἐπὶ τῶν
ἐκείνου λόγων. |

23 ἀλλὰ γάρ, ἵνα μὴ περὶ ταῦτα διατρίβων ἀναγκα- 1024
σθῶ παραλιπεῖν τι τῶν περιλειπομένων, Ἰσοκράτην
μὲν καὶ τὸν χαρακτῆρα τῆς ἀγωγῆς ἐκείνης ἐάσω, περὶ
δὲ Πλάτωνος ἤδη διαλέξομαι τά γ' ἐμοὶ δοκοῦντα μετὰ
παρρησίας, οὐθὲν οὔτε τῇ δόξῃ τἀνδρὸς προστιθεὶς
οὔτε τῆς ἀληθείας ἀφαιρούμενος, καὶ μάλιστα ἐπεί
τινες ἀξιοῦσι πάντων αὐτὸν ἀποφαίνειν φιλοσόφων τε
καὶ ῥητόρων ἑρμηνεῦσαι τὰ πράγματα δαιμονιώτατον
παρακελεύονταί τε ἡμῖν ὅρῳ καὶ κανόνι χρῆσθαι κα-
θαρῶν ἅμα καὶ ἰσχυρῶν λόγων τούτῳ τῷ ἀνδρί. ἤδη
δέ τινων ἤκουσα ἐγὼ λεγόντων, ὡς, εἰ καὶ παρὰ θεοῖς
διάλεκτός ἐστιν, ᾗ τὸ τῶν ἀνθρώπων κέχρηται γένος,
οὐκ ἄλλως ὁ βασιλεὺς ὢν αὐτῶν διαλέγεται θεὸς ἢ ὡς
Πλάτων. πρὸς δὴ τοιαύτας ὑπολήψεις καὶ τερατείας
ἀνθρώπων ἡμιτελῶν περὶ λόγους, οἳ τὴν εὐγενῆ κα-
τασκευὴν οὐκ ἴσασιν ἥ τίς ποτ' ἐστὶν οὐδὲ δύνανται, |
πᾶσαν εἰρωνείαν ἀφείς, ὡς πέφυκα, διαλέξομαι. ὃν δὲ 1025
ἀξιῶ τρόπον ποιήσασθαι τὴν ἐξέτασιν αὐτοῦ, βούλομαι
προειπεῖν. ἐγὼ τὴν μὲν ἐν τοῖς διαλόγοις δεινότητα
τοῦ ἀνδρὸς καὶ μάλιστα ἐν οἷς ἂν φυλάττῃ τὸν Σω-
κρατικὸν χαρακτῆρα, ὥσπερ ἐν τῷ Φιλήβῳ, πάνυ ἄγα-

13 scholion τάχα τοῦ Κικέρωνος B cf Bruti 121

1 ἦ που B | τό τε Pv | ἐπὶ τῶν] τῶν Krüger 7 δόξει P
11 κανόνι ω|τατον καὶ κανόνι B | καθαρὸν M 12 καὶ
om P | λόγων Sylburgius: ὁ λόγος 15 βασιλεὺς ὢν] βασι-
λεύων? | διαλέται P 16 καί τε τερατείας MBP sed in M τε
postea deletum est 18 ἔστιν B | οὐδ' ⟨ἰδεῖν⟩ ci Usener | δύ-
ναται B 19 ante πᾶσαν spatium est in editionibus. συνιδεῖν
excidisse Reiskius putauit | εἰρωνίαν P | ὥσπέρ φυκα B
22 φυλάττει P

μαί τε καὶ τεθαύμακα, τῆς δ' ἀπειροκαλίας αὐτὸν
οὐδεπώποτ' ἐζήλωσα τῆς ἐν ταῖς ἐπιθέτοις κατασκευαῖς,
ὥσπερ ἔφην καὶ πρότερον, καὶ πάντων ἥκιστα ἐν οἷς
ἂν εἰς πολιτικὰς ὑποθέσεις συγκαθεὶς ἐγκώμια καὶ
ψόγους κατηγορίας τε καὶ ἀπολογίας ἐπιχειρῇ γράφειν.
ἕτερος γάρ τις αὑτοῦ γίνεται τότε καὶ καταισχύνει τὴν
φιλόσοφον ἀξίωσιν. κἀμοί γε πολλάκις ἐπῆλθεν εἰπεῖν
ἐπὶ τῶν τοιούτων αὐτοῦ λόγων, ὃ πεποίηται παρ'
Ὁμήρῳ πρὸς τὴν Ἀφροδίτην ὁ Ζεὺς λέγων·

Οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ἔργα,
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο |

1026 Σωκρατικῶν διαλόγων, ταῦτα δὲ πολιτικοῖς καὶ ῥή-
τορσιν ἀνδράσι μελήσει. ποιοῦμαι δὲ τῆς ἐμαυτοῦ
δόξης κοινοὺς κριτὰς τοὺς φιλολόγους ἅπαντας, ὑπεξ-
αιρούμενος, εἴ τινές εἰσι φιλότιμοι καὶ πρὸς τὰς δόξας
ἀλλὰ μὴ πρὸς τὴν ἀλήθειαν κρίνοντες τὰ πράγματα.
τὸ μὲν οὖν ἐκλέγειν ἐξ ἁπάντων αὐτοῦ τῶν λόγων, εἴ
τι κάκιστον εἴρηται, ὃ ποιοῦσιν ἕτεροί τινες, κἄπειτα
τούτοις ἀντιπαρατιθέναι τὴν κράτιστα ἔχουσαν Δη-
μοσθένους λέξιν οὐκ ἐδοκίμαζον, τὸ δ' ἐκ τῶν ἀμφο-
τέρων μάλιστα εὐδοκιμούντων, ταῦτα παρ' ἄλληλα θεὶς
ἐξετάζειν τὰ κρείττω τοῦτ' ἔδοξ' εἶναι δίκαιον, καὶ
ἐπ' αὐτὸ τοδὶ τρέψομαι τὸ μέρος. δικανικὸς μὲν οὖν

10 Hom. E 428 sq

1 δὲ B 2 'ζηλωσα P 4 συγκαθεὶς Reiskius: συγκρα-
θεὶς 5 ψόφους B 6 αὐτοῦ MBP: corr v | κατασχύνει P
7 κἀμοί] καί μοί MBPv 10 τέκνων B 11 γάμοιο certatim
delent, sed cf Plut. de superstitione 169ᵉ 15 φιλοτότιμοι B
20 οὐ δοκίμαζον P | παρ' ἀμφοτέροις Sylburgius παρ' ἀμ-
φοτέρῳ Sadaeus 21 παράλληλα MBP 22 ἔδοξα Krüger:
ἔδοξεν 23 τοδὶ] δὴ MBPv

λόγος εἷς ἐστι Πλάτωνι, Σωκράτους ἀπολογία, δικαστηρίου μὲν ἢ ἀγορᾶς οὐδὲ θύρας ἰδών, κατ' ἄλλην δέ τινα βούλησιν γεγραμμένος, οὔτ' ἐν λόγοις τόπον ἔχων οὔτ' ἐν διαλόγοις. | τοῦτον μὲν οὖν ἐῶ. δημη- 1027
γορία δὲ οὐδεμία, πλὴν εἴ τις ἄρα τὰς ἐπιστολὰς βούλεται δημηγορίας καλεῖν. ἀφείσθωσαν δὴ καὶ αὗται. ἐγκώμια δ' ἐν τῷ συμποσίῳ πολλὰ μὲν ἔρωτος, ὧν ἔνια οὐκ ἄξια σπουδῆς, ἓν δὲ Σωκράτους ὁποῖον δή ποτε· οὐθὲν γὰρ δέομαι νῦν γε περὶ τούτου λέγειν.· κράτιστος δὴ πάντων τῶν πολιτικῶν λόγων ὁ Μενέξενος, ἐν ᾧ τὸν ἐπιτάφιον διεξέρχεται λόγον, ὡς μὲν ἐμοὶ δοκεῖ, Θουκυδίδην παραμιμούμενος, ὡς δὲ αὐτός φησιν, Ἀρχίνῳ καὶ Δίωνι . . . . . . τοῦτον δὴ παραλήψομαι τὸν λόγον καὶ παρ' αὐτὸν ἐξετάσω Δημοσθένους λέξεις τινάς, οὐκ ἐκ τοῦ ⟨ἐπιταφίου⟩· τοῦτον μὲν γὰρ οὐχ ἡγοῦμαι ὑπ' ἐκείνου τοῦ ἀνδρὸς γεγράφθαι· ἀλλ' ἐκ τῶν ἄλλων αὐτοῦ λό|γων, ὅσοι περί τε τοῦ καλοῦ καὶ 1028
τῆς ἀρετῆς εἴρηνται, μᾶλλον δ' ἐξ ἑνὸς ἀγῶνος· οὐ γὰρ ἔχω καιρὸν ὅσοις βούλομαι παραδείγμασι χρήσασθαι, πάντων μάλιστα βουληθεὶς ἄν. τοιοῦτος μὲν δή τις ὁ τρόπος ἔσται μοι τῆς συγκρίσεως.

13 cf Plato Menexeni 234b

3 βάλησιν P | τύπον mg M 4 τοῦτον Reiskius: τοῦτο 6 ἀφίσθωσαν P ἀφίστωσαν v | αὗται Krüger: αὐταὶ 7 τῷ συμφέροντι τὸ συμποσίῳ P 8 ἓν δὲ] οὐδὲ MBPv | ὁποῖόν τι δή P 9 γε Sadaeus: δὲ | νῦν δ' οὐθὲν δέομαι Pv | κράτιστον M[1]BP 10 δὲ δὴ Krüger 12 Θουκυδίδων B | φησι B 13 ἀρχίω P | Ἀρχῖνον καὶ Δίωνα v ἢ Δίωνι Usener cl Menexeni 234b | lacunam indicauit ἀγωνιζόμενος siue διαμιλλώμενος add Kiessling 15 τοῦ ἐπιταφίου· τοῦτον Cobet: τούτου· τὸν 17 λόγον P 18 δὲ B 20 τοιούτοις B | δὴ Sadaeus οὖν Sylburgius: ἂν 21 συκρίσεως B

λαμβανέσθω δὲ πρότερος Πλάτων, καὶ ἐπειδὴ μέγα 24
φρονεῖν ἔοικεν ἐπί τε ἀκριβείᾳ καὶ σεμνότητι ὀνομάτων, ταῦτα ἐπὶ τῶν αὐτοῦ βασανίσω, ἀρξάμενος, ὅθεν περ κἀκεῖνος, τοῦ λόγου· '"Εργῳ μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς, ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν.' ἡ μὲν εἰσβολὴ θαυμαστὴ καὶ πρέπουσα τοῖς ὑποκειμένοις πράγμασι κάλλους τε ὀνομάτων ἕνεκα καὶ σεμνότητος καὶ ἁρμονίας, τὰ δ' ἐπιλεγόμενα οὐκέθ' ὅμοια τοῖς πρώτοις, αὐτίκα ⟨τό⟩· 'προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων.' ἐν γὰρ τῷ πάντα τὰ προσήκοντα σφίσιν
1029 αὐτοῖς ἔχειν τοὺς θαπτο|μένους ἐνῆν καὶ τὸ προπεμφθῆναι τὰ σώματ' αὐτῶν ἐπὶ τὰς ταφὰς δημοσίᾳ τε καὶ ἰδίᾳ. ὥστε ⟨οὐκ⟩ ἀναγκαῖον ἦν πάλιν ταὐτὸ λέγειν· εἰ μὴ κράτιστον ⟨ἁπάντων⟩ τῶν περὶ τὰς ταφὰς νομίμων τοῦτο ὑπελάμβανεν ὁ ἀνὴρ εἶναι, λέγω δὴ τὸ παρεῖναι πολλοὺς ταῖς ἐκκομιδαῖς, καὶ οὐθὲν ἄτοπον ἐδόκει ποιεῖν συμπεριλαβών τε αὐτὸ τοῖς ἄλλοις καὶ χωρὶς ὑπὲρ αὐτοῦ μόνου λέγων. ἠλίθιος ἄρα τις ἦν, εἰ τοῦτον ἐδόκει τοῖς τελευτήσασι λαμπρότατον εἶναι τῶν κόσμων, οἷς ἡ πόλις αὐτοὺς ἐκόσμει. ἵνα γὰρ ἀφῶ πάντα τὰ ἄλλα, τὸ δημοσίᾳ γηροτροφεῖσθαι

4 Menexeni 236d

1 δὴ Pv 6 εἱμαρμένην MBPv 7 κάλους M 8 ἁρμονίας B 9 τό add Usener 11 τὰ om B 12 τοὺς in spatio VIII litt suppl M[2] om cum lac IV litt BP | προπεμφῆναι M
13 σώματ' αὐτῶν M: σώματα τῶν PB 14 lac IV litt B nulla in MP: suppl Sylburgius | ἀναγκαῖον—κράτιστον] α cum spatio VI litt M cetera omittens 15 ἁπάντων Vliet: lac VI litt B, X fere P 17 δὲ Krüger 18 συμπεριλαβον M[1]
19 ἠλίθιος—τελευ desunt in B, qui deinde τὸ σαισι habet pro τήσασι 20 τοῖς om Pv 21 τῶν κόσμων Sylburgius: τὸν κόσμον

τοὺς πατέρας αὐτῶν ἄχρι θανάτου καὶ παιδεύεσθαι
τοὺς υἱεῖς ἕως ἥβης πόσῳ κρεῖττον ἦν τοῦ προπέμπε-
σθαι τὰ σώματα δημοσίᾳ; ἐμοὶ μὲν δοκεῖ μακρῷ.
οὐκοῦν οὐκ ἀναγκαία, Πλάτων, ἥδε ἡ προσθήκη. ἀλλ'
ἆρα γε εἰ μὴ τοῦ ἀναγκαίου, | κάλλους γε ἢ τῶν 1030
ἄλλων τινὸς τῶν ἐπιθέτων ἕνεκα κόσμων παρείληπται
τὸ κῶλον αὐτῷ τουτί; πολλοῦ γε καὶ δεῖ· πρὸς γὰρ
τῷ μηδὲν ἔχειν σπουδῆς ἄξιον ⟨μήτε κατὰ τὴν ἐκλο-
γὴν τῶν ὀνομάτων⟩ μήτε κατὰ τὴν σύνθεσιν προσ-
διαφθείρει καὶ τὴν πρὸ αὐτοῦ περίοδον, λυμαίνεται
γοῦν τήν τε συμμετρίαν αὐτῆς καὶ τὴν εὐφωνίαν.
νῦν μὲν γὰρ δυσὶ περιλαμβανομένη κώλοις σύμμετρός
ἐστι καὶ ἐναρμόνιος καὶ στρογγύλη καὶ βάσιν εἴληφεν
ἀσφαλῆ· ἐὰν δὲ προσλάβῃ τουτὶ τὸ κῶλον, ἅπαντα
ταῦτα ἀπεκρίθησαν, καὶ μεταλήψεται τὸν ἱστορικὸν
ἀντὶ τοῦ λογικοῦ τύπον. εἰ δὲ χωρίσαντες τοῦτο τὸ
κῶλον ἀπὸ τῶν προηγουμένων αὐτὸ καθ' αὑτὸ ἐξοίσο-
μεν, οὔτε περίοδος ἡμῖν γενήσεται καθ' ἑαυτὸ γενό-
μενον οὔτε ἦθος ἢ πάθος ἕξει μὰ Δία οὔτε ἄλλην
πειθὼ καὶ χάριν οὐδεμίαν. εἰ δὴ μήτε τοῦ ἀναγκαίου
χάριν ἡ προσθήκη παρείληπται μήτε τοῦ περιττοῦ
(περὶ ταῦτα δὲ καὶ ἐν τούτοις ἡ τῆς λέξεως κατασκευή),
τίς ἂν τοῦτο | ἔτι ἕτερον ὀνομάσειεν εἰ μὴ τοῦθ' 1031

1 *πατέρας — παιδεύεσθαι τοὺς* om Pv | *ἀχρὶ* M 2 *προπέμεθαι* P 4 *Πλάτων* uocatiuum interpunctione saepsi: *Πλάτωνι* BPv | *ἥδε ἡ*] *ἢ* P 5 *κάλους* BP 7 *πρὸς γὰρ — 9 σύνθεσιν* om Pv 8 lacunam detexit et suppleuit Sadaeus 10 *αὐτοῦ* Sylburgius: *αὐτῆς* MP *αὐτὴν* B 11 *εὐφρώνιαν* B 13 *καὶ* bis P 14 *τὸ* om Pv 15 *ἱστοριστικὸν* B 16 *τοῦτο τί* B] *τουτὶ τὸ*? 18 *οὔτε* Sadaeus: *οὐ* | *καθ' ἑαυτὸ γενόμενον* seclusit idem 19 *οὔτ'* Pv | *οὔτ'* Pv 22 *περὶ ταῦτα*] *περιαιρεῖται* frustra Kiessling | *καὶ ἀν* B] *κἀν*? 23 *τίς ἂν*] *τί ἄν τις* Kiessling

ὅπερ ἐστὶν ἀληθῶς, ἀκαιρίαν. τούτοις ἐκεῖνα ἐπιτίθη-
σιν ὁ ἀνήρ· 'Λόγῳ δὲ δὴ τὸν λειπόμενον κόσμον ὅ
τε νόμος προστάττει τούτοις ἀποδοῦναι τοῖς ἀνδράσι
καὶ χρή.' τὸ καὶ χρὴ πάλιν ⟨ἐνταῦθα⟩ κείμενον ἐπὶ
τελευτῆς τίνος ἕνεκα παρείληπται καὶ διὰ τί; πότερα
σαφεστέραν ποιῆσαι τὴν λέξιν; ἀλλὰ καὶ χωρὶς τῆς
προσθέσεως ταύτης ἐστὶ σαφής. εἴ γε οὖν οὕτως εἶχε·
'Λόγῳ δὲ δὴ τὸν λειπόμενον κόσμον ὁ νόμος ἀποδοῦ-
ναι προστάττει τοῖς ἀνδράσι,' τίς ἂν ταύτην ἐμέμψατο
ὡς οὐ σαφῆ; ἀλλὰ τοῦτο ἥδιον ἀκουσθῆναι καὶ μεγα-
λοπρεπέστερον; πᾶν μὲν οὖν τοὐναντίον ἠφάνικεν
αὐτῆς τὸ σεμνὸν καὶ λελύμανται. καὶ τοῦτο οὐ λόγῳ
δεῖ μαθεῖν ἕκαστον, ἀλλ' ἐκ τῶν ἑαυτοῦ γνῶναι παθῶν.
ταῖς γὰρ ἀλόγοις αἰσθήσεσιν ἅπαντα τὰ ὀχληρὰ καὶ
ἡδέα κρίνεται, καὶ οὐθὲν δεῖ ταύταις οὔτε διδαχῆς
οὔτε παραμυθίας. |

1032 συκοφαντεῖς τὸ πρᾶγμα, τάχ' ἂν εἴποι τις, εὐέπειαν 25
ἀπαιτῶν καὶ καλλιλογίαν παρὰ ἀνδρὸς οὐ ταῦτα σοφοῦ.
τὰς νοήσεις ἐξέταζε, εἰ καλαὶ καὶ μεγαλοπρεπεῖς εἰσι
καὶ παρ' οὐθενὶ τῶν ἄλλων κείμεναι. περὶ ταύτας
ἐκεῖνος ἐσπούδαζεν, ἐν ταύταις δεινὸς ἦν. τούτων
εὐθύνας παρ' αὐτοῦ λάμβανε, τὸν δὲ τρόπον τῆς λέξεως

2 Menexeni 236 d

1 *ἀληθῶς* Sylburgius: *ἀληθὲς ὡς* 3 *νόμοις νόμος* P | *τάττει* postea add M | *τούτοις* P, B in mg: om cum lac VI litt M, B in textu *Π* (Plato) 4 lac X litt MP, VI litt B: suppl Sylburgius | *κείμενον κόσμον ὅτε κείμενον* B: corr rubricator 6 *ποιήσει* ci Usener 7 *προθέσεως* B | *εἴγ'* v 9 *ἐπέμψατο* B 13 *ἀλ'* B 14 *αἰσθήσασιν* BP | *ἅπαντας* P[1] | *τὰ* om B 15 *δεῖ*] *δῆ* B | *οὔτε διδαχῆς* om Pv, ci Reiskius 17 *τύχ' ἂν εἴποιος* B | *εὐέπειραν εὐέπειαν* P 20 *οὐδενὶ* Sylburgius: *οὐθὲν* M, B mg *οὐδὲν* P, B text v

ἔα. καὶ πῶς ἔνι ταῦτ᾽ εἰπεῖν; τοὐναντίον γὰρ ἅπαντες ἴσασιν, ὅτι πλείονι κέχρηται φιλοτιμίᾳ περὶ τὴν ἑρμηνείαν ὁ φιλόσοφος ἢ περὶ τὰ πράγματα. μυρία τούτου τεκμήρια φέρειν ἔχοι τις ἄν, ἀλλ᾽ ἀπόχρη λόγος εἷς οὗτος ἐπιδείξασθαι τὴν κενοσπουδίαν τοῦ ἀνδρός, ᾗ κέχρηται περὶ τὸν περιττὸν καλλωπισμὸν τῆς ἀπαγγελίας. αὐτίκα γε οὖν τοῖς προειρημένοις ἐπιτιθεὶς διάνοιάν τινα οὔτε περιττὴν οὔτε θαυμαστὴν ἀλλ᾽ ὑπὸ πολλῶν εἰρημένην καὶ πολλάκις (ὅτι γὰρ ὁ τῶν καλῶν ἔργων | ἔπαινος ἀθανάτους τὰς τιμὰς καὶ τὰς μνή- 1033
μας δύναται ποιεῖν τοῖς ἀγαθοῖς, μυρίοις τῶν ἔμπροσθεν εἴρηται), συνιδὼν οὐθὲν οὔτε σοφὸν οὔτε περιττὸν τὴν γνώμην ἔχουσαν, ὅπερ οἶμαι λοιπὸν ἦν, ⟨τῷ κάλλει⟩ τῆς ἑρμηνείας αὐτὴν ἡδύνειν βούλεται. ἔπειθ᾽ ὥσπερ τὰ μειράκια καταβὰς ἀπὸ τῶν γενναίων καὶ μεγαλοπρεπῶν ὀνομάτων τε καὶ σχημάτων ἐπὶ τὰ θεατρικὰ τὰ Γοργίεια ταυτὶ παραγίνεται, τὰς ἀντιθέσεις καὶ τὰς παρισώσεις λέγω, καὶ διὰ τῶν λήρων τούτων κοσμεῖ τὴν φράσιν.

26 ἀκούσωμεν δὲ αὐτοῦ, πῶς λέγει· '"Ἔργων γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίνεται παρὰ τῶν ἀκουσάντων.' ἐνταῦθα τοῖς μὲν ἔργοις ὁ λόγος ἀντίκειται, τῷ δὲ πραχθῆναι τὸ ῥηθῆναι, μετωνόμασται δὲ ἀντὶ τοῦ εὖ

20 Menexeni 236[e] cf Dionys. de comp. p 49 R

1 ταυ ... επεῖν in mg ταυτον εἴ B 2 πλείωνι P | ἑρμενείαν P[1] 4 εἷς] εἴς το B 6 περιττὸν M: περὶ τὸν P περὶ τὸν περιττὸν B | τῆς bis P 13 lac IV litt M, V—VI B, VI P: suppleuit Sadaeus 17 Γοργίεια Reiskius: γόργεια 18 παρασώσεις P | λόγω BP 20 ἔργων Π: τῶν MP τῶν τῶν B 21 λόγῳ om P 22 πράξασι] πρασι B 24 μετονόμασθαι M[1] | δ᾽ Pv

τὸ καλῶς, παρισοῦται δὲ τὰ τρία μόρια τοῦ λόγου τοῖς τρισί. τοῦ δὲ ἀσφαλῶς βῆναι τὴν περίοδον ἕνεκα
1034 καὶ | οὐθενὸς ἀναγκαίου, τέλος ἤδη τῆς διανοίας ἐχούσης, προσείληπται τὸ παρὰ τῶν ἀκουσάντων. ἆρά γε ὁμοίως ἡρμήνευται ὁ αὐτὸς νοῦς οὑτοσὶ τοῖς ποιηταῖς, οὓς περιφρονεῖ καὶ ἀπελαύνει τῆς πολιτείας ὁ φιλόσοφος, ἢ κάλλιον καὶ γενναιότερον; 'Πρέπει δ᾽ ἐσλοῖσιν ὑμνεῖσθαι ... καλλίσταις ἀοιδαῖς. τοῦτο γὰρ ἀθανάτοις τιμαῖσι ποτιψαύει μόνον· ῥηθὲν ... θνᾴσκει δὲ σιγαθὲν καλὸν ἔργον.' Πίνδαρος τοῦτο πεποίηκεν εἰς Ἀλέξανδρον τὸν Μακεδόνα, περὶ τὰ μέλη καὶ τοὺς ῥυθμοὺς μᾶλλον ἢ περὶ τὴν λέξιν ἐσπουδακώς. Πλάτων δέ, ὃς ἐπαγγέλλεται σοφίαν, τρυφεροῖς καλλωπίζει καὶ περιέργοις σχήμασι τὴν φράσιν. καὶ οὔπω τοῦθ᾽
1035 ἱκανόν, ἀλλὰ καὶ | ἐν τῇ μετ᾽ αὐτὴν περιόδῳ τὰ αὐτὰ ποιῶν φανήσεται. φησὶ γάρ· 'Δεῖ δὴ τοιούτου τινὸς λόγου, ὅστις τοὺς μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσει, τοῖς δὲ ζῶσιν εὐμενῶς παραινέσει.' οὐκοῦν ἐπίρρημα ἐπιρρήματι ἀντιπαράκειται καὶ ῥήματι ῥῆμα, τὸ μὲν ἱκανῶς τῷ εὐμενῶς, τῷ δ᾽ ἐπαινέσει τὸ παραινέσει, καὶ ταῦτα πάρισα· οὐ Λικύμνιοι ταῦτ᾽ εἰσὶν οὐδ᾽ Ἀγά-

7 Pindari fr 121 Bergkii 16 Menexeni 236[e]

1 παρισοῦται Kiessling in mg, Sadaeus: παρισοῦνται MB παροισοῦνται P | μήρια P 4 ἐχούσας P 5 οὑτοσὶ] οὐ τισὶ B
8 δ᾽ ἐσλοῖσιν Sylburgius: δὲ ὅλοισιν | lacunam post ὑμνεῖσθαι metrum insimulat, alii alia supplent 9 τιμαῖς Boeckh | μόνον ῥηθέν· MBP ῥηθέν delent Bothe et Boeckh. fort ποτιψαύει μόνον· ῥηθὲν ⟨μένει,⟩ θνᾴσκει δὲ κτλ | θνάσκει MBPv
10 δὲ σιγαθὲν Barnes: δ᾽ ἐπιταθὲν 13 ὃς] ὧς B ὡς P | ἐπαγγέ[λλ]εται cum ras M | καλλωπίζειν BP 15 ἱκανόν] ἱμανιὸν B | μεταυτὴν M μετὰ ταύτην Sadaeus 17 τετελευκότας B τελευτηκότας P | ἐπαινέσεται Π 18 παραινέσεται Π 19 ἀντιπαράκειται] παράκειται MBPv 21 ο ... κύμνιοι M

θωνες οἱ λέγοντες 'ὕβριν ἢ ⟨κύ⟩πριν μισθῷ ποθὲν ἢ
μόχθον πατρίδων,' ἀλλ' ὁ δαιμόνιος ἑρμηνεῦσαι Πλά-
των. καὶ οὐ τοῖς σχήμασιν ἐπιτιμῶ· φέρει γάρ ποτε
καὶ ταῦτα τοῖς λόγοις ὥραν. οὗ χάρι⟨ν οὐ ψέγω⟩ οὐδ'
αὐτὴν τὴν ἐπιτήδευσιν αὐτῶν καὶ τὴν ἀκαιρίαν ⟨μόνην
μέμφο⟩μαι καὶ μάλιστα ὅταν ὑπὸ τοιούτου γίνηται
ἀνδρός, ᾧ κανόνι ὀρθοεπείας χρήσασθαι ἀξιοῦμεν. ἐν
γὰρ | δὴ τῷ αὐτῷ λόγῳ τούτῳ κἀκεῖνά ἐστιν· 'Ὧν 1036
δ' οὔτε ποιητής πω δόξαν ἀξίαν ἐπ' ἀξίοις λαβὼν ἔχει,'
καὶ αὖθις· 'Τειχισαμένη καὶ ναυπηγησαμένη, ἐκδεξα-
μένη τὸν πόλεμον,' καὶ ἔτι· 'Ὧν ἕνεκα καὶ πρῶτον καὶ
ὕστατον καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν
πειρᾶσθε ἔχειν,' καὶ πάλιν· 'Φέροντες μὲν τὰς συμφο-
ρὰς ἀνδρείως δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πα-
τέρες εἶναι,' κἀκεῖνά γε ἔτι· 'Τοὺς μὲν παιδεύοντες
κοσμίως, τοὺς δὲ γηροτροφοῦντες ἀξίως,' καὶ πάλιν
που· 'Καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων, τῶν μὲν μιμεῖ-

1 cf tragg fr p 769, 31 N   8 Menexeni 239c   10 ibid 245b
11 ibid 247d   13 ibid 247d   15 ibid 248d   17 ibid 248e

1 ἢ κύπριν M. Schmidt: ἢ ... πριν M ἦν .... πρὶν B ἢ πριν Pv | μισθὸν πόθων (πόθεν B) ἢ μόχθον Ἀτρειδῶν? (πραπίδων M. Schmidt) alia Schmidt Jos. Klein Gompertz Weil 2 δ ..... νιος M 3 ἐπιτιμῶ] ἐπι cum lac V litt M 4 ὥραν οὐ χαρ lac X—XII litt τὴν τὴν ἐπιτήδευσιν αὐτῶν καὶ τὴν ἀκαι lac XIV—XVI litt μαι· καὶ μάλιστα M ὥραν οὐ χαρι lac VI litt οὐδ' αὐτὴν τὴν ἐπιτήδευσιν αὐτῶν καὶ τὴν ἀκαιρίαν αὐτῶν καί μαι μάλιστα B ὥραν οὐ χαρ lac XI litt οὐδ' αὐτὴν τὴν ἐπιτήδευσιν αὐτῶν καὶ τὴν ἀκαιρίαν αὐτῶν μαι καὶ μάλιστα P ex quo pendet v solum μαι omittens: restitui et suppleui 6 γένηται Pv 10 τειχισάμενος corr in τειχισαμένη P | δὲ post τειχισαμένη Πv 14 δόξουσι ΠΔ p 1047: δοξάζουσι MBP 15 καὶ κεῖνα corr in κἀκεῖνα B | ἔτι Sylburgius: ὅτι | παιδεύοντες—17 τῶν μὲν om B 16 κοσμίους P 17 μιμεῖσθαι Π: μισεῖσθαι MBP

σθαι τοὺς ἑαυτῶν, τῶν δὲ καρτερεῖν ὑπὲρ ἑαυτῶν,'
καὶ ταυτί· 'Πολιτεία γὰρ ἀνθρώπων τροφή 'στι καὶ
ἡ μὲν ἀγαθὴ ἀγαθῶν, μὴ καλὴ δὲ κακῶν.' κἀκεῖνα
δ' ἔτι· 'Νικήσαντες μὲν τοὺς πολεμίους, λυσάμενοι δὲ
1037 τοὺς | φιλίους, ἀναξίου τύχης τυχόντες.' πολύς ἐστι
τῶν τοιούτων σχημάτων ὄχλος δι' ὅλου τοῦ ἐπιταφίου.
ἀλλ' ἐάσας τὸ περὶ τούτων ἀκριβολογεῖν ἐπ' ἐκεῖνά
τ' ἐλεύσομαι καί μοι πάνυ μὲν αἰδουμένῳ καὶ ὀκνοῦντι
εἰπεῖν, ὅμως δ' εἰρήσεται, ὅτι παχύτητος καὶ ἀδυνασίας
ἔδοξεν εἶναι μηνύματ' αὐτά.

προειπὼν γὰρ ὁ ἀνήρ, ποῖόν τι σχῆμα λαβεῖν ἁρ- 27
μόττει τὸν λόγον, ἐπιτίθησι ταυτί· 'Ἐπὶ τούτοις τὴν
τῶν ἔργων πρᾶξιν ἐπιδείξωμεν, ὡς καλὴν καὶ ἀξίαν
τούτων ἀπεφήναντο.' ἔργων πρᾶξιν ἀξίαν ἀποφηνα-
μένους οὐκ οἶδα εἴ τις ἂν ἠξίωσεν εἰπεῖν τῶν τὴν
λεπτὴν καὶ ἀκριβῆ καὶ καθαρὰν διάλεκτον ἐπιτη-
δευόντων. πράττεται μὲν γὰρ τὰ πράγματα, ἐργάζεται
δὲ τὰ ἔργα, ἀποφάνσεως ⟨δὲ⟩ ἀξιοῦται τὰ λεκτά. τουτὶ

2 Menexeni 238c   4 ibid 243c   12 ibid 237b

1 αὑτῶν Π | δ' ἐκκαρτερεῖν BP δ' ἐγκαρτερεῖν v θαρρεῖν Π | αὑτῶν Π 2 τροφῆς ἐστι MBP: corr Usener τροφὴ ἀνθρώπων ἐστι Π 3 καλὴ μὲν ἀγαθῶν, ἡ δ' ἐναντία κακῶν Π ac fort apud Dionysium in καὶ ἡ latet καλὴ, ut ἀγαθὴ tamquam dittographia natum delendum sit 5 φιλίους Π: φίλους MBPv 8 τ' ἐλεύσομαι Sylburgius: τελεύσομαι BP ἐλεύσομαι M 9 ταχύτητος P | ἀδυναστίας Pv 10 μηνύματ' αὐτά] μήνυμα ταῦτα M μήνυτα ταῦτα B μήνυτα τοι ταῦτα P μηνύματα τὰ τοιαῦτα Reiskius 12 ἐτίθησι P | ἐπὶ MBP: ἐπὶ δὲ Πv 13 καὶ om BP 14 τούτων—ἀξίαν om Pv | ἀπεφήναντο MΠ: ἀποφήναν ὧν B | ἀποφηναμένους] ἀποφηναμένην MPv ἀποφηναγκένην B 17 πράτεται P 18 ἀποφάνσεως Krüger: ἀποφάσεως | δὲ add Reiskius om BPM sed in M spatium est II litt | ἀξιοῦνται v | λεκτὰ Sylburgius: ἄληπτα | ταυτὶ B

μὲν δὴ παχὺ εἴρηται, τὸ ⟨δ' ἐπὶ⟩ τούτῳ λεγόμενον
ἐνθύμημα ἀσθενέστερον· διὰ μακροῦ | τε γὰρ καὶ 1038
ἀκατάλληλον καὶ οὔτε δεινότητα ἔχον οὔτε σύνταξιν·
'Τῆς δ' εὐγενείας πρῶτον ὑπῆρξε τοῖσδε ἡ ⟨τῶν προ-
γόνων⟩ γένεσις, οὐκ ἔπηλυς οὖσα οὐδὲ τοὺς ἐκγόνους
τούτους ἀποφηναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλο-
θεν σφῶν ἡκόντων, ἀλλ' αὐτόχθονας καὶ τῷ ὄντι
πατρίδα οἰκοῦντας καὶ ζῶντας καὶ τρεφομένους οὐχ
ὑπὸ μητρυιᾶς, ὡς οἱ ἄλλοι, ἀλλ' ὑπὸ μητρὸς τῆς χώ-
ρας, ἐν ᾗ ᾤκουν, καὶ νῦν κεῖσθαι τελευτήσαντας ἐν
οἰκείοις τόποις τῆς τεκούσης τε καὶ θρεψάσης καὶ
ὑποδεξαμένης.' ποῖον ἔθνος ἀνθρώπων καθαρᾷ δια-
λέκτῳ χρώμενον ἐρεῖ γένεσιν τὴν μὲν αὐτόχθονα τὴν
δὲ ἐπήλυδα; ἡμῖν γὰρ δή τι συμβεβηκός ἐστι τὸ εἶναι
αὐτόχθοσιν ἢ μὴ ἐπιχωρίοις, οὐχὶ τῇ γενέσει. δύναται
γοῦν τις ἀλλαχῇ γενόμενος ἀνὴρ ἑτέρωσε μετοικῆσαι,
ἡ δὲ γένεσις αὐτὴ τοῦτο παθεῖν οὐ δύναται. τίς δ' ἂν
ἀξιώσειε τῶν εὖ διαλέγεσθαι σπουδαζόντων εἰπεῖν, ὅτι
ἡ γένεσις ἡ τῶν προγόνων τοὺς ὕστερον γενησομένους
ἀπεφήνατο αὐτόχθονας | καὶ μὴ μετοίκους εἶναι τῆς 1039

4 Menexeni 237^b 6 scholion ἀντὶ τοῦ (ἀντι B) ἐπιδείξας φανερόν (φανερῶν B)

1 τὸ δ' ἐπὶ τούτῳ Sylburgius: τὸ lac V litt τοῦ τούτῳ MB τὸ τὸν τούτῳ Pv | λεγό postea add M 2 ἀσθενότερον Pv | post διὰ lac III litt M 3 σύνταξιν om M in lac IX litt | post σύνταξιν lac V uel VI litt B 4 τῶν προγόνων Π: lac XII litt M, XVII litt B, XXXX fere litt P 6 scholion in mg om P | ἄλοθεν B 7 τῶν ὄντι B 8 ἐν πατρίδι Π 10 τελευτήσαντος B τελευτήσαντες P | ἐν οἰκείοις] ἐκείνοις B 11 τε om Π | θραψάσης B 14 δ' Πv | τι] που Sadaeus 15 ἐπιχωρίοις delet Vliet 17 ἡδ' P | γένεσις — τίς δ' om Pv 18 εὖ διαλέγεσθαι] ἓν διαλεγεσθαι, mg διαλέγεσθαι B 20 αὐτὸ χθόνας B

χώρας, ἐν ᾗ ἐγένοντο; οὔτε γὰρ ἡ γένεσις αὐτή τι
ἀποφαίνεσθαι φύσιν ἔχει, οὔτε μετοικεῖν τις, ἐν ᾗ ἂν
γένηται· ἀλλ' ἀποφαινόμεθα μὲν ἡμεῖς τὰ λεκτά, μετ-
οικοῦσι δ' οἱ ἐξ ἄλλης ἀφικόμενοι χώρας ἐν τῇ ὑπο-
δεξαμένῃ. τίς δὲ βουλόμενος σῴζειν τὴν ἀκολουθίαν,
εἰπὼν τὴν γένεσιν καὶ περὶ ταύτης τὸν λόγον ἀποδι-
δοὺς ἐπιζεύξειεν ἂν τὸ ἄλλοθεν σφῶν ἡκόντων, τὸ
ἀρρενικὸν τῷ θηλυκῷ καὶ τῷ ἑνικῷ τὸ πληθυντικόν;
ἦν γὰρ δή που κατάλληλος ὁ λόγος, εἰ πρὸς τὴν γένε-
σιν ἀναφέρων, ὑπὲρ ἧς ὁ λόγος ἦν, ἐπέθηκεν· 'ἄλλο-
θεν αὐτῆς ἡκούσης.' ἐπὶ δὲ τῶν ἀνδρῶν μέλλων
ποιεῖσθαι τὸν λόγον ἐξ ἀρχῆς οὕτως ἂν κατεστήσατο
τὴν φράσιν· 'τῆς δ' εὐγενείας πρῶτον ὑπῆρξαν τοῖσδε
οἱ πρόγονοι, οὐχὶ ἐπήλυδες ὄντες οὐδὲ τοὺς ἐκγόνους
τούτους ἀποφήναντες μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλο-
θεν σφῶν ἡκόντων, ἀλλ' αὐτόχθονας.'

ἄξιον δέ, ὃ καὶ περὶ τῆς εὐγενείας τῶν ἀνδρῶν 28
εἴρηκε, τὴν χώραν πρῶτον ἐπαινῶν, ἐξ ἧς ἐγένοντο,
μὴ παρέργως ἰδεῖν. φησὶ δὴ θεοφιλῆ αὐτὴν εἶναι καὶ |
1040 παρέχεται τούτου μάρτυρας τοὺς ἀμφισβητήσαντας
περὶ αὐτῆς θεούς, κοινόν τι πρᾶγμα καὶ ὑπὸ πάντων
σχεδὸν τῶν ἐπαινεσάντων τὴν πόλιν εἰρημένον. καὶ
οὐ τοῦτο συκοφαντεῖν ἄξιον, ἀλλά, πῶς ἡρμήνευκεν
αὐτά, καταμαθεῖν· 'Μαρτυρεῖ δ' ἡμῖν τῷ λόγῳ ἡ τῶν

24 Menexeni 237^c

3 τὰ λεκτά fort delendum est 6 εἰπὼν] εἶπεν MBP εἶπε v cf de comp. p 139 R 7 ἡκόν.των una littera erasa M 8 τῷ ἑνικῷ τὸ πληθυντικόν Reiskius: τὸ ἑνικὸν τῷ πληθυντικῷ 12 ἂν κατεστήσατο accipe: in ordinem redegisset 16 σφᾶς v | ἡκόντων M^2: ἥκοντας M^1BPv | ἀλ' P 17 δὲ καὶ ὃ frustra Krüger | περὶ τῆς εὐγενείας — χώραν iterat P 18 ἐπαιν[ῶ]ν cum ras M 19 δὴ M: δὲ BPv 24 αὐτά Krüger: αὐτήν | ἡμῶν Π

ἀμφισβητησάντων περὶ αὐτῆς θεῶν ἔρις ⟨τε καὶ κρίσις⟩. ἣν δὲ θεοὶ ἐπῄνεσαν, πῶς οὐχ ὑπ' ἀνθρώπων γε συμπάντων δικαία ἐπαινεῖσθαι;' ταπεινή μοι δοκεῖ καὶ ἄζηλος ἡ λέξις καὶ οὐδὲν ἔχουσα τῆς περιμαχήτου πόλεως ἄξιον, ὡς ἐμοὶ δοκεῖ. ποῖος γὰρ ἐνθάδε πλοῦτος ὀνομάτων; ποία σεμνότης; ποῖον ὕψος; τί οὐ μαλακώτερον τῆς ἀξίας; τί δ' οὐκ ἐνδεέστερον τῆς ἀληθείας; οὕτως ἐχρῆν ὑπὸ Πλάτωνος εἰρῆσθαι τὴν Ἀθηνᾶς καὶ Ποσειδῶνος ὑπὲρ τῆς Ἀττικῆς στάσιν ἔριν τε καὶ κρίσιν; οὕτως τὸν ἔρωτα, ὃν ἔσχον οἱ θεοὶ τῶν ἐν αὐτῇ τιμῶν, εἰς φαῦλόν τι καὶ μέτριον ῥῆμα ἀγαγεῖν 'ἣν δὲ θεοὶ ἐπῄνεσαν' εἰπόντα; ἀλλὰ γὰρ ἃ μετὰ ταῦτα ἐπιτίθησιν εἰς | ἔπαινον τῆς γῆς, ὅτι γένος τε 1041
τὸ ἀνθρώπων πρώτη ἐγεννήσατο καὶ καρποὺς ἡμέρους αὐτῷ συνεξήνεγκεν, ἄξιον ἰδεῖν· ''Ἐξελέξατο δὲ τῶν ζῴων καὶ ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει τε ὑπερέχει τῶν ἄλλων καὶ δίκην καὶ θεοὺς μόνον νομίζει.' οὐκ οἶδα, εἴ τι λαμπρότατον ἄλλο πρᾶγμα τούτου εὐτελέστερον εἴρηται Πλάτωνι καὶ ἰδιωτικώτερον. δῶμεν αὐτῷ τὸ τοῦ ἀνθρώπου ἐγκώμιον οὕτως εἰπεῖν ὀλιγώρως καὶ ἀσθενῶς· ἀλλὰ περί γε τῆς τροφῆς αὐτοῦ γενναίᾳ χρήσεται φράσει· 'Μόνη γὰρ ἐν τῷ τότε καὶ πρώτη τροφὴν ἀνθρωπείαν ἤνεγκεν τὸν τῶν πυρῶν

15 Menexeni 237d 22 ibid 238a

1 ἀμφητησάντων B | τε καὶ κρίσις addidi ex Π 2 ἣν δὴ Π | συνπάντων B ξυμπάντων Π 3 καὶ ἄζηλος bis B 8 τὴν Krüger: τῆς 9 στάσις P | ἔριν τε καὶ κρίσιν del Usener 10 κρίσιν] κρίνην B | ὃν om B | τῶν] τὸν M 12 εἰπόντα; ἀλλὰ Reiskius: εἰπὼν τὰ ἄλλα | ἃ μετὰ] ἅμα τὰ P 13 τε τὸ] τό τε P τό τ' v 14 πράτη B 15 αὐτῷ Capperonnier: αὐτῶν MBP αὐτοῖς Sylburgius 16 ζῶον B 18 εἴ τι Sadaeus: εἰ ἐπὶ | λαμπρότερον Usener 20 αὐτῶν B 21 περί] πυρί P 22 χρήσεται Krüger: χρήσει καὶ MBP | καὶ πρώτη bis B

καὶ κριθῶν καρπόν.' ὦ θεοὶ καὶ δαίμονες, ποῦ τὸ Πλατωνικὸν νᾶμα τὸ πλούσιον καὶ τὰς μεγάλας κατασκευὰς καχλάζον; οὕτως μικρολογεῖ καὶ κατὰ στράγγα ῥεῖ τὸ δωδεκάκρουνον ἐκεῖνο στόμα τοῦ σοφοῦ; ἐταμιεύσατο νὴ Δία καὶ ὑφῆκε τῆς κατασκευῆς ἑκών, ἴσως τις ἐρεῖ. καὶ πῶς; ὃς οὐκ οἴεται τὸ γάλα σεμνὸν εἶναι ὄνομα, ἀλλὰ πηγὴν τροφῆς αὐτὸ μετονομάζει διὰ τῶν ἑξῆς. |

1042 ἐῶμεν καὶ τοῦτο, πῶς δὲ τῆς δωρεᾶς αὐτῆς εἶπε 29
τὸ μέγεθος, ἐξετάσωμεν· ''Ὧι κάλλιστα καὶ ἄριστα τρέφεται τὸ ἀνθρώπειον γένος.' εἰ τῶν ἐπιγείων τις ἡμῶν καὶ χαμαὶ ἐρχομένων 'κάλλιστα καὶ ἄριστα' εἶπεν, ὅσον ἂν ἐκίνησε γέλωτα; πλὴν ἀφείσθω καὶ τοῦτο. 'Τούτου δὲ τοῦ καρποῦ οὐκ ἐφθόνησεν, ἀλλ' ἔνειμε καὶ τοῖς ἄλλοις.' εἴ τις βουλήσεται παράδειγμα λαβεῖν .... μένης λέξεως, ἡ τοῦ καρποῦ μὴ φθονήσασα γῆ οὐχὶ πρώτη παρακείσεται; ἐμοὶ μὲν γὰρ δοκεῖ. ἡ δὲ μεταδοῦσα τῶν ἑαυτῆς ἀγαθῶν ἅπασιν ἀνθρώποις καὶ τηλικούτῳ κατασπείρασα πλούτῳ βάρβαρόν τε καὶ Ἑλλάδα γῆν τούτοις ἀξία κοσμεῖσθαι τοῖς ῥήμασιν, ὅτι οὐκ ἐφθόνησε τῶν σπερμάτων καὶ ὅτι ἔνειμεν αὐτὰ τοῖς ἄλλοις; οὐ τοῦ μὲν 'μὴ
1043 φθονῆσαι τοῖς πέλας' οὐδὲ | μεμνῆσθαι [τοῖς πέλας]

4 cf Cratini fr VII M. 7 Menexeni 237e 10 ibid 238a 14 ibid 238a

3 καχλάζων BP 5 κατασκεβῆς ἑλὼν B 8 ἑξῆς B 11 ἀνθρώπεινον P 12 μαι, mg χαμαί P 13 ἂν om Pv | ἐκείνησε B 14 τοῦ om P 15 βούλεται βουλήσεται B 16 ante μένης lac XV fere litt M, VII litt B, II—III litt P: suppleas ψυχρῶς ἐσχηματισμένης | μένην Pv 17 οὐχὶ mg Bodl: οὐχ ἡ MBPv 20 γῆν MB: γῇ Pv 22 τοῖς ἄλλοις: immo τοῖς πέλας 23 φθονῆναι B[1] | τοῖς πέλας: immo τοῖς ἄλλοις | τοῖς πέλας seclusit Reiskius

παντάπασιν ἐχρῆν, τὸ δὲ ‘νεῖμαι τοῦ καρποῦ’ σεμνοτέρῳ ὀνόματι δωρεᾶς ἢ χάριτος ἢ ἄλλου τινὸς τῶν τοιούτων περιλαβεῖν; ἐῶ ταῦτα. τὴν δὲ τῆς Ἀθηνᾶς δωρεὰν οὕτως εἴρηκεν· ‘Μετὰ δὲ ταῦτα ἐλαίου γένεσιν, πόνων ἀρωγήν, ἀνῆκε τοῖς ἐκγόνοις.’ περιφράσεις πάλιν ἐνταῦθα καὶ διθύραμβοι. καὶ τί δεῖ τὰ πλείω λέγειν; δι' ὅλου γὰρ ἄν τις εὕροι τοῦ λόγου πορευόμενος τὰ μὲν οὐκ ἀκριβῶς οὐδὲ λεπτῶς εἰρημένα, τὰ δὲ μειρακιωδῶς καὶ ψυχρῶς, τὰ δὲ οὐκ ἔχοντα ἰσχὺν καὶ τόνον, τὰ δὲ ἡδονῆς ἐνδεᾶ καὶ χαρίτων, τὰ δὲ διθυραμβώδη καὶ φορτικά. ἐγὼ δ' ἠξίουν πάντα γενναῖα εἶναι καὶ σπουδῆς ἄξια. Πλάτων γάρ ἐστιν ὁ ταῦτα γράφων, ὃς εἰ μὴ καὶ τὰ πρωτεῖα οἴσεται τῆς λέξεως, περί γε τῶν δευτερείων πολὺν ἀγῶνα παρέξει τοῖς διαμιλλησομένοις. ἀλλὰ περὶ μὲν τούτων ἅλις. |

30 ἃ δὲ δὴ κράτιστα εἰρῆσθαι τῷ ἀνδρὶ δοκοῦσί 1044 τινες ἐπὶ τῇ τελευτῇ τοῦ λόγου, κἀγὼ σύμφημι, ταῦτα παραθεὶς ἐπὶ τὸν Δημοσθένην τρέψομαι. ὁ δὴ τὸν ἔπαινον αὐτῶν διεξιὼν φησὶν ἐπισκῆψαι τοῖς παροῦσιν ἐν τῷ πολέμῳ τοὺς μέλλοντας τελευτᾶν, ἃ χρὴ πρὸς τοὺς ἑαυτῶν παῖδάς τε καὶ πατέρας ἀπαγγέλλειν, εἴ τι παθεῖν αὐτοὺς συμβαίη κατὰ τὴν μάχην. ἔστι δὲ τάδε· ‘Φράσω δὲ ὑμῖν, ἅ τε ἤκουσα αὐτῶν ἐκείνων καὶ οἷα

23 Menexeni 246c—248e

1 παντάπασιν ἐχρῆν, τὸ δὲ dedi Reiskium secutus: παντάπασι κέχρηνται (κέχρηται P) οὐδὲ | τοῦ καρποῦ] τοὺς καρποὺς MBPv 4 εἴρηκε v | τοῦτο Π | τὴν ἐλαίου Pv 5 ἀνῆκεν MB ἐγγώνοις P ἐγγωνὸν in mg ἐκγόνοις B ἐγγόνοις v 6 διθύραμβοι περιφ P 8 μειρακιώδης μοιρακιωδῶς P 9 ἰσχὺν — χαρίτων, τὰ om Pv 11 γεναῖα P 14 δευτερίων P 15 διαμελησομένοις P διαμεληγομένοις B 16 δοκοῦσίν P 17 τῇ λευτῇ P 18 δὴ] δὲ Pv 19 δ[ιε]ξιὼν cum ras M 21 ἑαυτοὺς ἑαυτῶν B | παγγελλεῖν B 23 ἡμῖν P | αὐτῶν ἤκουσα vΠ | πλάτων in mg B

νῦν ἡδέως ⟨ἂν⟩ εἴποιεν ὑμῖν ἀναλαβόντες δύναμιν, τεκμαιρόμενος ἐξ ὧν τότ' ἔλεγον. ἀλλὰ χρὴ νομίζειν ἀκούειν αὐτῶν ἐκείνων, ἃ ἂν ἀπαγγέλλω. ἔστι δὲ τάδε· ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν. ἡμῖν γὰρ ἐξὸν ζῆν μὴ καλῶς, ⟨καλῶς⟩ αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι καὶ πρὶν τοὺς ἡμετέρους
1045 πατέρας καὶ | πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι, ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι, οὔτ' ἐπὶ γῆς οὔθ' ὕστερον τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἤν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ ἀνανδρίαν (ἄλλοις γὰρ ὁ τοιοῦτος πλουτήσει καὶ οὐχὶ ἑαυτῷ), οὔτε κάλλος σώματος οὔτ' ἰσχὺς δειλῷ καὶ κακῷ συνοικοῦντα πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ καὶ ἐπιφανεστέραν ἔχοντα τὴν δειλίαν, πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ' οὐ σοφία φαίνεται. ὧν ἕνεκα ⟨καὶ⟩ πρῶτον
1046 καὶ ὕστατον καὶ διὰ παντὸς πᾶσαν | πάντως προθυ-

1 ἂν om MBP | λαβόντες δύναμιν Π 2 νομίζειν χρὴ αὐτῶν ἀκούειν Π 3 post ἐκείνων in P καὶ οἷα νῦν — ἐκείνων repetitur | ἃ ἂν ΜΠ: ἂν P ἃ B | ἀπαγγέλω B | ἔστι] ἔλεγον Π 5 ἡμεῖν P | γὰρ] δὲ Π | καλῶς om MBP 9 αὐτοῦ vΠ: αὐτοὺς MBP 11 ὕστερον] ὑπὸ γῆς vΠ 13 λειπόμενος B λειπόμεναι corr in λειπόμενα P 15 κάλλος vΠ: οὐκάλλος M οὐκ ἄλλος BP 16 ἀνδρίαν MBPv μετ' ἀνανδρίας Π | ἄλλῳ Π | οὐχὶ M: οὐχ' BP οὐχ Πv 17 κάλος BP | σώματος κάλλος Π 18 συνοικοῦντας B ξυνοικοῦντα vΠ | φαίνεται — ἔχοντα om B 19 ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν Π
21 ἀλλ' om Π | σοφίας P | φαίνεται MBΠ: γίνεται Pv | καὶ πρῶτον καὶ ὕστατον ΠΔ p 1036: πρῶτα καὶ ὕστατα MBPv

μίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ, εἰ δὲ μή, ἴστε, ὡς ἡμῖν, ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα, ἐὰν̣ἡττώμεθα, εὐδαιμονίαν. μᾶλλον δ' ἂν νικῴμεθα καὶ ὑμεῖς νικῴητε, εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησόμενοι μηδ' ἀναλώσοντες ταύτην, γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι οὐκ ἔστιν αἴσχιον οὐδὲν ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' αὑτόν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής, καταχρήσασθαι δὲ χρημάτων καὶ τιμῶν θησαυρῷ καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι αἰσχρὸν καὶ ἄνανδρον ἀπορίᾳ ἰδίων αὑτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. καὶ ἢν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ, ἀμελήσαντας δὲ | ὑμᾶς καὶ κακισθέντας οὐδεὶς 1047 εὐμενῶς ὑποδέξεται. τοῖς μὲν οὖν παισὶ ταῦτ' εἰρήσθω. πατέρας δὲ ἡμῶν, οἷς εἰσι, καὶ μητέρας ἀεὶ χρὴ παραμυθεῖσθαι ὡς ῥᾷστα φέρειν τὴν συμφοράν, ἢν ἄρα συμβῇ γενέσθαι, καὶ μὴ συνοδύρεσθαι. οὐ γὰρ τοῦ λυπήσοντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο πορίζειν. ἀλλ' ἰωμένους καὶ

1 πειρᾶσθαι B | ὑπερβαλῆσθε MP ὑπερβαλῆσθαι B 3 νικῶμεν] κινῶμεν P | αἰσχύνειν M 4 ἧττα M: ἧττον BP κτώμεθα BP | μάλιστα δ' Π 5 ἡττῴμεθα Π | νικτῴητε B | παρασκευάσαισθε Π: παρασκευάσεσθε Pv παρασκευάσασθε M² παρασκευάσασθαι M¹B 6 B mg rubro ὑμεῖς | καταχρησόμενοι Π: καταχρησάμενοι MBPv | ἀναλώσοντες Π: ἀναλώσαντες MBPv 7 αὐτὴν Π 8 οὐκ ἔτιν B 9 δι' αὐτόν MBP 10 γάρ τινας MBP 11 καταχρήσασθαι δὲ] χρῆσθαι δὲ καὶ Π | θησαυρῷ Πv: θησαυρὸν MBP 14 ἢν] ἐὰν Π 15 ὑμᾶς] ἡμᾶς P 18 δ' B | δὲ ἡμῶν—μητέρας om P | παραμυθεῖσθε P 19 ῥᾷσται B | ἢν—οὐ γὰρ om P | ἢν B: ἣν M ἐὰν vΠ 20 ξυμβῇ vΠ | συνοδύνεσθαι B ξυνοδύρεσθαι vΠ 21 λυπήσαντος BPv 22 ἰωμένου B

πραΰνοντας ἀναμιμνήσκειν αὐτούς, ὅτι, ὧν εὔχοντο, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνασιν. οὐ γὰρ ἀθανάτους σφίσι τοὺς παῖδας εὔχοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς, ὧν ἔτυχον μεγίστων ἀγαθῶν ὄντων. πάντα δ' οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ σφετέρῳ βίῳ ἐκβαίνειν. καὶ φέροντες μὲν τὰς συμφορὰς ἀνδρείως δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶναι καὶ αὐτοὶ τοιοῦτοι, ὑπείκοντες δ' ὑποψίαν παρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι ἢ ἡμῶν τοὺς ἐπαι-
1048 νοῦντας καταψεύδεσθαι. χρὴ δὲ οὐδέτερα τού|των, ἀλλ' ἐκείνους μάλιστα ἐπαινέτας ἡμῶν εἶναι ἔργῳ, παρέχοντας αὑτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας ἄνδρας ἀνδρῶν. πάλαι γὰρ τὸ μηδὲν ἄγαν λεγόμενον καλῶς δοκεῖ λέγεσθαι· τῷ ὄντι γὰρ εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠναγκάσθη καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν, οὗτός ἐστιν ὁ σώφρων καὶ οὗτος ἀνδρεῖος καὶ φρόνιμος, οὗτος γιγνομένων παίδων καὶ χρημάτων καὶ διαφθειρομένων καὶ μάλιστα πείθεται τῇ παροιμίᾳ· οὔτε γὰρ χαίρων οὔτε λυπούμενος ἄγαν φανήσεται διὰ τὸ αὑτῷ πεποιθέναι. τοιούτους δὴ ἡμεῖς ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι καὶ βουλόμεθα καὶ

1 πραίνοντας P, B in textu corr in mg | ἀνιμιμνήσκειν P | εὔχοντο Πv: ἔτυχον MBP 6 σφετέρῳ] ἑαυτοῦ Π 7 ἀνδρείως τὰς συμφορὰς Π 9 ἐπαιλιοῦντας B 11 ἐκείνου BP | ἡμῶν ἐπαινέτας Π πάντων ἐπαινέτας ἡμῶν v 12 αὐτοὺς MBP αὐτοὺς—ὄντας in mg M 13 γὰρ δὴ Πv 14 τῷ γὰρ ὄντι Π 15 ἀνήρτηται] ἀνήρηται BP 18 ἠνάγκασται Π | τούτου B | ἄριστος P 19 παρεσκευάσθαι B in textu (corr in mg) παρασκεύασθαι P 20 ὁ ἀνδρεῖος Π 21 καὶ μάλιστα πείθεται] μάλιστα πείσεται Π 23 αὐτῷ MBP | δὲ Π | ἡμεῖς γε Πv

φαμέν. καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους, |
οὐκ ἀγανακτοῦντας οὐδὲ φοβουμένους ἄγαν, εἰ δεῖ 1049
τελευτᾶν ἐν τῷ παρόντι. δεόμεθα δὲ καὶ πατέρων καὶ μητέρων, τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους τὸν ἐπίλοιπον βίον διάγειν καὶ εἰδέναι, ὅτι οὐ θρηνοῦντες οὐδ' ὀλοφυρόμενοι ἡμᾶς ἡμῖν μάλιστα χαριοῦνται. ἀλλ' εἴ τίς ἐστι τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζώντων, οὕτως ἀχάριστοι εἶεν ἂν μάλιστα, ἑαυτούς τε κακοῦντες καὶ βαρέως φέροντες τὰς συμφοράς, κούφως δὲ καὶ μετρίως μάλιστ' ἂν χαρίζοιντο. τὰ μὲν γὰρ ἡμέτερα τελευτὴν ἤδη ἕξει, ἥπερ καλλίστη γίγνεται ἀνθρώποις· ὥστε πρέπει αὐτὰ μᾶλλον κοσμεῖν ἢ θρηνεῖν. γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παίδων ἐπιμελούμενοι ⟨καὶ τρέφοντες⟩ καὶ ἐνταῦθα τὸν νοῦν τρέποντες τῆς τε τύχης μάλιστ' ἂν εἶεν ἐν λήθῃ καὶ ζῷεν κάλλιον καὶ ὀρθότερον καὶ ἡμῖν προσφιλέστερον. ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀπαγγέλλειν. τῇ δὲ πόλει παρακελευόμεθα, ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱῶν
ἐπιμελήσονται, τοὺς μὲν | παιδεύοντες κοσμίως, τοὺς 1050
δὲ γηροτροφοῦντες ἀξίως. νῦν δ' ἴσμεν, ὅτι, κἂν μὴ ἡμεῖς παρακελευώμεθα, ἱκανῶς ἐπιμελήσεται. ταῦτ' οὖν, ὦ γονεῖς καὶ παῖδες τῶν τελευτησάντων, ἐκεῖνοί τ' ἐπέσκηπτον ὑμῖν ἀπαγγέλλειν κἀγὼ ὡς δύναμαι προ-

2 ἀνγανακτοῦντας B 3 δὲ] δὴ Π 4 μὴ τέρων P | ταύτης P 6 ὀλοφερόμενοι BP 7 τελευτηκόσιν P 8 εἶναι εἶεν P | ἑαυτούς — 10 μάλιστ' ἂν om P 9 ξυμφοράς Πv 10 μετρίας B | μάλιστα χαρ- MB | χαροιζοιντο corr in χαριζοιντο P χαρίζειντο B 12 τρηνεῖν BP 13 καὶ τρέφοντες Πv om MBP 14 τρέποντας B 16 ὑμῖν P 17 ἀπαγχέλλειν B ἀγγέλλειν Π 18 παρακελευοίμεθ' ἂν Π 19 κοσμίους P 20 γηουτροφοῦντες P | καὶ ἐὰν Π 21 παρακελουώμεθα B | τοῦτ' P 22 ὦ παῖδες καὶ γονῆς Π 23 ἡμῖν Π | ἀπαγγέλλειν — προθυμότατα om P

θυμότατα ἀπαγγέλλω.' αὕτη δοκεῖ κάλλιστα ἔχειν Πλάτωνι ἡ λέξις ἐν τούτῳ τῷ λόγῳ. ἔχει μέντοι τὰ πλείω καλῶς (οὐ γὰρ δοκεῖ ψεύδεσθαι), πλὴν ὅτι πολιτικόν γε τὸ σχῆμα αὐτῆς ἐστιν, οὐκ ἐναγώνιον.

ἀντιπαρεξετάσωμεν οὖν ταύτῃ Δημοσθένους λαβόν- 31
τες λέξιν ἐκ τοῦ ὑπὲρ Κτησιφῶντος λόγου. ἔστι δ' οὐ παράκλησις Ἀθηναίων ἐπὶ τὸ καλὸν καὶ τὴν ἀρετήν, ὥσπερ παρὰ τῷ Πλάτωνι, ἀλλ' ἐγκώμιον τῆς πόλεως, ὅτι πάντα ἡγεῖται τἆλλα ἐλάττω τιμῆς καὶ δόξης, ἧς
1051 φέ|ρουσι καλαὶ πράξεις, κἂν εἰ μή τις αὐτὰς μέλλοι
κατορθοῦν. ἔστι δ' ἡ λέξις ἥδε· ''Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν, καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας, ἃ λέγω, θεωρησάτω. εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι καὶ προῄδεσαν ἅπαντες καὶ σὺ προὔλεγες καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. νῦν μὲν γε ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν Ἑλλήνων, εἶτα ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντως ἂν ἔσχεν

11 Demosthenes περὶ στεφάνου 199—209

1 μάλιστα PB, sed mg κάλιστα B | Πλάτων MP | post Πλάτων P inserit κάλλιστα μάλιστα ἔχειν Πλάτων ἡ λέξις 2 πλείο P 6 ὑπὲρ corr M: κατὰ BPM^1 8 ὥσπερ] ὡς B 9 τιμῆς δόξης Pv 10 μέλλοι] μέλλῃ MBPv an μέλλει? cf p 1060 11 πολὺς m rec M: πολοῖς B πολλοῖς M^1P 15 γενέσθαι B 16 προύλεγε BP | post προὔλεγες addit Αἰσχίνη v 18 εἴπερ ἢ Dv 19 τοῦ] ποῦ P | λόγων B 20 γ' Pv 21 ἀνθρώπους M | δοκεῖ B 22 εἶτ' v 23 πάντας D

αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐθένα |
κίνδυνον ὁντινοῦν οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς 1052
οὐχὶ κατέπτυσεν ἄν σου; μὴ γὰρ τῆς πόλεώς γε μηδ᾽
ἐμοῦ. τίσι δ᾽ ὀφθαλμοῖς, πρὸς Διός, ἑωρῶμεν ἂν τοὺς
εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν
πράγματα εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος
ᾑρέθη Φίλιππος ἁπάντων, τὸν δ᾽ ὑπὲρ τοῦ μὴ γενέ-
σθαι ταῦτα ἀγῶνα ἕτεροί τινες χωρὶς ἡμῶν ἦσαν πε-
ποιημένοι, καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς
πρόσθε χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ
τῶν καλῶν κίνδυνον ᾑρημένης; τίς γὰρ οὐκ οἶδεν Ἑλ-
λήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ ⟨Θηβαίων καὶ
παρὰ⟩ τῶν τούτων ἔτι πρότερον ἰσχυρῶν γενομένων
Λακεδαιμονίων καὶ παρὰ τοῦ Περσῶν βασιλέως μετὰ
πολλῆς χάριτος τοῦτ᾽ ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ
τι βούλεται, λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ τὸ κελευό-
μενον ποιεῖν καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι;
ἀλλ᾽ οὐκ ἦν, ὡς ἔοικε, ταῦτα τοῖς τότε Ἀθηναίοις
πάτρια οὐδ᾽ ἀνεκτὰ οὐδ᾽ | ἔμφυτα, οὐδ᾽ ἐδυνήθη πώ- 1053
ποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι
τοῖς ἰσχύουσι μὲν μὴ δίκαια δὲ πράττουσι προστιθε-
μένην ἀσφαλῶς δουλεύειν. ἀλλ᾽ ἀγωνιζομένη περὶ πρω-
τείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν
αἰῶνα διετέλεσε. καὶ ταῦθ᾽ οὕτως σεμνὰ καὶ καλὰ καὶ

1 πριεῖτο B | ἀκονητί MP 2 ὁντινοῦν] τίνοῦν P 3 κατέπτισεν B 7 ὁρέθη B 8 τινες om D seclusit v 10 ἔμπροσθεν D 13 ἔτι τούτων vD 14 τοῦ] τῶν P 15 πολῆς B 16 καὶ τὰ] καὶ μετὰ B 17 ἐὰν MBP | προστάναι B 18 ταῦθ᾽ ὡς ἔοικε D | τότε om D seclusit v 21 ἰσχύθυσιν BP | προσθεμένην D 22 ἀγωιζομένη P ἀγανωιζομένη B 23 ὑπὲρ τιμῆς v 24 ἀῶνα, mg αἰῶνα B | διατετέλεκε D | καὶ ταῖς καὶ ταῦθ᾽ B | οὕτω D | καὶ καλὰ om D seclusit v

προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε
εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας
μάλιστα ἐπαινεῖτε, εἰκότως. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο
τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ
τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν, εἰς τὰς τριήρεις ἐμβάν-
τες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι, τὸν μὲν
ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι,
τὸν δ᾽ ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις
Κυρσίλον καταλιθώσαντες οὐ μόνον αὐτόν, ἀλλὰ καὶ
αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ; οὐ γὰρ
ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα οὔτε στρατηγόν,
1054 δι᾽ ὅτου δουλεύσουσιν εὐτυχῶς, ἀλλ᾽ οὐδὲ | ζῆν ἠξίουν,
εἰ μὴ μετ᾽ ἐλευθερίας ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ
αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον
γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί; ὅτι
ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων τὸν τῆς
εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει, ὁ
δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δου-
λεύουσαν ἀποθνῄσκειν ἐθελήσει καὶ φοβερωτέρας ἡγή-
σεται τοῦ θανάτου τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν
δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη. εἰ μὲν τοίνυν
τοῦτ᾽ ἐπεχείρησα νῦν λέγειν, ὡς ἐγὼ προήγαγον ὑμᾶς
ἄξια τῶν προγόνων φρονεῖν, τίς οὐκ ἂν εἰκότως ἐπετί-
μησέ μοι; νῦν δ᾽ ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προ-
αιρέσεις ἀποφαίνω καὶ δείκνυμι, ὅτι καὶ πρὸ ἐμοῦ
τοῦτ᾽ εἶχε τὸ φρόνημα ἡ πόλις. τῆς μέντοι διακονίας

3 ἐπαινεῖται BP | ἀγώσαιτο P^1 7 ταύτα B 8 ἐπιττατομένοις P 11 τότ᾽ v 12 δι᾽ ὅτου bis B 13 ἐλευθερίας αὐτοῖς v | ἐξαίσται P 15 γεγενῆσθε B 16 τὸν τῆς] τοὺς τῆς MBP 17 τὸν] τὴν B | περιμένη B 19 ἐθελήσῃ M 20 τοῦ θανάτου om P 22 ἐπεχείρησα νῦν] ἐπεχείρουν D 23 τίς] οὐκ ἔσθ᾽ ὅστις D 25 δείγνυμι BP

τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων καὶ ἐμαυτῷ με|τεῖ- 1055
ναί φημι. οὗτος δὲ ὁ τῶν ὅλων κατηγορῶν καὶ κε-
λεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κινδύνων
αἰτίῳ τῇ πόλει τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀπο-
στερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν χρόνον ἐγκώ-
μια ὑμῶν ἀφαιρεῖται. εἰ γὰρ ὡς οὐ τὰ βέλτιστα ἐμοῦ
πολιτευσαμένου καταψηφιεῖσθε, διημαρτηκέναι δόξετε,
οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν.
ἀλλ' οὐκ ἔστιν, ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν
ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον
ἀράμενοι οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας
τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους
καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ'
Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις
μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας
ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν,
Αἰσχίνη, οὐχὶ τοὺς κρατήσαντας αὐτῶν | οὐδὲ τοὺς 1056
κατορθώσαντας μόνους, δικαίως. ὃ μὲν γὰρ ἦν ἀγα-
θῶν ἀνδρῶν ἔργον, ἅπασι πέπρακται, τῇ τύχῃ δέ, ἣν
ὁ δαίμων ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται.'

32 *οὐθείς ἐστιν, ὃς οὐχ ὁμολογήσειεν, εἰ μόνον ἔχοι*
μετρίαν αἴσθησιν περὶ λόγους καὶ μήτε βάσκανος εἴη
μήτε δύσερίς τις, τοσούτῳ διαφέρειν τὴν ἀρτίως παρα-

2 *ὁ* om D seclusit v 4 *γεγενημένῳ* post *πόλει* addit v 5 *τὰ δὲ* B | *τὸν λοιπὸν χρόνον* Dv | *ἐςκώμια* B 7 *τουδὶ* post *πολιτευσαμένου* add Dv | *κατειψηφιεισθοῦ* B | *ἡμαρτηκέναι* D 9 *οὐκ ἔστ' οὐκ ἔστιν* D | *οἱ τὸν* Pv 12 *καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους* om B 14 *πολοὺς* B 17 *τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας* D 18 *δικαίους* P | *ὃ* M: *οὐ* BP 19 *ἀνδρῶν ἀγαθῶν* D | *πέπακται* B | *ἣν*] *ἣν* M *ᾗ* BP 22 *λόγους* Sylburgius: *λόγου* | *εἴη* Krüger: *ᾖ* 23 *δύσυρίς* BP | *τις* fort delendum est (*τισούτω = τοσούτω*?) | *τοσούτω* M²: *οὕτω* M¹BP

τεθεῖσαν λέξιν τῆς προτέρας, ὅσῳ διαλλάττει πολε-
μιστήρια μὲν ὅπλα πομπευτηρίων, ἀληθιναὶ δὲ ὄψεις
εἰδώλων, ἐν ἡλίῳ δὲ καὶ πόνοις τεθραμμένα σώματα
τῶν σκιὰς καὶ ῥᾳστώνας διωκόντων. ἡ μὲν γὰρ οὐδὲν
ἔξω τῆς εὐμορφίας ἐπιτηδεύει καὶ παρὰ τοῦτ' ἔστιν
αὐτῆς τὸ καλὸν ἐν ἀναληθέσιν, ἡ δὲ οὐδέν, ὅ τι οὐκ
ἐπὶ τὸ χρήσιμον καὶ ἀληθινὸν ἄγει. καί μοι δοκεῖ τις
οὐκ ἂν ἁμαρτεῖν τὴν μὲν Πλάτωνος λέξιν εἰκάσας
ἀνθηρῷ χωρίῳ καταγωγὰς ἡδείας ἔχοντι καὶ τέρψεις
ἐφημέρους, τὴν δὲ Δημοσθένους διάλεκτον εὐκάρπῳ
1057 *καὶ παμφόρῳ γῇ καὶ | οὔτε τῶν ἀναγκαίων εἰς βίον*
οὔτε τῶν περιττῶν εἰς τέρψιν σπανιζούσῃ. δυνάμενος
δ' ἄν, εἰ βουλοίμην, καὶ τὰ κατὰ μέρος ἑκατέρας κατ-
ορθώματα ἐξετάζειν καὶ δεικνύειν, ὅσῳ κρείττων ἐστὶν
ἡ Δημοσθένους λέξις τῆς Πλατωνικῆς οὐ μόνον κατὰ
τὸ ἀληθινὸν καὶ πρὸς ἀγῶνας ἐπιτήδειον (τοῦτο γὰρ
ὡς πρὸς εἰδότας ὁμοίως ἅπαντας οὐδὲ λόγου δεῖν
οἶμαι), ἀλλὰ καὶ κατὰ τὸ τροπικόν, περὶ ὃ μάλιστα
δεινὸς ὁ Πλάτων εἶναι δοκεῖ, καὶ πολλὰς ἔχων ἀφορ-
μὰς λόγων ταύτην μὲν εἰς ἕτερον καιρὸν ἀναβάλλομαι
τὴν θεωρίαν, εἴπερ περιέσται μοι χρόνος· ἰδίαν γὰρ
οὐκ ὀκνήσω περὶ αὐτῆς ἐξενέγκαι πραγματείαν. νυνὶ

1 *διαλάττει* B 2 *πομπετηρίων* B | *ὄψεις* Sylburgius: *ὄψις* ante *ὄψεις* lac V litt M 4 *σκιὰς*] *σκιῶ//* una littera erasa B | *διακόντων* P 6 *αὐτοῖς* Pv | *καλὸν* Toupius: *κακὸν* | *ἀναληθέσιν* Toupius: *ἀληθέσιν* MB *ἀληθεύιν* P *ἀληθεύσιν* v 12 *περιττὸν* P | *σπανιζούσῃ* Sylburgius: *σπανίζουσαν* 13 *ἑκατέρας* Reiskius *ἑκατέρου* Sylburgius: *ἑκάτερα* 16 *τὸ* om BP | *καὶ πρω καὶ πρὸς* B | *τοῦτο γὰρ*] *τοῦτο μὲν* M *τοῦτο μὲν γὰρ* BPv 17 *πρὸς εἰδότας* Sylburgius: *προειδότας* | *ἅπαντας* B: *ἀπαντᾶς* P *ἅπασαν* M 18 *κατὰ τὸ*] *κατὸ* P 19 *δοκεῖ εἶναι* BPv | comma post *δοκεῖ* posui, *καὶ* secluserim 21 *περιέσται*] *προσέσται* MBPv

δέ, ὅσα ἐν τῷ παρόντι ἥρμοττεν, εἴρηται. ἐπειδὴ δὲ παρελθεῖν ἡμῖν οὐκ ἐνῆν Πλάτωνα, ᾧ τὰ πρωτεῖά τινες ἀπονέμουσι, κατατρῖψαι δὲ τὸν λόγον περὶ μίαν ταύτην ⟨τὴν⟩ θεωρίαν ἐπιλελησμένου τῆς ὑποθέ|σεως 1058 ἦν, τῇδέ μοι περιγεγράφθω. βούλομαι δὲ δὴ καὶ συλλογίσασθαι τὰ εἰρημένα ἐξ ἀρχῆς καὶ δεῖξαι πάνθ', ὅσα ὑπεσχόμην ἀρχόμενος τῆς θεωρίας τοῦ λεκτικοῦ τόπου, πεποιηκότα ἐμαυτόν.

33 ἡ πρόθεσις ἦν μοι καὶ τὸ ἐπάγγελμα τοῦ λόγου, κρατίστῃ λέξει καὶ πρὸς ἅπασαν ἀνθρώπου φύσιν ἡρμοσμένῃ μετριώτατα Δημοσθένη κεχρημένον ἐπιδεῖξαι, καὶ τοῦτό γε συνάγειν ἐπειρώμην οὐκ ἐξ αὐτῆς ἐκείνης μόνης τὰς πίστεις διδούς (ᾔδειν γὰρ ὅτι οὐδὲν αὔταρκές ἐστιν ἐφ' ἑαυτοῦ θεωρούμενον, οἷόν ἐστιν, ὀφθῆναι καὶ καθαρῶς), ἀλλ' ἀντιπαρατιθεὶς αὐτῇ τὰς τῶν ἄλλων ῥητόρων τε καὶ φιλοσόφων λέξεις τὰς κράτιστα δοκούσας ἔχειν καὶ τῇ δι' ἀλλήλων βασάνῳ φανερὰν ποιῶν τὴν ἀμείνω. ἵν' οὖν τὴν φυσικὴν ὁδὸν ὁ λόγος μοι λάβῃ, τοὺς χαρακτῆρας τῶν διαλέκτων τοὺς ἀξιολογωτάτους κατηριθμησάμην καὶ τοὺς πρωτεύσαντας | ἐν αὐτοῖς ἄνδρας ἐπῆλθον, ἔπειτα δείξας ἀτε- 1059

10—11 cf anonymus W VII 880, 9

1 εἴρειται P 2 πρωτεία M 3 λόγον Krüger: χρόνον 4 τὴν add Sadaeus | ἐπιλελησμένου M: ἐπιλελησμένον BPv 5 ἀνακεφαῶν mg B 7 τοῦ λεκτρινοῦ τοῦ λεκτικοῦ P 9 καὶ Mv: κατὰ BP | ἐπάγγελημα BP | τοῦ λόγου] τοῦτο τοῦ MBP τοῦτο τῇ Sylburgius v 11 ἡρμοσμένην B 12 ἐπιρώμην P 13 μόνος B | ᾔδειν] ᾖειν P 14 εἰλικρινῶς post ἐστιν excidisse Sylburgius putat 15 ἀντιπαραθεὶς M 16 καὶ τῇ φιλοσοφία καὶ φιλοσόφων B | λέξις P 18 ἵν' οὖν Reiskius: ἵνα 19 χαρακτῆρας—ἀξιολογωτάτους om B 20 πρωτεύσαντας Kiessling: πρώτους ὄντας 21 ἐπεῖλθον P

λεῖς ἅπαντας ἐκείνους καὶ καθ' ὃ μάλιστα ἀστοχεῖν ἕκαστον ὑπελάμβανον τοῦ τέλους ἐκλογισάμενος διὰ βραχέων, ἦλθον ἐπὶ τὸν Δημοσθένη. τοῦτον δὲ ἑνὸς μὲν οὐδενὸς ἀποφηνάμενος οὔτε χαρακτῆρος οὔτ' ἀνδρὸς ζηλωτὴν γενέσθαι, ἐξ ἁπάντων δὲ τὰ κράτιστα ἐκλεξάμενον κοινὴν καὶ φιλάνθρωπον τὴν ἑρμηνείαν κατεσκευακέναι καὶ κατὰ τοῦτο μάλιστα διαφέρειν τῶν ἄλλων, πίστεις ὑπὲρ τοῦδε παρειχόμην, διελόμενος μὲν τὴν λέξιν εἰς τρεῖς χαρακτῆρας τοὺς γενικωτάτους τόν τε ἰσχνὸν καὶ τὸν ὑψηλὸν καὶ τὸν μεταξὺ τούτων, ἀποδεικνὺς δ' αὐτὸν ἐν τοῖς τρισὶ γένεσι κατορθοῦντα τῶν ἄλλων μάλιστα, λέξεις τινὰς αὐτοῦ λαμβάνων, αἷς ἀντιπαρεξήταζον ἑτέρας ὁμοειδεῖς λόγου μὲν ἀξίας, οὐ μὴν ἀνεπιλήπτους γε τελέως οὐδ', ὥσπερ ἐκείνη, πάσας τὰς ἀρετὰς ἐχούσας. καὶ γὰρ ἥ τε Ἰσοκράτους καὶ Πλάτωνος καίτοι θαυμασιωτάτων ἀνδρῶν μνήμη καὶ 1060 σύγκρισις οὐκ ἔξω | τοῦ εἰκότος ἐγίγνετό μοι, ἀλλ', ἐπεὶ τοῦ μέσου καὶ κρατίστου χαρακτῆρος οὗτοι ζηλωταὶ γενόμενοι μεγίστης δόξης ἔτυχον, ἵνα δείξαιμι, κἂν εἰ τῶν ἄλλων ἀμείνους εἰσί, Δημοσθένει γε οὐκ ἀξίους ὄντας ἁμιλλᾶσθαι περὶ τῶν ἀριστείων.

ὀλίγα τούτοις ἔτι προσθεὶς περὶ τῆς λέξεως, ἐπὶ τὸ καταλειπόμενον τῆς .... θεωρίας μέρος μεταβήσομαι, ταῦτα δὲ ἔστιν, ἃ τοῖς τρισὶ πλάσμασιν 34

1 ἀστοχεῖν ἕκαστον Vliet: ἀδέκαστον 3 τοῦτο B 5 γεναίσθαι P 6 ἑρμηνίαν B | κατασκευακέναι B 7 καὶ κατὰ] κατὰ BP 8 πίστοις P | τοῦτοδε P 12 λέξις P 14 πάσας τὰς] πάσας M 16 καίτοι Kiessling: καὶ τῶν 17 εἰκότως B | ἐγίγνεταί μοι B 19 γενόμενοι B: γινόμενοι MP 20 δημοσθένη P 21 ἀξίοις B | ἀρίστων B initio | post ἀριστείων grauius, ante ταῦτα v 24 lenius interpunxi 23 lac X fere litt M προκειμένης suppl Usener 24 δὲ M: δ' BPv | πλάγμασιν B

ὁμοίως παρέπεται καὶ ἔστι παντὸς λόγου Δημοσθενικοῦ
μηνύματα χαρακτηριστικὰ καὶ ἀνυφαίρετα. ὑπομνήσω
δὲ πρῶτον μέν, ἃ τοῖς ἄλλοις πλάσμασιν ἔφην . . . .
. . . . ἰδίας ἀρετὰς συμβεβηκέναι τοῖς Δημοσθένους [ἢ
Λυσίου], ἵν' εὐσύνοπτος μᾶλλον γένηταί μοι ὁ λόγος.
δοκεῖ δή μοι τῶν μὲν ὑψηλῇ καὶ περιττῇ καὶ ἐξηλ-
λαγμένῃ λέξει κεχρημένων κατὰ τὸ σαφέστερον καὶ
κοινότερον τῇ ἑρμηνείᾳ κεχρῆσθαι προὔχειν ὁ Δημο-
σθένης. τού|των γὰρ ἐν πάσῃ κατασκευῇ στοχάζεται 1061
μέγεθος ἐχούσῃ καὶ ταύταις κέχρηται χαρακτηρικωτά-
ταις ἀρεταῖς ἐπὶ τῆς ὑψηλῆς καὶ ξενοπρεποῦς ὀνομα-
σίας ὥς γε μάλιστα. τῶν δὲ τὴν λιτὴν καὶ ἰσχνὴν
καὶ ἀπέριττον ἐπιτηδευόντων φράσιν τῷ τόνῳ τῆς
λέξεως ἐδόκει μοι διαλλάττειν καὶ τῷ βάρει καὶ τῇ
στριφνότητι καὶ τῷ πικραίνειν ὡς ἐπὶ τὸ πολύ· ταῦτα
γάρ ἐστιν ἐκείνου χαρακτηρικὰ τοῦ πλάσματος παρ'
αὐτῷ καὶ τὰ παραπλήσια τούτοις. τῶν δὲ τὴν μέσην
διάλεκτον ἠσκηκότων, ἣν δὴ κρατίστην ἀποφαίνομαι,
κατὰ ταυτὶ διαφέρειν αὐτὸν ὑπελάμβανον· κατὰ τὴν
ποικιλίαν, κατὰ τὴν συμμετρίαν, κατὰ τὴν εὐκαιρίαν,
ἔτι πρὸς τούτοις κατὰ τὸ παθητικόν τε καὶ ἐναγώνιον

1 ὁμοίως παρέπεται καὶ ἐπὶ παντὸς λόγου MB: ἔφην ἰδίας ἀρετὰς συμβεβηκέναι τοῖς Pv | δημοσθενικοῦ BP: δὴ δημοσθενικοῦ M 2 lege χαρακτηρικὰ | ἀναφαίρετα M[1] ἀνυφέρετα BP sed ἀνυφαίρετα mg B 3 lacunam indicaui 4 ἔφειν P | τ[οῖς] cum ras M | Δημοσθένους om B | ἢ Λυσίου seclusit Reiskius 5 ἵν εὔνεὺ σύνοπτοὶ B | ἐν τῷ ἀνδρῷ (l ἁδρῷ) mg B 6 ἐξηλαγμένῃ B 10 χαρακτηρικωτάτους B χαρακτηριστικωτάταις v 11 ἀρετὰς B | ὑψιλῆς P 12 ἰσχὴν B 13 ἀπέριπτον B | in mg rubro ἐν τῷ ἰσχνῷ B 14 διαλάττειν B | βάρει] βάρυ P βαρβάρει B 15 στρυφνότητι v | τὸ] τῷ BP 16 χαρακτηριστικὰ v | πλάσματα P 18 ἐσκηκότων B ἠσκητων corr in ἠσκηκότων P | ἐν τῷ μέσῳ B in mg rubro 19 ταυτὶ] ταύτην MBP ταῦτα Sylburgius 21 τε] τι B

καὶ δραστήριον καὶ τελευταῖον τὸ πρέπον, ὃ τῶν ἄστρων
ψαύει παρὰ Δημοσθένει. ταῦτα μὲν οὖν χωρὶς ἑκάστῳ
τῶν τριῶν πλασμάτων παρακολουθεῖν ἔφην καὶ ἐκ
τούτων ἠξίουν τὴν Δημοσθένους δύναμιν . . . .
πεφυκότα μὲν καὶ τοῖς ἄλλοις παρακολουθεῖν πλάσμασι,
κρατίστην δὲ ὄψιν ἔχοντα καὶ ἐκπρεπεστάτην ἐν |
1062 τούτοις τοῖς χωρίοις. εἰ δέ τις ἀξιώσει συκοφαντεῖν
τὴν διαίρεσιν, ἐπειδὴ τὰς κοινῇ παρακολουθούσας πᾶσι
τοῖς πλάσμασιν ἀρετὰς τρίχα διανείμασα τὸ ἴδιον ἑκά-
σταις ἀποδίδωσιν, ἐκεῖνα ἂν εἴποιμι πρὸς αὐτόν, ὅτι
καθ' ὃ μάλιστα χωρίον ἑκάστη τῶν ἀρετῶν ὄψιν τε
ἡδίστην ἔχει καὶ χρῆσιν ὠφελιμωτάτην, κατὰ τοῦτο
τάττειν αὐτὴν ἀξιῶ, ἐπεὶ καὶ τῆς σαφηνείας καὶ τῆς
συντομίας καὶ τοῦ πιθανοῦ χωρίον ἀποφαίνουσιν οἱ
τεχνογράφοι τὴν διήγησιν ⟨οὐχ⟩ ὡς οὐκ ἀλλαχοῦ οὐδα-
μοῦ δέον ἐξετάζεσθαι τὰς ἀρετὰς ταύτας (πάνυ γὰρ
ἄτοπον), ἀλλ' ὡς ἐν τῇ διηγήσει δέον μάλιστα.

φέρε δὴ τούτων εἰρημένων ἡμῖν λέγωμεν ἤδη καὶ 35
⟨περὶ τῆς συνθέσεως⟩ τῶν ὀνομάτων ᾗ κέχρηται ὁ
ἀνήρ. ὅτι μὲν οὖν περιττή τίς ἐστιν ἡ τῆς λέξεως τῆς
Δημοσθένους ἁρμονία καὶ μακρῷ δή τινι διαλλάτ-
1063 τουσα τὰς τῶν | ἄλλων ῥητόρων, οὐκ ἐμὸς ὁ μῦθος.
ἅπαντες γὰρ εὖ οἶδ' ὅτι ταύτην αὐτῷ τὴν ἀρετὴν ἂν

1 δραστείριον corr in δραστήριον P 2 οὖν] οὗ B 4 hiatum notaui, supplementa incerta, ea uero quae secuntur haudquaquam interpolanda sunt 5 πλάσμασιν P 7 τοῖς χρόνοις τοῖς χωρίοις B, sed τοῖς χρόνοις lineola subducta deletur | ἀξιώσειε Usener 8 κοινὴ B 9 πλάσμασι B | τρίχας B 11 τε M: δὲ BP om v 12 χρῆσιν M[2]: χρὴ M[1]BP 15 οὐχ add Reiskius 17 ἀλλ' ὡς Reiskius: ἄλλως | δέον Reiskius: δὲ 18 δὴ] δὲ Pv | λέγομεν MB 19 περὶ τῆς συνθέσεως addit Reiskiana | ᾗ] ἢ B 21 ἁρμονία B | μακρῶν B 23 ἀρετὴν] λέξιν sed in mg m rec ἀρετὴν BP | ἂν om BPv

μαρτυρήσειαν, ὅσοι μὴ παντάπασι πολιτικῶν εἰσιν ἄπειροι λόγων, ὅπου γε καὶ οἱ κατὰ τὴν αὐτὴν ἡλικίαν ἀκμάσαντες ἐκείνῳ θαυμάζοντές τε δῆλοί εἰσιν αὐτὸν καὶ ζηλοῦντες ταύτης μάλιστα τῆς εὐτεχνίας, καίτοι τινὲς οὐδ' οἰκείως διακείμενοι πρὸς αὐτόν, ὥστε κολακείας ἐξενέγκασθαι δόξαν, ἀλλ' ἔνιοί γε καὶ σφόδρα ἀπεχθεῖς καὶ ἀδιαλλάκτους ἐπανῃρημένοι πολέμους. ὧν ἦν Αἰσχίνης ὁ ῥήτωρ, ἀνὴρ λαμπροτάτῃ φύσει περὶ λόγους χρησάμενος, ὃς οὐ πολὺ ἂν ἀπέχειν δοκεῖ τῶν ἄλλων ῥητόρων καὶ μετὰ Δημοσθένην μηδενὸς δεύτερος ἀριθμεῖσθαι. οὗτος μὲν δὴ τῆς ἄλλης δεινότητος, ἣ περὶ τὸν ἄνδρα τοῦτον ἐγένετο κατὰ τὸ λεκτικόν, ἔστιν ἃ διακνίζει καὶ συκοφαντεῖ, πρᾶγμα ἐχθροῦ ποιῶν. καὶ γὰρ καινότητα ὀνομάτων καὶ ἀη-|δίαν καὶ περιεργίαν καὶ τὸ σκοτεινὸν δὴ τοῦτο καὶ 1064 *πικρὸν καὶ ἄλλα πολλὰ τοιαῦτα προστρίβεται αὐτῷ, βασκαίνων μέν, ὥσπερ ἔφην, καὶ ταῦτα, ὅμως δ' οὖν ἀφορμάς γέ τινας τοῦ συκοφαντεῖν εὐλόγους λαμβάνων. περὶ δὲ τῆς συνθέσεως τῶν ὀνομάτων οὐδὲν οὔτε*

1 *μαρτηρήσειαν* BP 2 *ἄποῖροι* B 3 *θαυμάζοντές τε* Reiskius: *θαυμάζοντες δὲ* MP *θαυμάζοντες* Bv 4 *αὐτοῦ* v | *καὶ ζηλοῦντες* Reiskius: *καλοῦντες* | *ταύτης* M: *ταύτην* BPv | *τὴν εὐτεχνίαν* v 5 *καίτοι τινὲς*] *καί τινες καί τινες* B sed prius lineola sublatum | *οἰκείως*] *οἴκοι* B *ὀκειουδίως* (ex uaria lectione *οἰκείως ἰδίως*?) P sed *διως* lineola deletur 6 *ἄλλοι γε* P[1] | *καὶ σφόδρα ἐπαχθεῖς* bis P 7 *ἐπαχθεῖς* MBPv | *διαλλάκτους* P 8 in imo mg codicis B, cum *ὧν* uocabulo pagina finiatur, corrector rubro haec uerba quasi uersum suppleturus scripsit: *ὥσπερ ξένοι χαίρουσιν* | *ἠδεῖν πατρίδα καὶ οἱ βασϊ῀*
9 *οὐ πολὺ ἂν ἀπέχειν* uerba frustra temptantur | *δοκῇ* MBP *δοκοίη* Kiessling 10 *ῥήματα ῥητόρων* B 11 *οὗτος δὴ τῆς μὲν* Reiskius 12 comma, quod post *ἐγένετο* erat, post *λεκτικόν* promoui 13 *ἔστιν ἃ* Reiskius: *ἔτι* 14 *ἐχροῦ* P | *ἀηδίαν* M: *ἀηδεῖαν* P *ἀδεῖαν* in mg *ἀηδίαν* B 15 *σκοτινὸν* B | *δὴ*] *δεὶ* B 19 post *οὔτε μεῖζον* deesse *οὔτ' ἔλαττον* Sylburgius uidit. praeterea uerbum uelut *ἁλίσκεται* desideratur

μεῖζον ..... ἢ καταγέλωτα φέρων. καὶ οὐχὶ τοῦτό πω θαυμάζειν ⟨ἄξιον⟩, ἀλλ' ὅτι καὶ μαρτυρῶν πολλαχῇ τὴν ἀρετὴν τῷ ῥήτορι κατάδηλός ἐστι καὶ ζηλῶν. φανερὸν δὲ τοῦτο γένοιτ' ἂν ἐξ ὧν αὐτὸς εἴρηκε, τότε μὲν οὕτω πως γράφων· ‘Ὅταν δὲ ἄνθρωπος ἐξ ὀνομάτων συγκείμενος καὶ τούτων πικρῶν καὶ περιέργων’ (ἐν γὰρ δὴ τούτοις οὐ τὴν ἐκλογὴν ἐπαινεῖ τῶν ὀνομά-
1065 *των αὐτοῦ, μὰ Δία· τίς γὰρ ἂν γένοιτο πικρᾶς | καὶ περιέργου ζῆλος ὀνομασίας;), ἐν [ἀηδίᾳ] ἑτέρῳ δὲ τόπῳ οὑτωσὶ λέγων· ‘Ὡς ὑμᾶς ὀρρωδῶ κακῶς πάσχοντας, τὴν σύνθεσιν τῶν Δημοσθένους ὀνομάτων ἀγαπήσαντας.’ καὶ γὰρ ἐνταῦθα πάλιν οὐ δέδοικε, μὴ τὸ κάλλος καὶ τὴν μεγαλοπρέπειαν αὐτοῦ τῶν ὀνομάτων ἀγαπήσωσιν Ἀθηναῖοι, ἀλλὰ μὴ λάθωσιν ὑπὸ τῆς συνθέσεως γοητευθέντες, ὥστε καὶ τῶν φανερῶν αὐτὸν ἀδικημάτων ἀφεῖναι διὰ τὰς σειρῆνας τὰς ἐπὶ τῆς ἁρμονίας. ἐκ δὲ τούτων οὐ χαλεπὸν ἰδεῖν, ὅτι δεινότητα μὲν αὐτῷ, ὅσην οὐχ ἑτέρῳ, μαρτυρῶν καὶ ταῖς σειρῆσιν ἀπεικάζων αὐτοῦ τὴν μουσικήν, ἀγάμενος δὲ οὐ τῆς*

5 Aeschines III 229 10 ibid 142

1 *καταγέλωτα* B: *κατὰ γέλωτα* M *καγέλωτα* P | *φέρων* Sylburgius: *φέρον* | *καὶ* Reiskius: *ἢ* 2 *ἄξιον* addit mg Bodl sed malim *ἱκανόν* 3 *ταύτην* addit Krüger | *κατάδηλας* B et P initio 4 *αὐτοῖς* P | *εἴρηκεν* BP 6 *πικρῶς* P 7 *οὐ τὴν*] *αὐτὴν* v 8 *νὴ Δία* v 9 post *ὀνομασίας* Kiessling interpunxit | *ἀηδία* (= *μὰ δία* vitio repetitum) seclusi | *τόπῳ*] *λόγῳ πως* MBP *λόγῳ οὑτωσί πως* Sylburgius v. locum ex memoria laudare uidetur Dionysius, idem errans infra u 18 cf Aesch III 228
14 *μὴ*] *μὸ* P | *λάθωσι* BP | *ὑπὸ* Sylburgius: *ἀπὸ* 15 *γονητευθεν γοητευθέντες* P sed illud linea subducta deletur *γουτευθέντος* B 16 *ἀφῆναι* B | *σειρήνας* M 17 *δὲ*] *δὴ* Krüger | *ἰδεῖν*] *δεῖν* B 18 uerbis *οὐχ ἑτέρῳ* fol 64 codicis P terminatur, cuius in imo mg *δοκείμειων τοῦ κον|διλίου καὶ τοῦ῀* | *σειρήσιν* M

ἐκλογῆς τῶν ὀνομάτων αὐτόν, ἀλλὰ τῆς συνθέσεως,
ἀναμφιλόγως αὐτῷ ταύτην παρακεχώρηκε τὴν ἀρετήν.
36 τουτὶ μὲν οὖν τὸ μέρος, ὡς οὐ πολλοῦ λόγου δεό-
μενον, λέγω δὴ τὸ περιττὸν εἶναι συνθέτην ὀνομάτων
τὸν Δημοσθένην, μαρτυρίαις τε ἀξιοχρέοις καὶ τῷ μη-
δένα τἀναντία ἔχειν εἰπεῖν βεβαιούμενον ἐάσω. τίς δὲ
ὁ τῆς | ἁρμονίας αὐτοῦ χαρακτὴρ καὶ ἀπὸ ποίας γέ- 1066
γονεν ἐπιτηδεύσεως τοιοῦτος καὶ πῶς ἄν τις αὐτὸν
διαγνοίη παρεξετάζων ἑτέροις, ταυτὶ πειράσομαι λέγειν,
ἐκεῖνα προειπών. Πολλή τις ἐγένετο ἐν τοῖς ἀρχαίοις
ἐπιθυμία καὶ πρόνοια τοῦ καλῶς ἁρμόττειν τὰ ὀνό-
ματα ἔν τε μέτροις καὶ δίχα μέτρων, καὶ πάντες, ὅσοι
σπουδαίας ἐβουλήθησαν ἐξενεγκεῖν γραφάς, οὐ μόνον
ἐζήτησαν ὀνομάσαι τὰ νοήματα καλῶς, ἀλλὰ καὶ αὐτὰ
⟨τὰ ὀνόματα⟩ εὐκόσμῳ συνθέσει περιλαβεῖν· πλὴν οὐ
τὴν αὐτήν γε πάντες ἐπετήδευσαν ἁρμονίαν, ὥστ᾽ οὐδὲ
κατὰ τὰς αὐτὰς ἦλθον ἅπαντες ὁδούς. τούτου δ᾽ αἰτίας
οἴομαι γενέσθαι πολλάς. πρώτην μὲν τὴν ἑκάστου
φύσιν, ᾗ ἄλλοι πρὸς ἄλλα πεφύκαμεν εὖ, δευτέραν δὲ
τὴν ἐκ λόγου καὶ προαιρέσεως ἐμφυομένην δόξαν, δι᾽
ἣν τὰ μὲν ἀσπαζόμεθα, τοῖς δ᾽ ἐπαχθόμεθα, τρίτην δὲ
τὴν ἐκ συνηθείας χρονίου κατασκευαζομένην ὑπόληψιν
ὡς σπουδῆς ἀξίων, ὧν ἂν τοὺς ἐθισμοὺς λάβωμεν,
τετάρτην ἔτι τὴν πρὸς οὓς ἂν φι|λοτιμούμενοι τυγ- 1067

2 ταύτην] τά|την B sed ταύτην in mg, ταύτην παρὰ ταύτην P | κεχώρικε P 4 δὴ] δὲ Krüger 5 ἀξιονχρέοις P 6 ἔχει εἴπει P 7 ἁρμονίας B 9 ταυτὶ Sadaeus: ταύτη 12 ὅσοι Krüger: οι supra addito ὅσ M οἱ BP οἳ v 15 τὰ ὀνόματα addidi | ἐν κόσμῳ B 16 ὡς Usener ὥστε BP 17 ἦλθον B 18 οἶομαι B | γεναίσθαι P | πρώτην Krüger: πρῶτον 19 εὖ] οὗ P 21 ἐπαχθόμεθα Vliet: ἀπεχθόμεθα 23 σπουδῆς] πουδᾶς B | ἐθισμοὺ B 24 ἔτι Sylburgius: ἐπὶ | πρὸς οὓς ἂν mg Bodl: προσοῦσαν | τυγχάνωμεν Krüger: τυγχάνομεν

χάνωμεν, ὁποῖ᾽ ἄττα ἂν ἐκεῖνοι ζηλῶσιν, ἀναφοράν τε
καὶ μίμησιν· ἔχοι δ᾽ ἄν τις καὶ ἄλλα λέγειν, ἀλλὰ
ἐγὼ τὰ φανερώτατα εἰπὼν ἐῶ τὰ λοιπά. ὅθεν οἳ μὲν
τὴν εὐσταθῆ καὶ βαρεῖαν καὶ αὐστηρὰν καὶ φιλάρχαιον
καὶ σεμνὴν καὶ φεύγουσαν ἅπαν τὸ κομψὸν ἐπιτη-
δεύουσιν ἁρμονίαν, οἳ δὲ τὴν γλαφυρὰν καὶ λιγυρὰν
καὶ θεατρικὴν καὶ πολὺ τὸ κομψὸν καὶ μαλακὸν ἐπι-
φαίνουσαν, ᾗ πανηγύρεις τε κηλοῦνται καὶ ὁ συμφο-
ρητὸς ὄχλος, οἳ δὲ συνθέντες ἀφ᾽ ἑκατέρας τὰ χρησι-
μώτατα τὴν μικτὴν καὶ μέσην ἐζήλωσαν ἀγωγήν.
τρεῖς γὰρ δὴ συνθέσεως σπουδαίας χαρακτῆρες 37
οὗτοι οἱ γενικώτατοι, οἱ δ᾽ ἄλλοι παρὰ τούτους τε καὶ
ἀπὸ τούτων εἰσὶ κατεσκευασμένοι, πολλοὶ σφόδρα ὄντες,
ἐπιτάσει τε καὶ ἀνέσει διαφέροντες ἀλλήλων. εἰλικρι-
1068 νὴς μὲν οὖν ἁρμονία καὶ ἀκραιφνὴς | χαρακτὴρ κατὰ
πᾶν οὐκ ἂν εὑρεθείη παρ᾽ οὐδενὶ οὔτε ἐμμέτρων οὔτε
πεζῶν ποιητῇ λόγων, οὐδὲ χρὴ μαρτύρια τοιαῦτα παρ᾽
οὐδενὸς ἀπαιτεῖν. ὅπου γὰρ οὐδὲ τῶν στοιχείων τῶν
πρώτων, ἐξ ὧν ἡ τοῦ παντὸς συνέστη φύσις, γῆς τε
καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός, οὐδὲν εἰλικρινές
ἐστιν, ἀλλὰ πάντα μετέχει πάντων, ὠνόμασται δ᾽ ἕκα-
στον αὐτῶν κατὰ τὸ πλεονάζον, τί θαυμαστόν, εἰ αἱ
τῆς λέξεως ἁρμονίαι τρεῖς οὖσαι τὸν ἀριθμὸν οὐκ
ἔχουσιν εἰλικρινῆ τὴν φύσιν οὐδ᾽ ἀνεπίμικτον, ἀλλ᾽ ἐκ
τῶν ὡς ἐπὶ τὸ πολὺ συμβεβηκότων αὐτοῖς ὀνόματός

1 ἄττα Sylburgius: αὐτὰ 4 (καὶ φίλαν) καὶ φιλάρχαιον P 5 σεμνὸν B | ἐπετήδευσαν malim 6 ἁρμονίαν B | λισυρᾶν B 7 μαλακὸν Sylburgius: μάλα 8 συμφοτὸς B 9 τὰ χρησιμώτατα, τὴν Krüger: χρησιμωτάτην 12 δὲ BP 15 ἁρμονία B | ἀκραιφνὴν B 19 πρώτου B 21 ἕκαστων B 24 φύσην B | ἂν ἐπίμικτον BP 25 συνβεβηκότων B

τε ἠξίωνται καὶ χαρακτῆρος ἰδίου; ὥσθ', ὅταν παρέχωμαι δείγματα ἑκάστης καὶ μαρτύρια φέρω, λέξεις τινὰς παρατιθεὶς τῶν χρησαμένων αὐταῖς ποιητῶν τε καὶ συγγραφέων, μηδεὶς συκοφαντείτω τὰς ἐπιπλοκὰς καὶ τὰς κατὰ μόρια ποιότητας αὐτῶν, ἀλλὰ κατὰ τὸ πλεονάζον ἕκαστον τῶν παραλαμβανομένων σκοπείτω, τεκμαιρόμενος, εἰ πολλαχῇ τοιοῦτόν ἐστι τὸ δεικνύμενον, οὐκ εἰ ἀπανταχῇ. |

38 τῆς μὲν οὖν αὐστηρᾶς καὶ φιλαρχαίου καὶ μὴ τὸ 1069
κομψὸν ἀλλὰ τὸ σεμνὸν ἐπιτηδευούσης ἁρμονίας τοιόσδε ὁ χαρακτήρ· ὀνόμασι χρῆσθαι φιλεῖ μεγάλοις καὶ μακροσυλλάβοις * καὶ ταῖς ἕδραις αὐτῶν εἶναι πλουσίως πάνυ βεβηκυίαις, χρόνων τε ἀξιολόγων ἐμπεριλήψει διορίζεσθαι θάτερα ἀπὸ τῶν ἑτέρων. τοῦτο τὸ σχῆμα [ἀπὸ] τῆς ἁρμονίας ποιοῦσιν αἱ τῶν φωνηέντων γραμμάτων παραθέσεις, ὅταν ἥ τε προηγουμένη λέξις εἰς ἓν τούτων λήγῃ καὶ ἡ συνάπτουσα ταύτῃ τὴν ἀρχὴν ἀπὸ τούτων τινὸς λαμβάνῃ. ἀναγκαῖον γὰρ ἦν χρόνον τινὰ μέσον ἀμφοῖν ἀξιόλογον ἀπολαμβάνεσθαι. καὶ μηδεὶς εἴπῃ· 'τί δὲ τοῦτό ἐστιν, ἢ πῶς ἄν τις γένοιτο χρόνος, ὃς * μεταθῇ ὀνόματα ἀπ' ἀλλήλων διεστάναι κατὰ τὰς τῶν φωνηέντων συμβολάς;' δείκνυται γὰρ ὑπό τε μουσικῶν καὶ μετρικῶν ὁ διὰ μέσου τῶν

1 τ' P | παρέχομαι BP 5 ποιήτητάς P 6 παραλαμβανόντων BPv 8 lege πανταχῇ 9 ὁ ἁδρὸς mg rubro M 12 μικροσυλλάβοις P | τὰς ἕδρας — βεβηκυίας Sylburgius, tum ὥστε pro καὶ Usener. an ἀσφαλέσι καὶ pro αὐτῶν εἶναι? | πλουσίως] πλατέως Sylburgius 13 δὲ BP 15 ἀπὸ om Sylburgius | αἱ τῶν ἑτέρων αἱ τῶν φωνηέντων B 16 ἥ τε] εἴ τε BP 17 τούτων] τούτων τινὸς λαμβάνῃ B | λήγῃ] λήγει BP | καὶ bis P 18 ἦν Usener: εἶναι | χρόνων P^1 21 fort χρόνος οἷός τε συναφῇ ὀν. ἀπ' ἀ. διιστάναι Usener an ὃς αἴτιος εἴη κτλ? 23 μουσικῶ BP

φωνηέντων χρόνος ἑτέρων παρεμβολῇ γραμμάτων ἡμι-
1070 φώνων ἀναπληροῦσθαι δυνάμενος. | τοῦτο δ' οὐκ ἂν ἐγίγνετο μὴ σιωπῆς τινος ἀξιολόγου διειργούσης τὰ φωνήεντα ἀπ' ἀλλήλων. πρῶτον μὲν δὴ τοῦτο τῆς ἁρμονίας ταύτης ἐστὶν ἰδίωμα ὡς ἐπὶ τὸ πολύ. ἕτερον δὲ τοιοῦτον· ἀνακοπὰς καὶ ἀντιστηριγμοὺς λαμβάνειν καὶ τραχύτητας ἐν ταῖς συμπλοκαῖς τῶν ὀνομάτων ἐπιστυφούσας τὴν ἀκοὴν ἡσυχῇ βούλεται. ἐνταῦθα πάλιν ἡ τῶν ἀφώνων τε καὶ ἡμιφώνων γραμμάτων δύναμις αἰτία, ὁπότ' ἂν τὰ λήγοντα τῶν ἡγουμένων μορίων ᾖ γράμματα .... τοῖς ἡγουμένοις [ὡς] μηδὲν τῶν ἐπιφερομένων μήτε συναλείφεσθαι μήτε συγχεῖσθαι φύσιν ἔχῃ. πολὺ γὰρ δὴ τὸ ἀντίτυπον ἐν ταῖς τούτων συμβολαῖς γίνεται, ὥσπερ γε καὶ ἐν αὐτοῖς τοῖς ὀνόμασιν, ὅταν ἐκ τῶν τραχυνόντων τὴν φωνὴν γραμμάτων αἱ καλούμεναι συλλαβαὶ συντεθῶσι. πολλῆς δέ
1071 τινος ἐνταῦθα δεῖ τῆς | τεχνήσεως, ἵνα μὴ κακόφωνοι μηδὲ ἀηδεῖς μηδὲ ἄλλην τινὰ ὄχλησιν ἐπενεγκάμεναι ταῖς ἀκοαῖς λάθωσιν αἱ τοιαῦται συζυγίαι, ἀλλ' ἐπανθῇ τις αὐταῖς χνοῦς ἀρχαιοπινὴς καὶ χάρις ἀβίαστος. ἀρκεῖ γάρ, ὡς ἐν εἰδόσι λέγοντας, ὅτι φύσιν ἔχει μηδὲν τῶν σπουδαίων ῥημάτων ἄμοιρον ὥρας εἶναι καὶ χάριτος ἰδίας, τοσοῦτον μόνον εἰπεῖν.

ἐν μὲν δὴ τοῖς ἐλαχίστοις τε καὶ στοιχειώδεσι μο- 39
ρίοις τῆς λέξεως ταῦτα χαρακτηρικὰ τῆς πρώτης ἐστὶν

6 ἀντιστηρισμοὺς P 7 τραχύτητα BP 9 ἡμιφώνων Sylburgius: ἐμφώνων MB ἐμφύνων P 11 μηρίων B | lacunam indicauit, ὡς seclusit Usener 12 συνχεῖσθαι B συγχρεῖσθαι P 14 (λαμβανομένων) συμβολαῖς P | τοῖς om v 17 κακόφωνον μηδ' ἀηδὲς Sylburgius v 18 ἐνεγκάμεναι B in textu, Pv 19 an φανῶσιν? 20 χνοῦς] γνοῦς BP 21 εἰδόσιν BP

ἁρμονίας, ἐν δὲ τοῖς καλουμένοις κώλοις, ἃ συντίθεται μὲν ἐκ τῶν ὀνομάτων, συμπληροῖ δὲ τὰς περιόδους, οὐ μόνον ταῦτα, ἀλλὰ καὶ ⟨τὸ⟩ τοὺς ῥυθμοὺς τοὺς καταμετροῦντας αὐτὰ μὴ ταπεινοὺς μηδὲ μαλθακοὺς μηδ' ἀγεννεῖς εἶναι, ὑψηλοὺς δὲ καὶ ἀνδρώδεις καὶ μεγαλοπρεπεῖς. οὐ γὰρ δὴ φαῦλόν τι πρᾶγμα ῥυθμὸς ἐν λόγοις οὐδὲ προσθήκης τινὸς μοῖραν ἔχον οὐκ ἀναγκαίας, ἀλλ' εἰ δεῖ τἀληθές, ὡς ἐμὴ δόξα, εἰπεῖν, ἁπάντων
κυριώτατον τῶν γοητεύειν δυναμένων καὶ | κηλεῖν 1072
τὰς ἀκοάς. πρὸς δὲ τοῖς ῥυθμοῖς καὶ τὸ τοὺς σχηματισμοὺς [τῶν ἐννοιῶν] γενναίους εἶναι καὶ ἀξιωματικοὺς οὐ μόνον τοὺς κατὰ τὰς νοήσεις ἀλλὰ καὶ κατ' αὐτὴν τὴν λέξιν συνισταμένους. ἐξαριθμεῖσθαι δὲ νῦν, ὅσα γένη σχηματισμῶν ἐστι τῶν τε κατωνομασμένων καὶ τῶν ἀκατονομάστων, καὶ τίσιν αὐτῶν ἡ τοιαύτη μάλιστα πέφυκεν ἁρμονία χαίρειν, οὐκ ἔχω καιρόν. ἔτι τῆς ἁρμονίας ταύτης οἰκεῖόν ἐστι καὶ τὸ τὰς περιόδους αὐτουργούς τινας εἶναι καὶ ἀφελεῖς καὶ μήτε συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν μήτε συμμεμετρημένας τῷ πνεύματι τοῦ λέγοντος μηδέ γε παραπληρώμασι τῶν ὀνομάτων οὐκ ἀναγκαίοις ὡς πρὸς τὴν ὑποκειμένην διάνοιαν χρωμένας μηδ' εἰς θεατρικούς τινας καὶ γλαφυροὺς καταληγούσας ῥυθμούς. καθόλου δέ γε οὐδὲ ἀσπάζεται τὸ ἐμπερίοδον ἥδε ἡ σύνθεσις ὡς τὰ πολλά, ἀποιήτως δέ πως καὶ ἀφελῶς καὶ τὰ πλείω

1 συντίθεται Sylburgius: συντίθενται 3 τὸ add Reiskius 4 μετὰ πεινοὺς B 5 εἰγεννεῖς BP ἀγενεῖς v 7 προσθήκας BP | μοίραν M | ἔχων BP 9 καὶ om P | καλεῖν BP 10 χηματισμοὺς BP 11 τῶν ἐννοιῶν deleuit Krüger | ἀξιωματισμοὺς ἀξιωματικοὺς P 12 καὶ κατ'] καὶ τ' P 15 ἀκατονομάτων B 16 ἁρμονία B ut plerumque 17 ἔτι] ἐπεὶ MBPv | ἁρμονία B 19 συναπαρτιζούσας L. Dindorf: συναρπαζούσας | τοινοῦν P | συμμετρομένας P συμμετρουμένας v

κομματικῶς κατεσκευάσθαι βούλεται, παράδειγμα ποιουμένη τὴν ἀκατάσκευον φύσιν. εἰ δέ ποτε ἀκολουθήσειεν τοῖς ἀνεπιτηδεύτως συντιθεμένοις κώλοις ἢ |
1073 περιόδοις ἢ βάσεσιν εὔρυθμος, τὸ συμβὰν ἐκ τῆς αὐτομάτου τύχης οὐκ ἀπωθεῖται. καὶ ταῦτα δ' ἔτι τῆς ἀρχαίας καὶ αὐστηρᾶς ἁρμονίας ἐστὶ χαρακτηρικά· τὸ μήτε συνδέσμοις χρῆσθαι πολλοῖς μήτ' ἄρθροις συνεχέσιν ἀλλ' ἔστιν ὅτε καὶ τῶν ἀναγκαίων ἐλάττοσιν, τὸ μὴ χρονίζειν ἐπὶ τῶν αὐτῶν πτώσεων τὸν λόγον ἀλλὰ θαμινὰ μεταπίπτειν, τὸ τῆς ἀκολουθίας τῶν προεξενεχθέντων ὑπεροπτικῶς ἔχειν τὴν φράσιν μηδὲ κατ' ἄλληλα, τὸ περιττῶς καὶ ἰδίως καὶ μὴ κατὰ τὴν ὑπόληψιν ἢ βούλησιν τῶν πολλῶν συζεύγνυσθαι τὰ μόρια. καὶ παραδείγματα δὲ αὐτῆς ποιητῶν μὲν καὶ μελοποιῶν ἥ τ' Αἰσχύλου λέξις ὀλίγου δεῖν πᾶσα καὶ ἡ Πινδάρου, χωρὶς ὅτι μὴ τὰ Παρθένεια καὶ εἴ τινα τούτοις ὁμοίας ἀπαιτεῖ κατασκευάς· διαφαίνεται δέ τις ὁμοία κἂν
1074 τούτοις | εὐγένεια καὶ σεμνότης ἁρμονίας τὸν ἀρχαῖον φυλάττουσα πίνον. συγγραφέων δὲ λαμπρότατός τε καὶ μάλιστα τῶν ἄλλων κατορθῶν περὶ ταύτην τὴν ἰδέαν Θουκυδίδης. εἰ δέ τῳ δοκεῖ μαρτυρίων ἔτι δεῖν

1 κατεσκευάσθαι] τὴν ἀκατασκεύασθον B 2 εἰ] ἐ B | ἀκολουθή|εν B in extrema pagina 3 ἀνεπιτηδεύτως συντιθεμένοις M: ἀνευπιτηδεύτως συντιθεμένοις B ἄνευ πιτοθεμένοις Pv 4 περίοδος ἢ βάσις Usener | εὔρυθμον Reiskius: εὐρύθμοις | συμβᾶν B 8 ἐλάττοσι Pv | τὸ Sylburgius: τοῦ 9 πτόσεων P 10 μεταπίπτειν Sylburgius: μεταπέμπειν | τὸ Sylburgius: τῶ | ἀκολουθείας B 11 ὑπεροπτικῶς ἔχειν τὴν φράσιν, μηδὲ κατάλληλον, τὸ περιττῶς] ὑπεριττῶς B | κατ' ἄλληλα] κατάλληλον Mv ἀκατάλληλον P 12 τὸ Sylburgius: τῶ | post κατὰ in P spatium fere VI litt 13 συνεύγνυσθαι B 14 μὲν] τὲ sed in mg μὲν B 15 τε BP | λέξις ὀλίξις P 16 μὴ τὰ M: μετὰ BPv | τινα Sylburgius: τινας | ὁμοίας — δέ τις omisit Pv 17 ὁμοία] ὅμοια P 19 πῖνον MBPv 21 μαρτύρων B

τῷ λόγῳ, παρελθὼν τοὺς ποιητὰς ἐκ τῆς Θουκυδίδου λέξεως ταυτί ..... 'Τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προὔβη, παθήματά τε ξυνέβη γενέσθαι τῇ Ἑλλάδι πολλὰ οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν αἳ μὲν ὑπὸ βαρβάρων, αἳ δὲ ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων, εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι, οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ φόνος ὃ μὲν κατ' αὐτὸν τὸν πόλεμον, ὃ δὲ διὰ τὸ στασιάζειν. τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα οὐκ ἄπιστα κατέστη σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου τ' ἐκλείψεις, | αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν 1075
χρόνου μνημονευόμενα συνέβησαν, αὐχμοί τ' ἔστιν παρ' οἷς μεγάλοι καὶ ἀπ' αὐτῶν καὶ λιμοὶ καὶ ἡ οὐχ ἥκιστα βλάψασα καὶ μέρος τι φθείρασα ἡ λοιμώδης νόσος.' ἡ μὲν δὴ πρώτη τῶν ἁρμονιῶν ἡ γεννικὴ καὶ αὐστηρὰ καὶ μεγαλόφρων καὶ τὸ ἀρχαιοπρεπὲς διώκουσα τοιάδε τίς ἐστι κατὰ τὸν χαρακτῆρα.

40 ἡ δὲ μετὰ ταύτην ⟨ἡ⟩ γλαφυρὰ καὶ θεατρικὴ καὶ τὸ κομψὸν αἱρουμένη πρὸ τοῦ σεμνοῦ τοιαύτη· ὀνομάτων αἰεὶ βούλεται λαμβάνειν τὰ λειότατα καὶ μαλακώτατα, τὴν εὐφωνίαν θηρωμένη καὶ τὴν εὐμέλειαν, ἐξ αὐτῶν δὲ τὸ ἡδύ. ἔπειτα οὐχ ὡς ἔτυχεν ἀξιοῖ ταῦτα

2 Thucydides I 23, 1—4

2 λέξεων B | hiatum Reiskius sensit 3 ξυνηνέχθη Θ et Δ de Thuc p 860 | ἐν αὐτῷ post γενέσθαι inserit v ex Θ et Δ p 860 4 πολλὰ om Θ et Δ p 860 5 λειφθεῖσαι P | ὑπὸ om v ὑπὸ B 14 συνέβησαν vM p 861 15 καὶ οὐχ ἥκιστα καὶ ἡ v ἡ in Θ om ABEF 16 βλέψασα B 17 γενικὴ MBPv 20 ἡ inseruit Krüger 23 εὐμέλειαν Sylburgius: ἐκμέλειαν P ἐμμέλειαν MB

τιθέναι οὐδὲ ἀπερισκέπτως συναρμόττειν θάτερα τοῖς ἑτέροις, ἀλλὰ διακρίνουσα τὰ ποῖα τοῖς ποίοις [καὶ]
1076 παρα|τιθέμενα μουσικωτέρους ποιεῖν δυνήσεται τοὺς ἤχους, καὶ σκοποῦσα κατὰ ποῖον σχῆμα ληφθέντα χαριεστέρας ἀποτελέσει τὰς συζυγίας, οὕτως συναρμόττειν ἕκαστα πειρᾶται, πολλὴν σφόδρα ποιουμένη φροντίδα τοῦ συνεξέσθαι καὶ συνηλεῖφθαι καὶ προπετεῖς ἁπάντων αὐτῶν εἶναι τὰς ἁρμονίας. καὶ διὰ τοῦτο φεύγει μὲν ἁπάσῃ σπουδῇ τὰς τῶν φωνηέντων συμβολὰς ὡς τὴν λειότητα καὶ τὴν εὐέπειαν διασπώσας, φεύγει δέ, ὅση δύναμις αὐτῇ, τῶν ἡμιφώνων τε καὶ ἀφώνων γραμμάτων τὰς συζυγίας, ὅσαι τραχύνουσι τοὺς ἤχους καὶ ταράττειν δύνανται τὰς ἀκοάς. ἐπειδὴ γὰρ οὐκ ἐνδέχεται πᾶσαν σημαίνουσαν σῶμα ἢ πρᾶγμα λέξιν ἐξ εὐφώνων συγκεῖσθαι γραμμάτων καὶ μαλακῶν, ἀλλ' ἐνίοτε συγκεῖσθαι τὰς αὐτὰς καὶ κακῶς ἐνδέχεται, ὃ μὴ δίδωσιν ἡ φύσις, τοῦτο πειρᾶται λαμβάνειν ταῖς συζυγίαις αὐταῖς καὶ ⟨οὕτω τὰς φωνὰς⟩ ποιεῖν ἡδίους καὶ μαλακωτέρας. καὶ δῆτα καὶ παρεμβάλλειν αὖ ταῖς ⟨ἀναγκαίαις⟩ τινὰς ἑτέρας λέξεις ὑπομένει πρὸς τὸν ὑποκείμενον νοῦν οὔτ' ἀναγκαίας οὔτ' ἴσως χρησίμας, δεσμοῦ δέ τινος ἢ κόλλης τάξιν ταῖς |

2 ἀλλὰ—ποίοις om B | τὰ ποῖα τοῖς ποίοις παρατιθέμενα Sylburgius: τὰ ποιὰ τοῖς ἀποίοις καὶ παρατιθεμένη 3 μουσικωτάτους MBP: corr Usener 6 πεινρᾶται B 7 συνειλῆφθαι MBP: corr Reiskius | προσπετεῖς BPv 9 φεύγει μὲν ἂν P[1] 10 ἐνέπειαν P ἀνέπειαν B 12 post γραμμάτων lac XI litt M 13 δύναται B 14 ἢ om P 15 ἐξ ἀφώνων M | συγκεῖσθαι—γραμμάτων om BPv add mg M[2] 16 τὰς αὐτὰς] τινὰς Usener 17 μὴ Krüger: δὴ 18 αὐτῶν Usener | post καὶ in M lac X—XII litt nulla lac in BP: suppleui 19 καὶ δῆτα—ἑτέρας om Pv | παρεμβάλλειν M: παραλαμβάνειν B 20 αὖ ταῖς] αὐταῖς MB | ἀναγκαίαις suppleui, lac VII litt M, nulla lac B cf ep ad Pomp. 785 | λέξις B

πρὸ αὐτῶν καὶ μετ᾽ αὐτὰς κειμέναις ὀνομασίαις παρεξομένας, 1077 ἵνα μὴ συναπτόμεναι πρὸς ἀλλήλας αἱ καταλήγουσαί τε εἰς τραχὺ γράμμα καὶ αἱ τὴν ἀρχὴν ἀπό τινος τοιούτου λαμβάνουσαι σπαδονισμοὺς τῶν ἤχων ποιῶσι καὶ ἀντιτυπίας, τῇ δὲ παρεμπιπτούσῃ λέξει προσαναπαυόμεναι μαλακοὺς φαίνεσθαι ποιῶσι τοὺς ἤχους καὶ συνεχεῖς. τὸ γὰρ ὅλον ἐστὶν αὐτῆς βούλημα καὶ ἡ πολλὴ πραγματεία περὶ τὸ συσπασθῆναί τε καὶ συνυφάνθαι πάντα τὰ μόρια τῆς περιόδου, μιᾶς λέξεως ἀποτελοῦντα φαντασίαν, καὶ ἔτι πρὸς τούτῳ περὶ τὸ πᾶσαν εἶναι τὴν λέξιν, ὥσπερ ἐν ταῖς μουσικαῖς συμφωνίαις, ἡδεῖαν καὶ λιγυράν. τούτων δὲ τὸ μὲν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι ποιοῦσι, τὸ δ᾽ αἱ τῶν γραμμάτων δυνάμεις οἰκείως ἐχόντων πρὸς ἄλληλα ταῖς κατὰ τοὺς νόμους συμπαθείαις, ὑπὲρ ὧν ἑτέρας ἐπιστήμης ⟨ἡ⟩ θεωρία. ἐπιτρόχαλος δή τις γίνεται καὶ καταφερὴς ἡ ῥύσις τῆς λέξεως, ὥσπερ κατὰ πρανοῦς φερόμενα χωρίου νάματα μηδενὸς αὐτοῖς ἀντικρούοντος, καὶ διαρρεῖ | διὰ τῆς ἀκοῆς ἡδέως 1078 πως καὶ ἀσπαστῶς οὐδὲν ἧττον ἢ τὰ δι᾽ ᾠδῆς καὶ ὀργάνου μουσωθέντα κρούματα καὶ μέλη. ἔτι τῆς συνθέσεως ταύτης ἐστὶ καὶ τὰ κῶλα δεινῶς ποιήμασιν ἐμφερῆ, μαλακόφωνα καὶ λεῖα, πολὺ τὸ κωτίλον ἔχοντα,

1 μετ᾽ αὐτὰς Reiskius: μετὰ ταύτας 3 καταλλήγουσαί B 4 τινοςος B 6 προσάνναπαυόμεναι B 8 συσπαθῆναι B συσταθῆναι Usener 9 συνηφᾶνθαι M | μόρια M: μήρια B μοιρια P | τῆς περο τῆς περιόδου B 11 τοῦτο BP 13 αἱ τῶν] αὐτῶν B | ποιοῦσιν B 14 γραμμάτων Krüger: πραγμάτων | δύαμις B | οἰκείων B 15 κ[α]τὰ cum ras M κατὰ τὸ στόμα Usener 16 ἡ add Krüger | θεωρίας P | [ἐ]πιτρόχαλος cum ras M 18 νάματα Kiessling: σώματα | αὐτοῖς M: αὐτῆς BPv 19 ἀντικρούοντος Sylburgius: ἀνακρούοντος 22 ἐστὶ] ἐστὶν BP | δειν ὡς ἀποιήμασιν B δεῖν ἀποιήμασιν P δεινὰ ποιήμασιν M δεῖνα ποιήμασιν v

κατά τινα φιλότητα φυσικὴν συζευγνύμενα ἀλλήλοις. ἐξ ὧν ἡ περίοδος συνέστηκεν· οὐδὲν γὰρ ἔξω περιόδου συντίθησιν. ἔτι τῶν ῥυθμῶν, εἰς ἃς διαστέλλεται περιόδους, οὐ τοὺς ἀξιωματικοὺς βούλεται λαμβάνειν ἀλλὰ τοὺς χαριεστάτους. εὐκόρυφοι δὴ φαίνονται καὶ εὔγραμμοι διὰ τοῦτο καὶ εἰς ἕδραν ἀσφαλῆ τελευτῶσι. τῶν δὲ σχημάτων διώκει τὰ κινητικώτατα τῶν ὄχλων· καλλωπίζεται γὰρ καὶ τέθηλε τούτοις, ἂν ἄχρι τοῦ μὴ λυπῆσαι τὰς ἀκοὰς προβαίνοι, ὧν εἰσὶν αἵ τε παρισώσεις καὶ παρομοιώσεις καὶ ἀντιθέσεις καὶ τὰ παρωνομασμένα τά τε ἀντιστρέφοντα καὶ τὰ ἐπαναφερόμενα
1079 καὶ ἄλλα πολλὰ τοιαῦτα | ποιητικῆς καὶ μελικῆς λέξεως ὄργανα. τοιαῦτά τινά μοι καὶ ταύτης εἶναι φαίνεται χαρακτηριστικὰ τῆς ἁρμονίας. παραδείγματα δ᾽ αὐτῆς ποιοῦμαι ποιητῶν μὲν Ἡσίοδόν τε καὶ Σαπφὼ καὶ Ἀνακρέοντα, τῶν δὲ πεζῇ λέξει χρησαμένων Ἰσοκράτην τε τὸν Ἀθηναῖον καὶ τοὺς ἐκείνῳ πλησιάσαντας. εἴρηνται μὲν οὖν καὶ πρότερον ἤδη λέξεις τινές, ἐν αἷς τὸν ὅλον χαρακτῆρα αὐτοῦ τῆς λέξεως ὑπέγραφον, ἐξ ὧν καὶ τὰ περὶ τὴν σύνθεσιν, εἰ τοιαῦτά ἐστιν οἷα λέγομεν ἡμεῖς, οὐ χαλεπῶς ἄν τις ἴδοι. ἵνα δὲ μὴ δόξωμεν διαρτᾶν τὰς ἀκολουθίας, τοὺς ἀναγινώσκοντας ἐπὶ τὰ ἐν ἀρχαῖς ῥηθέντα παραδείγματα κελεύοντες ἀναστρέφειν, λαμβανέσθω κἀνταῦθα ἐκ τῶν Πανηγυρικῶν αὐτοῦ λόγων λέξις οὐ πολλὴν διατριβὴν παρέξουσα

3 συντίθησιν ἐπὶ τῶν ῥυθμῶν. εἰς ἃς δὲ ἀποστέλλεται MBPv: διαστέλλεται medium est, sed εἰς ἃς δὴ ἀποτελεῖται π. mauolt Usener 5 ἀλλὰ τοὺς χαρακ ἀλλὰ τοὺς P, sed uitium lineola tollitur | δὴ] δὲ B 6 fort εὐθύγραμμοι Usener 7 διώκει Sylburgius: δεῖ διώκειν M δειδιώκειν BP 8 ἂν] ἐ ἂν B ἐὰν MP ἂν v 9 προβαίνῃ MBP: corr Usener | ὧν Holwellus: ὡς 12 τοιαῦτα—ὄργανα om Pv 14 immo χαρακτηρικὰ 17 τὲ τὸν bis B 18 καὶ om Pv 20 εἴ τοι αὐτὰ B 25 λέξιν P

τοῖς ἀναγνωσομένοις, ἐν ᾗ διεξέρχεται τὰ πραχθέντα Ἀθηναίοις περὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. ἔστι δὲ ἥδε· ‘Ἐπειδὴ γὰρ οὐχ οἷοί τε ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον ἐκ τῆς πόλεως | εἰς τὴν ἐχομένην νῆσον 1080 ἐξέπλευσαν, ἵν' ἐν μέρει καὶ μὴ πρὸς ἑκάτερα κινδυνεύωσι. καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἔτλησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς πολλοῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γιγνομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα καὶ νεὼς ἐμπιμπραμένους, ἅπαντα δὲ τὸν πόλεμον περὶ τὴν πατρίδα τὴν αὑτῶν γενόμενον; καὶ μὴν οὐδὲ ταῦτ' ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς διακοσίας καὶ χιλίας τριήρεις μόνοι διαναυμαχεῖν οὐκ ἐμέλλησαν, οὐ μὴν εἰάθησάν γε. καταισχυνθέντες τε γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν καὶ νομίσαντες προδιαφθαρέντων μὲν τῶν ἡμετέρων οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δ' εἰς ἀτιμίαν τὰς αὑτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. καὶ τοὺς | μὲν 1081 θορύβους τοὺς ἐν τῷ πράγματι γιγνομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ' ὅ τι δεῖ λέγοντας διατρί-

3 Isocrates IV 96—99

2 *ναυχίαν* P 4 *παραλαμβόντες* B 5 *τὸν ἐκ τῆς πόλεως* Is 6 *ἵν' ἐν μέρει πρὸς ἑκατέραν κινδυνεύσωσιν* Is Γ 8 *ἐπιδειχθέντες ἐπιδειχθεῖεν* B 10 *τὴν πόλιν*] *πόλην* P 13 *αὐτῶν* BP | *γενομένην* B | *καὶ μὴν οὐδὲ* Ritschelius: *καὶ μηδὲ* MBP *καὶ οὐδὲ* Is | *ἀποχρῆσαι* MP *ἀποιχρῆσαι* B: corr v 15 *οὐκ* om Is | *εἰώθησαν* M 16 *τε* om Is seclusit v 18 *αὐτοὶ* M 19 *αὐτῶν* MBPv 21 *θορυβας θορύβους* B | *γινομένους* M 23 *λέγοντα* Is

βειν. ἃ δ' ἔστιν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον ἐστὶν εἰπεῖν. τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτε ἦν ἀκέραιος, ὥστε ἀνάστατος γενομένη πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος ἢ σύμπαντες οἱ ναυμαχήσαντες, δυναμένας δὲ πρὸς δὶς τοσαύτας κινδυνεύειν. οὐδείς γ' οὖν πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολογήσειε διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, ταύτης δὲ τὴν πόλιν αἰτίαν γεγενῆσθαι. καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστα εὐδοκιμήσαντας καὶ πολλάκις μὲν ἰδίᾳ προκιν-
1082 δυνεύσαντας, ἐν | δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας; οὐ τοὺς τὴν αὑτῶν καταλιπόντας περὶ τῆς τῶν ἄλλων σωτηρίας καὶ τό γε παλαιὸν οἰκιστὰς πλείστων πόλεων γενομένους καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφορῶν διασώσαντας; πῶς δ' οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον μέρος μετασχόντες ἔλαττον ταῖς τιμαῖς ἔχειν ἀξιωθείημεν καὶ τότε προταχθέντες πρὸ τῶν ἄλλων νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθείημεν;’

τῆς δὲ τρίτης ἁρμονίας, ἣν ἔφην μικτὴν ἐξ ἀμφοῖν 41

1 *ἄξιον* M 3 *τοσούτου* MBP 6 *ναυμαχήσαντες — 8 διὰ μὲν τὴν* om P | *δυναμένας*] *δυνάμεις* B *δυναμένας — κινδυνεύειεν* om Is 7 *οὐδεὶς δὲ* Is *οὐδεὶς γ' οὖν πρὸς δὶς τοσαύτας οὐδεὶς γοῦν* B 8 *ὁμολογήσειεν* B 9 *ταύτην* P 10 *γενέσθαι* Is 11 *οὔσεσθαι* B 13 *δία προκινδυνεύσαντας* B *διαπροκινδυνεύσαντας* MP 14 *τῶν ἀγαθῶν τῶν ἀγώνων* B | *ἀριστείαν* M 15 *αὐτῶν* MBP | *ἐκλιπόντας* Is 16 *ὑπὲρ* Is | *καὶ* om B | *τό τε* Is 17 *αὐτ[ὰς]* et 18 *[συμφορ]ῶν* cum ras M 19 *μετασχόντων μετασχόντες* B prius del corrector 20 *ἐν ταῖς τιμαῖς ἔλαττον* Is 21 *πρὸ* Sylburgius: *πρὸς* MBP *ὑπὲρ* Is | *τῶν ἄλλων*] *ἁπάντων* Is 23 *μικτὸν* BP[1]

εἶναι τὰ χρησιμώτατα ἐκλέγουσαν ἀφ' ἑκατέρας, οὐδείς ἐστι χαρακτὴρ ἴδιος, ἀλλ' ὡς ἂν οἱ μετιόντες αὐτὴν προαιρέσεως ἔχωσιν ἢ δυνάμεως τὰ μὲν φυγεῖν, τὰ δὲ λαβεῖν, οὕτως κίρνανται καθάπερ ἐν | τῇ ζωγραφίᾳ 1083 τὰ μίγματα. ταύτης τῆς ἁρμονίας κράτιστος μὲν ἐγένετο κανὼν ὁ ποιητὴς Ὅμηρος, καὶ οὐκ ἄν τις εἴποι λέξιν ἄμεινον ἡρμοσμένην τῆς ἐκείνου πρὸς ἄμφω ταῦτα, λέγω δὲ τήν τε ἡδονὴν καὶ τὸ σεμνόν. ἐζήλωσαν δὲ αὐτὸν ἐπῶν τε πολλοὶ ποιηταὶ καὶ μελῶν, ἔτι δὲ τραγῳδίας τε καὶ κωμῳδίας, συγγραφεῖς τε ἀρχαῖοι καὶ φιλόσοφοι καὶ ῥήτορες. ὧν ἁπάντων μεμνῆσθαι πολὺ ἂν ἔργον εἴη, ἀρκέσει δὲ τῶν ἐν λόγοις δυναστευσάντων, οὓς ἐγὼ κρατίστους εἶναι πείθομαι, δύο παρασχέσθαι μόνους, συγγραφέων μὲν Ἡρόδοτον, φιλοσόφων δὲ Πλάτωνα· καὶ γὰρ καὶ ἀξίωμα καὶ χάρις αὐτῶν ἐπιτρέχει ταῖς ἁρμονίαις. εἰ δὲ ὀρθὰ ἐγὼ καὶ εἰκότα ἔγνωκα περὶ αὐτῶν, ἐξετάσαι τῷ βουλομένῳ σκοπεῖν ἔστιν. φέρε δὴ τίς οὐκ ἂν ὁμολογήσειεν τῆς τε αὐστηρᾶς καὶ τῆς ἡδείας ἁρμονίας μέσην εἶναι τήνδε τὴν λέξιν καὶ τὰ κράτιστα εἰληφέναι παρ' ἑκατέρας, ᾗ κέχρηται Ἡρόδοτος Ξέρξῃ περιθεὶς τὸν λόγον, ὅτ' ἐβουλεύετο περὶ τῆς | πρὸς τοὺς Ἕλληνας στρατείας; 1084 μετακεκόμισται δ' εἰς τὴν Ἀτθίδα διάλεκτον ἡ λέξις· „Ἄνδρες Πέρσαι, οὔτ' αὐτὸς καθηγήσομαι νόμον τόνδ'

24 Herodotus VII 8 sqq

2 αὐτὴν Sylburgius: αὐτῶ 4 λαβεῖν] λαβοῖο P 6 Ὅμηρος delet Kiessling in mg 8 εἰδονὴν B 9 ἐπών M 13 δύω BPv 15 δὲ Πλάτωνα post αὐτῶν repetit P | καὶ γὰρ καὶ] καὶ γὰρ P 17 ἐξετάσας BPv 18 ὁμολογήσειε v 19 τῆς ἡδείας] ἡδείας B ἡδίας P | μέσειν P 21 περιτιθεὶς Sylburgius v | ἐβουλεύετο B in mg v: ἐβούλετο MBP 22 Ἕλληνας — δὲ (sic) in mg supplet B

ἐν ὑμῖν τιθεὶς παραδεξάμενός τε αὐτῷ χρήσομαι. ὡς ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, οὐδένα χρόνον ἠτρεμήσαμεν, ἐξ οὗ παρελάβομεν τὴν ἡγεμονίαν τήνδε παρὰ Μήδων, Κύρου καθελόντος Ἀστυάγην· ἀλλὰ θεός τε οὕτως ἐνάγει καὶ αὐτοῖς ἡμῖν πολλὰ ἐπιοῦσι συμφέρεται ἐπὶ τὸ ἄμεινον. ἃ μὲν δὴ Κῦρός τε καὶ Καμβύσης πατήρ τε ὁ ἐμὸς Δαρεῖος κατειργάσαντο ⟨καὶ προσεκτήσαντο⟩ ἔθνη, ἐπισταμένοις οὐκ ἄν τις λέγοι. ἐγὼ δ', ἐπειδὴ παρέλαβον τὸν θρόνον τοῦτον, ἐφρόντιζον, ὅπως μὴ λείψομαι τῶν πρότερον γενομένων ἐν τῇ τιμῇ τῇδε μηδ' ἐλάσσω προσκτήσομαι δύναμιν Πέρσαις. φροντίζων δὲ εὑρίσκω ἅμα μὲν κῦδος ἡμῖν προσγινόμενον χώραν τε ἧς νῦν κεκτήμεθα οὐκ 1085 ἐλάσσονα οὐδὲ φλαυροτέραν παμφορω|τέραν τε, ἅμα δὲ τιμωρίαν καὶ τίσιν γινομένην. διὰ δὴ ταῦτα νῦν ὑμᾶς ἐγὼ συνέλεξα, ἵνα, ἃ διανοοῦμαι πράττειν, ὑποθῶ ὑμῖν· μέλλω ζεύξας τὸν Ἑλλήσποντον ἐλαύνειν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθηναίους τιμωρήσωμαι, ὅσα δὴ πεποιήκασι Πέρσας τε καὶ πατέρα τὸν ἐμόν. ὁρᾶτε μὲν δὴ καὶ Δαρεῖον προθυμούμενον στρατεύεσθαι ἐπὶ τοὺς ἄνδρας τούτους, ἀλλ' ὃ μὲν τετελεύτηκε, καὶ οὐκ ἐξεγένετ' αὐτῷ τιμωρήσασθαι, ἐγὼ δ' ὑπέρ τ' ἐκείνου καὶ τῶν ἄλλων Περσῶν οὐ πρότερον παύσομαι, πρὶν ἕλω τε καὶ πυρώσω τὰς

2 ὡς γὰρ H (Herodotus) 4 τῶν Μήδων v 5 πολλὰ θεός τε B 7 καμβισης corr in καμβυσης P | πατὴρ] πρ͞ηρ B 9 τούτου v 10 λείψομαι HP: λείψωμαι MBv | πρότερων M corr M[1] | γινομένων BP 11 τῇ om H | προσκτήσομαι H: προσκτήσωμαι MBPv 13 προσγενόμενον MBP | ἧς] ἧς B ἣν P 14 φαυλοτέραν BPv 18 Ἀθηναίοις B 19 πεποιήκασιν B | Πέρσαις M | πατέρα τὸν ἐμὸν Δαρεῖον v ex H 21 ὃ] οὐ B 22 τελεύτηκε P | τιμωρήσεσθαι MBP 24 πρὶν] τρὶν BP | περώσω BP

Ἀθήνας. οἵ γε ἐμέ τε καὶ πατέρα τὸν ἐμὸν ὑπῆρξαν ἄδικα ποιοῦντες· πρῶτα μὲν εἰς Σάρδεις ἐλθόντες ἅμα Ἀρισταγόρᾳ τῷ Μιλησίῳ, δούλῳ δὲ ἡμετέρῳ, ἐνέπρησαν τά τε ἄλση καὶ τὰ ἱερά. δεύτερα δὲ ἡμᾶς οἷα ἔδρασαν εἰς τὴν γῆν τὴν σφετέραν ἀποβάντας, ὅτε Δᾶτίς τε καὶ Ἀρταφέρνης ἐστρατήγουν, ἐπίστασθέ που πάντες. τούτων μέν|τοι ἕνεκα ἀνώρμημαι ἐπ' αὐτοὺς 1086
στρατεύεσθαι, ἀγαθὰ δ' ἐν αὐτοῖς τοσάδε ἀνευρίσκω λογιζόμενος· εἰ τούτους τε καὶ τοὺς τούτοις πλησιοχώρους καταστρεψόμεθα, οἳ Πέλοπος τοῦ Φρυγὸς νέμονται χώραν, γῆν [τε] τὴν Περσίδα ἀποδείξομεν τῷ Διὸς αἰθέρι ὅμορον οὖσαν. οὐ γὰρ δὴ χώραν γε οὐδεμίαν κατόψεται ὁ ἥλιος ὅμορον οὖσαν τῇ ἡμετέρᾳ, ἀλλ' αὐτὰς ἁπάσας ἐγὼ ἅμα ὑμῖν μίαν χώραν θήσω, διὰ πάσης ἐξελθὼν τῆς Εὐρώπης. πυνθάνομαι γὰρ ὧδε ἔχειν· οὔτε τινὰ πόλιν αὐτῶν οὐδεμίαν οὔτε ἔθνος ἀνθρώπων οὐδὲν ὑπολείπεσθαι ἡμῖν, ὃ οἷόν τε ἔσται ἐλθεῖν εἰς μάχην, τούτων, ὧν ἔλεξα, ὑπεξῃρημένων. οὕτως οἵ τε ἡμῖν αἴτιοι ἕξουσι δούλιον ζυγὸν οἵ τε ἀναίτιοι. ὑμεῖς δ' ἄν μοι τάδε ποιοῦντες χαρίζοισθε· ἐπειδὰν ὑμῖν σημήνω τὸν χρόνον, εἰς ὃν ἡμῖν ἥκειν δοκεῖ, προθύμως ὑμᾶς ἅπαντας δεῖ παρεῖναι. ὃς δ' | ἂν ἔλθῃ ἔχων κατεσκευασμένον στρατὸν κάλλιστα, 1087

1 Ἀθηναίας B | οἵ σε B | πράττὸν πατέρα P sed uitium lineola deletur 2 γάρδεις BP 3 ἅμα v ex H: παρὰ MBP 6 δᾶτίς P | ἀταφέρνης BP 9 εἰ] εἰς P 12 χώραν corr in χωράν P | γε vH: τε MBP 15 εὐρύπης corr in εὐρώπης B 16 αὐτῶν] malim ἀνδρῶν cum H 17 ἡμῖν vM[1]: ὑμῖν M[2]BP om H | ὃ οἴονται B τὸ ἡμῖν οἷόν τε H 19 αἴτιοι H: ἀντίοι MBPv | ἕξουσι M 20 ἀναίτιοι H: ἀθηναῖοι MBPv | χαρίζοισθε H: χαρίζεσθε MP[2] χαρίζεσθαι BP[1] 21 σημένω BP | ἡμῖν Sylburgius: ὑμῖν MBP om H 23 ἔλθοι MBPv

δώσω αὐτῷ δωρεάν, ἣ δὴ τιμιωτάτη νομίζεται ἐν ἡμετέρου. ποιητέα μὲν δὴ ταῦτ' ἐστὶν οὕτω. ἵνα δὲ μὴ ἰδιοβουλεύειν ὑμῖν δοκῶ, τίθημι τὸ πρᾶγμα ἐς μέσον, γνώμην κελεύων ὑμῶν τὸν βουλόμενον ἀποφαίνεσθαι.'

ἐβουλόμην ἔτι πλείω παρασχέσθαι παραδείγματα 42
τῆς τοῦ συγγραφέως ἀγωγῆς· ἰσχυροτέρα γὰρ ἡ πίστις 6
οὕτως ἂν ἐγένετο. νῦν δ' ἐξείργομαι, σπεύδων ἐπὶ τὰ προκείμενα καὶ ἅμα δόξαν ὑφορώμενος ἀκαιρίας. συγγνώσεται δή μοι καὶ Πλάτων ὁ θαυμάσιος, εἰ μὴ παραθήσομαι κἀκείνου λέξεις. ἡ γὰρ ὑπόμνησις ὡς ἐν εἰδόσιν ἱκανή. ταῦτα δὲ δὴ βουλόμενος τάς τε διαφορὰς τῶν ἁρμονιῶν καὶ τοὺς χαρακτῆρας αὐτῶν καὶ τοὺς πρωτεύσαντας ἐν αὐτοῖς διῆλθον, ἵν', ἐπειδὰν ἀποφαίνωμαι γνώμην ὅτι τὴν μέσην τε καὶ μικτὴν ἁρμονίαν ἐπετήδευσεν ὁ Δημοσθένης, μηδεὶς ὑποτυγ-
1088 χάνῃ μοι ταῦτα | λέγων· 'αἱ γὰρ ἄκραι τίνες εἰσὶν ἁρμονίαι; καὶ τίς αὐτῶν ἑκατέρας ⟨ἡ⟩ φύσις καὶ τίς ἡ μῖξις ἢ ἡ κρᾶσις αὕτη; οὐδὲν γὰρ δὴ τῶν . . . . ἄκρων.' τούτου μὲν δὴ πρώτου χάριν, ὥσπερ ἔφην, ἐκεῖνα ἠναγκάσθην προειπεῖν, ἔπειτα, ἵνα μοι μὴ μονόκωλος ᾖ μηδὲ αὐστηρὸς ὁ λόγος, ἀλλ' ἔχῃ τινὰς εὐπαιδεύτους διαγωγάς. οὔτε γὰρ πιστοῦν τὰς τοιαύ-

1 ἣ δὴ τιμιωτάτη Reiskius: ἤδη τιμιωτάτην ἣ MBP δῶρα τὰ τιμιώτατα H | τῇ ἡμετέρᾳ v 5 παρασκέσθαι BP 7 ἠγένετο P ἐγένετο ὢ B | δὲ B πλάτων mg B 8 προκείμενα] ὑποκείμενα MBPv 9 δή] δέ Pv 11 εἰδόσιν ἱκανή. Sadaeus: εἰδόσι. καὶ | τὰς] τὰ κ P 14 ἀποφαίνομαι M | μέσυν P 15 ἐπετήδευσαν BP 17 τίς] τής B | ἡ add Sadaeus | φύ[σι]ς cum ras M | τίς ἡ] τίς κ B 18 αὕτη Sylburgius: αὐτὴ | δὴ] δεὶ fort B δεῖ Sylburgius | post τῶν lac VII—IX litt M, nulla lacuna BPv 20 ἐκεῖνα om Pv | ἐναγκάσθην P | μὴ μονόκωλος] μηνόκωλος B 21 μηδὲ] μὲν δὴ B | ἀλλ' ˝χῃ P 22 πιστοῦν Sylburgius: πιστεύειν

τας προσθήκας οὔτε ἀπαιτοῦντος τοῦ λόγου παραλι-
πεῖν καλῶς ἂν ἔχοι.
43 δεδειγμένης δή μοι τῆς αἱρέσεως τοῦ ῥήτορος ταύ-
της ἤδη τις παρ' ἑαυτῷ σκοπείτω τὰ λεχθέντα, ὅτι
τοιαῦτ' ἐστίν, ἐνθυμούμενος μὲν ὅσα σεμνῶς κατε-
σκεύασται τῷ ἀνδρὶ καὶ αὐστηρῶς καὶ ἀξιωματικῶς,
ἐνθυμούμενος δὲ ὅσα τερπνῶς καὶ ἡδέως. εἰ δὲ κἀν-
ταῦθα δόξει τι δεῖν [ἢ πίστις] ἀποδείξεως, ὅντινα
βούλεται τῶν λόγων αὐτοῦ προχειρισάμενος καὶ ἀφ'
οὗ βούλεται μέρους ἀρξάμενος καταβαινέτω τε καὶ
σκοπείτω τῶν λεγο|μένων ἕκαστον, εἰ τὰ μὲν ἀνα- 1089
βεβλημένας ἔχει τὰς ἁρμονίας καὶ διεστώσας, τὰ δὲ
προσκολλώσας καὶ συμπεπυκνωμένας, καὶ τὰ μὲν ἀπο-
τραχύνει τε καὶ πικραίνει τὴν ἀκοήν, τὰ δὲ πραΰνει
καὶ λεαίνει, καὶ τὰ μὲν εἰς πάθος ἐκτρέπει τοὺς ἀκού-
οντας, τὰ δ' εἰς ἦθος ὑπάγεται, τὰ δ' ἄλλας τινὰς
ἐργάζεται καὶ πολλὰς διαφορὰς παρ' αὐτὴν τὴν σύν-
θεσιν. οἷά ἐστι ταυτί (χρήσομαι δὲ παραδείγμασιν οὐκ
ἐξ ἐπιτηδεύσεως, ἀλλ' οἷς ἐνέτυχον, ἐξ ἑνὸς τῶν
Φιλιππικῶν λαβών)· 'Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν
προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου προ-
νοίᾳ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ ὅλον ἡ

20 Demosthenes Olynth. β 22

1 τοῦ om Pv 3 αἱρέσεως] διαιρέσεως MBv διεραίσεως P | ταύτης] τοιαύτης Krüger 4 ὅτι] εἰ Reiskius 5 κατεσκεύαστε P κατεσκεύαστο v 6 ταὐστηρῶς B 8 ἡ πίστις seclusi 10 καταβαινέτω—λεγομένων om B λεγόμενον P 13 συμπεπυκνωμένας—τε καὶ om B συμπεπικνωμένας P 16 post ἀκούοντας totum illud καὶ συμπεπυκνωμένας usque ad ἐκτρέπει τοὺς ἀκούοντας repetit B 20 ὦ B ὦ P 22 προνοίᾳ] λογισμῷ D 23 ῥοπῇ M

τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα.
οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς
1090 ἡμε|τέρας πόλεως τύχην ἂν ἑλοίμην ἐθελόντων, ἃ
προσήκει, ποιεῖν ὑμῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου.'
ἐν ταῖς τρισὶ περιόδοις ταύταις τὰ μὲν ἄλλα ὀνόματα
πάντα εὐφώνως τε σύγκειται καὶ ἡδέως τῷ συνεχεῖς
σφόδρα καὶ μαλακὰς αὐτῶν εἶναι τὰς ἁρμονίας. ὀλίγα
δ' ἐστὶ παντάπασιν, ἃ διίστησι τὰς ἁρμονίας καὶ τρα-
χείας φαίνεσθαι ποιεῖ αὐτάς, ἐν μὲν τῇ πρώτῃ περιόδῳ
κατὰ δύο τόπους τὰ φωνήεντα συγκρουόμενα ἔν τε τῷ
'ὦ ἄνδρες Ἀθηναῖοι' καὶ ἐν τῷ 'εὐτυχοῦντα ὁρῶν', ἃ
διίστησι τὸ συναφές. καὶ κατ' ἄλλους δύο τόπους ἢ
τρεῖς τὰ ἡμίφωνα ⟨καὶ ἄφωνα⟩ παραπίπτοντα ἀλλή-
λοις τὰ φύσιν οὐκ ἔχοντα συναλείφεσθαι ἔν τε τῷ 'τὸν
Φίλιππον' καὶ ἐν τῷ 'ταύτῃ φοβερὸν προσπολεμῆσαι'
ταράττει τοὺς ἤχους μετρίως καὶ οὐκ ἐᾷ φαίνεσθαι
μαλακούς. ἐν δὲ τῇ δευτέρᾳ περιόδῳ τραχύνεται μὲν
ἡ σύνθεσις ἐν τῷ 'μεγάλη γὰρ ῥοπή', διὰ τὸ μὴ συνα-
λείφεσθαι τὰ δύο ρ ρ καὶ ἐν τῷ 'ἀνθρώπων πράγματα'
διὰ τὸ μὴ συλλεαίνεσθαι ⟨τὸ ν⟩ τῷ ἑξῆς. διασπᾶται
1091 δ' ἐν τῷ | 'μᾶλλον δὲ ὅλον ἡ τύχη', βραχέων φωνηέν-
των πολὺν τὸν μεταξὺ χρόνον περιλαμβανόντων. ἐν
δὲ τῇ τρίτῃ περιόδῳ τὰ φωνήεντα μέν, εἴ τις αὐτὰ
βούλοιτο συναλείψας ἐκθλίβειν ὥσπερ τὸ οἴομαι καὶ

2 τὴν om B 6 συνεχεῖς] συγκεῖσθαι MBPv 9 φαινένεσθαι B | ποιεῖ. αὐτίκα ἐν μὲν? 10 τόπους Kiessling: τρόπους | τῷ] τῷ ἀνδρὶ P sed uitium lineola deletur 11 ἐν τῷ om P 12 διίστησι B: καὶ διίστησι MPv | τόπους Kiessling: τρόπους 13 καὶ ἄφωνα addidi 14 συναλείφθεσθαι B | τὸν] τῶν M 15 φίωςλιππον corr in φίλιππον P 16 οὐκεα B 18 συναλείφαισθε P 20 συνλλαίνεσθαι P | τὸ ν addidi, alia fingi possunt 22 πολὺν Sylburgius: πολὺ 23 τὰ] τῷ M

δέον, οὐκ ἂν εὕροι συμπλεκόμενα ἀλλήλοις. τῶν δὲ συμφωνουμένων δυσὶν ἢ τρισὶν χωρίοις τὴν λειότητα μὴ φυλάττουσαι σὺν τοῖς παρακειμένοις εὑρεθήσονται ἐν τῷ ʽαἵρεσίν μοι δοίη’ καὶ ἐν τῷ ʽ⟨τὴν⟩ τῆς ἡμετέρας πόλεως’. μέχρι μὲν δὴ τῶνδε ἡ δευτέρα τὰ πρωτεῖα ἁρμονία φέρει, ἐν δὲ τοῖς ἑξῆς ἡ προτέρα (διέσπασται ⟨γὰρ⟩ μᾶλλον τῆς ἑτέρας)· ʽΠολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν | ἔχειν ὁρῶ ὑμῖν 1092
ἐνούσας ἢ ἐκείνῳ. ἀλλ’, οἴομαι, καθήμεθα οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ’ αὐτὸν ἀργοῦντα οὐδὲ φίλοις ἐπιτάττειν, μή τί γε θεοῖς.’ ἐν τούτοις γὰρ δὴ τά τε φωνήεντα πολλαχῇ συγκρουόμενα δῆλά ἐστι καὶ τὰ ἡμίφωνα καὶ ἄφωνα, ἐξ ὧν στηριγμούς τε καὶ ἐγκαθισμοὺς αἱ ἁρμονίαι λαμβάνουσι καὶ τραχύτητας αἱ φωναὶ συχνάς. ἔπειθ’ αἱ ταύταις ἐπιβάλλουσαι περίοδοι διαστάσεις μὲν οὐ λαμβάνουσι φωνηέντων, καὶ παρὰ τοῦτο ἐπιτρόχαλος αὐτῶν ἐστιν ἡ σύνθεσις, ἀφώνων δὲ καὶ ἡμιφώνων συμβολαῖς διαχαραττόμεναι τραχύνουσι τὴν φωνὴν συμμέτρως. καὶ τἆλλα δὲ τὸν αὐτὸν ἅπαντα κατεσκεύασται τρόπον. τί γὰρ δεῖ τὰ πλείω λέγοντα μηκύνειν; οὐ μόνον δὲ αἱ τῶν ὀνομάτων συζυγίαι τὴν μικτὴν ἁρμονίαν λαμβάνουσι παρ’

7 Demosthenes Olynth. β 22/23

1 τὸ δέον Usener | εὕροι Reiskius: εὕροις 3 συντϋ . π̃ . . . . . μόνοις M συντυπαιμό μόνοις B συντυπαιμένοισ Pv: corr Sadaeus | εὑρεθηθήονται B 4 διδοίη M | τὴν add Usener 5 τῶνδε M: τῶν BPv 6 προτέρας P post προτέρα interpunxit γὰρ inseruit Reiskius 7 ὁφορμὰς P 8 ὁρῶν B 9 ἐνούσαις M 10 ἐπιτάττειν ὑπὲρ αὑτοῦ τι ποιεῖν μή τι γε δὴ τοῖς θεοῖς D 11 τε om Pv 12 πολλαχῦ P 14 ἁρμονίαι — αἱ om B 15 [ταύ]ταις cum ras M | ἐπιβάλουσι corr in ἐπιβάλνουσι P ἐπιβάλλουσι v | περίοδοι — λαμβάνουσι om Pv περιόδοις B 19 τ’ ἄλλα M 22 in mg ἁρμονία B

αὐτῷ καὶ μέσην, ἀλλὰ καὶ αἱ τῶν κώλων κατασκευαί τε καὶ συνθέσεις καὶ τὰ τῶν περιόδων μήκη τε καὶ σχήματα καὶ οἱ περιλαμβάνοντες αὐτάς τε καὶ τὰ κῶλα ῥυθμοί. καὶ γὰρ καὶ κατὰ κόμματα πολλὰ εἴρηται τῷ ἀνδρὶ, καὶ τὰ . . . . . πλεῖστά γε οὕτως κατεσκεύ-
1093 ασται, καὶ ἐν περιόδοις | οὐκ ὀλίγα. τῶν δὲ περιόδων αἳ μέν εἰσιν εὐκόρυφοι καὶ στρογγύλαι ὥσπερ ἀπὸ τόρνου, αἳ δὲ ὕπτιαί τε καὶ κεχυμέναι καὶ οὐκ ἔχουσαι τὰς βάσεις περιττάς. μήκει τε αἳ μὲν ἐλάττους, ὥστε συμμετρηθῆναι πρὸς ἀνδρὸς πνεῦμα, αἳ δὲ πολλῷ μείζους, οἷαι καὶ μέχρι τῆς τετάρτης ἀναπαύσεως προελθοῦσαι τότε λήγειν εἰς πέρας. τῶν τε σχημάτων ἔνθα μὲν ἄν τις εὕροι τὰ σεμνὰ καὶ αὐστηρὰ καὶ ἀρχαῖα πλεονάζοντα, ἔνθα δὲ τὰ λιγυρὰ καὶ γλαφυρὰ καὶ θεατρικά. καὶ τῶν ῥυθμῶν πολλαχῇ μὲν τοὺς ἀνδρώδεις καὶ ἀξιωματικοὺς καὶ εὐγενεῖς, σπανίως δέ που τοὺς ὑπορχηματικούς τε καὶ ’Ιωνικῶς [καὶ] διακλωμένους. ὑπὲρ ὧν ὀλίγον ὕστερον ἐροῦμεν· ἕτερος γὰρ ἐπιτηδειότερος αὐτοῖς ἔσται τόπος. νυνὶ δέ, ὃ προσαπαιτεῖν ἔοικεν ὁ λόγος, ἔτι προσθείς,
1094 ἐπὶ τὰ λοιπὰ τῶν προκειμένων μεταβήσομαι. |

τί δὲ τοῦτ’ ἔστιν; ἐπειδὴ κρατίστην μὲν ἔφην 44

1 αὐτῶν BP | περὶ κώλων in mg B 5 lacunam sensit Reiskius 6 περὶ περιόδων in mg B 7 αἳ μὲν] αἱ μὲν καὶ ἐν B | εὐκόριφοι P οὐ κόραιφοι B 8 ὑπτίαι B 9 ἐλάττους Sadaeus: θάττους 10 συμμετριθῆναι B 13 περὶ σχιμάτων B in mg | ἔνθα μὲν] νῦν θαμὲν P | σεμνὰ καὶ αὐστηρὰ in lac add M 14 λιγυρὰ M, B in mg: λυγιρὰ B in textu, λυρᾶ P λυρὰ v | καὶ αὐστηρὰ post λιγυρὰ inserit B | καὶ ἀρχαῖα post γλαφυρὰ inserit Pv 15 περὶ ῥυθμῶν in mg B 16 καὶ εὐγ. — ὑπορχηματικοὺς om B 17 ’Ιωνικῶς Cobet coll. Ar. Thesmoph. v. 163: ἰωνικοὺς καὶ 18 post διακλωμένους B inserit καὶ εὐγενεῖς καὶ σπανίους (corr in σπανίως) δέ που τοὺς 19 γὰρ om M

εἶναι τὴν μικτὴν σύνθεσιν, ταύτῃ δὲ κεχρῆσθαί φημι τὸν Δημοσθένην ἁπάντων μετριώτατα τῶν ἄλλων, ἐπιτάσεις δὲ καὶ ἀνέσεις ἀξιολόγους ἐν αὐτῇ ποιεῖσθαι, τοτὲ μὲν ἀξιωματικωτέραν, τοτὲ δ' εὐπρεπεστέραν ποιοῦντα τὴν ἀγωγήν, τί δή ποτε βουλόμενος οὐ πορεύεται μίαν αἰεὶ καὶ τὴν αὐτὴν ὁδόν; καὶ τὸ ἐν τῷδε ἢ τῷδε πλεονάζειν χαρακτῆρι ποίοις τισὶν ὁρίζει κανόσι; δοκεῖ δή μοι φύσει τε καὶ πείρᾳ διδαχθεὶς ὁ ἀνὴρ πρῶτον μὲν ἐκεῖνο καταμαθεῖν, ὅτι οὐχ ὁμοίας ἀπαιτοῦσι κατασκευὰς λέξεως οἱ πρὸς τὰς πανηγύρεις καὶ σχολὰς συρρέοντες ὄχλοι τοῖς εἰς τὰ δικαστήρια καὶ τὰς ἐκκλησίας ἀπαντῶσιν, ἀλλ' οἳ μὲν ἀπάτης ὀρέγονται καὶ ψυχαγωγίας, οἳ δὲ διδαχῆς, ὧν ἐπιζητοῦσι, καὶ ὠφελείας. οὔτε δὴ τὸν ἐν δικαστηρίοις λόγον ᾤετο δεῖν κωτίλλειν καὶ λιγαίνειν, οὔτε τὸν ἐπιδεικτικὸν αὐχμοῦ μεστὸν εἶναι καὶ πίνου. πανηγυρικοὺς μὲν οὖν λόγους οὐκ ἔχομεν | αὐτοῦ παρασχέσθαι· πάντας 1095
γὰρ ἔγωγε τοὺς ἀναφερομένους εἰς αὐτὸν ἀλλοτρίους εἶναι πείθομαι καὶ οὐδὲ κατὰ μικρὸν ἔχοντας τὸν ἐκείνου χαρακτῆρα οὔτ' ἐν τοῖς νοήμασιν ⟨οὔτ' ἐν τοῖς ὀνόμασι⟩, τῆς δὲ συνθέσεως ὅλῳ καὶ τῷ παντὶ λειπομένους. ὧν ἐστιν ὅ τε φορτικὸς καὶ κενὸς καὶ παιδαριώδης ἐπιτάφιος καὶ τὸ τοῦ σοφιστικοῦ λήρου μεστὸν ἐγκώμιον εἰς Παυσανίαν. τὰς δὲ περὶ τούτων

22—24 cf Bekkeri or att IV p 7, 29 (Demosth. ed. Blass I p 53) Phot. bibl. p. 492a 25

1 ταύτῃ] τήντη P 4 τοτὲ] τοςτὲ B 6 αὐτὴν om P 7 ἢ τῶν δὲ B 11 σκολὰς BP | συραέοντες P 12 παντῶσιν B 13 alterum καὶ bis P 14 οὔτε] οὐδὲ v | ᾤετο] ὥς|τε B 17 παραδε παρασχέσθαι B 18 αὐτοῦ εἰς αὐτὸν B sed αὐτοῦ postea deletum est 20 νοήμασι libri | οὔτ' ἐν τοῖς ὀνόμασι add Reiskius 22 σημείωσαι corr B in mg 23 καὶ τὸς οὗτο τὸ τοῦ P

ἀποδείξεις οὐχ οὗτος ὁ καιρὸς λέγειν. ἐκ δὲ τῶν ἐνα- 45
γωνίων αὐτοῦ λόγων, ὁπόσοι πρὸς δικαστήρια γεγόνασιν ἢ πρὸς ἐκκλησίας, τεκμαίρομαι, ὅτι ταύτην τὴν γνώμην ὁ ἀνὴρ εἶχεν. ὁρῶ γὰρ αὐτόν, εἴ ποτε λάβοι πράγματα χαριεστέρας δεόμενα κατασκευῆς, πανηγυρικὴν αὐτοῖς ἀποδιδόντα τῆς λέξεως ἁρμονίαν, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους πεποίηκε λόγῳ πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν οἷς τὸν περὶ τῶν νόμων
1096 ἀποδίδωσι λόγον καὶ τὸν περὶ τῶν φο|νικῶν δικαστηρίων, ἐφ' ἧς χρείας ἕκαστον αὐτῶν τέτακται· κἂν τῷ κατὰ Λεπτίνου περὶ τῆς ἀτελείας κατὰ πολλὰ μέρη, μάλιστα δ' ἐν τοῖς ἐγκωμίοις τῶν εὐεργετῶν τῆς πόλεως Χαβρίου τε καὶ Κόνωνος καί τινων ἑτέρων, κἂν τῷ περὶ τοῦ στεφάνου καὶ ἐν ἄλλοις συχνοῖς. τοῦτο δὲ δή μοι πρῶτον ἐνθυμηθεὶς δοκεῖ συμμεθαρμόζεσθαι ταῖς ὑποθέσεσι τὸν χαρακτῆρα τῆς συνθέσεως [τοῖς ὑποκειμένοις πράγμασι] καὶ ἔτι μετὰ τοῦτο τὰς ἰδέας τοῦ λόγου καταμαθών, ὅτι οὐχ ἅπασαι τὸν αὐτὸν ἀπαιτοῦσιν οὔτε ἐκλογῆς ὀνομάτων κόσμον οὔτε συνθέσεως, ἀλλ' αἳ μὲν τὸν γλαφυρώτερον αἳ δὲ τὸν αὐστηρότερον, καὶ τῇ τούτων ἀκολουθήσας χρείᾳ τὰ μὲν προοίμια καὶ τὰς διηγήσεις ποιεῖν [τὸ] πλεῖον ἐχούσας τοῦ σεμνοῦ τὸ ἡδύ, τὰς δὲ πίστεις καὶ τοὺς ἐπιλόγους τῆς μὲν ἡδείας συνθέσεως ἐλάττω

1 ἀποδείξεις — ἐκ δὲ τῶν om B 6 αὐτοῖς M, B in mg: αὐτῆς P, B in textu 10 κἂν Sylburgius: καὶ 11 πολλὰ μὲν καὶ ἄλλα Sadaeus 12 εὐεργετῶν] ευεργ̃|γιτικῶν P 13 καὶ κόνος καὶ κόνωνος P 14 ἄλλοις. τοῦ συχνοῖς B 15 τοῦτό τε δὴ Usener, cf de Isocr. 559 | συμμαθαρμόζεσθαι P 17 glossema deleui 18 ἰδέας corr in mg B 20 συνθεθέσεως B | γλαφυρώτερον Sylburgius: γλαφυρώτατον 21 τούτω B 22 ποιεῖ Sylburgius v | τὸ deleuit Sadaeus 23 περὶ τῶν πολιτικῶν in mg corr B

μοῖραν ἐχούσας, τῆς δὲ | αὐστηρᾶς καὶ πεπινωμένης 1097
πλείω. ἐν αἷς μὲν γὰρ δεῖ κολακευθῆναι τὸν ἀκροατὴν καὶ παρακολουθῆσαι τοῖς πράγμασι κακῶν ἀλλοτρίων διηγήσεις αὐχμηρὰς ἐνίοτε καὶ ἀηδεῖς ἀκούοντα, ἔνθα εἰ μὴ τὸ παρηδῦνον ἡ σύνθεσις ἐπενέγκοι ἢ παραμυθήσαιτο τὸν τῆς διανοίας κόπον, οὐχ ἕξουσιν αἱ πίστεις βάσιν ἀσφαλῆ· ἐν οἷς δὲ τὰ πρὸς τὴν ἀλήθειαν καὶ τὸ συμφέρον συντείνοντα λέγεσθαι· ταῦτα δὲ ἁπλοϊκῶς πως καὶ γενναίως καὶ μετὰ σεμνότητος αὐστηρᾶς ἀπαιτοῦσιν οἱ πολλοὶ μανθάνειν, τὸ δὲ κωτίλον ἐν τούτοις καὶ ἀπατηλὸν ὥραν οὐκ ἔχει ἐπὶ τῶν ἐναγωνίων λόγων. οὐ τὴν αὐτὴν οὖν ἐπιστάμενος ἁπάντων φύσιν οὐδὲ τοὺς αὐτοὺς ᾤετο δεῖν πᾶσι προσήκειν κόσμους, ἀλλὰ τοῖς μὲν δημηγορικοῖς τὸ ἀξίωμα καὶ τὴν μεγαληγορίαν μᾶλλον ἁρμόττειν, τοῖς | δὲ δικανικοῖς, ἔνθα τῶν ἀλλοτρίων 1098
ἀκουστὴς γίνεται κακῶν ὁ δικαστής, ψυχῆς τε καὶ τῶν ἄλλων, ὅσα τιμιώτατά ἐστιν ἀνθρώποις, ἀγών, τὴν χάριν καὶ τὴν ἡδονὴν καὶ τὴν ἀπάτην καὶ τὰ παραπλήσια τούτοις. διὰ τοῦτο ἐν μὲν ταῖς συμβουλαῖς καὶ μάλιστα ταῖς κατὰ Φιλίππου κατακορεστέραις κέχρηται ταῖς αὐστηραῖς ἁρμονίαις, ἐν δὲ τοῖς πρὸς τὰ δικαστήρια συνταχθεῖσι ταῖς γλαφυραῖς. καὶ αὐτῶν δὲ τῶν δικανικῶν πάλιν ἐν μὲν τοῖς δημοσίοις, ἔνθα

1 *πεπιωμένης* B 2 *ἐν αἷς* scil *διηγήσεσιν* 3 *παρακολουθῆσαι* (add *ν* super *σ*) *τὸν ἀκροατὴν καὶ παρακολουθῆναι* P 4 *διηγήσεις* et *ἀκούοντα* mg Bodl: *διηγήσεσιν* et *ἀκούοντας* libri 6 *διανίας* B | *κόπον* Reiskius: *σκοπὸν* 7 *πίσεις* B 11 *ὥραν*] *χώραν* Kiessling | *ἔχει* in mg B 12 *ἐπεὶ* B | *οὐ τὴν*] *αὐτὴν* B 13 *δεῖν* uacat, *δὴ* ci Usener 14 *κόσμους* in mg B 16 *ἀλοτρίων* B 17 *γίνεται — δικαστής* om B 18 *τιμιωτάτην* corr in *τιμιώτατα* P | *ἀγών* Reiskius: *ἀχρειῶν* 21 *κατακορεστέραι* M[1] 22 *αὐστηραῖς* Reiskius: *τοιαύταις*

τὸ ἀξίωμα ἔδει τῆς πόλεως φυλάξαι, ταῖς μεγαλοπρεπεστέραις πλείοσιν, ἐν δὲ τοῖς ἰδιωτικοῖς ἐλάττοσι. συνελόντι δ' εἰπεῖν, οὐ μόνον παρὰ τὰς ἰδιότητας 46
τῶν λόγων καὶ τὰς παραλλαγὰς τῶν ὑποθέσεων διαφόρους ᾤετο δεῖν ποιεῖσθαι τὰς κράσεις τῶν ἐν τῇ συνθέσει χαρακτήρων, ἀλλὰ καὶ παρ' αὐτὰ τὰ γένη τῶν ἐπιχειρημάτων τὰ συμπληρωτικὰ μέρη διαφόρους ἔχοντα τὰς φύσεις ὁρῶν διαλλαττούσαις κατασκευαῖς
1099 τῆς | ἁρμονίας ἐπειρᾶτο κοσμεῖν, ἄλλως μὲν τὰς γνωμολογίας συντιθείς, ἄλλως δὲ τὰ ἐνθυμήματα, διαφόρως δὲ τὰ παραδείγματα. πολὺς ἂν εἴη λόγος, εἰ τὰς διαφορὰς ἁπάσας βουλοίμην λέγειν, ὅσας ἐκεῖνος ὁ δαιμόνιος ἀνὴρ ὁρῶν καὶ πρὸς χρῶμα ἕκαστον αἰεὶ σχηματίζων τὸν λόγον, ἀνέσει τε καὶ ἐπιτάσει ταμιευόμενος τῶν ἁρμονιῶν ἑκατέραν, τοὺς καλοὺς ἐκείνους λόγους ἀνέπλασεν. παραδειγμάτων δ' οὐκ οἴομαι δεῖν ἐνταῦθα, ἵνα μοι μείζονα πίστιν ὁ λόγος λάβῃ τῶν ἔργων τοῦ ῥήτορος ἐξεταζομένων, εἰ τοιαῦτά ἐστιν, οἷα λέγω. πολὺ γὰρ ⟨ἂν⟩ ἡ σύνταξις τὸ μῆκος λάβοι καὶ δέος, μή ποτε εἰς τοὺς σχολικοὺς ἐκβῇ χαρακτῆρας ἐκ τῶν ὑπομνηματικῶν. ὀλίγα δὲ ληφθέντα τῶν πολλῶν ἱκανὰ τεκμήρια, καὶ ἅμα πρὸς ἐπισταμένους (οὐ γὰρ δή γε τοῖς ἀπείροις τοῦ ἀνδρὸς τάδε γράφω) τὸ δεῖξαι τὰ πράγματα συμβολικῶς ἀπόχρη. ἐπάνειμι
1100 δ' οὖν ἐπὶ τὰ λοιπά, ὧν ἐν ἀρχῇ προὐθέμην ἐρεῖν. |

1 *μεγαλοπεστέραις* M[1] 3 *δ' ειπνει* B | *παρὰ* mg Bodl: *περὶ* | *ἰδιώτητας* BP 4 *παραλαγὰς* B *παραλὰς* P 6 *καὶ τὰ παρ'* B 8 *κατασκεαῖς* B 9 *τῆς* Usener: *τὰς* 11 *εἴη* P 13 *αἰεὶ σχηματίζων* B *αἱ εἰσχηματίζων* P 14 *λόγων* B | *ἐπιτάσσει ταμιουόμενος* P 16 *ἂν ἔπλασεν* P 18 *ἐξεταζομένων* add *α* super *μέ* B 19 *ἂν* add Krüger 21 *ὑπομνηματισμῶν* MBPv: corr Sylburgius e libro(?) 23 *τά γε γράφω* P | *τὸ δεῖξαι*] *ὑποδεῖξαι* Krüger probante Usenero 25 *προὐθέ* ..... | *μην* P

47 δεύτερον δὴ κεφάλαιον ἦν ἐπιδεῖξαι, τίσι θεωρήμασι χρώμενος καὶ διὰ ποίας ἀσκήσεως προελθὼν τὸ κράτιστον μέρος ἔλαβε τῆς .... ἁρμονίας. ἐρῶ δὴ καὶ περὶ τούτων, ὡς ἔχω δόξης. δυεῖν ὄντων τελῶν περὶ πᾶν ἔργον, ὡς εἰπεῖν, ὧν τε φύσις δημιουργὸς καὶ ὧν αἱ τέχναι μητέρες, τοῦ καλοῦ καὶ τῆς ἡδονῆς, εἶδεν, ὅτι κἀν τοῖς λόγοις τοῖς τε ἐμμέτροις καὶ τοῖς ἔξω τοῦ μέτρου κατασκευαζομένοις .... ἔμελλεν ἀποχρώντως ἕξειν ἀμφοτέρων τούτων. χωρισθὲν γὰρ ἑκάτερον αὐτῶν θατέρου πρὸς τῷ μὴ τέλειον εἶναι καὶ τὴν ἰδίαν ἀρετὴν ἀμαυροτέραν ἴσχει. ταῦτα δὴ συνιδὼν καὶ τῆς μὲν αὐστηρᾶς τὸ καλὸν ὑπολαβὼν εἶναι τέλος, τῆς δὲ γλαφυρᾶς τὸ ἡδύ, ἐζήτει, τίνα ποιητικὰ τοῦ κάλλους ἐστὶ καὶ τίνα τῆς ἡδονῆς. εὕρισκε δὴ τὰ μὲν αὐτὰ ἀμφοτέρων ὄντα αἴτια, τὰ μέλη καὶ τοὺς ῥυθμοὺς καὶ τὰς μεταβολὰς καὶ τὸ παρακολουθοῦν ἅπα|σιν αὐτοῖς πρέπον, οὐ μὴν κατὰ 1101 τὸν αὐτὸν τρόπον ἑκάτερα σχηματιζόμενα. ὃν δὲ λόγον ἔχει τούτων ἕκαστον, ἐγὼ πειράσομαι διδάσκειν.

48 τοῖς πρώτοις μορίοις τῆς λέξεως, ἃ δὴ στοιχεῖα ὑπό τινων καλεῖται, εἴτε τρία ταῦτ᾽ ἐστίν, ὡς Θεοδέκτῃ τε καὶ Ἀριστοτέλει δοκεῖ, ὀνόματα καὶ ῥήματα καὶ σύνδεσμοι, εἴτε τέτταρα, ὡς τοῖς περὶ Ζήνωνα τὸν

1 δευτέρων δὴ κεφάλεον B 3 ἔλαβη B | lac X—XII litt M nulla in BPv μικτῆς καὶ μέσης suppleuit Sadaeus 5 ὧν] ὧς P | ἡ φύσις Sylburgius | δημηουργὸς B 8 τοῦ μέτρου M²: τοῦ ἐμμέτρου M¹BPv | lacunam indicaui. excidit fere οὐδεὶς ἀξιόλογος ἐγένετο, εἰ μὴ 9 χορισθὲν B 12 post αὐστηρᾶς add ἁρμονίας Krüger 13 τὸ τέλος Pv 14 κάλλους] καλοῦς B 16 τοὺς] τὴς B 17 παρακολουθεῖν BP καί τι τὸ παρακολουθοῦν repetit P | πρέπον scripsi Martinii uersionem secutus] παραίτιον MBPv 23 εἴτε τέτταρα — στωικόν om Pv

Στωικόν, εἴτε πλείω, δύο ταῦτα ἀκολουθεῖ μέλος καὶ χρόνος ἴσα. κατὰ μὲν δὴ τὰς ὀξύτητάς τε καὶ βαρύτητας αὐτῶν τάττεται τὸ μέλος, κατὰ δὲ τὰ μήκη καὶ τὰς βραχύτητας ὁ χρόνος. οὗτος δὲ γίγνεται ῥυθμός, εἴτε ἀπὸ δυεῖν ἀρξάμενος συνίστασθαι βραχειῶν, ὥσπερ οἴονταί τινες καὶ καλοῦσι τὸν οὕτως κατασκευασθέντα ῥυθμὸν ἡγεμόνα, πρῶτον ἔχοντα λόγον τῶν ἴσων ἄρσει τε καὶ θέσει χρόνων, εἴτε ἀπὸ τριῶν βραχειῶν, ὡς τοῖς περὶ Ἀριστόξενον ἔδοξεν, ὃς ἐν τῷ διπλασίῳ κατεσκεύασται λόγῳ πρῶτον. τοῖς δ᾽ ἐκ τῶν πρώτων μορίων τῆς λέξεως συντιθεμένοις τό τε μέλος εἰς | 1102 αὔξησιν ἤδη συμπροάγει καὶ οἱ ῥυθμοὶ προβαίνουσιν εἰς τὰ καλούμενα μέτρα. ὅταν δὲ μέλλῃ τούτων ἑκάτερον ὑπεραίρειν τὸ μέτρον, ἡ μεταβολὴ τότε εἰσελθοῦσα ταμιεύεται τὸ οἰκεῖον αὐτῶν ἀγαθὸν ἑκατέρου. ἐπειδὰν δὲ τὴν ἁρμόττουσαν ταῦτα χώραν λάβῃ, τότε ἀποδίδωσιν αὐτοῖς τὴν προσήκουσαν ὥραν τὸ πρέπον. καὶ τοῦτο οὐ χαλεπὸν ἐπὶ τῶν τῆς μουσικῆς ἔργων καταμαθεῖν. φέρε γάρ, εἴ τις ᾠδαῖς ἢ κρούμασιν ὀργάνων τὸ κάλλιστον ἐντείνας μέλος ῥυθμοῦ μηδένα ποιοῖτο λόγον, ἔσθ᾽ ὅπως ἄν τις ἀνάσχοιτο τῆς τοιαύτης μουσικῆς; τί δέ; εἰ τούτων μὲν ἀμφοτέρων προνοηθείη μετρίως, μένοι δ᾽ ἐπὶ τῆς αὐτῆς μελῳδίας

4 γίνεται M | ῥηθμὸς corr in ῥυθμὸς B ῥηθμοὺς corr in ῥυθμὸς P 5 ἀποδύειν B 6 καλοῦσιν B 7 λόγων P 8 χρόνον in χρόνων corr P 9 Ἀριστόξενοις accentu super ε deleto P | ἔδοξαν BP 10 κατεσκεύασθαι BP | πρώτων] πρῶτον B 11 μέρος BPv 12 αὔξεισιν B 14 τὸ μέτρον M: τὸν μέτρον in mg B τῷ μέτρῳ B in textu, Pv 15 εἰκεῖον B 16 ταῦτα χώραν — προσήκουσαν bis scribuntur in P 20 ῥυθμοῦ μοὺ B sed μοὺ corrector sustulit 21 ποιοῖτο Krüger ποιήσαιτο Sadaeus: ποιῆται | ὁπῶς B | ἀνσχοιτο P ο et accentu super νσ addito 22 τί δ(ὲ — μένοι δ᾽) inclusa bis scripsit P

καὶ τῶν αὐτῶν ῥυθμῶν, οὐδὲν ἐξαλλάττων οὐδὲ ποι-
κίλλων, ἆρ' οὐχ ὅλον ἂν διαφθείροι τὸ ἀγαθόν; εἰ δὲ
καὶ τούτου στοχάσαιτο, μηδεμίαν δὲ πρόνοιαν ἔχων
φαίνοιτο τοῦ πρέποντος τοῖς ὑποκειμένοις, οὐκ ἀνό-
νητος αὐτῷ πᾶς ὁ περὶ ἐκεῖνα ἔσται πόνος; ἐμοί γ'
οὖν δοκεῖ. ταῦτα δὴ καταμαθὼν ὁ Δημοσθένης τά τε
μέλη τῶν ὀνομάτων καὶ κώλων καὶ τοὺς χρόνους αὐ-
τῶν ἐπι|λογιζόμενος οὕτω συναρμόττειν αὐτὰ ἐπει- 1103
ρᾶτο, ὥστ' ἐμμελῆ φαίνεσθαι καὶ εὔρυθμα, ἐξαλλάττειν
τε καὶ ποικίλλειν ἑκάτερον αὐτῶν ἐπειρᾶτο μυρίοις
ὅσοις σχήμασι καὶ τρόποις καὶ τοῦ πρέποντος ὅσην
οὐδεὶς τῶν περὶ λόγους σπουδαζόντων ἐποιεῖτο δόσιν.
ἐνθυμηθεὶς δέ, ὥσπερ ἔφην, ὡς διὰ τῶν αὐτῶν τού-
των θεωρημάτων ὅ τε ἡδὺς γίνεται λόγος καὶ ὁ καλός,
ἐσκόπει πάλιν, τί ποτε ἦν τὸ αἴτιον, ὅτι τὰ αὐτὰ οὐ
τῶν αὐτῶν ἦν ποιητικά. εὕρισκε δὴ τῶν τε μελῶν
οὔσας διαφοράς, αἳ ποιοῦσιν ἃ μὲν ἀξιωματικὰ φαί-
νεσθαι αὐτῶν ἃ δὲ γλαφυρά, ὥσπερ ἐν τοῖς μουσικοῖς
ἔχει πρὸς τὴν ἁρμονίαν τὸ χρῶμα, κἂν τοῖς ῥυθμοῖς
δὲ τὸ παραπλήσιον γινόμενον, ὥστε τοὺς μὲν ἀξιω-
ματικοὺς αὐτῶν φαίνεσθαι καὶ μεγαλοπρεπεῖς, τοὺς δὲ
τρυφεροὺς καὶ μαλακούς. ἔν τε ταῖς μεταβολαῖς τοτὲ
μὲν τὸ ἀρχαιοπρεπὲς | καὶ αὐστηρόν, τοτὲ δὲ τὸ με- 1104

1 post ῥυθμῶν in P folio 73° incipiente ἀνάσχοιτο (sic) — ῥυθμῶν uerba repetuntur | πικίλλων B 2 ἂν, quod in libris post οὐδὲν est, post ὅλον posuit Sadaeus | διαφθείροι Sylburgius: διαφθείρῃ 3 στοχούσαιτο BP 7 αὐτῶ B qui ἐπιλογιζόμενος οὕτω omittit 8 αὐτὰ Sylburgius: αὐτὰς 9 ἐμελῆ B εὐμελῆ Sylburgius | εὔρυθμα Sylburgius: εὔρυθμον 10 τε] δὲ Krüger 11 σχήμασιν BP | τρόπονις B | ιρέποντος P 14 θεορημάτων BP | ὁ καλὸς] ὁ λο καλὸς P 16 τε] τι P 18 μουσικῆς B 20 παραπλήσιοον P 22 τροφεροὺς P 23 τὸ om v | τοτὲ δὲ τὸ μελιχρὸν Usener: τό τε λεγόμενον ἐχθρὸν

λιχρὸν καὶ φιλόκαινον ἐμφαινόμενον. τό τε δὴ πρέπον
ἁπάντων μάλιστα μεγάλην παρέχον εἰς ἑκάτερον αὐτῶν
ῥοπήν. συνιδὼν δὴ ταῦτα, ὁπότε μὲν τοῦ καλοῦ πλεί-
ονος δεῖν αὐτῷ τῇ κατασκευῇ ὑπολάβοι, τάς τε ἐμ-
μελείας ἐποίει μεγαλοπρεπεῖς καὶ τοὺς ῥυθμοὺς ἀξιω-
ματικοὺς καὶ τὰς μεταβολὰς γενναίας. ὁπότε δὲ τῆς
ἑτέρας αὐτῷ φανείη δεῖσθαι συνθέσεως ἡ λέξις, πάντα
ταῦτα κατεβίβαζεν ἐπὶ τὸ μουσικώτερον. καὶ μηδεὶς
ὑπολάβῃ θαυμαστὸν εἶναι τὸν λόγον, εἰ καὶ τῇ πεζῇ
λέξει φημὶ δεῖν ἐμμελείας καὶ εὐρυθμίας καὶ μετα-
βολῶν, ὥσπερ ταῖς ᾠδαῖς καὶ τοῖς ὀργάνοις, εἰ μηδενὸς
τούτων ἀντιλαμβάνεται τῆς Δημοσθένους ἀκούων λέ-
ξεως, μηδὲ κακουργεῖν με ὑπολάβῃ τὰ προσόντα τῇ
1105 ψιλῇ λέξει προσμαρτυροῦντα. | ἔχει γὰρ ταῦτα ἡ
καλῶς κατεσκευασμένη λέξις καὶ μάλιστά γε ἡ τοῦδε
τοῦ ῥήτορος. τῇ δ' εὐκαιρίᾳ καὶ τῇ ποσότητι τὴν
αἴσθησιν διαλανθάνει· τὰ μὲν γὰρ συγκέχυται, τὰ δὲ
συνέφθαρται, τὰ δ' ἄλλῳ τινὶ τρόπῳ τὴν ἀκρίβειαν
ἐκβέβηκεν τῆς κατασκευῆς, ὥστε αὐτὴν ἐξηλλάχθαι δο-
κεῖν τῷ παντὶ καὶ κατὰ μηδὲν ἐοικέναι τοῖς ποιήμασιν.

ἆρά γε ἀπαιτήσει μέ τις ἐνταυθοῖ λόγον μελῶν τε 49
καὶ ῥυθμῶν καὶ τῶν ἐν ταῖς μεταβολαῖς σχημάτων καὶ
τοῦ ἐν ἑκάστῳ πρέποντος, ἀξιῶν ἀκοῦσαι, τίνα τε

2 παρέχων BP 3 ῥοπὴν Sylburgius: τρόπον | πλείονα BPv 4 αὐτῷ MBPv | τῇ κατασκευῇ] τὴν κατασκευὴν MBPv | τάς τε ἐμμελεῖ P τά τε μέλη Sylburgius v 5 μεγαλωπρεπεῖς B | ῥηθμοὺς in ῥυθμοὺς corr B ῥηθμοὺς P 7 λέξις postea add M 8 μετεβίβαζεν Usener 9 ὑπολάβηθη B | τῇ πεζῇ λέξει Sylburgius: τὴν πεζὴν λέξιν 10 ἐμμελείων B 12 λέξεων B 13 καινουργεῖν Kiessling | με om v | τὰ μὴ προσόντα Sylburgius 15 κατεσκευσμένη B 18 συνέφθαρται cum signo P | in mg ἀντὶ τοῦ συγκέκραται (συγκίκραται P) MBP | δὲ ἄλλῳ BP 19 αὐτὸν BPv 23 τοῦ πρέποντος Reiskius: τοὺς πρέποντας

αὐτῶν ἐστιν, οἷς ἡ φιλάρχαιος ἁρμονία κοσμεῖται, καὶ τίνα τῆς κωτίλης γένοιτ' ἂν ἁρμονίας; ἢ οἰκειοτέραν τὴν ἐκ παιδὸς ἐπιφερόμενος εὐμουσίαν, ἣν ἔκ τε μουσικῆς καὶ γραμματικῆς ἔσχηκεν, αἵ ταῦτ' ἔχουσι τὰ θεωρήματα, ἐπιλαβόντα τὸ χρονίζειν ἐν τοῖς κοινοῖς καὶ γνωρί|μοις τὸν λόγον οὐ συκοφαντήσει, ἄλλως 1106
τε καὶ τοῦ καιροῦ τὰ μέτρα ὁρῶν; οἴομαι μὲν οὖν, ὡς καὶ δόξαν ἐπιεικῆ περὶ τῶν ἄλλων ἔχω, ἀρξάμενος ἀπὸ σοῦ, φίλτατε Ἀμμαῖε, καὶ ἐκ τῆς εὐμουσίας τῆς σῆς λαμβάνων. εἰ δέ τις ἀπαιτήσει καὶ ταῦτ' ἔτι μαθεῖν ὅπη ποτ' ἔχει, τοὺς ὑπομνηματισμοὺς ἡμῶν λαβών, οὓς περὶ τῆς συνθέσεως τῶν ὀνομάτων πεπραγματεύμεθα, πάντα ὅσα ποθεῖ τῶν ἐνθάδε παραλειπομένων εἴσεται. ἐγὼ δὲ τῇδέ πῃ περιγράψας τὸν ὑπὲρ τούτων λόγον ἐπὶ τὸ περιλειπόμενον ἐλεύσομαι μέρος.

50 ὑπεσχόμην γὰρ καὶ τοῦτο δείξειν ἔτι, πῶς ἄν τις διαγνοίη τὸν χαρακτῆρα τῆς Δημοσθένους συνθέσεως καὶ ποίοις χρώμενος σημείοις ἀπὸ τῶν ἄλλων διορίσειεν. ἓν μὲν οὖν οὐδέν ἐστι παράσημον αὐτῆς ἐκφανὲς οὕτως, ὥστε μόνῃ ταύτῃ καὶ μηδεμιᾷ τῶν ἄλλων παρακολουθεῖν, ἡ δὲ συνδρομή τε καὶ πλεονασμός, οἷς ἐλέγχεσθαι πέφυκε παντὸς πράγματος καὶ σώματος

1 ’στιν P 3 ἐπιφερόμενος M: εὐφερόμενος B ευφαιρόμενος Pv 4 ἔσχηκεν, αἵ] ἐσχηκέναι MPv ἐσχησαμένη B | ταῦτα M 5 ἐπιλαβόντα] περιλαβόντα MBPv 7 καιροῦ MB: ῥοῦ Pv | οἴομαι — περὶ τῶν om Pv | οὖν ὡς] οὕτως MB cf de Isaeo c 12 10 λαμβάνω MBPv | ἔτι] ἔστι B 11 ὅπῃ M²: ὃ μὴ M¹BP 12 πεπραγμάτευθα P πεπραγματεύμεθα — τῶν om B 13 ἐνδάδε B 15 λόγων in λόγον corr P | περιλειπομένων Sylburgius: παραλειπομένων 16 δείξειν ἔτι postea add M 17 διανοίη BP 18 χρώμενος σημείοις] χρωμένοις B 19 ἓν] ἐν M | οὐδενὶ B 20 μόνῃ ταύτῃ scil τῇ συνθέσει 21 ὁ πλεονασμός Reiskius 22 ἐλέγχεσθαι uix sanum est, ἐνέχεσθαι ci Usener

1107 γνῶσις, ἴδιος | αὐτῆς γίνεται χαρακτήρ. χρήσομαι δ' εἰκόνι φανερᾷ τῆς σαφηνείας ἕνεκα τοῖς σώμασι τῶν ἀνθρώπων. ἅπασι δή που συμβέβηκε μέγεθός τε καὶ χρῶμα καὶ σχῆμα καὶ μέλη καὶ ῥυθμός τις τῶν μελῶν καὶ τὰ παραπλήσια τούτοις. εἰ δή τις ἀφ' ἑνὸς τούτων ἀξιώσει τὸν χαρακτῆρα σκοπεῖν, οὐδὲν ἀκριβὲς εἴσεται. ἐν πολλαῖς γὰρ ἂν εὕροι μορφαῖς τοιοῦτόν τι ἕτερον, οἷον ἔθετο τῆς μιᾶς μορφῆς σύμβολον. ἐὰν δὲ πάντα συνθῇ τὰ συμβεβηκότα τῇ μορφῇ ἢ τὰ πλεῖστα ἢ τὰ κυριώτατα, ταχεῖάν τε πάνυ τὴν γνῶσιν λήψεται καὶ οὐκ ἐπι... σεται ταῖς ὁμοιότησι. τοῦτο δὴ ποιεῖν ἀξιώσαιμ' ἂν καὶ τοὺς βουλομένους τὴν σύνθεσιν ἀκριβῶς εἰδέναι τὴν Δημοσθένους, ἐκ πολλῶν αὐτὴν δοκιμάζειν ἰδιωμάτων, λέγω δὴ τῶν κρατίστων τε καὶ
1108 κυριωτάτων· πρῶτον ἐκ | τῆς ἐμμελείας, ἧς κριτήριον ἄριστον ἡ ἄλογος αἴσθησις. δεῖ δὲ αὐτῇ τριβῆς πολλῆς καὶ κατηχήσεως χρονίου· οὐ γὰρ δὴ πλάσται μὲν καὶ ζωγράφων παῖδες, εἰ μὴ πολλὴν ἐμπειρίαν λάβοιεν, χρόνῳ τρίψαντες τὰς ὁράσεις μακρῷ περὶ τὰς τῶν ἀρχαίων δημιουργῶν τέχνας, οὐκ ἂν εὐπετῶς αὐτὰς διαγνοῖεν καὶ οὐκ ἂν ἔχοιεν εἰπεῖν βεβαίως, ὅτι [τῇ φήμῃ παραλαβόντες] τουτὶ μέν ἐστι Πολυκλείτου τὸ ἔργον, τουτὶ δὲ Φειδίου, τουτὶ δὲ Ἀλκαμένους, καὶ τῶν γραφῶν Πολυγνώτου μὲν αὕτη, Τιμάνθους δὲ

2 σαφεινίας P σαφικίας in mg σαφηνείας B | ἕνεκα τοῖς M ci Reiskius: ἐν ἑκάστοις BP | σημείωσαι in mg B 5 an ἐφ' ἑνὸς? 7 τι M: δὴ BPv 9 συνθῇ τὰ Reiskius] τὰ συνήθη 10 κυριώτερα B 11 οὐκ ἐπϊ ... σεται (III l) M οὐκ ἔτι ... σεται (III l) et in mg οὐκ επϊ B οὐκ ἐπισεται P fort οὐκ ἐπισπάσεται uelut παρακρούσεται de Isaeo p 559 13 Δημοσθένους postea add M 14 δὲ Krüger 15 πρῶτον μὲν? 16 αἰσθήσησις B 17 οὐδὲ γὰρ ci Usener 21 διανοῖεν BP 22 τῇ φήμῃ παραλαβόντες seclusi φήμι P

ἐκείνη, αὕτη δὲ Παρρασίου. λόγων δὲ ἆρα τινὲς ἀκρι-
βῶς ἐξ ὀλίγων παραγγελμάτων καὶ προσκαίρου | κατη- 1109
χήσεως ἐμμελοῦς ἁρμονίας εἴσονται φύσιν; πολλοῦ γε
καὶ δεῖ. τοῦτο μὲν δὴ πρῶτον οἴομαι δεῖν σκοπεῖν
ἐπιστήμῃ γε καὶ ἔθει, μετὰ δὲ τοῦτο τὴν εὐρυθμίαν.
οὐ γάρ ἔστι λέξις οὐδεμία Δημοσθένους, ἥτις οὐκ ἐμ-
περιείληφε ῥυθμοὺς καὶ μέτρα τὰ μὲν ἀπηρτισμένα
καὶ τέλεια, τὰ δ' ἀτελῆ, τοιαύτην ἐπιπλοκὴν ἔχοντα ἐν
ἀλλήλοις καὶ οὕτως συνηρμοσμένα, ὥστε μὴ δῆλον
εἶναι, ὅτι ἐστὶ μέτρα. οὐ γὰρ ἂν ἄλλως γένοιτο πολι-
τικὴ λέξις παρ' αὐτὴν τὴν σύνθεσιν ἐμφερὴς ποιήμασιν,
ἂν μὴ περιέχῃ μέτρα καὶ ῥυθμούς τινας ἐγκατακεχωρι-
σμένους ἀδήλως. οὐ μέντοι γε προσήκει αὐτὴν ἔμμετρον
οὐδ' ἔρρυθμον εἶναι δοκεῖν, ἵνα μὴ γένηται ποίημα
ἢ μέλος, ἐκβᾶσα τὸν αὐτῆς χαρακτῆρα, ἀλλ' εὔρυθμον
αὐτὴν ἀπόχρη φαίνεσθαι καὶ εὔμετρον. οὕτω γὰρ ἂν εἴη
ποιητικὴ μέν, οὐ μὴν ποίημά γε, καὶ μελίζουσα μέν, οὐ
μὴν μέλος. | τίνα δ' ἔχει ταῦτα διαφοράν, οὐ χαλεπὸν 1110
ἰδεῖν. ἡ μὲν ὅμοια παραλαμβάνουσα μέτρα καὶ ῥυθμοὺς
τεταγμένους εἴτε κατὰ στίχον εἴτε κατὰ περίοδον, ἣν
καλοῦσιν ⟨οἱ⟩ μουσικοὶ στροφήν, κἄπειτα πάλιν τοῖς
αὐτοῖς ῥυθμοῖς καὶ μέτροις ἐπὶ τῶν αὐτῶν στίχων ἢ

1 δὲ post αὕτη om P | παρασίου MPv | λόγον B | ἄρα B 2 παραγελμάτων B | προσκαίρους P 3 φύσιν postea add M item 4 πρῶτον et σκοπεῖν | πολοῦ B 4 εἴομαι B 5 εὐρηθμίαν B 7 μέτρα τὰ M: μέτρα BP 9 μὴ δῆλον εἶναι] μηδ' ἡμῖν νοεῖν M (postea additum) BPv 10 καὶ οὐ γὰρ B ceterum cf de comp 196, 6 sq 11 ἐμφορὴς P 13 ἀδήλως M: ἀδήλου P δηλοῦ B 15 μέλλος P | αὐτῆς MP αὐτὴν B | εὔρυθμον] οὐ ρυθμὸν B 18 ἔχει P: ἔχοι M ἔχει οι B fort igitur τίνα δ' ἂν ἔχοι. hinc cf de comp 196, 15 sq 21 καλοῦσι MP καλλοῦσι B | οἱ add Sylburgius ceterum cf de Lys 474 | στροφὴ in mg B

περιόδων, ἃς ἀντιστρόφους ὀνομάζουσι, χρωμένη καὶ
τῷ σχήματι τούτῳ τῆς κατασκευῆς ἀπὸ τῆς ἀρχῆς
μέχρι τοῦ τέλους προβαίνουσα ἔμμετρός τ' ἐστὶ καὶ
ἔρρυθμος, καὶ ὀνόματα κεῖται τῇ τοιαύτῃ λέξει μέτρον
καὶ μέλος, ἡ δὲ περιπεπλανημένα μέτρα καὶ ῥυθμοὺς
ἀτάκτους ἐμπεριλαμβάνουσα καὶ μήτε ἀκολουθίαν αὐ-
τῶν φυλάττουσα μήτε ὁμοζυγίαν μήτ' ἄλλην ὁμοιότητα
τεταγμένην μηδεμίαν εὔρυθμος μέν ἐστι καὶ εὔμετρος,
ἐπειδὴ διαπεποίκιλται μέτροις τε καὶ ῥυθμοῖς τισιν,
οὐ μὴν ἔρρυθμός γε οὐδὲ ἔμμετρος, ἐπειδὴ οὐχὶ τοῖς
αὐτοῖς οὐδὲ κατὰ ταὐτὰ ἔχουσι. τοιαύτην δή φημι
πᾶσαν εἶναι λέξιν πολιτικήν, ἐν ᾗ τὸ ποιητικὸν ἐμ-
1111 φαίνεται κάλλος. ᾗ καὶ | τὸν Δημοσθένη κεχρημένον
ὁρῶ. τὰς δὲ περὶ τούτου τοῦ μέρους πίστεις ἐν τοῖς
περὶ τῆς συνθέσεως γραφεῖσιν ἀποδεδωκὼς οὐκ ἀναγ-
καῖον ἡγοῦμαι κἀνταῦθα λέγειν. τρίτον ἔτι καὶ τέταρ-
τον ἰδίωμα τῆς συνθέσεως τοῦ ῥήτορος ἦν τό τε
ἐξαλλάττειν παντοδαπῶς καὶ τὸ σχηματίζειν ποικίλως
τὰ κῶλα καὶ τὰς περιόδους. οὐδὲ γὰρ ἔστιν οὐδεὶς
ἁπλῶς τόπος, ὃς οὐχὶ διαπεποίκιλται ταῖς τε ἐξαλλα-
γαῖς καὶ τοῖς σχηματισμοῖς, ὡς ἅπαντες ἴσασι, καί μοι
δοκεῖ ταῦτα μὴ λόγων δεῖσθαι γνώριμα καὶ τοῖς
φαυλοτάτοις ὄντα.

1 ἀντιστροφὴ in mg B | ἀντιστροφὰς Sylburgius 2 τῳ P 4 ἐρρυθμὺς B sequentia usque ad ῥυθμοὺς u 5 omittens 6 ἐμπεριλαμβάνουσα] ἐμπεριπεπλανημένα μέτρα καὶ ῥυθμοὺς ἀτάκτους ἐμπεριλαμβάνουσα B | ἀκολουθείαν B 7 μήτε ἄλλην P μήτε — μηδεμίαν om B 9 μέτροις τε καὶ] μέτροις τε καὶ εὔμετρος ἐ μέτροις τε καὶ B 10 οὐχὴ οὐχὶ P 11 δὴ de comp p 197: δὲ 13 κάλος BP 14 ὁρῶν B | τούτους B 15 τῆς συνθέσεως] συντάξεως B | ἀποδεδοκὼς B 17 τότε M 18 ποικίλλως P 20 ὃς Sylburgius: οιὸς P οἷος B οἶος M | τὲ P

51 ταυτί μοι δοκεῖ μηνύματα τῆς συνθέσεως εἶναι τῆς Δημοσθένους ⟨ἀνυφαίρετα⟩ καὶ χαρακτηρικά, ἐξ ὧν ἄν τις αὐτὴν διαγνοίη πᾶσαν, ἐξετάζειν βουληθείς. εἰ δέ τις ὑποτεύξεται πρὸς ταῦτα θαυμάζειν λέγων, εἰ καὶ κακοδαίμων οὕτως ἦν ὁ τηλικοῦτος ἀνήρ, ὥσθ', ὅτε γράφοι τοὺς λόγους, ἄνω καὶ κάτω στρέφειν τὰ μόρια τῆς λέ|ξεως καὶ τὰ ἐκ τούτων συντιθέμενα κῶλα, 1112 ἐμμελείας τε καὶ ῥυθμοὺς καὶ μέτρα, μουσικῆς οἰκεῖα θεωρίας πράγματα καὶ ποιητικῆς, εἰς τὴν πολιτικὴν ἐναρμόττων φράσιν, ᾗ τούτων οὐδενὸς μέτεστιν, πρῶτον μὲν ἐκεῖνο ἐνθυμηθήτω, ὅτι ὁ τοσαύτης δόξης ἠξιωμένος ἀνὴρ ἐπὶ λόγοις, ὅσης οὐδεὶς τῶν πρότερον, αἰώνια συνταττόμενος ἔργα καὶ τῷ πάντα βασανίζοντι χρόνῳ παραδιδούς, οὐδὲν ἐκ τοῦ ἐπιτυχόντος ἔγραφεν. ἀλλ' ὥσπερ τῆς ἐν τοῖς νοήμασιν οἰκονομίας πολλὴν ἐποιεῖτο δόσιν, οὕτω καὶ τῆς ἐν τοῖς ὀνόμασιν ἁρμονίας, ὁρῶν γε δὴ τούτους τοὺς θαυμαζομένους ἐπὶ σοφίᾳ καὶ κρατίστων λόγων ποιητὰς νομιζομένους Ἰσοκράτην καὶ Πλάτωνα γλυπτοῖς καὶ τορευτοῖς ἐοικότας ἐκφέροντας λόγους, ἐνθυμούμενος δ', ὅτι τοῦ λέγειν εὖ διττὴ ἡ διαίρεσίς ἐστιν, εἴς τε τὸν πραγματικὸν τόπον καὶ εἰς τὸν λεκτικόν, καὶ τούτων πάλιν | ἀμφοτέρων 1113 εἰς τὰς ἴσας διαιρεθέντων τομάς, τοῦ πραγματικοῦ μὲν

1 μηνύματι BP 2 ἀνυφαίρετα ex c 34 addidi 3 διανοίη BP | πᾶσαν suspectat Usener 5 οὖτος BP 6 γράφει BPv | ἄνο B | τρέφην τρέφειν P 7 συνθεμένᾱ (sic) P signo super συν addito 8 οἰκεῖα — ποιητικῆς om B 10 ἐναρμόττειν MB²Pv ἐναρμόνιαν ἐναρμόττειν B¹ 13 αἰ αἰώνια P αἰώνια add αι super ιω B 16 τῆς ἁρμονίας Sylburgius: τὴν ἁρμονίαν 17 τούτους τοὺς] τούτους P τοὺς v 18 νομειζομένους P | ἰσοκρατίστων λόγων ποιητὰς νομιζομένους post νομιζομένους exhibet B 19 γλοιπτοῖς corr in γλυπτοῖς P 21 πραγματικῶν B | τόπον Reiskius: τρόπον | πραγματικός in mg B 22 λεκτικός in mg B | τὸν — 23 εἰς add M² 23 παρασκ πραγματικοῦ B

εἴς τε τὴν παρασκευήν, ἣν οἱ παλαιοὶ καλοῦσιν εὕρεσιν, καὶ εἰς τὴν χρῆσιν τῶν παρεσκευασμένων, ἣν προσαγορεύουσιν οἰκονομίαν, τοῦ λεκτικοῦ δὲ εἴς τε τὴν ἐκλογὴν τῶν ὀνομάτων καὶ εἰς τὴν σύνθεσιν τῶν ἐκλεγέντων, ἐν ἑκατέρῳ τούτων πλείω μοῖραν ἔχει τὰ δεύτερα τῶν προτέρων· τὸ μὲν οἰκονομικὸν ἐν τῷ πραγματικῷ, τὸ δὲ συνθετικὸν ἐν τῷ λεκτικῷ. περὶ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι μηκύνειν. ταῦτα γὰρ ἐννοηθείη ἄν, εἴ τις μὴ κομιδῇ σκαιὸς ἢ δύσερις, καὶ οὐκ ἂν θαυμάσειεν, εἰ φροντὶς ἐγένετο Δημοσθένει [ἔτι] μελῶν καὶ ῥυθμῶν καὶ σχημάτων, καὶ τῶν ἄλλων πάντων, οἷς ἡδεῖα καὶ καλὴ γίνεται σύνθεσις. τοὐναντίον γὰρ μᾶλλον ὑπολάβοι τις ⟨ἂν⟩ ἀνὴρ μήτε ὀλιγόπονος μήτε ἁψίκορος μήτε ἀκρόσοφος ἄπορον εἶναι καὶ ἀμήχανον, ἢ μηδεμίαν ἐπιμέλειαν πεποιῆσθαι τὸν ῥήτορα τῆς
1114 ἁρμονίας | τῶν λόγων ἢ φαύλην τινά, βουλόμενον μνημεῖα τῆς ἑαυτοῦ διανοίας ἀθάνατα καταλιπεῖν. οὐ γὰρ δή τοι πλάσται μὲν καὶ γραφεῖς ἐν ὕλῃ φθαρτῇ χειρῶν εὐστοχίας ἐνδεικνύμενοι τοσούτους εἰσφέρονται πόνους, ὥστε καὶ φλέβια καὶ πτίλα καὶ χνοῦς καὶ τὰ τούτοις ὅμοια εἰς ἄκρον ἐξεργάζεσθαι καὶ κατατήκειν εἰς ταῦτα τὰς τέχνας, πολιτικὸς δ' ἄρα δημιουργός,

2 παρεσκευασμένων Sylburgius: παρασκευασμένων 3 εἴς τε] εἰς Pv 4 ἐκλογεῖν P | τῶν ὀνομάτων] τῶν παρασκευασμένων τῶν ὀνομάτων B 7 συνθετικὸν Krüger: συντιθέμενον 8 μηκύνειν M: μῆν δειν B μῆδειν in mg μηκύειν P 9 ἐννοήθει B | μὴ] εἴη MBPv 10 ἐγένετο de comp 209: ἐγίνετο ex ἐγένετο M ἔγετο corr in ἐγίνετο P γίνετο B ἐγίνετο v 11 ἔτι seclusit Reiskius 12 καὶ καλὴ] καλὴ B 13 ἂν add Reiskius 14 ἁψίκορος Casaubonus: τερψίχορος MP τερψίχροος τερψίχορος B 15 πεποιεῖσθαι B 18 χειρῶν εὐστοχίας ἐνδεικνύμενοι (ἐνδεικνούμενα B) τοσούτους εἰσφέρονται (εἰσφέροντες B in textu et mg) πόνους MB: χείροντες πόνους Pv 20 χνοῦν de comp 209

πάντας ὑπεράρας τοὺς καθ' αὑτὸν φύσει τε καὶ πόνῳ, τῶν ἐλαχίστων τινὸς εἰς τὸ εὖ λέγειν, εἰ δὴ καὶ ταῦτα ἐλάχιστα, ὠλιγώρησε.

52 βουλοίμην δ' ἂν καὶ ταῦτα ἐνθυμηθῆναι [διότι] τοὺς ἔτι δυσπείστως ἔχοντας πρὸς τὰ εἰρημένα, ὅτι μειράκιον μὲν ἔτι ὄντα καὶ νεωστὶ τοῦ μαθήματος ἁπτόμενον αὐτὸν οὐκ ἄλογον ἦν καὶ ταῦτα καὶ τἆλλα πάντα διὰ πολλῆς ἐπιμελείας τε καὶ φροντίδος ἔχειν, ἐπειδὴ δ' ἡ χρόνιος ἄσκησις ἕξιν αὐτῷ ἐνεποίησε πολλὴν καὶ τύπους | ἰσχυροὺς ἐνειργάσατο τῶν αἰεὶ με- 1115
λετωμένων, τότε ἀπὸ τοῦ ῥᾴστου τε καὶ τῆς ἕξεως αὐτὸ ποιεῖν. οἷόν τι γίνεται καὶ περὶ τὰς ἄλλας τέχνας καὶ οὐχ ἥκιστα περὶ τὴν καλουμένην γραμματικήν. ἱκανὴ γὰρ αὕτη καὶ τὰς ἄλλας τεκμηριῶσαι, φανερωτάτη πασῶν οὖσα καὶ θαυμασιωτάτη. ταύτην γὰρ ὅταν ἐκμάθωμεν, πρῶτον μὲν τὰ ὀνόματα τῶν στοιχείων τῆς φωνῆς ἀναλαμβάνομεν, ἃ καλεῖται γράμματα. ἔπειτα ⟨τοὺς⟩ τύπους τε αὐτῶν καὶ δυνάμεις. ὅταν δὲ ταῦτα μάθωμεν, τότε τὰς συλλαβὰς αὐτῶν καὶ τὰ περὶ ταύτας πάθη. κρατήσαντες δὲ τούτων τὰ τοῦ λόγου μόρια, ὀνόματα λέγω καὶ ῥήματα καὶ συνδέσμους, καὶ τὰ συμβεβηκότα τούτοις, συστολάς, ἐκτάσεις, ὀξύτητας, βαρύτητας, γένη, πτώσεις, ἀριθμούς, ἐγκλίσεις, τὰ ἄλλα παραπλήσια τούτοις μυρία ὄντα. ὅταν δὲ τὴν τούτων

4 διότι seclusit Sylburgius 5 δυσπείστως Sylburgius: δυσπίστως 6 μειρούκιον P et B qui initio μειράκιον habuisse uidetur | ἔτι M, mg B: ἐστιν BP | νεωστὴ P[1] | παθήματος M 7 τἄλα B 8 πολῆς B 9 ἄσκησιν P | ἕξ[ιν] cum ras M 12 αὐτὰ de comp 210 16 putes ἐκμανθάνωμεν cf de comp 211 18 τοὺς add Sauppius | δυνάμοις corr in δυνάμεις P | ταύτας Sauppius 19 μάθομεν B | τὰς συμ τὰς συλλαβὰς P | καὶ — τούτων geminantur in B | ταύτας Sylburgius: ταῦτα MBP τὰ ἐν ταύταις πάθη de comp 211 22 συστολλὰς P 24 τὰ π. Krüger | ὄντα Krüger: ὀνόματα | τὴν τὴν B

ἁπάντων ἐπιστήμην περιλάβωμεν, τότε ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν, κατὰ συλλαβὴν μὲν καὶ βραδέως τὸ πρῶτον, ἅτε νεαρᾶς οὔσης ἔτι τῆς ἕξεως,
1116 προβαίνοντος δὲ τοῦ χρόνου καὶ τὸν νοῦν | ἰσχυρὸν τῇ ψυχῇ περιτιθέντος ἐκ τῆς συνεχοῦς μελέτης, τότ' ἀπταίστως τε καὶ κατὰ πολλὴν εὐπέτειαν, καὶ πᾶν ὅ τι ἂν ἐπιδῷ τις βυβλίον οὐδὲν ἐκείνων ἔτι τῶν πολλῶν θεωρημάτων ἀναπολοῦντες ἅμα νοήσει διερχόμεθα. τοιοῦτον δή τι καὶ περὶ ταύτην ὑποληπτέον γενέσθαι τὴν τέχνην, ἐκ τῶν μικρῶν καὶ γλίσχρων θεωρημάτων αὐξομένην τὴν ἕξιν σὺν χρόνῳ ῥᾳδίως αὐτῶν κρατεῖν, ὥστε ἅμα νοήσει κεκριμένον τε καὶ ἄπταιστον αὐτῆς εἶναι τὸ ἔργον. εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ πόνου πολλοῦ καὶ πραγματείας μεγάλης ἔργα εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ κατὰ τὸν Δημοσθένη· οὐδὲν γὰρ τῶν μεγάλων μικρῶν ἐστι πόνων ὤνιον. ἀλλ' ἐὰν ἐπιλογίσηται τοὺς ἀκολουθοῦντας αὐτοῖς καρπούς, μᾶλλον δ' ἐὰν ἕνα μόνον τὸν ἔπαινον, ὃν ἀποδίδωσιν ὁ χρόνος καὶ ζῶσι καὶ μετὰ τὴν τελευτήν, πᾶσαν ἡγήσεται
1117 τήν [τε] πραγματείαν ἐλάττω τῆς προσηκούσης. |

εἷς ἔτι μοι καταλείπεται λόγος ὁ περὶ τῆς ὑποκρί- 53

15 Demosthenes περὶ τῶν ἐν Χερρονήσῳ 48

1 περιλεύβωμεν P περιλούβωμεν B παραλάβωμεν Reiskius ὅταν δὲ τὴν τούτων ἐπιστήμην λάβωμεν de comp 211 2 ἀναγνώσκειν P 3 ἕξεως M, B in mg: λέξεως B in textu, P 4 τὸν νοῦν] τόνον Reiskius τὸν νόμον Usener, an τὸ ἔννουν? τύπους ἰσχυροὺς ex libro de comp 211 huc transferre Sadaeus uoluit; non quadrat ad περιτιθέντος 5 περιτιθέντος MP, B in mg: προτιθέντα B in textu | τότε BP 7 βυβλίον B[1] Sylburgius: βιβλίον 8 νοήσει Sylburgius: νοήσεις 11 ἕξιν M: λέξιν BP 12 αὐτῶν] ἁπάντων? | νοήσειν BP 14 πόνους B 16 μεγάλων καὶ καλῶν B | πόνωον B 17 ἐπιλογήσηται MBP 18 δ' ἐὰν] δὲ ἂν MBP δ' ἂν v | ἔπαινον] παιον add ν super ι B 20 τε seclusit Sylburgius

σεως, ὡς κεκόσμηκε τὴν λέξιν ἀνήρ, ἀναγκαίας ἀρετῆς οὔσης περὶ λόγους καὶ μάλιστα τοὺς πολιτικούς. ἧς παρούσης μὲν καὶ ταῖς ἄλλαις ἀρεταῖς γίνεται χώρα καὶ τόπος, ἀπούσης δὲ οὐδὲ ὁτιοῦν ὄφελος οὐδ' ἐκείνων οὐδεμιᾶς. τεκμήραιτο δ' ἄν τις, ἡλίκην ἰσχὺν τοῦτο τὸ στοιχεῖον ἔχει, καταμαθών, ὅσον ἀλλήλων ἀλλάττουσιν οἱ τραγῳδίας τε καὶ κωμῳδίας ὑποκρινόμενοι. τὰ γὰρ αὐτὰ ποιήματα λέγοντες οὐχ ὡσαύτως ἡμᾶς κηλοῦσιν ἅπαντες, ἀλλ' ἐνίοις ἐπαχθόμεθα καὶ ὥσπερ ἀδικούμενοί τι καθυποκρινομένοις καὶ διαφθείρουσι τὰς βουλήσεις τῶν ποιημάτων χαλεπαίνομεν. ταύτης δή φημι τῆς ἀρετῆς πάνυ δεῖν τοῖς ἐναγωνίοις λόγοις, εἰ μέλλουσιν ἕξειν πολὺ τὸ ἀληθινὸν καὶ ἔμψυχον. ἧς πλείστην ὥσπερ καὶ τῶν ἄλλων πρόνοιαν ἔσχεν οὗτος ὁ ἀνήρ. διττὴν | δὲ τὴν φύσιν αὐτῆς 1118
οὖσαν ὁρῶν, περὶ ἄμφω τὰ μέρη σφόδρα ἐσπούδασε. καὶ γὰρ τὰ πάθη τὰ τῆς φωνῆς καὶ τὰ σχήματα τοῦ σώματος, ὡς κράτιστα ἕξειν ἔμελλεν, οὐ μικρῷ πόνῳ κατειργάσατο, καίτοι φύσει πρὸς ταῦτα οὐ πάνυ εὐτυχεῖ χρησάμενος, ὡς Δημήτριός τε ὁ Φαληρεύς φησι καὶ οἱ ἄλλοι πάντες οἱ τὸν βίον αὐτοῦ συγγράψαντες. τί δὴ ταῦτα πρὸς τὴν λέξιν αὐτοῦ συντείνει; φαίη τις ἄν. ἡ λέξις μὲν οὖν, εἴποιμ' ἄν, οἰκείως κατεσκεύασται πρὸς ταῦτα, μεστὴ πολλῶν οὖσα ἠθῶν καὶ παθῶν καὶ

1 ὡς] ᾗ Sylburgius | ἀνὴρ MBP: corr Krüger 2 ἧς] ᾗ B 4 τόπος Kiessling, Sauppius: τότε cf Plutarchi de malign. Herodoti 864^{c} 5 [οὐ]δεμιᾶς cum ras M | τις om B | ἰσχὴν BP 7 τραγῳδίας] τραυδίας? B 8 οὐχ om P | ὡς αὔτως M ὣς αὐτῶς B ὡς οὕτως P 9 καλοῦσιν P | ἐπαχθόμεθα] τε ἀχθόμεθα MBP v (τ') 10 καθυποκριναμένοις BP 12 τοῖς M, B in mg: τῆς P, B in textu 13 λόγοις om B | ἔμψιχον B 17 σχήματα ⟨τὰ⟩? 18 ὡς mg Bodl: οἷς 20 Δημέτριος P | τε om Pv 22 φαίει M 24 μεστῆ M

διδάσκουσα, οἵας ὑποκρίσεως αὐτῇ δεῖ. ὥστε τοὺς ἀναγινώσκοντας τὸν ῥήτορα τοῦτον ἐπιμελῶς χρὴ παρατηρεῖν, ἵνα τοῦτον ἕκαστα λέγηται τὸν τρόπον, ᾗ ἐκεῖνος ἐβούλετο. αὐτὴ γὰρ ἡ λέξις διδάσκει τοὺς ἔχοντας ψυχὴν εὐκίνητον, μεθ' οἵας αὐτὴν ὑποκρίσεως ἐκφέρεσθαι δεήσει. ὃ δὴ ἐγὼ σαφὲς ἐπὶ τῶν παρα-
1119 δειγμάτων ποιήσω. |

φέρε γὰρ ἐπιχειρείτω τις προφέρεσθαι τούσδε τοὺς 54
ἀριθμούς· "Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε μηδ', εἰ πώποτε ᾠκίσθησαν, ῥᾴδιον ἦν προσελθόντας εἰπεῖν. καὶ τὸ Φωκέων τοσοῦτον ἔθνος ἀνῃρημένον σιωπῶ'. ἐνταῦθα ἡ λέξις αὐτὴ διδάσκει, τίνος ὑποκρίσεως δεῖ αὐτῇ. διηγηκὼς γὰρ τὸ πλῆθος τῶν ἀνῃρημένων ὑπὸ Φιλίππου πόλεων ἐπὶ Θρᾴκης οὔ φησιν ἐρεῖν. οὐχὶ ταῦτ' οὖν εἰρωνευόμενον δεῖ λέγειν καὶ ἅμα ὑπαγανακτοῦντα καὶ παρεντείνοντα τὸν ἦχον; εἶτ' εἰ καὶ φησὶν οὐκ ἔχειν ἐρεῖν ταῦθ' ὥσπερ δεινὰ καὶ πέρα δεινῶν, ὅμως ὀδύρεται πόλεων κατάλογον καὶ τελείαν
1120 ἀναίρεσιν διέξεισιν, ὡς οὐδ' ἴχνος ἔτι λοιπὸν | ἐχουσῶν τῆς παλαιᾶς οἰκήσεως. οὐ δι' ὀργῆς τ' οὖν ταῦτα

9 Demosthenes Phil. γ 26

1 δεῖ] δῆ P 3 ᾗ M: ἢ B ἥ P ᾧ v 5 αὐτὴν] τῆς MBPv 6 δὴ MBP: δ' v | σαφὲς Sylburgius: σαφῶς | παραδειγμάτων Krüger: πραγμάτων 8 τοὺς om Pv 9 ἀπωλλωνίαν in ἀπολλωνίαν corr B 10 Θρᾴκις P 11 ἀμήρηκεν B | ὥστε μηδ' εἰ vD: ὥστ' εἰ μὴ δὲ MBP | πώποτε] πώτε B 12 ἦν] εἶναι D | προελθόντας MPv προελθῶντας B προσελθόντα D 13 σιοπῶ B 14 αὐτῇ M | ὑποκρίσεων B 16 πόλεως BP 18 εἶτ' εἰ καὶ] ἔπειτα MBPv 19 ἔχειν abicerem, nisi dubitari posset an ἐρεῖν pro εἰπεῖν illa aetate dicerent 20 τελείαν Usener: ταχεῖαν 21 ἀναίρεσιν Sylburgius: αἵρεσιν MB αἷρεσιν P 22 οἰκήσεως — 246, 1 καὶ geminat B | τ' οὖν] γοῦν MBPv

ὑπερβαλλούσης καὶ οἴκτου λέγεσθαι προσήκει; τίνες οὖν εἰσιν ὀργῆς καὶ ὀλοφυρμοῦ τόνοι καὶ ἐγκλίσεις καὶ σχηματισμοὶ προσώπου καὶ φοραὶ χειρῶν; ἃς οἱ κατ' ἀλήθειαν ταῦτα πεπονθότες ἐπιτελοῦσι. πάνυ γὰρ εὔηθες ἄλλο τι ζητεῖν ὑποκρίσεως διδασκαλεῖον, ἀφέντας τὴν ἀλήθειαν. καὶ αὖθις ἐπιφέρει ὁ ἀνήρ· 'ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς πολιτείας αὐτῶν ἀφήρηται καὶ τετραρχίας καθέστακεν, ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύωσιν; αἱ δ' ἐν Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦν|ται, καὶ ταῦτα ἐν 1121
νήσῳ ⟨πλησίον⟩ Θηβῶν καὶ Ἀθηνῶν;' ταῦτα πάλιν ἑτέραν ὑπόκρισιν ἀπαιτεῖ. πυνθάνεται γάρ, εἶτ' ἀνθυποφέρει καὶ παρ' ἕκαστον ἀγανακτεῖ καὶ τὸ δεινὸν αὔξει. ἴδιον δὲ δή που σχῆμα πεύσεως, ἴδιον δ' ἀνθυποφορᾶς, ἴδιον δ' αὐξήσεως· οὐ δύναται ταῦτα ἑνὶ τόνῳ καὶ μιᾷ μορφῇ φωνῆς λέγεσθαι. τούτοις ἐκεῖνα ἕπεται· 'καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς δ' ἔργοις οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσεν· οὔθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος χωρεῖ τὴν πλεονεξίαν τοῦ ἀνθρώπου'. ταῦτα ἔνεστι προφέρεσθαι ἡδονῇ ἐν παρῳδικοῖς μέλεσιν ὥσπερ ἱστορίαν; οὐκ αὐτὰ βοᾷ καὶ διδάσκει,

6 ibid 26   17 ibid 27

5 διδασκαλεῖον Reiskius: διδασκάλιον | ἀφέντος M[1] 7 Θεταλία P | τὰς πόλεις καὶ ante τὰς πολιτείας inserit v cum uolgata Demosth. | παρήρηται D 8 κατέστησεν D 10 Εὐβοίᾳ] εὐοίᾳ BP | τυραννοῦντα P 11 πλησίον ex D add v 14 ἴδιον — 15 ἀνθυποφορᾶς om B 19 ἀμαρακίαν P ἀμκρακίαν B | ἦλιν BP | πελοποννήσο P 20 ἐπεβούλευσεν πρῴην v cum D 21 χωρεῖ ante τοῦ D 22 ταῦτ' ἆρ'? | παρῳδικοῖς libri: corr Usener | μέλουσιν B 23 οὐκ αὐτὰ βοᾷ Dobraeus: οὐ καταβοᾷ MP οὐ καταβη ἐν οὐ καταβοᾷ B

πῶς αὐτὰ δεῖ λέγεσθαι, μόνον οὐ φωνὴν ἀφιέντα· 'ἐνταῦθα ἀστεῖον ἦχον, ταῦτα ἐσπευσμένως εἰπέ, ταῦτ' ἀναβεβλημένως, δευρὶ δ' ἀπόλιπε τὸ συνεχές, ἐνταυθοῖ σύναψον τὰ ἑξῆς, τούτοις συνάλγησον, τούτων καταφρόνησον, ταῦτα ἐκδειματώθητι, ταῦτα διάσυρον,
1122 ταῦτα αὔξησον'; ἐμοὶ μὲν δοκεῖ. οὐκοῦν ἔστιν | ἀλόγου ζῴου ψυχὴν ἔχοντα, μᾶλλον δὲ λίθου φύσιν νωθράν, ἀναίσθητον, ἀκίνητον, ἀπαθῆ, τὴν Δημοσθένους προφέρεσθαι λέξιν; πολλοῦ γε καὶ δεῖν, ἐπεὶ τὸ κάλλιστον αὐτῆς ἀγαθὸν ἀπολεῖται, τὸ πνεῦμα, καὶ οὐδὲν διοίσει σώματος καλοῦ μέν, ἀκινήτου δὲ καὶ νεκροῦ. πόλλ' ἂν τις εἰς τοῦτο τὸ μέρος εἰπεῖν ἔχοι, τοῦ δὲ συντάγματος ἱκανὸν εἰληφότος ἤδη μῆκος αὐτοῦ που καταπαῦσαι χρὴ τὸν λόγον, ἐκεῖνο ἔτι νὴ Δία τοῖς εἰρημένοις προσαποδόντας, ὅτι πάσας ἔχουσα τὰς ἀρετὰς ἡ Δημοσθένους λέξις λείπεται εὐτραπελίας, ἣν οἱ πολλοὶ καλοῦσι χάριν. πλεῖστον γὰρ αὐτῆς μετέχει μέρος * * *

Οὐ γάρ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν,

ὡς καὶ τοὺς ἀστεϊσμοὺς †ἅμα ἐν τοῖς Δημοσθένους λόγοις. οὐδὲν γάρ, ὧν ἑτέροις τισὶν ἔδωκεν ἀγαθῶν ὁ δαίμων, ἐκείνῳ ἐφθόνησεν.

ἃ δέ γε Αἰσχίνης περὶ αὐτοῦ γράφει συκοφαντῶν, 55

18 Homerus Γ 320

2 ἀστεῖον ἦχον] ἀστεῖον εἶχον M παρεντεῖνον τὸν ἦχον Hammer, alii alia | ἐσπεσμένως P | τὸ συνεχὲς ἐν post εἰπὲ inserit B 6 οὐκοῦν ἔστιν] οὐκ ἔνεστιν MBPv 9 δεῖν B: δεῖ MPv 10 διοίσει M, B in mg: διήσει P δειήσει B in textu 11 ἀκίνητον B | πόλλ' ἂν] πολλὰ MBPv 12 [τ]ις cum ras M | ἔχοι Reiskius: ἔχει | μέρος in mg corr B 16 εὐτραπελίας Sylburgius: εὐτραπελείας | σημείωσαι in mg B | πολοὶ P 17 αὐτῆς] αὐτοῖς B | in libris nulla lacuna | ἀνθρώποισι Pv 20 ἅμα ἐν] ἀναίνονται Usener

ὥσπερ ἔφην, τοτὲ μὲν ὡς πικροῖς καὶ περιέργοις ὀνόμασι χρωμένου, τοτὲ δ' | ὡς ἀηδέσι καὶ φορτικοῖς, 1123
ῥαδίας ἔχει τὰς ἀπολογίας. εἴ γέ τοι βουληθείη τις χωρὶς ἕκαστον τῶν ἐγκλημάτων σκοπεῖν, τὰ μὲν ἐπαίνου μᾶλλον ἢ κατηγορίας ἄξια εὑρήσει, τὰ δ' οὐκ ἀληθῶς εἰρημένα ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ πικραίνειν τὴν διάλεκτον, ὅταν ἀπαιτῶσιν οἱ καιροί (πολλάκις δὲ ἀπαιτοῦσι καὶ μάλιστα ἐν τοῖς παθητικοῖς τῶν ἐπιχειρημάτων), ἐγκώμιόν ἐστι τοῦ ῥήτορος, εἴ γε δὴ τὸ ποιεῖν τὸν ἀκροατὴν αὐστηρὸν τῶν νόμων φύλακα καὶ πικρὸν ἐξεταστὴν τῶν ἀδικημάτων καὶ τιμωρὸν ἀπαραίτητον τῶν παρανομούντων παρὰ τῆς ῥητορικῆς δυνάμεως ἢ μόνον ἢ μάλιστα τῶν ἄλλων ἀπαιτοῦμεν. ἀμήχανον δὲ τρυφεροῖς ὀνόμασι καλλωπίζοντα τὴν διάλεκτον ὀργὴν ἢ μῖσος ἢ τῶν παραπλησίων τι κινῆσαι παθῶν, ἀλλ' ἀνάγκη καὶ νοήματ' ἐξευρεῖν, ἃ δὴ τῶν τοιούτων ἔσται παθῶν ἀγωγά, καὶ ὀνόμασι τοιούτοις αὐτὰ περιλαβεῖν, οἷς πέφυκεν ἀκοὴ πικραίνεσθαι. εἰ μὲν οὖν μὴ κατὰ τὸν οἰκεῖον καιρὸν τῇ πικραινούσῃ διαλέκτῳ χρώμενον ἀπεδείκνυεν αὐτὸν ἢ πλεονάζοντα ἐν αὐτῇ καὶ τῆς ποσότητος | ἀστοχοῦντα, εἰκότως ἂν ὡς 1124
ἁμαρτάνοντα διέβαλλεν. ὃ δὲ τούτων μὲν οὐδέτερον ἔχει δεικνύναι, κοινῶς δὲ διαβάλλει τὴν παθητικὴν διάλεκτον, οὖσαν ἐπιτηδειοτάτην εἰς πολιτικοὺς παρα-

1 cf Aeschines III 229 III 166

1 τότὲ B | περιέρχοις B 2 τότε B 9 εἴ γε Sylburgius: εἴτε 13 μόνον P: μόνος MB | ἀπαιτοῦμεν Reiskius: ἐπαινοῦμεν 17 ˮσται P 18 ἀκοὴ? ἡ add Krüger | πικραίνεσθαι — καιρὸν τῇ om B 20 post χρώμενον B habet ἀ πέ· deinde uerba οἷς πέφυκεν — διαλέκτῳ χρώμενον repetuntur | ἀπεδείκνυμεν B 23 δείκνυται δεικνύναι B

λαμβάνεσθαι λόγους, λεληθότα ἐγκώμια μεταφέρων εἰς τὰς κατηγορίας, ὥσπερ ἔφην.

τὰ δ' αὐτὰ καὶ περὶ τῆς περιέργου λέξεως ἔχοι 56
τις ἂν εἰπεῖν πρὸς τὸν Αἰσχίνην, ἐπειδὴ καὶ ταύτην αὐτοῦ χλευάζει τὴν ἀρετήν. δεχέσθω δέ τις τὴν περιεργίαν τῶν ὀνομάτων ὑπ' αὐτοῦ ⟨λεγομένην⟩ λέγεσθαι νυνὶ περιττὴν ἐργασίαν καὶ ἐξηλλαγμένην τῶν ἐν ἔθει. οὐ γὰρ δή γε εἰ ὁ καθ' ἡμᾶς βίος πολλὰ καὶ ἄλλα εἰκῇ τιθεὶς ἐπὶ τοῖς πράγμασιν ὀνόματα καὶ ταύτην ἀδιαφόρως κυκλεῖ τὴν λέξιν ἐπὶ τῆς πολυπραγμοσύνης, οὕτω καὶ τοὺς ἀρχαίους εἰκὸς αὐτῇ κεχρῆσθαι. εἰ μὲν οὖν τὴν ἀκαιρίαν ἢ τὸν πλεονασμὸν τῆς ἐξηλλαγμένης ἑρμηνείας διασύρων καὶ ταῦτα εἴρηκεν, ὡς τοῦ Δημοσθένους περὶ ἑκάτερον αὐτῶν ἁμαρτάνοντος, ψεύδεται περιφανῶς. ὁ γὰρ ἀνὴρ ἐν μὲν ταῖς δημηγορίαις καὶ τοῖς δημοσίοις ἀγῶσι πρὸς τὸ μέγεθος καὶ τὸ
1125 ἀξίωμα τῶν ὑποθέσεων | ἀποβλέπων κέχρηται τῇ τοιαύτῃ κατασκευῇ πολλάκις, ἐν δὲ τοῖς ἰδιωτικοῖς λόγοις, οὓς περὶ μικρῶν συμβολαίων ἰδιώταις ἀνθρώποις γέγραφε, τὴν κοινὴν καὶ συνήθη λέξιν ἐπιτηδεύει, σπανίως δέ ποτε τὴν περιττὴν καὶ οὐδὲ ταύτην ἐπ' αὐτοφώρῳ, ἀλλ' ὥστε λαθεῖν. εἰ δὲ κἀνταῦθα τῷ γένει τῆς ἐξαλλαγῆς ὅλῳ πολεμῶν ταῦτ' εἴρηκεν Αἰσχίνης, ἄτοπόν τι ποιεῖ πρᾶγμα, ταύτην διασύρων τὴν δεινότητα, ἧς πλείστης τῷ ῥήτορι δεῖ. τὸ γὰρ μὴ τοῖς πολλοῖς ὁμοίως ἐκφέρειν τὰς νοήσεις, ἀλλ' ἐπὶ τὸ

4 τις τις B | καὶ om B 5 χνευάζει P 6 λεγομένην inserui, λέγεσθαι ⟨τὴν⟩ mauolt Usener 7 περιττὴν ἐργίαν τῶν περιττὴν ἐργασίαν B | ἐξηλαγμένην B 14 ἁμαρτάνοντας corr in ἁμαρτάνοντος P | δεύδεται B 19 ἀνθρώποι P | γέγραφε] ἔγραφε MBP ἔγραψε Sylburgius v 20 ἐπιτηδεύειν B 21 αὐτοφόρῳ M, P ut uidetur, αὐτοφέρω et in mg αὐτοφώρω B 25 τὸ γὰρ] τῷ γὰρ BP

σεμνότερον καὶ ποιητικώτερον ἐκβιβάζειν τὴν ὀνομασίαν παρὰ τῆς πολιτικῆς δυνάμεως μάλιστα ἀπαιτοῦμεν. ταῦτα μὲν οὖν ἐγκώμια τῆς Δημοσθένους δεινότητος ὄντα ὡς ἁμαρτήματα φέρων Αἰσχίνης οὐκ ἀληθῶς μέν, εὐλόγως δ' ἴσως, ἐχθρὸς ὢν καὶ οὐδὲν ἄλλο διαβάλλειν δυνάμενος, ἀπερισκέπτως, ὡς ἐγὼ κρίνω, συκοφαντεῖ.

57 τὸ δὲ φάσκειν φορτικοῖς καὶ ἀηδέσι τοῖς ὀνόμασιν αὐτὸν κεχρῆσθαι πόθεν ἐπῆλθεν αὐτῷ [λέγειν], ὑπὲρ
πάντα | ἔγωγε τεθαύμακα. οὐδὲν γὰρ εὑρίσκω τούτων 1126
παρὰ Δημοσθένει κείμενον, ὧν εἰρηκέναι φησὶν αὐτὸν Αἰσχίνης, οἷον ὅτι 'οὐ δεῖ τῆς φιλίας ἀπορρῆξαι τὴν συμμαχίαν' καὶ ὅτι 'ἀμπελουργοῦσί τινες τὴν πόλιν' καὶ 'ὑποτέτμηται τὰ νεῦρα τοῦ δήμου' καὶ 'φορμορραφούμεθα' καὶ 'ἐπὶ τὰ στενά τινες ὥσπερ τὰς βελόνας διείρουσιν', οἷς αὐτὸς ἐπιτίθησι διακωμῳδῶν· 'ταῦτα δέ, ὦ κίναδος, τί ἐστι; ῥήματα ἢ θαύματα;' οὐδέ γε ἄλλα τινὰ φορτικὰ καὶ ἀηδῆ ὀνόματα ἐν οὐδενὶ τῶν Δημοσθένους λόγων εὑρεῖν δεδύνημαι καὶ ταῦτα πέντε ἢ ἓξ μυριάδας στίχων ἐκείνου τοῦ ἀνδρὸς καταλελοιπότος. εἰ μέντοι τινὲς ἐν τοῖς ψευδεπιγράφοις εἰσὶ λόγοις ἀηδεῖς καὶ φορτικαὶ καὶ ἄγροικοι κατασκευαί,

12 Aeschines III 72 13—16 Aeschines III 166

1 σεμνὸντερον P | ἐκβάζειν B 2 ἀπαιτοῦμεν Reiskius: ἀπαιτοῦντες MP ἀπαιτοῦντας B ἀπαιτεῖται Sylburgius v 5 ἐχρὸς P 6 ἄλλο Reiskius: μᾶλλον 9 λέγειν seclusi 12 οὐ δεῖ Aesch: οὐδὲ MBP | φιλίας ἀπορρῆξαι τὴν συμμαχίαν καὶ] φισὶν αὐτὸν αἰσχίνης· οἷον ex praecedentibus B εἰρήνης pro φιλίας Aesch 14 τοῦ δήμου] τῶν πραγμάτων Aesch | φορμοραφούμεθα MBP 15 βελόντας BP 16 οἷς αὐτὸς] οἳ αὐτοῖς B 17 οὐ κίναδός τίς (τις P) MBP: corr Reiskius ex Aesch | θαύμαστα P 18 [ἀη]δῆ cum ras M 21 μέντοι τινὲς ἐν τοῖς ψευδεπιγράφοις] μέν τοί τινες ἔνιοι ψευδεπίγραφοι MBP hinc τινὲς om v 22 λόγοις B: λόγοι MPv | ἀωδεῖς B | ἄγρικοι P ἀγρίοικοι B

1127 ὡς ἐν τοῖς κατ' Ἀριστογείτονος | β' καὶ ἐν τῇ ἀπολογίᾳ τῶν δώρων καὶ ἐν τῷ ⟨περὶ τοῦ⟩ μὴ ἐκδοῦναι Ἅρπαλον καὶ ἐν τῷ κατὰ Νεαίρας καὶ ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν ἐν ἄλλοις τε συχνοῖς, οὓς ὁ Δημοσθένης οὐκ ἔγραψεν, ἐν ἑτέρᾳ δηλοῦταί μοι πραγματείᾳ τὰ περὶ Δημοσθένη. καὶ περὶ μὲν ὧν
Αἰσχίνης ἐπιτετίμηκεν αὐτῷ, ταῦτα ἱκανά. 58

ἤδη δέ που κἀκεῖνό τινες οἳ μὲν ὡς χαρακτηρικὸν οἳ δ' ὡς ἁμάρτημα τοῦ ῥήτορος ἐσημειώσαντο, λέγω δὲ τὸ πολλοῖς ὀνόμασι τὸ αὐτὸ πρᾶγμα δηλοῦν ἐνίοτε δή, οἷά ἐστι ταυτί· 'Φιλίππῳ δ' ἐξέσται καὶ πράττειν καὶ ποιεῖν, ὅ τι βούλεται' καὶ 'τὸν Μειδίαν τοῦτον οὐκ εἰδώς, ὅστις ποτ' ἐστίν, οὐδὲ γιγνώσκων' καὶ 'τῆς ἀδελφῆς ἐναντίον κόρης ἔτι καὶ παιδὸς οὔσης' καὶ πάντα τὰ τοιαῦτα. ὅσοι μὲν οὖν ἰδίωμα τοῦ χαρακτῆρος αὐτὸ ἀποφαίνουσι τοῦ Δημοσθένους, ὀρθῶς λέγουσι· κέχρηται γὰρ αὐτῷ χρησίμως ὁ ἀνήρ, ὥσπερ καὶ τῇ τμητικῇ [καὶ τῇ] βραχυλογίᾳ πάντων γε μᾶλλον
1128 καὶ | εὐκαιρότερον. ὅσοι δ' ἐν ἁμαρτήματος αὐτὸ μοίρᾳ φέρουσι, τὰς αἰτίας οὐκ ἐξητακότες, δι' ἃς εἴωθει πλεονάζειν ἐνίοτε ἐν τοῖς ὀνόμασιν, οὐ δεόντως αὐτοῦ κατηγοροῦσιν, ἀλλ' ἐοίκασιν οἱ τοῦτο συκο-

1 respici uidetur in argumento orationibus praemisso § 7 11 Demosthenes Philippicae γ 3 12 cf Midiana 78 13 Midiana 79

1 τοῖς Blassius: τῇ | β' = δυάδι explicauerat Seidler 2 δόρων P | περὶ τοῦ addidi 5 δηλοῦνταί Pv 6 τῇ περὶ mg Bodl prave 8 τινες] τηνες M | χαρακτηριστικὸν Pv 9 ἐσημειρσαντο B 11 δή] δὲ MBP om Sylburgius v | οιᾶ P | δ' ἐξέσται ci Sylburgius: δέξασθαι MBP 12 καὶ τὸν bis B | Μηδίαν Pv 13 γινώσκων MBP: γινώσκω v totum locum liberrime reddidit Dionysius 14 παιδὸς] πεδὸς B 18 καὶ om Pv | τῇ add M^{2} | καὶ τῇ ex praecedentibus repetitum seclusi 21 ἐνίοτε] ἐν τοῖς MBPv | ἐν τοῖς] αὐτοῖς MBPv

φαντοῦντες τὴν βραχυλογίαν ἐκ παντὸς ἀπαιτεῖν, ἥν, ὅπερ εἶπον, παντὸς μᾶλλον καὶ εὐκαιρότερον παρέχεται, τῶν δὲ ἄλλων ἀρετῶν οὐδεμίαν, οὐκέτι συνορῶντες ὅτι καὶ τῆς σαφηνείας δεῖ στοχάζεσθαι τὸν ῥήτορα καὶ τῆς ἐναργείας καὶ τῆς αὐξήσεως καὶ τῆς περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων εὐρυθμίας, ὑπὲρ ἅπαντα δὲ ταῦτα τοῦ παθητικήν τε καὶ ἠθικὴν καὶ ἐναγώνιον ποιεῖν τὴν λέξιν, ἐν οἷς ἐστιν ἡ πλείστη τοῦ πιθανοῦ μοῖρα. τούτων δὲ τῶν ἀρετῶν ἑκάστην οὐχ ἡ βραχυλογία κράτιστα δύναται ποιεῖν, ἀλλὰ καὶ ὁ πλεονασμὸς ἐνίων ὀνομάτων, ᾧ καὶ ὁ Δημοσθένης κέχρηται. ἔφερον δ' ἄν σοι παραδείγματα τῶν εἰρημένων, εἰ μὴ κοπώδης ἔμελλον φανήσεσθαι πρὸς σὲ δῆτα λέγων. ταῦτα, ὦ κράτιστε Ἀμ|μαῖε, γράφειν 1129
εἴχομέν σοι περὶ τῆς Δημοσθένους λέξεως. ἐὰν δὲ σῴζῃ τὸ δαιμόνιον ἡμᾶς, καὶ περὶ τῆς πραγματικῆς αὐτοῦ δεινότητος, ἔτι μείζονος ἢ τοῦδε καὶ θαυμαστοτέρου θεωρήματος, ἐν τοῖς ἑξῆς γραφησομένοις ἀποδώσομέν σοι τὸν λόγον.

3 ἀριτῶν B 5 ἐνεργείας v 11 ἐνίων] ἐνίοτε τῶν Usener 14 γράφην P | post γράφειν B ὧς ε inserit, sed punctis deleuit 16 πραγματικαῖς B 17 τοῦδε] τοῦ δὲ B | θαυμασθοτέρου M[1] corr eadem manus

---

LIBRI II DE ANTIQVIS ORATORIBVS RELIQVIAE

DE DEMOSTHENE

I

fr. 1 Tzetzae scholion in Crameri anecd. Oxon. t. III p. 367, 7 *Διονύσιος ὁ Ἁλικαρνασσεὺς φησίν· ἁγνεύεται τὸ στόμα τῷ Δημοσθένει.*

sublatum fortasse ex loco, ubi Demosthenis ἦθος et ueritatis studium tractabatur.

DE AESCHINE

II*

2 Scholion Aeschinis or. III 1 *τὴν παράταξιν ὅση γεγένηται* p. 315 Sch. *δοκεῖ δὲ τραγικώτερον κεχρῆσθαι εὐθὺς ἐν ἀρχῇ τῇ μεταφορᾷ, πολιτικώτερον δὲ ὑπὸ Δημοσθένους εἰρῆσθαι τὸ αὐτὸ νόημα ἐν τῷ τῆς παραπρεσβείας εὐθὺς ἐν ἀρχῇ, ἔχον οὕτως 'ὅση μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ καὶ παραγγελία γέγονε' καὶ τὰ ἑξῆς.*

argumentum or. III p. 352 R. *μέμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.*

scholion ibid. p. 353 R. *ὅρα δὲ πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκβολῆς, ὥςπερ καὶ ὁ Δημοσθένης.*

cf. schol. or. I 69 *ἀξιοῦσι τινὲς μέμφεσθαι τῷ ῥήτορι ἐν ἀγῶνι συνηγόρων ἐκβολὴν ποιησαμένῳ, δέον ἐν ἐπιλόγῳ.*

III*

Scholion Aeschinis or. III 90 *πλείους τραπόμενος* 3
τροπὰς τοῦ Εὐρίπου p. 331 Sch. *ἔστι δὲ τὸ κῶλον χαριεντισμός. ἐπαινοῦσι δὲ τοῦτο τὸ κῶλον οἱ κριτικοὶ λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι καὶ οὐ κούφως.*

IV

Scholion Lavr. Aeschinis or. III 180 *τὰ σώματα* 4
παρακαταθέμενοι p. 346 Sch. *ἐπιλαμβάνεται δὲ Διονύσιος, ὅτι τὸ παρακαταθέσθαι φυλακῆς πλείον' ἔνδειξιν ἔχει, ἐπὶ δὲ τῶν σωμάτων τὸ ἐναντίον γίγνεται, διαφθείρονται γὰρ ἔσθ' ὅτε. οὐκοῦν κακῶς ἐχρήσατο τῇ λέξει ὁ Αἰσχίνης.*

V

Scholion Lavr. Aeschinis or. III 189 *τοῖς μὲν* 5
πύκταις ἔστιν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν p. 347 Sch. ὁ *Διονύσιος ἐπιλαμβάνεται. οὐ γάρ, φησί, νικῆσαι βουλόμεθα τὴν ἀρετήν, ὡς τοὺς ἀνταγωνιστάς.*

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΡΟΣ ΑΜΜΑΙΟΝ

ΕΠΙΣΤΟΛΗ

adhibiti sunt libri

M	Ambrosianus
B	Parisinus 1742
O	Ottobonianus
P	Palatinus
s	editio princeps Henrici Stephani Lutetiae 1554
h	editio Hudsonis Oxon. 1704
r	exemplum Reiskianum

719 ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩΙ ΤΩΙ ΦΙΛΤΑΤΩΙ

ΠΛΕΙΣΤΑ ΧΑΙΡΕΙΝ

Πολλῶν μετ' ἄλλων ξένων τε καὶ παραδόξων ἀκουσμάτων, ὧν ἐνήνοχεν ὁ καθ' ἡμᾶς χρόνος, ἕν τι καὶ τοῦτο ἐφάνη μοι πρώτως ἀκούσαντι παρὰ σοῦ, ὅτι τῶν φιλοσόφων τις τῶν ἐκ τοῦ περιπάτου πάντα χαρίζεσθαι βουλόμενος Ἀριστοτέλει τῷ κτίσαντι ταύτην τὴν φιλοσοφίαν καὶ τοῦτο ὑπέσχετο ποιήσειν φανερόν, ὅτι Δη-
720 *μοσθένης τὰς ῥητορικὰς τέχνας παρ' ἐκείνου μα|θὼν εἰς τοὺς ἰδίους μετήνεγκε λόγους καὶ κατ' ἐκεῖνα κοσμούμενος τὰ παραγγέλματα πάντων ἐγένετο τῶν ῥητόρων κράτιστος. κατ' ἀρχὰς μὲν οὖν ὑπελάμβανον τῶν πολλῶν τινα εἶναι τὸν ταῦτ' ἐπιχειρήσαντα λέγειν, καὶ παρῄνουν σοι μὴ πᾶσι τοῖς παραδόξοις προσέχειν. ὡς δὲ καὶ τοὔνομα τοῦ ἀνδρὸς ἐπυθόμην, ὃν ἐγὼ καὶ τῶν ἠθῶν ἕνεκα καὶ τῶν λόγων ἀποδέχομαι, ἐθαύμασα, καὶ πολὺς ἐν ἐμαυτῷ γενόμενος ἐπιμελεστέρας ᾤμην δεῖσθαι σκέψεως τὸ πρᾶγμα, μή ποτε λέληθέ με τἀληθὲς οὕτως ἔχον καὶ οὐδὲν εἰκῇ τῷ ἀνδρὶ εἴρηται,*

1—2 om O 4 *ὧν* P | *καθημᾶς* M | *ἕν τι* libri: corr s 5 *πρῶτον* ci Herwerdenus | *παρά σου* BOPs 7 *Ἀριστοτέλει* Weilius, *τῷ . . . φιλοσοφίαν* Herwerdenus suspectabat 8 *τοῦτοτό* P 10 *κατ'* s: *μετ'* libri 11 *τὰ* om O 13 *τὸν τ' αὐτ'* B | *ἐπιχείρησαν* O 14 *παρήνουσοι* P | *προσέχει* O 16 *τοῦ ἤθους* Reiskius | *τῶν λοιπῶν* libri: corr Kiesslingius mus. Rhen. 23, 254 | *ἐθαύσα καὶ* O 18 *δεῖςται* BP | *με* om B

ἵνα | ἢ τὴν δόξαν ἣν πρότερον αὐτὸς ἔσχον ⟨ἀφείην⟩ 721
βεβαίως μαθὼν ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι, ἢ τὸν οὕτως ἐγνωκότα καὶ γράψαι γε παρεσκευασμένον, πρὶν εἰς ὄχλον ἐκδοῦναι τὸ σύνταγμα, μεταβαλεῖν πείσαιμι τὴν δόξαν.

2 Οὐκ ἐλαχίστην δέ μοι καὶ σὺ παρέσχου ῥοπὴν εἰς τὸ μὴ παρέργως ἐξετάσαι τὴν ἀλήθειαν, παρακαλῶν φανεροὺς ποιῆσαι τοὺς λόγους, οἷς ἐμαυτὸν πέπεικα Δημοσθένους ἀκμάζοντος ἤδη καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας τότε ὑπὸ Ἀριστοτέλους τὰς ῥητορικὰς γεγράφθαι τέχνας. ἐδόκεις τέ μοι καὶ τοῦτο ὀρθῶς πα|ραινεῖν, μὴ σημείοις μηδὲ εἰκόσι μηδ' ἀλλο- 722
τρίαις τὸ πρᾶγμα πιστώσασθαι μαρτυρίαις, ἐπειδὴ τούτων οὐδεμία τῶν πίστεων δι' ἀναγκαίων συνάγεται λημμάτων· ἀλλ' αὐτὸν Ἀριστοτέλη παρασχέσθαι διὰ τῶν ἰδίων τεχνῶν ὁμολογοῦντα τἀληθὲς οὕτως ἔχειν. τοῦτο δὴ πεποίηκα, βέλτιστε Ἀμμαῖε, τῆς τε ἀληθείας προνοούμενος, ἣν ἐπὶ παντὸς οἴομαι δεῖν πράγματος ἐξετάζεσθαι, καὶ τῆς ἁπάντων τῶν περὶ τοὺς πολιτικοὺς λόγους ἐσπουδακότων χάριτος· ἵνα μὴ τοῦθ' ὑπολάβωσιν, ὅτι πάντα περιείληφεν ἡ περιπατητικὴ φιλο-

1 ἢ — 3 ἐγνωκότα Lambino auctore editores sic interpolata dederunt ἢ μαθὼν ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι, ἑκὼν μεταδοξάσω· ἢ τοὐναντίον φωράσας τὴν δόξαν ἣν πρότερον αὐτὸς ἔσχον βεβαιώσω καὶ τὸν ἄλλως ἐγνωκότα 1 εἶχον Herwerdenus | ἀφείην βεβαίως] βεβαιωθῶ MOs βεβαιωτῶ BP βεβαίως μεταθοίμην Weilius 2 μαθῶν BP 4 γε s: τε libri 6 παρέχου BP 7 παρέργω O 8 ἐμαυτῶν P[1] | πέπηκα O 10 ῥιτορικὰς M 11 τέ] δέ Herwerdenus 12 μὴ δὲ M μηδ' s 13 ἐπειδὴ] ἐπεὶ δὲ τοῦτο ὀρθῶς· ἐπεὶ δὲ sed ἐπεὶ — ὀρθῶς lineolis adpositis deleuit B 14 δι'] μαρτυρίαις δι' M[1] 16 τἀληθῆ O 17 τοῦτο perperam iterat B | τ' r 20 χάριτος] χρείας Kiesslingius | τοῦθ'] τοῦθ' ὑπερ P[1]

σοφία τὰ ῥητορικὰ παραγγέλματα, καὶ οὔτε οἱ περὶ Θεόδωρον καὶ Θρασύμαχον καὶ Ἀντιφῶντα σπουδῆς ἄξιον οὐδὲν εὗρον οὔτε Ἰσοκράτης καὶ Ἀναξιμένης καὶ Ἀλκιδάμας οὔτε οἱ τούτοις συμβιώσαντες τοῖς ἀνδράσι παραγγελμάτων τεχνικῶν συγγραφεῖς καὶ ἀγωνισταὶ λόγων ῥητορικῶν, οἱ περὶ Θεοδέκτην καὶ Φιλίσκον καὶ
723 Ἰσαῖον καὶ Κηφισόδωρον | Ὑπερείδην τε καὶ Λυκοῦργον καὶ Αἰσχίνην, οὐδ' ⟨ἂν⟩ αὐτὸς ὁ Δημοσθένης ὁ πάντας ὑπερβαλόμενος τούς τε πρὸ αὐτοῦ καὶ τοὺς καθ' ἑαυτὸν καὶ μηδὲ τοῖς γινομένοις ὑπερβολὴν καταλιπὼν τοσοῦτος ἐγένετο τοῖς Ἰσοκράτους τε καὶ Ἰσαίου κοσμούμενος παραγγέλμασιν, εἰ μὴ τὰς Ἀριστοτέλους τέχνας ἐξέμαθεν.

'Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος', ὦ φίλε Ἀμμαῖε, οὐδ' 3
ἐκ τῶν Ἀριστοτέλους τεχνῶν τῶν ὕστερον ἐξενεχθεισῶν οἱ Δημοσθένους λόγοι συνετάχθησαν ἀλλὰ καθ' ἑτέρας τινὰς εἰσαγωγάς· ὑπὲρ ὧν ἐν ἰδίᾳ δηλώσω γραφῇ τὰ δοκοῦντά μοι· πολὺς γὰρ ὁ περὶ αὐτῶν λόγος, ὃν οὐ καλῶς εἶχεν ἑτέρας γραφῆς ποιῆσαι πάρεργον. ἐν δὲ τῷ παρόντι τοῦτο πειράσομαι φανερὸν ποιῆσαι, ὅτι Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας τούς τε δικανικοὺς καὶ τοὺς δημηγορικοὺς καὶ θαυμαζομένου διὰ πάσης τῆς Ἑλλάδος ἐπὶ δεινότητι λόγων τότε ὁ φιλό-

14 Stesichorus fr. 26 Bergk.

2 θεορθεόδωρον P | θρασύμμαχον P 3 οὔτ' r 6 λόγων ρητόρων ῥητορικῶν P | οἱ περὶ ρίδην (mg corr ὑπερίδην) ceteris omissis B | φίλιστον MOPs: corr Sylburgius 7 ὑπερίδην libri: corr Herwerdenus 8 οὐδ' ἂν] οὔτε libri οὐδ' Sauppius 9 ὑπερβαλλόμενος P | αὐτοῦ MB 10 γενησομένοις s 11 ἐγένετο] ἂν ἐγ. Morello auctore uolgatur 17 εἰσαγωγάς τινας Ps 22 τούτε B 23 θαυμαζομένους B

σοφος τὰς ῥητορικὰς ἔγραψε τέχνας. ἀνάγκη δ' ἴσως πρῶτον, ὡς | παρέλαβον ἐκ τῶν κοινῶν ἱστοριῶν, ἃ 724 κατέλιπον ἡμῖν οἱ τοὺς βίους τῶν ἀνδρῶν συνταξάμενοι, προειπεῖν. ποιήσομαι δὲ ἀπὸ Δημοσθένους τὴν ἀρχήν.

4 Οὗτος ἐγεννήθη μὲν ἐνιαυτῷ πρότερον τῆς ἑκατοστῆς Ὀλυμπιάδος· ἄρχοντος δὲ Τιμοκράτους εἰς ἔτος ἦν ἐμβεβηκὼς ἑπτακαιδέκατον * * δημοσίους δὲ λόγους ἤρξατο γράφειν ἐπὶ Καλλιστράτου ἄρχοντος εἰκοστὸν καὶ πέμπτον ἔτος ἔχων. καὶ ἔστιν αὐτοῦ πρῶτος τῶν ἐν δικαστηρίῳ κατασκευασθέντων ἀγώνων ὁ κατὰ Ἀνδροτίωνος, ὃν ἔγραφε Διοδώρῳ τῷ κρίνοντι τὸ ψήφισμα παρανόμων, καὶ κατὰ τὸν αὐτὸν χρόνον ἕτερος [ἐπὶ Καλλιστράτου ἄρχοντος], ὁ περὶ τῶν ἀτελειῶν, ὃν αὐτὸς διέθετο, χαριέστατος ἁπάντων τῶν λόγων καὶ γραφικώτατος. ἐπὶ δὲ Διοτίμου τοῦ μετὰ Καλλίστρατον ἐν Ἀθηναίοις πρώτην εἶπε δημηγορίαν, ἣν ἐπιγράφουσιν οἱ | τοὺς ῥητορικοὺς πίνακας συντάξαντες 725 'περὶ τῶν συμμοριῶν'· ἐν ᾗ παρεκάλει τοὺς Ἀθηναίους μὴ λύειν τὴν πρὸς βασιλέα γενομένην εἰρήνην μηδὲ προτέρους ἄρχειν τοῦ πολέμου, ἐὰν μὴ παρασκευάσωνται τὴν ναυτικὴν δύναμιν, ἐν ᾗ πλείστην εἶχον ἰσχύν, καὶ τὸν τρόπον τῆς παρασκευῆς αὐτὸς ὑποτίθεται. ἐπὶ δὲ Θουδήμου τοῦ μετὰ Διότιμον ἄρξαντος τόν τε κατὰ

2 ὡς] ὅσα libri | ἃ] ἃς MBPs om O ἅ τε Weilius 4 δ' r 6 ἐγεννήθημεν B γεννήθη μὲν P | μὲν] μὲν ἑνὶ ci Herwerdenus 6 7 ἑκαστοτῆς P 8 hiatum Weilius notauit | δὲ Herwerdenus: τε libri 9 et 14 καλλιστάτου B 10 πέμπτον] ἕβδομον Schottus | ἔτος ἔχον MO ἔχων ἔτος BPs 11 ἐν] ἐπὶ conicias sed cf p 275, 18 12 γέγραφε s ἔγραψε Herwerdenus 14 ἐπὶ Κ. ἄ. emblema detexit idem 15 ἁπάντων τῶν s: ἁπάντων O ἁπάντων MBP 16 καλλίστατον B 19 παρακαλεῖ Herwerdenus 22 τὴν προσαὐτ[ικ]ὴν cum lit B 24 θουμήδου O

Τιμοκράτους λόγον ἔγραψε Διοδώρῳ τῷ κρίνοντι παρανόμων τὸν Τιμοκράτη καὶ τὸν περὶ τῆς Μεγαλοπολιτῶν βοηθείας δημηγορικὸν αὐτὸς ἀπήγγειλε. μετὰ δὲ Θούδημον ἔστιν Ἀριστόδημος ἄρχων, ἐφ' οὗ τῶν κατὰ Φιλίππου δημηγοριῶν ἤρξατο, καὶ λόγον ἐν τῷ δήμῳ διέθετο περὶ τῆς ἀποστολῆς τοῦ ξενικοῦ στρατεύματος καὶ τῶν δέκα φυγαδικῶν τριηρῶν εἰς Μακεδονίαν. ἐν τούτῳ τῷ χρόνῳ καὶ τὸν κατὰ Ἀριστοκράτους ἔγραψε
726 λόγον Εὐθυκλεῖ τῷ διώ|κοντι παρανόμων τὸ ψήφισμα. ἐπὶ δὲ Θεέλλου τοῦ μετὰ Ἀριστόδημον τὴν περὶ Ῥοδίων ἀπήγγειλε δημηγορίαν, ἐν ᾗ πείθει τοὺς Ἀθηναίους καταλῦσαι τὴν ὀλιγαρχίαν αὐτῶν καὶ τὸν δῆμον ἐλευθερῶσαι. ἐπὶ δὲ Καλλιμάχου τοῦ τρίτου μετὰ Θέελλον ἄρξαντος τρεῖς διέθετο δημηγορίας παρακαλῶν Ἀθηναίους βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι τοῖς πολεμουμένοις ὑπὸ Φιλίππου, πρώτην μὲν ἧς ἐστιν ἀρχὴ 'Ἐπὶ πολλῶν μὲν ἰδεῖν ἄν τις ὦ ἄνδρες Ἀθηναῖοί μοι δοκεῖ'· δευτέραν δὲ 'Οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν ὦ ἄνδρες Ἀθηναῖοι'· τρίτην δὲ 'Ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων'. κατὰ τοῦτον γέγραπται τὸν ἄρχοντα καὶ ὁ κατὰ Μει-

5 Demosthenes or. 4, 1—29 17 idem or. 2, 1 18 idem or. 3, 1 20 idem or. 1, 1

Θεοδήμου s Εὐδήμου Sylburgio auctore r 1 διωδώρω B 2 Τιμοκράτην s 3 δημηγορικὸν ὃν libri: ὃν del Weilius 4 θουκυδίδημον O Θεόδημον s Εὔδημον r | ἔστιν] ἦν s 5 λόγους s 6 τοῦ om Ps 7 φυγαδικῶν MBO γαδικῶν Ps: ταχικῶν Boehneckius *Forschungen* p. 227 ταχειῶν Morellus recte cf Dem. or. 4, 22 8 κρόνω P 10 Θεσσάλου et 14 Θέσσαλον Sylburgio auctore r | μετ' r 14 θεέλλον B | ἄρξαντες O | δημηγορικοὺς libri: corr Herwerdenus 16 πρῶτον μὲν οὗ . . . 18 δεύτερον . . . 19 τρίτον s 18 δοκεῖ μοι h 18 19 περίσταταί MO 20 ἄνδρες om BP

δίου λόγος, ὃν συνετάξατο μετὰ | τὴν χειροτονίαν, ἣν 727 ὁ δῆμος αὐτᾷ κατεχειροτόνησε. μέχρι τοῦδ' εὑρισκομένων δώδεκα λόγων, ὧν εἴρηκα, δημοσίων, ἐν οἷς εἰσι δημηγορικοὶ μὲν ἑπτά, δικανικοὶ δὲ πέντε, ἅπαντες ⟨ἐγένοντο⟩ πρότεροι τῶν Ἀριστοτέλους τεχνῶν, ὥς ἔκ τε τῶν ἱστορουμένων περὶ τοῦ ἀνδρὸς ἀποδείξω καὶ ἐκ τῶν ὑπ' αὐτοῦ γραφέντων, ἐντεῦθεν ἀρξάμενος.

5 Ἀριστοτέλης πατρὸς μὲν ἦν Νικομάχου τὸ γένος καὶ τὴν τέχνην ἀναφέροντος εἰς Μαχάονα τὸν Ἀσκληπιοῦ, μητρὸς δὲ Φαιστίδος ἀπογόνου τινὸς τῶν ἐκ Χαλκίδος τὴν ἀποικίαν ἀγαγόντων εἰς Στάγειρα· ἐγεννήθη δὲ κατὰ τὴν ἐνενηκοστὴν καὶ ἐνάτην Ὀλυμπιάδα Διοτρεφοῦς Ἀθήνησιν ἄρχοντος τρισὶν ἔτεσι Δημοσθένους | πρεσβύτερος. ἐπὶ δὲ Πολυζήλου ἄρχοντος 728 τελευτήσαντος τοῦ πατρὸς ὀκτωκαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθεν, καὶ συσταθεὶς Πλάτωνι χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ. ἀποθανόντος δὲ Πλάτωνος ἐπὶ Θεοφίλου ἄρχοντος ἀπῆρε πρὸς Ἑρμίαν τὸν

8 — p 263, 10 ex Apollodori chronicis petita cf Laertius Diog. IV 9 sq Diels mus. Rhen. XXXI 43 sq

1 καταχειροτονίαν Morellus 2 αὐτοῦ libri 2 3 μέχρι τοῦ περὶ δώδεκα libri (quibus seruatis Weilius pergit ἀγώνων εἴρηκα δημ.): ἔτει τρίτῳ. τῶν (τούτων τῶν Reiskius) δώδεκα Reiskius et Sauppius | περὶ . . . 6 ἱστορουμένων neglegenter iterat B 4 οἱ πάντες malebat Reiskius 5 ἐγένοντο inserui | ⟨ὄντες⟩ πρότεροι Weilius προτεροῦσι Herwerdenus 6 τε om B 8 πατρὸς Herwerdenus: ὑὶς P υἱὸς MBOs | τὸ] τό τε Herwerdenus 10 ἐκ] ἐν MO 11 χαλκίδως B | ἀναγαγόντων Ps | εἰς τάγειρα P 12 ἐννενηκοστὴν καὶ ἐννάτην s 13 διοτρεφοῦς M Διειτρεφέα tituli uocant | τρισὶν] ιγʹ s 14 πρεσβυτέρου libri: corr Wolfius πρεσβύτερος ⟨ὤν⟩ Herwerdenus 16 ἦλθε s 17 εἰκοσετῆ et p. 263, 4 ὀκτετῆ Herwerdenus 18 Ἑρμείαν s sed cf Boeckhius opusc. 6, 204

Ἀταρνέως τύραννον καὶ τριετῆ χρόνον παρ' αὐτῷ διατρίψας ἐπ' Εὐβούλου ἄρχοντος εἰς Μυτιλήνην ἐχωρίσθη· ἐκεῖθεν δὲ πρὸς Φίλιππον ᾤχετο κατὰ Πυθόδοτον ἄρχοντα, καὶ διέτριψε χρόνον ὀκταετῆ παρ' αὐτῷ καθηγούμενος Ἀλεξάνδρου· μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ' Εὐαινέτου ἄρχοντος ἀφικόμενος εἰς Ἀθήνας ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα. τῷ δὲ τρισκαιδεκάτῳ, μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ Κηφισοδώρου ἄρχοντος ἀπάρας εἰς Χαλκίδα νόσῳ τελευτᾷ, τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.

Ταῦτα μὲν οὖν ἔστιν ἃ παραδεδώκασιν ἡμῖν οἱ τὸν 6
729 βίον τοῦ ἀνδρὸς ἀναγράψαντες. ἃ δὲ αὐτὸς ὁ φι|λόσοφος ὑπὲρ ἑαυτοῦ γράφει, πᾶσαν ἀφαιρούμενος ἐπιχείρησιν τῶν χαρίζεσθαι βουλομένων αὐτῷ τὰ μὴ προσήκοντα, πρὸς πολλοῖς ⟨δ'⟩ ἄλλοις ὧν οὐδὲν δέομαι μεμνῆσθαι κατὰ τὸ παρόν, ἃ τέθηκεν ἐν τῇ πρώτῃ βύβλῳ ταύτης τῆς πραγματείας, ὡς οὐ μειράκιον ἦν, ὅτε τὰς ῥητορικὰς συνετάττετο τέχνας, ἀλλ' ἐν τῇ κρατίστῃ γεγονὼς ἀκμῇ καὶ προεκδεδωκὼς ἤδη τάς τε τοπικὰς συντάξεις καὶ τὰς ἀναλυτικὰς καὶ τὰς μεθοδικάς, τεκμήρι' ἐστὶν ἰσχυρότατα. ἀρξάμενος γὰρ τὰς ὠφελείας ἐπιδεικνύειν, ἃς περιείληφεν ὁ ῥητορικὸς λόγος, ταῦτα κατὰ λέξιν γράφει· ʽχρήσιμος δ' ἐστὶν ἡ ῥητορικὴ

23 — p 264, 10 Aristoteles rhetor. I 1 p 1355^a 21—29

1 ἀπαρνέως P ἀπαρνέων B | αὐτοῦ h 1 2 τρίψας libri: corr Wolfius 2 μιτυλήνην libri: corr Herwerdenus 3 ἔχετο P ἤρχετο s 12 ἃ] τὰ Weilius idemque δ' ante 15 ἄλλοις inserit | δ' r 15 16 μνησθῆναι Herwerdenus 16 ἃ] fort ἅ γε | τέθεικεν libri | βύβλω BP: βίβλω MO, s 20 21 τεκμηρίων ἐστὶν ἰσχυρότερα libri: τεκμήριόν ἐστιν ἰσχυρότατον Reiskius τεκμηρίων ἐστὶν ἰσχυρότατα Weilius 22 ῥιτορικὸς P 23 λέξειν P

διά γε τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια
τῶν ἐναντίων· ὥςτε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρί-
σεις γίνωνται, ἀνάγκη δι' αὐτὸν ἡττᾶσθαι· τοῦτο δ'
ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίους, οὐδ' εἰ
τὴν ἀκρι|βεστάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκεί- 730
νης πεῖσαι λέγοντας· διδασκαλία γάρ ἐστιν ὁ κατὰ τὴν
ἐπιστήμην λόγος, τοῦτο δὲ ἀδύνατον· ἀλλ' ἀνάγκη διὰ
τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους,
ὥςπερ καὶ ἐν τοῖς τοπικοῖς λέγομεν περὶ τῆς πρὸς τοὺς
7 πολλοὺς ἐντεύξεως.' περὶ δὲ παραδειγμάτων ⟨καὶ ἐν-
11 θυμημάτων⟩ προελόμενος λέγειν, ὅτι τὴν αὐτὴν ταῦτ'
ἔχει δύναμιν ταῖς ἐπαγωγαῖς καὶ τοῖς συλλογισμοῖς,
ταῦτα περὶ τῆς ἀναλυτικῆς καὶ μεθοδικῆς πραγματείας
τίθησι· 'τῶν δὲ διὰ τοῦ δείκνυσθαι ⟨ἢ⟩ φαίνεσθαι
δείκνυσθαι, καθάπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς τὸ μὲν
ἐπαγωγή ἐστι, τὸ δὲ συλλογισμός, | ⟨τὸ δὲ φαινόμενος 731
συλλογισμός⟩, καὶ ἐνταῦθ' ὁμοίως· ἔστι γὰρ τὸ μὲν
παράδειγμα ἐπαγωγή, τὸ δ' ἐνθύμημα συλλογισμός, τὸ

14 — p 265, 16 Aristoteles rhet. I 2 p 1356^a 35—^{b} 21

1 διά τε A(ristoteles) διὰ δὲ O 2 ὥστ' r | μὴ (Aristotelis) t(ranslatio uetus), Sylburgius: μὲν libri, om A codex Parisinus 3 αὐτὸν libri: αὐτῶν As 4 ἔστιν Ms ἐστιν B | εἰ] εἰς B 6 διδασκαλίας A 7 fort οὕτω | δ' r | δὲ δύνατον B 9 τοῖς πολιτικοῖς libri: corr Sylb ex A | ἐλέγομεν ex A Sylb 10 δὲ Herwerdenus: τε libri | καὶ ἐνθυμημάτων inseruit Spengelius 11 ταῦτ' suspectat Herwerdenus 12 ἐπαγογαῖς MO 13 ἀναλυτικοῖς B | καὶ ⟨τῆς⟩ Herwerdenus | μεθοδικοῖς BP 14 τίθνησι P | διὰ τοῦ As: δι' αὐτοῦ libri | δείκνυσθαι ἢ s δείκνυσθαι PO δεικνύναι ἢ A: om MB 15 δεικνύναι A | ἐν τοῖς διαλεκτικοῖς A recte cf Thurot *rev. arch.* 1861 p 250 16 ἐπαγωγῇ M | τὸ δὲ φαιν. συλλ. om libri: ex A suppleuit Sylb 17 ἐνταῦθα MAs | τὸ μὲν] τὸ μὲν ἐπαγωγή ἐστι M^1 18 — p 365, 1 τὸ δὲ φ. φ. συλλ. om Aristotelis t et codex P

δὲ φαινόμενον φαινόμενος συλλογισμός· καλῶ γὰρ ἐν-
θύμημα μὲν ῥητορικὸν συλλογισμόν, παράδειγμα δὲ
ἐπαγωγὴν ῥητορικήν· πάντες δὲ τὰς πίστεις ποιοῦνται
διὰ τοῦ * * * δεικνύναι ὁτιοῦν, δῆλον δ' ἡμῖν τοῦτο
ἐκ τῶν ἀναλυτικῶν, ἀναγκαῖον ἑκάτερον ⟨αὐτῶν ἑκα-
τέρῳ⟩ τούτων τὸ αὐτὸ εἶναι. τίς δ' ἐστὶ διαφορὰ παρα-
δείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν τοπικῶν·
ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρό-
τερον, ὅτι τὸ μὲν ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυσθαι
ὅτι οὕτως ἔχει ἐκεῖ μὲν ἐπαγωγή ἐστιν, ἐνταῦθα δὲ
732 παράδειγμα· τὸ δὲ τινῶν ὄντων ἕτερόν | τι διὰ ταῦτα
συμβαίνειν παρὰ τὸ ταῦτ' εἶναι ἢ καθόλου ἢ ὡς ἐπὶ
τὸ πολύ, ἐκεῖ μὲν συλλογισμός, ἐνταῦθα δὲ ἐνθύμημα
καλεῖται. φανερὸν δὲ καὶ ὅτι ἑκάτερον ἔχει ἀγαθὸν
τὸ εἶδος τῆς ῥητορείας· καθάπερ ⟨γὰρ⟩ καὶ ἐν τοῖς με-
θοδικοῖς εἴρηται, καὶ ἐν τούτοις ὁμοίως ἔχει.' Ὅσα
μὲν οὖν Ἀριστοτέλης ὑπὲρ ἑαυτοῦ γέγραφε μαρτυρό-
μενος διαρρήδην, ὅτι τὰς ῥητορικὰς τέχνας συνετάξατο
πρεσβύτερος ὢν ἤδη καὶ τὰς κρατίστας συντάξεις προ-

1 φαινόμενον] φαινόμενον ἐνθύμημα Spengelius | γὰρ] δὲ A 1 καλῶ ... 2 συλλογισμὸν om B 4 διὰ τοῦ As: διὰ τὸ libri | iteratum u δεικνύναι effecit ut uerba δεικνύναι ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα, καὶ παρὰ ταῦτα οὐδέν [πως]. ὥςτ' εἴ περ καὶ ὅλως ἀνάγκη συλλογιζόμενον ἢ ἐπάγοντα in librorum archetypo interciderent, ex A suppleuit s | ὁτιοῦν] ὁτιοῦν [ἢ ὁντιναοῦν] ex A lectione interpolata Sylburgius 5 ἀναλυτυτικῶν P ἀναλογυτικῶν B | ἀναγκαίων B 5 6 αὐτῶν ἑκατέρῳ ex A suppleuit Sylburgius 6 ἐστί M^1 ἐστιν B 9 ἐπὶ] ἐκ mg Morellii 10 εἰσαγωγή libri: corr s 12 συμβαίνει libri: corr s | παρὰ τὸ ταῦτ' εἶναι] παρὰ ταῦτα τῷ ταῦτα εἶναι A cf Vahlen *Wien. sitzungsberr.* 1861 t. 38, 98 13 δ' r 14 φανερὸν δ' ὅτι καὶ ἑκάτερον A | ἀγαθὸν in A om P^2t ἀγαθὰ ci Sauppius 15 τὸ εἶδος] εἶδος Ps | ῥητορίας P | γὰρ ex A suppl Sylburgius 16 ὅσα] ὁ libri ἃ Sadaeus

ἐκδεδωκώς, ταῦτ' ἐστίν· ἐξ ὧν ὃ προειλόμην ποιῆσαι φανερόν, ὅτι προτεροῦσιν οἱ τοῦ ῥήτορος ἀγῶνες τῶν τοῦ φιλοσόφου τεχνῶν, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· εἴ γε ὃ μὲν εἰκοστὸν καὶ πέμπτον ἔτος ἔχων ἤρξατο πολιτεύεσθαι καὶ δημηγορεῖν καὶ λόγους εἰς δικαστήρια γράφειν, ὃ δὲ κατὰ τοὺς αὐτοὺς χρόνους ἔτι | 733 συνῆν Πλάτωνι καὶ διέτριψεν ἕως ἐτῶν ἑπτὰ καὶ τριάκοντα οὔτε σχολῆς ἡγούμενος οὔτε ἰδίαν πεποιηκὼς αἵρεσιν.

8 Εἰ δέ τις οὕτως ἔσται δύσερις ὥστε καὶ πρὸς ταῦτα ἀντιλέγειν, ὅτι μὲν ὕστερον ἐγράφησαν αἱ ῥητορικαὶ τέχναι τῶν ἀναλυτικῶν τε καὶ μεθοδικῶν καὶ τοπικῶν, ὁμολογῶν ἀληθὲς εἶναι, οὐδὲν δὲ κωλύειν λέγων ἁπάσας ταύτας κατεσκευακέναι τὸν φιλόσοφον τὰς πραγματείας ἔτι παιδευόμενον παρὰ Πλάτωνι, ψυχρὰν μὲν καὶ ἀπίθανον ἐπιχείρησιν εἰσάγων, βιαζόμενος δὲ τὸ κακουργότατον τῶν ἐπιχειρημάτων ποιεῖν πιθανώτερον, ὅτι καὶ τὸ μὴ εἰκὸς γίνεταί ποτε εἰκός, ἀφεὶς ἃ πρὸς ταῦτα λέγειν εἶχον ἐπὶ τὰς αὐτοῦ τρέψομαι τοῦ φιλοσόφου μαρτυρίας, ἃς ἐν τῇ τρίτῃ βύβλῳ τῶν τεχνῶν τέθηκε περὶ τῆς μεταφορᾶς κατὰ λέξιν οὕτω γράφων· 'τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν, εὐδοκιμοῦσι μά-

22 — p 267, 7 Arist. rhet. III 10 p 1411^a 1—8

1 ἐστὶν M: ἔστιν BOPs | ὃ om s, restituit r 6 γράφειν iterat mg B rubro 7 διέτριψε ⟨παρ' αὐτῷ⟩ ἕως ci Herwerdenus 8 οὔτ' ἰδίαν r 9 αἵρεσιν M 10 δυσῦρις B[1] 14 ταύτας κατεσκευασται κατεσκευακέναι P 16 τὸ] τὸν B 17 πανουργότατον Morellius καινουργότατον Kiesslingius mus. Rhen. 23, 251 sed cf Demosth. or. 20, 125 | πιθανώτατον libri 18 γίγνεσθαι Weilius, sed cf Arist. rhet. II 24 p 1402^a 13 | εἰκός del Herwerdenus 20 ἃς om B | βύβλω BP: βίβλω MO, mg BP 20 21 τέθεικε τῶν τεχνῶν s 21 τέθεικε libri | μεταμορφᾶς (-φὰς B) et 22 μεταμορφῶν BP

λιστα αἱ κατὰ ἀναλογίαν· ὡς Περικλῆς ἔφη τὴν νεό- 734 τητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως | ἠφανίσθαι ἐκ τῆς πόλεως, ὥςπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι ... καὶ Κηφισόδοτος σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι τῶν περὶ τὸν Ὀλυνθιακὸν πόλεμον ἠγανάκτει φάσκων αὐτὸν εἰς πνῖγμα τὸν δῆμον ἀγαγόντα τὰς εὐθύνας πειρᾶσθαι διδόναι.'

Οὑτωσὶ μὲν δὴ σαφῶς αὐτὸς ὁ φιλόσοφος ἀπο- 9 δεικνύει μετὰ τὸν Ὀλυνθιακὸν πόλεμον γεγραμμένας ὑπ' αὐτοῦ τὰς τέχνας. οὗτος δ' ἐπὶ Καλλιμάχου γέγονεν ἄρχοντος, ὡς δηλοῖ Φιλόχορος ἐν ἕκτῃ βύβλῳ τῆς Ἀτθίδος κατὰ λέξιν οὕτω γράφων· 'Καλλίμαχος Περγασῆθεν: ἐπὶ τούτου Ὀλυνθίοις πολεμουμένοις ὑπὸ Φιλίππου καὶ πρέσβεις Ἀθήναζε πέμψασιν οἱ Ἀθηναῖοι συμμαχίαν τε ἐποιήσαντο * * * καὶ βοήθειαν ἔπεμψαν 735 πελταστὰς δισχιλίους, τριήρεις δὲ τριάκοντα τὰς | μετὰ Χάρητος καὶ ἃς συνεπλήρωσαν ὀκτώ.' ἔπειτα διεξελθὼν ὀλίγα τὰ μεταξὺ γενόμενα τίθησι ταυτί· 'περὶ δὲ τὸν

12 et 18 Philochorus fr 132 (FHG I p 405)

1 ὡς] ὥςπερ A 4 ἐξέλοι· καὶ libri: ἐξέλοι· καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἐᾶν περιιδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην· καὶ A, s | χάριτος MBO om P: corr s 5 τῶν MB: τοῦ Ps om O, A 6 αὐτὸν MBO: om (dum nouam paginam inchoat) P, sA | πνίγμα M | ἀγαγόντα] ἔχοντα A ἠχότα ci Sauppius ἄγχοντα Abreschius cf Aelian. n. a. 10, 48 εἰς πνῖγμα ἄγχων 7 εὐθείνας P[1] | δοῦναι A 8 οὕτως. Εἰ libri: corr Reiskius et Spengelius de Ar. rhet. p 48 10 ὑφ' αὐτοῦ Herwerdenus | οὕτως libri: corr s 11 βίβλω libri 11 12 ἀτθίδος mg B iterat 12 οὕτως P 12 13 περγαγησῆθεν B 15 συμαχίαν B[1] | post ἐποιήσαντο c XVIII litterarum spatio hiant MO, lacunam non indicant BPs: plebisciti auctorem e c ⟨Δημοσθένους γράψαντος⟩ latere Schaeferus uidit Dem. II^2 p 132, 1 καὶ φιλίαν ci Herwerdenus 16 μὲν post πελταστὰς Wolfio auctore inseruit Sylburgius | τὰς om O 17 χάριτος BPO | καὶ ἃς libri: ἃς καὶ s | ὀκτώ MO: om BPs 18 ὀλίγ' ἄττα ci Reiskius

αὐτὸν χρόνον Χαλκιδέων τῶν ἐπὶ Θρᾴκης θλιβομένων τῷ πολέμῳ καὶ πρεσβευσαμένων Ἀθήναζε Χαρίδημον αὐτοῖς ἔπεμψαν οἱ Ἀθηναῖοι τὸν ἐν Ἑλλησπόντῳ στρατηγόν· ὃς ἔχων ὀκτωκαίδεκα τριήρεις καὶ πελταστὰς τετρακισχιλίους, ἱππεῖς δὲ πεντήκοντα καὶ ἑκατὸν ἦλθεν εἰς τήν τε Παλλήνην καὶ τὴν Βοττιαίαν μετ᾽ Ὀλυνθίων καὶ τὴν χώραν ἐπόρθησεν.᾽ ἔπειθ᾽ ὑπὲρ τῆς τρίτης συμμαχίας λέγει ταυτί· ῾πάλιν δὲ τῶν Ὀλυνθίων πρέσβεις ἀποστειλάντων εἰς τὰς Ἀθήνας καὶ δεομένων μὴ περιιδεῖν αὐτοὺς καταπολεμηθέντας, ἀλλὰ πρὸς ταῖς ὑπαρχούσαις δυνάμεσι πέμψαι βοήθειαν μὴ ξενικὴν ἀλλ᾽ αὐτῶν Ἀθηναίων, ἔπεμψεν αὐτοῖς ὁ δῆμος τριήρεις μὲν ἑτέρας ἑπτακαίδεκα ⟨καὶ⟩ τῶν πολιτῶν ὁπλίτας δισχιλίους καὶ ἱππεῖς τριακοσίους ἐν ναυσὶν ἱππηγοῖς, στρατηγὸν δὲ Χάρητα τοῦ στόλου παντός.᾽

10 Ἀπόχρη μὲν οὖν καὶ ταῦτα ῥηθέντα φανερὰν ποιῆσαι τὴν φιλοτιμίαν τῶν ἀξιούντων τὰς Ἀριστοτέλους | ἐξηλωκέναι τέχνας τὸν Δημοσθένη, ὃς ἤδη τέτταρας 736
μὲν ἔτυχεν εἰρηκὼς δημηγορίας Φιλιππικάς, τρεῖς δὲ Ἑλληνικάς, πέντε δὲ λόγους δημοσίους εἰς δικαστήρια γεγραφώς, οὓς οὐδεὶς ἂν ἔχοι διαβαλεῖν ὡς εὐτελεῖς

8 Philochorus l. s.

1 αὐτὸν om O | θράκις BP 5 τετρακισχιλίοις MO 6 εἰς τήν τε] εἰς τὴν εἰς τὲ B[1] εἴς τε MB[2]OPs | παλλήνειν P | τὴν ante Βοττ. del Herwerdenus | ὀλυνθίνων B 8 συμμαχίας] βοηθείας ci Weilius 11 δυνάμενοι O 13 καὶ τῶν Radermacherus: τῶν libri τῶν δὲ s 13 14 ὁπλίτας δεδισχιλίους M unus 16 ἀπόχρι P | ῥηθένται B 17 τὴν ⟨κενὴν⟩ ci Weilius 18 τέσσαρας s 19 φιλιπτικὰς P 20 πέντε δὲ λόγους δημοσίους mg M rubro: περὶ δὲ λόγους δηλώσει οὓς MOPs περὶ δὲ λόγους δηλώσει οὓς εἰς δὲ ἑλληνικὰς· περὶ δὲ λόγους δηλώσει οὓς B περὶ δὲ έ λόγους δημοσίους Reiskius 21 διαβαλλεῖν P διαβαλεῖς O

τινας καὶ φαύλους καὶ μηδὲν ἐπιφαίνοντας τεχνικόν, ἐπειδὴ πρὸ τῶν Ἀριστοτέλους συνετάχθησαν τεχνῶν. οὐ μὴν ἔγωγε μέχρι τούτου προελθὼν στήσομαι, ἀλλὰ καὶ τοὺς ἄλλους αὐτοῦ λόγους τοὺς μάλιστ᾽ εὐδοκιμοῦντας ἐπιδείξω τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς πρότερον ἀπηγγελμένους τῆς ἐκδόσεως τούτων τῶν τεχνῶν, μάρτυρι πάλιν αὐτῷ χρώμενος Ἀριστοτέλει. μετὰ γὰρ ἄρχοντα Καλλίμαχον, ἐφ᾽ οὗ τὰς εἰς Ὄλυνθον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέντες ὑπὸ Δημοσθένους, Θεόφιλος ἔστιν ἄρχων, καθ᾽ ὃν ἐκράτησε τῆς Ὀλυνθίων πόλεως Φίλιππος. ἔπειτα Θεμιστοκλῆς, ἐφ᾽ οὗ τὴν πέμπτην τῶν κατὰ Φιλίππου δημηγοριῶν ἀπήγγειλε Δημοσθένης περὶ τῆς φυλα-
737 κῆς | τῶν νησιωτῶν καὶ τῶν ἐν Ἑλλησπόντῳ πόλεων, ἧς ἐστιν ἀρχή· ῾῞Α μὲν ἡμεῖς ὦ ἄνδρες Ἀθηναῖοι δεδυνήμεθα εὑρεῖν, ταῦτ᾽ ἐστίν.᾽ μετὰ δὲ Θεμιστοκλέα Ἀρχίας, ἐφ᾽ οὗ παραινεῖ τοῖς Ἀθηναίοις μὴ κωλύειν Φίλιππον τῆς Ἀμφικτυονίας μετέχειν μηδὲ ἀφορμὴν διδόναι πολέμου νεωστὶ πεποιημένους τὴν πρὸς αὐτὸν εἰρήνην· ἀρχὴ δὲ ταύτης τῆς δημηγορίας ἐστὶν ἥδε· ῾Ὁρῶ μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὰ παρόντα πράγματα.᾽ μετὰ δὲ Ἀρχίαν ἔστιν Εὔβουλος· εἶτα Λυκίσκος, ἐφ᾽

15 Demosthenes or. 4, 30 21 idem or. 5, 1

1 φαύλας h 2 ἐπειδὴ ... τεχνῶν suspectat Herw. 4 τοὺς (ante μάλιστ᾽) MBOs τοῦ P: om h | μάλιστα M 7 τῶν om B 10 θεόφιλός ἐστιν libri | ὃν] ἣν B 11 ἐκράτισε MO ἐκράτησεν B 12 πέμπτην] ἕκτην s | φίλιππον MB 13 δημηγοριῶν ἀτὴν ἀπήγκειλε B: inrepsit glossema ά την 14 νησιατῶν h 15 ἀρχά B 16 ἐστί M ἔστι s | θεμιστοκλέους P 18 τῆς] τὴν B | μηδ᾽ r 19 fort πεποιημένοις 20 δὲ Sylburgius: καὶ libri 21 ὁρῶ . . . 22 μετὰ δὲ om B | ὁρῶμεν M 22 δ᾽ r | ἐστὶν libri | εὔουλος P

οὗ τὴν ἑβδόμην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τὰς ἐκ Πελοποννήσου πρεσβείας, ταύτην τὴν ἀρχὴν ποιησάμενος· '῞Οταν ὦ ἄνδρες Ἀθηναῖοι λόγοι γίγνωνται.' μετὰ Λυκίσκον ἔστιν ἄρχων Πυθόδοτος, ἐφ' οὗ τὴν ὀγδόην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τοὺς Φιλίππου πρέσβεις, ἧς ἐστιν ἀρχή '῏Ω ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν, ὅπως αἱ αἰτίαι', καὶ τὸν κατ' Αἰσχίνου συνετάξατο λόγον, ὅτε τὰς εὐθύνας ἐδίδου τῆς δευτέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους. μετὰ Πυθόδοτον ἔστι Σωσιγένης, ἐφ' οὗ τὴν ἐνάτην διελήλυθεν κατὰ Φιλίππου δημη|γορίαν περὶ τῶν ἐν 738 Χερρονήσῳ στρατιωτῶν, ἵνα μὴ διαλυθῇ τὸ μετὰ Διοπείθους ξενικόν, ἀρχὴν ἔχουσαν ταύτην· '῎Εδει μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοὺς λέγοντας ἅπαντας'· καὶ κατὰ τὸν αὐτὸν ἄρχοντα τὴν δεκάτην, ἐν ᾗ πειρᾶται διδάσκειν, ὅτι λύει τὴν εἰρήνην Φίλιππος καὶ πρότερος ἐκφέρει τὸν πόλεμον, ἧς ἐστιν ἀρχή· 'Πολλῶν ὦ ἄνδρες Ἀθηναῖοι λόγων γιγνομένων.' μετὰ Σωσιγένην ἄρχων ἔστι Νικόμαχος, ἐφ' οὗ τὴν ἑνδεκάτην δημηγορίαν διελήλυθε περὶ τοῦ λελυκέναι τὴν εἰρήνην Φίλιππον καὶ τοὺς Ἀθηναίους πείθει Βυζαντίοις ἀποστεῖλαι βοήθειαν,

3 Demosthenes or. 6, 1 6 [id.] (Hegesippus) or. 7, 1 13 idem or. 8, 1 17 idem or. 9, 1

1 ἐνδόμην P 3 ἄνδρες om MO 4 ἐστὶν Ps 5 τήν ⟨τ'⟩ Weilius 6 φιλίππους P om O 7 ὅπως αἱ s: ὅσαι libri 8 συντάξατο P 9 ὅρχους BP, s 10 ἐστι libri | σωσηγένης B | ἐννάτην s 11 διελήλυθε Ps 12 13 διοπύθους BP 13 ἔχουσα s 14 post ἅπαντες ex Dem. ἐν ὑμῖν ... πρὸς χάριν interpolauit s 15 ἢ πείραται B 18 γιγνωμένων P γινομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν s 19 ἐστὶ libri | ἐνδεκάτην B
20 καὶ τοὺς .. 21 βοήθειαν post 17 πόλεμον traici Weilius iubet, tu cf Dem. or. 10, 68. 19—23 21 πείθει cf p 271, 3

ἧς ἐστιν ἀρχή· 'Καὶ σπουδαῖα νομίζων ὦ ἄνδρες Ἀθηναῖοι.' ἕπεται Νικομάχῳ Θεόφραστος ἄρχων, ἐφ' οὗ πείθει τοὺς Ἀθηναίους γενναίως ὑπομεῖναι τὸν πόλεμον ὡς κατηγγελκότος αὐτὸν ἤδη Φιλίππου· καὶ ἔστιν 739 αὕτη τελευταία τῶν κατὰ Φιλίππου δημηγοριῶν, | ἀρχὴν ἔχουσα ταύτην· '῞Οτι μὲν ὦ ἄνδρες Ἀθηναῖοι Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον.'

῞Οτι δὲ καὶ τούτους ἅπαντας τοὺς λόγους οὓς κατ- 11
ηρίθμημαι πρὸ τῆς ἐκδόσεως τῶν Ἀριστοτέλους τεχνῶν ἀπήγγειλεν ὁ Δημοσθένης, αὐτὸν Ἀριστοτέλη παρέξομαι μαρτυροῦντα. ἀρξάμενος γὰρ ἐν τῇ δευτέρᾳ βύβλῳ τῶν τεχνῶν τοὺς τόπους ὁρίζειν, ἀφ' ὧν τὰ ἐνθυμήματα φέρεται, καὶ τὸν ἐκ τοῦ χρόνου παραλαμβάνει παρατιθεὶς αὐτῷ τὰ παραδείγματα. θήσω δὲ αὐτὴν τὴν τοῦ φιλοσόφου λέξιν· 'ἄλλος εἰς τὸν χρόνον σκοπεῖ· οἷον, ὡς ὁ Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὡς εἰ πρὶν ποιῆσαι ἠξίου τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσῃ, ἔδοτε ἄν· ποιήσαντι δ' οὐ δώσετε; μὴ τοί-

1 Demosthenes or. 10, 1 6 idem or. 11, 1 16—p 272, 5 Aristoteles rhet. II 23 p 1397^b 27—1398^a 3

1 2 post Ἀθ. iterum s ex Dem. sententiam compleuit 2 ἕπεται mg M rubro: ἐπὶ libri | θεώφραστος B 4 καὶ ἔστιν ... 5 φιλίππου om B 5 τελευτέα MO 6 7 φίλιπος B 7 τὴν om O 8 πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν s ex Dem. 9 δὲ καὶ] δὲ δέκα libri δὲ κατὰ Par. 1657 Sauppio teste δὲ δώδεκα s miro errore | τούτου B 11 12 παρέξομαι πρὸ τῆς ἐκδόσεως τῶν ἀρ)παρέξομαι prioribus rubro subductis B
12 13 βίβλω libri 14 an φύεται? 14 15 παραλαμβάνειν libri: corr s 15 αὐτῷ om O 16 δ' r | ἄλλως M 16 17 ἄλλος ἐκ τοῦ τὸν χρόνον σκοπεῖν in A Pt 17 οἷον] οἷς O | ὡς ὁ libri: ὡς As 18 ὡς] ὃς libri ὅτι As | ἠξίου MBOs ἠξίους P: ἠξίουν Sylburgius ex A | τῆς geminat B 19 ποιήση libri, s: ποιήσω Sylburgius ex A | ἔδοτε As: ἔδοξε libri | δ' οὐ] δ' ἆρ' οὐ Sylburgius ex A

νυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δὲ ἀφαιρεῖ|-
σθε. καὶ πάλιν πρὸς τὸ διὰ Θηβαίων διιέναι Φίλιπ- 740
πον εἰς τὴν Ἀττικήν, ὅτι εἰ πρὶν βοηθῆσαι ⟨εἰς⟩ Φω-
κεῖς ἠξίου, ὑπέσχοντο ἄν· ἄτοπον οὖν εἰ, διότι προεῖτο
καὶ ἐπίστευσεν, μὴ διήσουσιν.' ὁ δὲ χρόνος οὗτος, ἐν
ᾧ Φίλιππος ἠξίου Θηβαίους ἐπὶ τὴν Ἀττικὴν αὐτῷ
δοῦναι δίοδον ὑπομιμνήσκων τῆς ἐν τῷ πρὸς Φωκεῖς
πολέμῳ γενομένης βοηθείας, ἐκ τῆς κοινῆς γίγνεται
φανερὸς ἱστορίας. εἶχε γὰρ οὕτως· μετὰ τὴν Ὀλυνθίων
ἅλωσιν ἄρχοντος Θεμιστοκλέους συνθῆκαι Φιλίππῳ
πρὸς Ἀθηναίους ἐγένοντο περὶ φιλίας καὶ συμμαχίας·
αὗται διέμειναν ἑπταετῆ χρόνον ἄχρι Νικομάχου· ἐπὶ
δὲ Θεοφράστου τοῦ μετὰ Νικόμαχον ἄρξαντος ἐλύθη-
σαν, Ἀθηναίων μὲν Φίλιππον αἰτιωμένων ἄρχειν τοῦ
πολέμου, Φιλίππου δὲ Ἀθηναίοις ἐγκαλοῦντος. τὰς
δὲ αἰτίας δι' | ἃς εἰς τὸν πόλεμον κατέστησαν ἀδικεῖ- 741
σθαι λέγοντες ἀμφότεροι, καὶ τὸν χρόνον ἐν ᾧ τὴν
εἰρήνην ἔλυσαν ἀκριβῶς δηλοῖ Φιλόχορος ἐν τῇ ἕκτῃ
τῆς Ἀτθίδος βύβλῳ. θήσω δ' ἐξ αὐτῆς τὰ ἀναγκαιό-
τατα· 'Θεόφραστος Ἁλαιεύς: ἐπὶ τούτου Φίλιππος τὸ
μὲν πρῶτον ἀναπλεύσας Περίνθῳ προσέβαλεν, ἀπο-
τυχὼν δ' ἐντεῦθεν Βυζάντιον ἐπολιόρκει καὶ μηχανή-

20 Philochorus fr 135 (FHG I p 406)

1 *μὲν ⟨εὖ πάσχειν⟩* ci Morellus | *ὑπισχνείτεσθε* B *ὑπισχνεῖτεσθαι* P | *παθόντες δϊαφερεῖσθε* (*αι* pro *ε* mg) P | *δ'* s 1 2 *ἀφαιρεῖσθαι* B 2 *πρὸς τὸ Θηβαίους διεῖναι* A 3 *εἰς* ex A suppleuit Sauppius 4 *εἰ διότι* As: *εἰ δόντι* libri 5 *ἐπίστευσεν* A: *διέσπευσεν* libri | *διήσουσιν* A: *δώσουσιν* libri | post *δώσουσιν* fenestram XIII litt M, XXV O exhibent: nihil deesse perspexit Sadaeus p 67 6 *θηβαίοις* BP | *αὐτῶ* BOPs 7 *ὑπερμιμνήσκων* h 8 *κοικῆς* P | *γίνεται* s 10 *συνθῆ καὶ* BP 12 *αὗται δὲ διέμ. ἑπτετῆ* Herwerdenus 13 *θοφράστου* P 15 et 16 *δ'* r 19 *τῆς* om s | *βύβλω* BP: *βίβλω* MO, s | *δὲ* s 20 *ἀλλαιεύς* libri: corr Sauppius | *τούτους* P

ματα προσῆγεν.' ἔπειτα διεξελθών, ὅσα τοῖς Ἀθηναίοις
ὁ Φίλιππος ἐνεκάλει διὰ τῆς ἐπιστολῆς, ταῦτα πάλιν
κατὰ λέξιν ἐπιτίθησιν· 'ὁ δὲ δῆμος ἀκούσας τῆς ἐπι-
στολῆς καὶ Δημοσθένους παρακαλεσαντος αὐτὸν πρὸς
τὸν πόλεμον καὶ ⟨τὰ⟩ ψηφίσματα γράψαντος ἐχειρο-
τόνησε τὴν μὲν στήλην καθελεῖν τὴν περὶ τῆς πρὸς
Φίλιππον εἰρήνης καὶ συμμαχίας σταθεῖσαν, ναῦς δὲ
πληροῦν καὶ τὰ ἄλλα ἐνεργεῖν τὰ τοῦ πολέμου.' ταῦτα
742 *γράψας κατὰ Θεόφραστον ἄρχοντα | γεγονέναι, τῷ*
μετ' ἐκεῖνον ἐνιαυτᾷ τὰ πραχθέντα μετὰ τὴν λύσιν
τῆς εἰρήνης ἐπὶ Λυσιμαχίδου ἄρχοντος διεξέρχεται.
θήσω δὲ καὶ τούτων αὐτὰ τὰ ἀναγκαιότατα· 'Λυσιμα-
χίδης Ἀχαρνεύς: ἐπὶ τούτου τὰ μὲν ἔργα τὰ περὶ τοὺς
νεωσοίκους καὶ τὴν σκευοθήκην ἀνεβάλοντο διὰ τὸν
πόλεμον τὸν πρὸς Φίλιππον· τὰ δὲ χρήματα ἐψη-
φίσαντο πάντ' εἶναι στρατιωτικὰ Δημοσθένους γρά-
ψαντος. Φιλίππου δὲ καταλαβόντος Ἐλάτειαν καὶ Κυ-
*τίνιον καὶ πρέσβεις πέμψαντος εἰς Θήβας * Θετταλῶν*
Αἰνιάνων Αἰτωλῶν Δολόπων Φθιωτῶν, Ἀθηναίων δὲ
κατὰ τὸν αὐτὸν χρόνον πρέσβεις ἀποστειλάντων τοὺς
περὶ Δημοσθένη, τούτοις συμμαχεῖν ἐψηφίσαντο.' Φα-
νεροῦ δὴ γεγονότος τοῦ χρόνου, καθ' ὃν εἰσῆλθον εἰς

3 12 Philochorus l. s.

1 *διελθὼν* O 2 *ταῦτα* ... 3 *ἐπιστολῆς* MBO: om Ps 4 *καὶ* del Weilius | *καλέσαντος* O | *αὐτοὺς* Wolfio auctore Sylburgius 5 *τὰ* add Weilius 6 *καλεῖν* O 8 *ἄλλα* ... 9 *κατὰ* iterat B | *ἐνεργεῖ* O 10 *ἐνιαυτῷ*] *ἐν αὐτῷ* h | *λῦσιν* M 12 *αὐτῶν τὰ* libri: corr Reiskius cf Sauppius *Gött. gel. anz.* 1863 p 128 sq 14 *σκενοθήκην* B | *ἀνεβάλλοντο* P 15 *χρήματ'* s 17 18 *κατίνιον* MO 18 *καὶ αὐτοῦ καὶ* intercidisse puto, *μετὰ* Sauppius | *τετταλῶν* B^1P *θετταλον* B^2 21 *δημοσθένους* P | *ἐψηφίσατο* libri: corr Reiskius Thebanos dicit 21 22 *φανερὸν* P 22 *δὴ*] *δὲ* s | *τοῦ* om O

Θήβας οἵ τε Ἀθηναίων πρέσβεις οἱ περὶ Δημοσθένη καὶ οἱ παρὰ Φιλίππου, ὅτι κατὰ Λυσιμαχίδην ἄρχοντα πίπτει, παρεσκευασμένων ἤδη τὰ πρὸς τὸν πόλεμον ἀμφοτέρων, αὐτὸς ὁ Δημοσθένης ποιήσει φανερὸν ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ, τίνες ἦσαν αἱ παρὰ τῶν πρεσβειῶν ἀμφοτέρων ἀξιώσεις· | θήσω δὲ ἐξ αὐτῆς 743 *λαβὼν τῆς ἐκείνου λέξεως τὰ συντείνοντα πρὸς τὸ πρᾶγμα· ‘Οὕτως διαθεὶς Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν ἧκεν ἔχων τὴν δύναμιν καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ἡμῶν ἂν καὶ τῶν Θηβαίων.’ ἀλλὰ μὴν τὰ τότε συμβάντα διεξελθών, διεξελθὼν δὲ τοὺς ῥηθέντας ὑφ' ἑαυτοῦ λόγους ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς πρεσβευτὴς ὑπ' Ἀθηναίων εἰς Θήβας ἐπέμφθη, ταῦτα κατὰ λέξιν ἐπιτίθησιν· ‘ὡς δ' ἀφικόμεθα εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς.’ ἔπειτ' ἐπιστολήν τινα κελεύσας ἀναγνωσθῆναι ταῦτ' ἐπιτίθησιν· ‘ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν.*

8 Demosthenes or. 18, 168 p 284 16 idem or. 18, 211 p 298, 14 21 ibidem 213 p 299, 1

1 *τ'* r *τῶν* Morellus 5 *τοῦ* om s | *στεφάνου λόγω . . .* 6 *ἀξιώσεις* MBO *στεφοτέρων ἀξιώσεις* P *στεφάνου* s 5 *αἱ περὶ* libri: corr Herwerdenus 6 *δ'* r 8 *οὕτω* Sylburgius | *ὁ Φίλιππος* s ex Dem 11 *κατεβ. κατέλαβεν* sic P 12 *συμπνευσόντων* soloecum ut nos in Dem libris ita iam Dionysius legit, *συμπνευσάντων* certatim restituerunt | *ἂν ἡμῶν* Dem 13 alterum *διεξελθὸν* MB²P | *τοὺς*] *καὶ τοὺς* s 16 *δ'*] *γὰρ* Dem 17 *θεταλῶν* P 22 *ἐκείνους προτέρους διὰ* Dem

καὶ παριόντες ἐδημηγόρουν πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῖν ἐγκαλοῦντες, πάνθ' ὅσα πώ-
744 *ποτε ἐναντία ἐπρά|ξατε Θηβαίους ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ 'πεπόνθεσαν ὑπὸ Φιλίππου χάριν αὐτοὺς ἀποδοῦναι, ὧν δ' ὑφ' ὑμῶν ἠδίκηνται δίκην λαβεῖν, ὁποτέρως βούλονται, ἢ διιέντας αὐτοὺς ἐφ' ὑμᾶς ἢ συνεμβάλλοντας εἰς τὴν Ἀττικήν.’ Εἰ δὴ κατὰ Λυσιμαχίδην μὲν ἄρχοντα τὸν μετὰ Θεόφραστον λελυμένης ἤδη τῆς εἰρήνης οἱ παρὰ Φιλίππου πρέσβεις εἰς Θήβας ἀπεστάλησαν παρακαλοῦντες αὐτοὺς μάλιστα μὲν συνεισβαλεῖν εἰς τὴν Ἀττικήν, εἰ δὲ μή, δίοδον τῷ Φιλίππῳ παρασχεῖν μεμνημένους τῶν εὐεργεσιῶν αὐτοῦ τῶν περὶ τὸν Φωκικὸν πόλεμον, ταύτης δὲ μέμνηται τῆς πρεσβείας Ἀριστοτέλης, ὡς ὀλίγῳ πρότερον ἐπέδειξα τὰς ἐκείνου λέξεις παρασχόμενος, ἀναμφιλόγοις δήπουθεν ἀποδέδεικται τεκμη-*
745 *ρίοις, ὅτι πάντες οἱ Δημοσθένους ἀγῶνες | οἱ πρὸ τῆς Λυσιμαχίδου ἀρχῆς ἐν ἐκκλησίαις τε καὶ δικαστηρίοις γενόμενοι πρότερον τῶν Ἀριστοτέλους τεχνῶν * * **

ἑτέραν προσθήσω μαρτυρίαν παρὰ τοῦ φιλοσόφου 12
λαβών, ἐξ ἧς ἔτι μᾶλλον ἔσται φανερόν, ὅτι μετὰ τὸν

1 *παρεόντες* O *παρελθόντες* Dem 2 *πολλὰ δ' ὑμῶν κατηγοροῦντες* Dem 3 *ἐναντία* iterat P | *Θηβαίοις* Dem 4 *ὧν*] *ὥς* P | *εὖ* om B 6 *ἠδίκηνται* M *ἠδίκηντο* Dem Σ¹ | *ὁπότερος* P 6 7 *διέντας* P ut Dem Σ al 7 *συνεμβαλόντας* s ex Dem 10 *εἰς* iterat O 11 *συνεισβάλλειν* libri: corr Herwerdenus 12 *δίοδόν γε τῷ* Herwerdenus 14 *ταύτης . . . πρεσβείας* dum nouam paginam inchoat, om M et cum eo O 16 *δήπουθεν*] *ἂν ἀποθἂν* P *ἂν* MBO om s *δὴ* Sauppius 18 *λυσιμάχου* B 19 *πρότεροι* s *προτεροῦσι* Herwerdenus | *τεχνῶν* ⟨*εἰσιν*⟩ Sylburgius | hiatum notaui sic fere explendum *ἐκδεδομένοι εἰσίν. Οὐ μὴν ἀλλὰ καὶ* 20 *ἑτέραν δὲ πρ.* Herwerdenus | *παρὰ* M legitimo conpendio, s: *περὶ* BOP *παρ' αὐτοῦ* Herwerdenus

πόλεμον τὸν συμβάντα τοῖς Ἀθηναίοις πρὸς Φίλιππον αἱ ῥητορικαὶ συνετάχθησαν ὑπ᾽ αὐτοῦ τέχναι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν καὶ πάντας εἰρηκότος τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς λόγους, ὧν ὀλίγῳ πρότερον ἐμνήσθην. διεξιὼν γὰρ τοὺς τόπους τῶν ἐνθυμημάτων ὁ φιλόσοφος καὶ τὸν ἐκ τῆς αἰτίας τίθησι· παρέξομαι δὲ τὴν ἐκείνου λέξιν· 'ἄλλος παρὰ τὸ ἀναίτιον ⟨ὡς αἴτιον⟩, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι. τὸ γὰρ μετὰ τοῦτο ⟨ὡς διὰ τοῦτο⟩ λαμβάνουσι, καὶ μάλιστα ἐν ταῖς πολιτείαις· ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ᾽ ἐκεῖνο γὰρ * *'. | Ποίους 746 οὖν ὁ Δημοσθένης κατεσκεύασεν ἀγῶνας ταῖς Ἀριστοτελείοις τέχναις ὁδηγοῖς χρησάμενος, εἰ πάντες οἱ δημόσιοι λόγοι, δι᾽ οὓς ἐπαινεῖταί τε καὶ θαυμάζεται, πρὸ τοῦ πολέμου γεγόνασιν, ὡς πρότερον ἐπέδειξα, πλὴν ἑνὸς τοῦ περὶ τοῦ στεφάνου; οὗτος γὰρ μόνος εἰς δικαστήριον εἰσελήλυθεν μετὰ τὸν πόλεμον ἐπ᾽ Ἀριστοφῶντος ἄρχοντος ⟨ὀγδόῳ⟩ μὲν ἐνιαυτῷ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἕκτῳ δὲ μετὰ τὴν Φιλίππου τελευτήν, καθ᾽ ὃν χρόνον Ἀλέξανδρος τὴν ἐν Ἀρβήλοις ἐνίκα μάχην.

8—12 Aristoteles rhet. II 24 p 1401ᵇ 29—34

2 ῥητορικαὶ καὶ P 6 τῶν ⟨φαινομένων⟩ ἐνθ. Sauppius 8 τὸν ἀναίτιον libri: corr s | ὡς αἴτιον om libri: ex A suppl s | τῷ] τὸ P 9 10 ὡς διὰ τοῦτο suppleuit s ex A 10 μάλιστα] μάλιστα οἱ As 11 ὡς] οἷον ὡς A 12 μετεκεῖνο M, BOP: μετ᾽ ἐκείνην As | post γὰρ spatio XI litt hiat M VIII B X P XX O: συνέβη ὁ πόλεμος s suppl ex A, fort συνέβη ταῦτα 13 οὖν Reiskius: γ᾽ οὖν M γοῦν BOPs 13 14 ἀριστοτελείαις B¹ ἀριστοτελοις O 16 ἐπέδειξαι P 19 ὀγδόῳ (η̄) μὲν ἐνιαυτῷ Bentleio diss. Phalar. append. 18 p 526 Ribb auctore Reiskius: μὲν ἐνιαυτὸν libri 20 χερωνείᾳ B¹ | ἕκτῳ cum Bentleio Reiskius: ὀκτὼ libri 21 ὃν] ὃ P

Εἰ δέ τις ἐρεῖ τῶν πρὸς ἅπαντα φιλονεικούντων, ὅτι τοῦτον ἴσως ἔγραψε τὸν λόγον ταῖς Ἀριστοτέλους ἐντετευχὼς τέχναις, τὸν κράτιστον ἁπάντων ⟨τῶν⟩ λόγων, πολλὰ πρὸς αὐτὸν εἰπεῖν ἔχων, ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένηταί μοι, καὶ τοῦτον ἐπιδείξειν ὑπισχνοῦμαι τὸν ἀγῶνα πρὸ τῶν Ἀριστοτέλους τεχνῶν ἐπιτετελεσμένον αὐτῷ χρησάμενος τῷ φιλοσόφῳ μάρτυρι. προθεὶς γὰρ τόπον ἐνθυμημάτων
747 τὸν ἐκ τῶν πρὸς ἄλληλα, ταῦτα κατὰ | λέξιν γράφει· 'ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· εἰ γὰρ θατέρῳ ⟨ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ⟩ τὸ πεπονθέναι, καὶ εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι· οἷον ὡς ὁ τελώνης ὁ Διομέδων· εἰ γὰρ μηδ᾽ ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδὲ ἡμῖν τὸ ὠνεῖσθαι. καὶ εἰ τῷ πεπονθότι ⟨τὸ⟩ καλῶς καὶ δικαίως ὑπάρχει, τῷ πεπραγμένῳ ὑπάρξει καὶ τῷ ποιήσαντι ἢ ποιοῦντι. ἔστι δὲ τοῦτο παραλογίσασθαι· οὐ γὰρ εἰ δικαίως ἔπαθεν, ἅμα καὶ δικαίως ὑπὸ τούτου πέπονθε. διὸ δεῖ σκοπεῖν χωρίς, εἰ ἄξιος ὁ παθὼν

10 sqq Aristoteles rhet. II 23 p 1397ᵃ 23—ᵇ8
18 πέπονθεν· ὡς ὁ φόνου ἄξια ποιήσας πατήρ, εἰ ὑπὸ τοῦ υἱοῦ τοῦ ἑαυτοῦ τὴν ἐπὶ θανάτῳ ἀπάγεται. Scholion

1 φιλονικούντων P 3 ἐντετευχῶς M ἐντετυχηκὼς s 3 4 τῶν λόγων] λόγον libri cf 260, 15 9 ἄλληλα om O | ταῦτα ... 10 ἄλληλα iterat P 9 τῶν om P 10 ὑπάρχει ... 11 θατέρῳ s ex A: om libri 11 ἢ A: καὶ τὸ s ex deterioribus libris 13 ὁ διομέδων libri: Διομέδων περὶ τῶν τελωνῶν s ex A libris uolgatis suppleuerat, Διομ. περὶ τῶν τελῶν Sauppius cum Par. | πολεῖν P 14 τὸ καλῶς s ex A: καλῶς libri 15 καὶ] ἢ A | τῷ πεπρ. ... 16 ποιοῦντι] καὶ τῷ πείσαντι ἢ ποιήσαντι Par Aristotelis καὶ τῷ ποιήσαντι· καὶ εἰ τῷ ποιήσαντι, καὶ τῷ πεπονθότι t et deteriores 16 δὲ τοῦτο libri cum A Par: δ᾽ ἐν τούτῳ t deteriores, inde r 17 οὐ γὰρ ... 21 ἀπάγεται] εἰ γὰρ δικαίως ἔπαθέν τι (δικ. ἀπέθανεν deterr), δικαίως ἔπαθεν, ἀλλ᾽ ἴσως οὐχ ὑπὸ σοῦ A 17 ἅμα] ἂν libri τι ex A repetebat Sauppius ἤδη Weilius 18 πέπονθε suspectat Sauppius |

παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι, εἶτα χρῆσθαι ὁποτέρως ἂν ἁρμόττῃ. ἐνίοτε γὰρ | διαφωνεῖ τὸ τοιοῦτον, ὥσπερ 748 ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου ... καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη καὶ τῶν ἀποκτεινάντων Νικάνορα.' Τίς οὖν ἐστιν ἡ Δημοσθένους δίκη [καὶ τῶν ἀποκτεινάντων Νικάνορα] περὶ ἧς ὁ φιλόσοφος γέγραφεν, ἐν ᾗ τὸ κυριώτατον τῆς ἀμφισβητήσεως κεφάλαιον ἦν ἐκ τοῦ πρὸς ἄλληλα τόπου; ἡ πρὸς Αἰσχίνην ὑπὲρ Κτησιφῶντος τοῦ παρασχόντος Δημοσθένει τὸ περὶ τοῦ στεφάνου ψήφισμα καὶ τὴν τῶν παρανόμων φεύγοντος γραφήν· ἐν ταύτῃ γὰρ τὸ ζητούμενον ἦν οὐ τὸ κοινόν, εἰ τιμῶν καὶ στεφάνων ἄξιος ἦν Δημοσθένης ἐπιδοὺς ἐκ τῶν ἰδίων κτημάτων τὴν εἰς τὰ τείχη δαπάνην, ἀλλ' εἰ καθ' ὃν χρόνον ὑπεύθυνος ἦν, κωλύοντος τοῦ νόμου τοὺς ὑπευθύνους στεφανοῦν. τὸ γὰρ ἐκ τῶν πρὸς ἄλληλα τοῦτ' ἔστιν, εἰ ὥσπερ τῷ δήμῳ τὸ δοῦναι, | οὕτως καὶ τῷ ὑπευθύνῳ τὸ λαβεῖν 749 τὸν στέφανον ἐξῆν. ἐγὼ μὲν οὖν ταύτης οἴομαι τῆς δίκης μεμνῆσθαι τὸν Ἀριστοτέλη. εἰ δέ τις ἐρεῖ, ὅτι περὶ τῆς τῶν δώρων, ἣν ἐπ' Ἀντικλέους ἄρχοντος ἀπελογήσατο περὶ τὴν Ἀλεξάνδρου τελευτήν, πολλῷ

ὡς ὁ ... ἀπάγεται scholion mg M rubro, in textum receperunt Ps: om BO | ὡς ὁ φώνου M ὡς ὀφῶν (haec del m I) ὡς ὁ φόνου P | υἱοῦ τῆς ἑαυτοῦ P | διὸ om Ps

2 ἁρμόττῃ M^2B^2, s ἁρμόττην M^1O ἁρμόττει B^1P | ἐνίοτε s ex A: ἐνίοις libri unde ἐν ἐνίοις ci Spengelius | τοιοῦτον] τοιοῦτον καὶ οὐδὲν κωλύει A 3 τῷ Θεοδ.] τοῦ Θ. h | post Θεοδέκτου quos inde locos promit A, omisit Dionysius | οἷον om in A Par, non t 4 5 Νικόδημον Aristoteli restituit Sauppius cf Schaeferi Dem II^2 102 sq 5 καὶ ... 6 Νικάνορα del Weilius 8 τόπου ἢ ἡ libri τόπου ἄλλη ἢ ἡ ci Herwerdenus 13 ἐπιδιδοὺς libri: corr Herwerdenus 14 τείχην δαπῶν (hoc deletum) δαπάνην P 16 ἐστὶν M 18 οἶμαι B 19 ἀριστοτέλει P
21 πολλῶν h παλλῶν P

νεωτέρας ἔτι ποιήσει τὰς Ἀριστοτέλους τέχνας τῶν Δημοσθένους ἀγώνων.

Ἀλλὰ γὰρ ὅτι μὲν οὐχ ὁ ῥήτωρ παρὰ τοῦ φιλοσόφου τὰς τέχνας παρέλαβεν αἷς τοὺς θαυμαστοὺς ἐκείνους κατεσκεύασε λόγους, ἀλλὰ τοὐναντίον τὰ Δημοσθένους καὶ τὰ τῶν ἄλλων ῥητόρων ἔργα παραθέμενος Ἀριστοτέλης ταύτας ἔγραψε τὰς τέχνας, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω.

4 αἷς Sauppius: ἃς εἰς libri 5 κατεσκευάσαι MO 6 τὰ om B 6 παρατιθέμενος Herwerdenus 8 Διονυσίου ἀμμαίω τῶ φιλ|τάτω. πλεῖστα χαίρειν: | τέλος subscribit M itemque O nisi quod quartum uersum adicit τοῦ διονυσίου: carent subscriptione BPs

---

DIONYSII HALICARNASEI

TABVLAE CRITICAE

ORATIONVM ATTICARVM

I

RELIQVIAE LIBRORVM PERDITORVM

II

LIBELLVS DE DINARCHO

A **L. RADERMACHERO** EDITVS

libellum de Dinarcho

seruauit unus

F codex Florentinus Laurent. LIX 15

DE ANDOCIDIS ORATIONIBVS

6 Argvmentvm Andocidis or. III *Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας καὶ ἀπράκτους ἀνελθεῖν μὴ πείσαντος τοῦ Ἀνδοκίδου. ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.*

DE LYSIAE ORATIONIBVS

Dionysivs de Lys. 14 extr p 25, 3 *ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συνταττόμενος, ἐν ᾗ τά τε ἄλλα δηλωθήσεταί μοι καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τοῦδε* (uide fr 9) *ἀποδοῦναι πειράσομαι τοῦ λόγου.*

idem ibid 12 p 22, 8 *ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων.*

I

Ps. Plvtarchvs de uitis X orat. p 836ª *φέρονται δ' αὐτοῦ λόγοι υκε. τούτων γνησίους φασὶν οἱ περὶ* 7
Διονύσιον καὶ Καικίλιον εἶναι σλγ· ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται.

ἔστι δ' αὐτοῦ καὶ ὁ ὑπὲρ τοῦ ψηφίσματος ὃ ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελῶν, καὶ κατὰ τῶν λ ἕτερος. .... εἰσὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι καὶ δημηγορίαι, ἐπιστολαί τε καὶ ἐγκώμια καὶ ἐπιτάφιοι καὶ ἐρωτικοὶ καὶ Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. δοκεῖ δὲ κατὰ τὴν λέξιν εὔκολος εἶναι, δυσμίμητος ὤν.

eadem fere auctoribus non indicatis Photius biblioth. cod 262 p 488ᵇ 14. 23. cf Suidas *λόγοι δ' αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ, καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι .... ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας, ἐγκώμιά τε καὶ ἐπιταφίους καὶ ἐπιστολὰς ζ, μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ ε πρὸς μειράκια.*

13 *περιελὼν* edunt *περιέχων* libri

II

8 Dionysivs de Lys. 12 p 20, 9 *πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν* (*Λυσίαν*) *λόγων καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους ὡς εἰσὶν ἐν τοῖς πάνυ γνήσιοι Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς λέξεως, ὑποπτεύσας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος, ὃν οἶδ' ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μέντοι ὁ λόγος ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς καὶ τοῖς ἐνθυμήμασιν εὑρῆσθαι περιττῶς καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων ἄχαρίς ἐστι καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα. μάλιστα δ' ἐγένετό μοι καταφανὴς ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη, τοὺς χρόνους ἀναλογισαμένῳ. ..... ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ ἀνδρὸς καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην οὔτε τοῖς πράγμασιν ἀτόπως ἔχουσαν οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς δι' ὑποψίας ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος· καὶ παραθεὶς τοὺς χρόνους οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς τελευτῆς τοῦ ῥήτορος ἀλλὰ καὶ εἴκοσιν ὅλοις. .... ὅτου μὲν οὖν εἰσι λόγοι ῥήτορος <οἱ> περί τε τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ ἔχω βεβαίως εἰπεῖν· ὅτι δὲ ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν· ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις, ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι διασκοπεῖν. εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτοῦ.*

5 *γνησίοις* libri 29 *αὐτοῦ* Marklandus: *αὐτούς* libri

III

Dionysivs de Lys. 14 p 24, 20 ὅτι δὲ οὐκ ἔγραψε 9
Λυσίας τὸν ὑπὲρ Νικίου λόγον οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λόγῳ.

5 secuntur quae supra p 284 adposui

DE ISOCRATIS ORATIONIBVS

I

10 Ps. Plvtarchvs de uitis X orat. p 838[d] (Photius bibl. cod 260 p 486[b] 5) *φέρονται δ' αὐτοῦ λόγοι ξ̅. ὧν εἰσι γνήσιοι κατὰ μὲν Διονύσιον κ̅ε̅, κατὰ δὲ Καικίλιον κ̅η̅, οἱ δ' ἄλλοι κατεψευσμένοι. .... εἰσὶ δ' οἳ καὶ τέχνας αὐτὸν λέγουσι συγγεγραφέναι, οἳ δ' οὐ μεθόδῳ, ἀλλ' ἀσκήσει χρήσασθαι.*

Suidas *καὶ λόγους γέγραφε λ̅β̅.* nobis Isocratis orationes seruatae sunt XXI.

II*

11 Zosimvs uitae Isocratis p 257 sq Westerm. *εἰ δέ τινες ἐπεισάγουσιν ἄλλους τινὰς λόγους ὡς ὄντας αὐτοῦ, οὐ προσδεκτέον ἐκείνους παρὰ τοὺς φερομένους. εἰσὶ δ' οἱ ἐπεισφερόμενοι οὗτοι· συμβουλευτικοὶ θ̅ περὶ παρασκευῆς, Ἱππομέδων περὶ αὐτονομίας, Σινωπικός, Νησιωτικός, σύμμικτοι γ̅, Ἀμφικτυονικός, περὶ τοῦ κατοικισμοῦ Μιλησίοις. ἐπιδεικτικοὶ ζ̅ Κλυταιμνήστρας ἐγκώμιον, Πηνελόπης, Μενεκράτης, ἐπιτάφιος τοῖς ἐν Θυρέᾳ, Νεοπτόλεμος, Παριακός, * ⟨δικανικοὶ * * *⟩ συνηγορία πρὸς τὴν ἐπιστολὴν τοῦ ἐπιστάτου, περὶ τοῦ ὄρτυγος, ὑπὲρ Τιμοθέου, ἐπιτροπικός, περὶ τῆς ὑδρίας. σύμμικτοι ε̅ περὶ φιλοσοφίας, περὶ Πλάτωνος, περὶ ἔριδος, προτρεπτικός, καταδρομὴ σοφιστῶν.*

10 11 *περὶ παρασκευῆς ἱππομεδῶν, περὶ* edebant

haec si recte ad Dionysii indicem Roesslerus de Dionysii Hal. frr rhetoricis p 24 reuocauit, desunt ad numerum LX orationum supplendum orationes iudiciales IX.

III

Dionysivs de Isocr. 18 p 86, 2 *ἱκανὸν δὲ ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο καὶ τὴν ἀπολογίαν τὴν ὑπὲρ αὐτοῦ τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλην ἀντιγραφαῖς ἐποιήσατο, πιστεύω γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς.* 12

DE ISAEI ORATIONIBVS

13 Dionysivs de Isaeo 2 p 94, 6 *χαρακτῆρα δὲ τὸν Λυσίου (Ἰσαῖος) κατὰ τὸ πλεῖστον ἐξήλωσε· καὶ εἰ μή τις ἔμπειρος πάνυ τῶν ἀνδρῶν εἴη καὶ τριβὰς ἀξιολόγους ἀμφοῖν ἔχων, οὐκ ἂν διαγνοίη ῥᾳδίως πολλοὺς τῶν λόγων, ὁποτέρου τῶν ῥητόρων εἰσίν, ἀλλὰ παρακρούσεται ταῖς ἐπιγραφαῖς ⟨οὐχ⟩ οὕτως ἀκριβῶς ἐχούσαις, ὡς διὰ μιᾶς δηλοῦταί μοι γραφῆς.*

DE DEMOSTHENIS ORATIONIBVS

I

DIONYSIVS de Dem. 57 p 250, 17 *οὐδέ γε ἄλλα τινὰ φορτικὰ καὶ ἀηδῆ ὀνόματα ἐν οὐδενὶ τῶν Δημοσθένους λόγων εὑρεῖν δεδύνημαι, καὶ ταῦτα πέντε ἢ ἓξ μυριάδας στίχων ἐκείνου τοῦ ἀνδρὸς καταλελοιπότος.* 14

Demosthenis orationes quas tenemus omnes si ad ueterem uersuum computandorum formulam reuocaueris, non ultra XXXVIII milia uersuum (circiter XXXVII milia et dimidium efficiunt) extenduntur. igitur Dionysius quotquot et in Callimacheis et in Pergamenis tabulis ferebantur Demosthenis orationes composuisse uidetur.

II

SCHOLION Demosthenis or. Olynth. II init p 71, 1 Dind. *τοῦτον (τὸν λόγον) Διονύσιος προτάττει τῶν Ὀλυνθιακῶν, ἄρχοντάς τέ τινας καταλέγων καὶ ἐκ τοῦ προοιμίου πιστούμενος ἐκ περιχαρείας ληφθέντος. Καικίλιος δὲ ἀντιλέγει πρῶτον ἀξιῶν τὸν πρῶτον νομιζόμενον. τὸ μὲν οὖν κατὰ τοὺς ἄρχοντας ἐν ἱστορίᾳ κεῖται καὶ ἴσως οὐκ ἀκριβῆ τὸν ἔλεγχον ἔχει, τὸ δὲ κατὰ τὸ προοίμιον οὐκ αὔταρκες εἰς ἀπόδειξιν.* 15

hunc esse orationum Olynthiacarum ordinem II III I Dionysius statuerat, cf Dionysius supra p. 261, 14—20 A Schaefer de Demosthene t II² p 159 sqq.

6 *τοῦτον* Dindorfius: *τοῦτο* libri

III

16 SCHOLION Demosth. or. Philippicae I 30 p 155, 3 Dind. *Ἃ μὲν ἡμεῖς] ἐντεῦθέν φησι Διονύσιος ὁ Ἁλικαρνασεὺς ἑτέρου λόγου εἶναι ἀρχήν. προοίμιον δέ, φησίν, οὐκ ἔχει, ἐπειδὴ δευτερολογία ἐστίν, ἐν αἷς ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσὶ προοίμια.*

cf Dionysius supra p 269, 15. 261, 5 A Schaefer de Demosthene t II² p 67 sq.

IV

17 DIONYSIVS de Dem. 57 p 250, 21 *εἰ μέντοι τινὲς ἐν τοῖς ψευδεπιγράφοις εἰσὶ (Δημοσθένους) λόγοις ἀηδεῖς καὶ φορτικαὶ καὶ ἄγροικοι κατασκευαί, ὡς ἐν τοῖς κατ' Ἀριστογείτονος β̄ καὶ ἐν τῇ ἀπολογίᾳ τῶν δώρων καὶ ἐν τῷ ⟨περὶ τοῦ⟩ μὴ ἐκδοῦναι Ἅρπαλον καὶ ἐν τῷ κατὰ Νεαίρας καὶ ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν ἐν ἄλλοις τε συχνοῖς, οὓς ὁ Δημοσθένης οὐκ ἔγραψεν, ἐν ἑτέρᾳ δηλοῦταί μοι γραφῇ τὰ περὶ Δημοσθένη.*

de orationibus in Aristogitonem cf fr 18, de or. in Neaeram fr 23, de or. XVII *π. τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν* uide argumentum orationis *ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ Ὑπερείδου χαρακτῆρι μᾶλλον προσχωρεῖ τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας ἢ τὸν Δημοσθένη, οἷον 'νεόπλουτοι' καὶ 'βδελυρεύσεται'*, Photii bibl. cod 265 p 491ᵃ 22 scholion p 254, 1 Dind., quod iudicium fortasse Dionysii est.

[V

TZETZES in Hermogenem Cram. anecd. Oxon. t IV p 41, 14

καὶ πρότερος Εὐκτήμων μὲν εἷλξεν αὐτὸν (Ἀνδροτίωνα) εἰς δίκην,
Διόδωρος δὲ δεύτερος χωρεῖ πρὸς τὸν ἀγῶνα,
κατά τινας χρησάμενος λόγῳ τῷ Δημοσθένους,
καθ' Ἁλικαρνασέα δὲ τῷ λόγῳ τῷ οἰκείῳ.

contraria, ut par est, Dionysius docet supra p 260, 12.]

VI

ARGVMENTVM Demosthenis or. XXV contra Aristogitonem I p 769 R. (Gregorius Corinthius in Hermog. t VII p 1308, 21 Walzii) Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς οὐ δέχεται τούτους τοὺς (δύο κατὰ Ἀριστογείτονος) λόγους Δημοσθένους εἶναι, ἐκ τῆς ἰδέας τεκμαιρόμενος. 18

Photius bibl. cod 265 p 491^a 29 εἰσὶ δὲ οἳ καὶ τοὺς δύο κατὰ Ἀριστογείτονος ὡς νόθους παραγράφονται, ἀλλ' οὗτοι καὶ ὀρφανοὺς αὐτοὺς ἀφιᾶσιν, οὐκ ἔχοντες εἰπεῖν τοὺς τεκόντας. ὧν εἷς γέγονε καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς, οὐδὲν μέγα τεκμήριον τῆς ἰδίας ὑπολήψεως παρεχόμενος, οὐδὲ ἐκεῖνο συνιδεῖν ἐθελήσας, ὡς πολλῷ μείζων ἐστὶν ἤ περ ἡ ἐκείνου ἀπόφασις αὐτὸς ὁ Ἀριστογείτων ἀνομολογῶν Δημοσθένην κατ' αὐτοῦ γεγραφέναι· καὶ γὰρ ἀπολογούμενος οὐκ ἐν τῷ παρέργῳ λέγων ἀλλ' ἐπιμελῶς ἀνταγωνιζόμενος ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπιγέγραπται Ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους.

VII

DIONYSIVS de Dem. 13 p 156, 11 εἰ γοῦν μὴ διὰ τῆς ἐπιγραφῆς, οὗ τινός ἐστιν, ἑκάτερος τῶν λόγων (Λυσίου ὁ κατὰ Τείσιδος καὶ Δημοσθένους ὁ κατὰ Κόνωνος) γνώριμος ἦν, ἀλλ' ἀνεπιγράφοις περιετύχομεν 19

αὐτοῖς, οὐ πολλοὺς ἂν ἡμῶν οἴομαι διαγνῶναι ῥᾳδίως, πότερος Δημοσθένους ἐστὶν ἢ Λυσίου· τοσαύτην οἱ χαρακτῆρες ὁμοιότητα πρὸς ἀλλήλους ἔχουσι. τοιοῦτός ἐστι καὶ ὁ πρὸς Ἀπολλόδωρον ὑπὲρ Φορμίωνος καὶ ὁ κατ' Ὀλυμπιοδώρου βλάβης καὶ ὁ πρὸς Βοιωτὸν ὑπὲρ τοῦ ὀνόματος ἥ τε πρὸς Εὐβουλίδην ἔφεσις καὶ ἡ πρὸς Μακάρτατον διαδικασία καὶ οἱ ἄλλοι πάντες οἱ ἰδιωτικοὶ λόγοι οὐ πολλῷ πλείους τῶν εἴκοσιν ὄντες.

orationes Dem. causis priuatis scriptae nobis quidem traditae sunt XXXIII.

VIII

20 DIONYSIVS de Din. 11 p 313, 18 ὁ μὲν γὰρ Δημοσθένους περὶ τοῦ ὀνόματος λόγος, ἐν ᾧ τούτων (Μενεκλέους φεύγοντος) μέμνηται, κατὰ Θέελλον ἢ Ἀπολλόδωρον ἄρχοντα τετέλεσται, ὡς ἐν τοῖς περὶ Δημοσθένους δεδηλώκαμεν.

igitur orationem Demosthenis XXXIX πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος anno olymp. CVII 2 aut 3 (a. 350 a. Chr.) adscribit.

IX

21 DIONYSIVS de Din. 13 p 319, 21 inter spurias Dinarchi orationes ponit Πρὸς Βοιωτὸν ὑπὲρ τοῦ ὀνόματος· 'Οὐδεμιᾷ φιλοπραγμοσύνῃ'. εἰ καὶ μὴ τοῖς ἄλλοις οἱ Δημοσθένους ἀφαιρούμενοι τοῦτον τὸν λόγον καὶ Δεινάρχῳ προσάπτοντες ἐλέγχοιντο, τῷ χρόνῳ γοῦν ἐπιδειχθεῖεν ἂν ψευδόμενοι· μέμνηται γὰρ ὡς νεωστὶ τῆς εἰς Πύλας ἐξόδου γεγενημένης, ἡ δ' εἰς ⟨Πύλας⟩ Ἀθηναίων ἔξοδος ἐπὶ Θουδήμου ἄρχοντος ἐγένετο, ὄγδοον ἔτος Δεινάρχου ἔχοντος.

de Demosthenis oratione XXXIX disputat. εἰς Πύλας errore memoriae deceptus dixit pro εἰς Ταμύνας ut est l. s. § 16.

X

Dionysivs de Din. 13 p 320, 6 post fr IX pergit 22
Πρὸς Μαντίθεον περὶ προικός· ‘Πάντων ἐστὶν ἀνιαρότατον.’ οὗτος ἀκολουθεῖ τῷ προτέρῳ λόγῳ, καὶ πολλὰ ἔχει κατὰ ⟨τὴν⟩ λέξιν τοιαῦτα, ἃ εἴη ἂν τοῦ αὐτοῦ ῥήτορος ἔξω τῆς κατὰ Δείναρχον ἡλικίας ⟨γεγονότος. οὐ γὰρ⟩ πολλοῖς ἔτεσιν ὕστερον ἠγώνισται τὸν ἀγῶνα ὁ κατήγορος, ἀλλὰ δύο ἢ τρισίν, ὡς ἀκριβέστερον περὶ αὐτῶν ἐν τῇ ⟨περὶ⟩ Δημοσθένους γραφῇ δεδηλώκαμεν.

de Demosthenis oratione XL dicit.

iudicium de oratione Satyro scripta πρὸς Χαρίδημον ἐπιτροπῆς (Dionys. de Din. 13 p 321, 6) quod Photius bibl. cod 265 p 491ᵇ 29—492ᵃ 13) seruauit, Caecilio rectius Burckhardtus p 35 quam Dionysio Roesslerus p 20 uindicauit.

XI

Tzetzes historiarum chil. VI 35

πάλιν σεμνοστομώτερον φησὶ κατὰ Νεαίρας 23
ἀπὸ τριῶν ἐργάζεσθαι ὀπῶν τὴν ἐργασίαν,
καὶ ἄλλων αἰσχροτήτων δὲ βορβόρους ἀποπτύει,
οὕςπερ ὁ Διονύσιος ἀρώματα νομίζει.
τὴν δ' ἐργασίαν ἣν φησὶ τριῶν ἐκ τρυπημάτων,
ἐκ τοῦ Λυσίου ῥήτορος σεμνῶς γλαφυρωτάτως
ῥηθεῖσαν ἔκλεψεν, αἰσχρῶς ἐξαναπτύξας ταύτην·
ἡ Ἀντιόπη μόνον γάρ, εἶπε Λυσίας, πόρνη
ἤτοι ἡ ἄμφω ταῖς ὀπαῖς τῇ μίξει κεχρημένη.
παναίσχρως δ' οὗτος ἤυξησεν ἀναφανδὰ ληρήσας,
τὸ ἔργον Νέαιραν τελεῖν τριῶν ἐκ τρυπημάτων.

cf fr 17 et argumentum [Dem.] or. LI καὶ τοῦτον τὸν λόγον οὐκ οἴονται Δημοσθένους εἶναι, ὕπτιον ὄντα καὶ πολλαχῇ τῆς τοῦ ῥήτορος δυνάμεως ἐνδεέστερον.

Tzetzae uerbis lucem adhibet Hermogenis testimonium περὶ ἰδεῶν II 3 p 308, 14 W. τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῷ κατὰ Νεαίρας ὠβελισμένον ὑπό τινων τὸ ‘ἀπὸ τριῶν τρυπημάτων τὴν ἐργασίαν πεποιῆσθαι’ λέγειν. λίαν γὰρ εὐτελές ἐστι, καὶ εἰ σφοδρὸν εἶναι δοκεῖ: in exemplis nostris illa iam non leguntur. de Antiopa Lysiae non constat, cf Sauppius or. Att. II p 212.

XII

24 Harpocratio p 72, 11 ἔστι δὲ καὶ λόγος τις ἐπιγραφόμενος ‘Δημοσθένους πρὸς Κριτίαν περὶ τοῦ ἐνεπισκήμματος’, ὃν Καλλίμαχος μὲν ἀναγράφει ὡς γνήσιον, Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς ὡς ψευδεπίγραφον.

XIII

25 Dionysivs de Dem. 44 p 228, 16 πανηγυρικοὺς μὲν οὖν λόγους οὐκ ἔχομεν αὐτοῦ (Δημοσθένους) παρασχέσθαι. πάντας γὰρ ἔγωγε τοὺς ἀναφερομένους εἰς αὐτὸν ἀλλοτρίους εἶναι πείθομαι καὶ οὐδὲ κατὰ μικρὸν ἔχοντας τὸν ἐκείνου χαρακτῆρα οὔτ' ἐν τοῖς νοήμασιν ⟨οὔτ' ἐν τοῖς ὀνόμασι⟩, τῆς δὲ συνθέσεως ὅλῳ καὶ τῷ παντὶ λειπομένους. ὧν ἐστιν ὅ τε φορτικὸς καὶ κενὸς καὶ παιδαριώδης ἐπιτάφιος καὶ τὸ τοῦ σοφιστικοῦ λήρου μεστὸν ἐγκώμιον εἰς Παυσανίαν. τὰς δὲ περὶ τούτων ἀποδείξεις οὐχ οὗτος ὁ καιρὸς λέγειν.

idem ibid. 23 p 180, 13 τοῦτον δὴ παραλήψομαι τὸν λόγον (τὸν ἐν τῷ Μενεξένῳ ἐπιτάφιον), καὶ παρ' αὐτὸν ἐξετάσω Δημοσθένους λέξεις τινάς, οὐκ ἐκ τοῦ ⟨ἐπιταφίου⟩· τοῦτον μὲν γὰρ οὐχ ἡγοῦμαι ὑπ' ἐκείνου τοῦ ἀνδρὸς γεγράφθαι.

Libanivs proleg. Demosth. p 6 Reiskii ἐπιδεικτικοὺς δὲ οὐκ ἔχομεν αὐτοῦ λόγους. τοὺς γὰρ φερομένους οὐ πιστευτέον εἶναι Δημοσθένους, τὸν ἐπιτάφιον καὶ

τὸν ἐρωτικόν· πολὺ γὰρ τῆς ἐκείνου δυνάμεως ἀπολείπονται. καὶ οὐχ ἡμετέραν γνώμην λέγομεν, ἀλλὰ καὶ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ τοῦτο συνδοκεῖ. ὅτι μὲν γὰρ εἶπεν ἐπιτάφιον λόγον Δημοσθένης, ὡμολόγηται· οὐ μὴν τοῦτον εἰκὸς εἶναι τὸν ὑπ' ἐκείνου ῥηθέντα, πάνυ φαύλως καὶ ἀσθενῶς ἔχοντα.

ΠΕΡΙ ΔΕΙΝΑΡΧΟΥ

Περὶ Δεινάρχου τοῦ ῥήτορος οὐδὲν εἰρηκὼς ἐν τοῖς περὶ τῶν ἀρχαίων γραφεῖσιν διὰ τὸ μήτε εὑρετὴν ἰδίου γεγονέναι χαρακτῆρος τὸν ἄνδρα, ὥσπερ τὸν Λυσίαν καὶ τὸν Ἰσοκράτην καὶ τὸν Ἰσαῖον, μήτε τῶν 630 εὑρημέ|νων ἑτέροις τελειωτήν, ὥσπερ τὸν Δημοσθένη καὶ τὸν Αἰσχίνη καὶ ⟨τὸν⟩ Ὑπερείδην ἡμεῖς κρίνομεν, ὁρῶν δὲ καὶ τοῦτον τὸν ἄνδρα παρὰ πολλοῖς ἠξιωμένον ὀνόματος ἐπὶ δεινότητι λόγων καὶ ἀπολελοιπότα δημοσίους τε καὶ ἰδίους λόγους οὔτε ὀλίγους οὔτ' εὐκαταφρονήτους, ἡγησάμην δεῖν μὴ παραλιπεῖν αὐτόν, ἀλλὰ καὶ περὶ τοῦ βίου καὶ τοῦ χαρακτῆρος αὐτοῦ διελθεῖν καὶ διορίσαι τούς τε γνησίους καὶ ψευδεῖς λόγους πάντων ἢ τῶν γε πλείστων ἀναγκαιότερον οἶμαι τοῖς μὴ ἐκ περιζώματος ἀσκοῦσι ῥητορικήν. ἅμα δὲ ὁρῶν οὐδὲν ἀκριβὲς οὔτε Καλλίμαχον οὔτε τοὺς ἐκ Περγάμου γραμματικοὺς περὶ αὐτοῦ γράψαντας, ἀλλὰ παρὰ τὸ μηδὲν ἐξετάσαι περὶ αὐτοῦ τῶν ἀκριβεστέρων ἡμαρτηκότας, ὡς μὴ μόνον ἐψεῦσθαι πολλὰ ἀλλὰ καὶ λόγους τοὺς οὐδὲν μὲν αὐτῷ προσήκοντας ὡς Δεινάρ-

5 εὑρημένων F, sed υ et ω ex corr 6 τὸν addidit Westermannus | ὑπερείδη F rasura post η facta 8 ἀπολελοιπότα] καταλελοιπότα Teggius cf de Isaeo p 123, 14 9 ἰδίους] ἰδιωτικοὺς Sadaeus hic et infra ubique 13 οἶμαι] fort εἶναι 14 fort ἀσκοῦσι ῥητορικήν, ἅμα θεωρῶν 19 ὡς Δεινάρχου uidetur esse delendum

χου τούτῳ προστίθεσθαι, τοὺς δ' ὑπ' αὐτοῦ γραφέν|-
τας ἑτέρων εἶναι λέγειν· ἀλλὰ Δημήτριος ὁ Μάγνης, 631
ὃς ἔδοξε γενέσθαι πολυΐστωρ, ἐν τῇ περὶ τῶν ὁμωνύ-
μων πραγματείᾳ λέγων καὶ περὶ τούτου τοῦ ἀνδρὸς
καὶ ὑπόληψιν παρασχών, ὡς περὶ αὐτοῦ λέξων τι ἀκρι-
βές, διεψεύσθη τῆς δόξης. οὐθὲν δὲ κωλύει καὶ τὰς
λέξεις παραθέσθαι τοῦ ἀνδρός. ἔστι δὲ τὰ ὑπ' αὐτοῦ
γραφέντα τάδε· 'Δεινάρχοις δ' ἐνετύχομεν τέτταρσιν·
ὧν ἐστιν ὃ μὲν ἐκ τῶν ῥητόρων τῶν Ἀττικῶν, ὃ δὲ
τὰς περὶ Κρήτην συναγήοχε μυθολογίας, ὃ δὲ πρεσβύ-
τερος μὲν ἀμφοῖν τούτοιν, Δήλιος δὲ τὸ γένος, πε-
πραγματευμένος τοῦτο μὲν ἔπος, τοῦτο δὲ πράγματα,
τέταρτος δὲ ὁ περὶ Ὁμήρου λόγον συντεθεικώς. ἐθέλω
δὲ πρὸς μέρος περὶ ἑκάστου διελθεῖν, καὶ πρῶτον περὶ
τοῦ ῥήτορος. ἔστι τοίνυν οὗτος κατά γε τὴν ἐμὴν
δόξαν οὐδὲν ἀπολείπων τῆς Ὑπερείδου χάριτος, ὥστ'
εἰπεῖν· καί νύ κεν ἢ παρέλασσεν. ἐνθύμημα γὰρ φέ-
ρει πειστικὸν καὶ σχῆμα παν|τοδαπόν, πιθανότητός γε 632
μὴν οὕτως εὖ ἥκει, ὥστε παριστάνειν τοῖς ἀκούουσι,
μὴ ἄλλως γεγονέναι τὸ πρᾶγμα ἢ ὡς αὐτὸς λέγει. καὶ
νομίσειεν ἄν τις εὐήθεις εἶναι τοὺς ὑπολαβόντας τὸν
λόγον τὸν κατὰ Δημοσθένους εἶναι τούτου· πολὺ γὰρ
ἀπέχει τοῦ χαρακτῆρος. ἀλλ' ὅμως τοσοῦτον σκότους

8 Demetrius Magn. fr. p 52 Scheuerl. 17 Homerus Ψ 382

2 *Δημήτριος* Casaubonus: *δῆμος* F 5 *τί* F 8 *ἐντύχομεν* F: corr Sylburgiana 10 11 *δὲ τρίτος πρεσβύτερος* O. Jahnius 11 *Δήλιος* Sylburgius: *δῆμος* F 12 *πράγματα* Adlerus: *πραγμα* F *γράμμα* Bentleyus *σύγγραμμα* Reiskius 13 *συντεθεικῶς* F fort *συντεθηκώς* 17 *παρέλασεν* F *παρ* ex *περ* correctum 18 *πιστικὸν* F: corr Kruegerus 18 19 *γε μὴν* Sylburgius: *τε μὴν* F 19 *οὕτως* add F^1 23 *τοσούτους σκοποὺς* F: *τοσοῦτον σκότος* Reiskius

ἐπιπεπόλακεν, ὥστε τοὺς μὲν ἄλλους αὐτοῦ λόγους
σχεδόν που ὑπὲρ ἑξήκοντα καὶ ἑκατὸν ὄντας ⟨πάντας⟩
ἀγνοεῖν συμβέβηκε, τὸν δὲ μὴ γραφέντα ὑπ' αὐτοῦ
μόνον ἐκείνου νομίζεσθαι. ἡ δὲ λέξις ἐστὶ τοῦ Δει-
νάρχου κυρίως ἠθική, πάθος κινοῦσα, σχεδὸν τῇ πι-
κρίᾳ μόνον καὶ τῷ τόνῳ τοῦ Δημοσθενικοῦ χαρακτῆ-
ρος λειπομένη, τοῦ δὲ πιθανοῦ καὶ κυρίου μηδὲν ἐν-
δέουσα.'

ἐκ τούτων οὐδὲν ἔστιν οὔτε ἀκριβὲς ἀλλ' οὐδὲ ἀλη- 2
θὲς εὑρεῖν· οὔτε γὰρ γένος τἀνδρὸς οὔτε χρόνους,
καθ' οὓς ἦν, οὔτε τόπον, ἐν ᾧ διέτριψε, δεδήλωκεν,
633 ὀνόματα | δὲ μόνον κοινὰ καὶ περιτρέχοντα ἐσπούδασε
καὶ πλῆθος λόγων εἶπεν οὐδενὶ τῶν . . . σύμφωνον.
ἔδει δὲ τοὐναντίον. ἃ οὖν ἐγὼ αὐτὸς δι' ἐμαυτοῦ
κατελαβόμην, ταῦτ' ἐστίν· Δείναρχος ὁ ῥήτωρ υἱὸς μὲν
ἦν Σωστράτου, Κορίνθιος δὲ τὸ γένος, ἀφικόμενος δὲ
εἰς Ἀθήνας, καθ' ὃν χρόνον ἤνθουν αἵ τε τῶν φιλο-
σόφων καὶ ῥητόρων διατριβαί, Θεοφράστῳ τε συνεγέ-
νετο καὶ Δημητρίῳ τῷ Φαληρεῖ. εὐφυὴς δὲ περὶ τοὺς
πολιτικοὺς λόγους γενόμενος ἀκμαζόντων ἔτι τῶν περὶ
Δημοσθένην ἤρξατο λόγους γράφειν καὶ προήει κατὰ
μικρὸν εἰς δόξαν. μάλιστα δὲ ἤκμασε μετὰ τὴν Ἀλε-
ξάνδρου τελευτήν, Δημοσθένους μὲν καὶ τῶν ἄλλων
ῥητόρων φυγαῖς ἀιδίοις καὶ θανάτοις περιπεσόντων,
οὐδενὸς δ' ὑπολειπομένου μετ' αὐτοὺς ἀνδρὸς ἀξίου

1 *ἐπιπεπόλακεν* Sylburgius: *ἐπιπεπόληκεν* F 2 *ποῦ* F | *πάντας* addidi 3 *ἀγνοεῖν* in *ἀγνοεῖσθαι* Sylburgius mutat 4 *ἡ δὲ* in rasura F^2 | *ἔστι* F | *τοῦ* postea add F^1 5 *τῆ* F 9 *ἀλλ' οὐδὲ*] *ἀλλ' οὔτε* F 11 *δεδήλωκε* F 13 post *τῶν* lacuna XVIII fere litt F 14 *ἔδει* Casaubonus: *εἰ δεῖ* F cf Plut. mor. 920^d 17 *ἀθῆνας· καθὃν* F 19 *εὐφυῆς* F 24 *περιπεσόντων* ex *περιπεσώντων* F 25 *μετ' αὐτοὺς ἀνδρὸς*] *μετὰ τοῦ ἀνδρὸς* F *μετὰ τοὺς ἄνδρας* Sylburgius

λόγου. καὶ διατετέλεκεν ἐτῶν πεντεκαίδεκα χρόνον λόγους συγγράφων τοῖς βουλομένοις, ἕως Κάσσανδρος τὴν πόλιν κατέσχεν. ἐπὶ δὲ Ἀναξικράτους ἄρχοντος, ἐφ' | οὗ κατέλυσαν τὴν ἐν τῇ Μουνυχίᾳ φρουρὰν ὑπὸ 634 Κασσάνδρου κατασταθεῖσαν οἱ περὶ Ἀντίγονον καὶ Δημήτριον ⟨τοὺς⟩ βασιλεῖς, αἰτίαν ἔχων ἅμα τοῖς ἐπιφανεστάτοις Ἀθηναίων καίτοι ξένος αὐτὸς ὢν καταλῦσαι τὸν δῆμον, ὁρῶν ἠρεθισμένους τοὺς Ἀθηναίους καὶ μάλιστα τῷ πλουτεῖν ἑαυτὸν ὑφορωμένους, μὴ διὰ τοῦτο πάθῃ τι δεινόν, εἰσελθεῖν μὲν εἰς δικαστήριον οὐχ ὑπέμεινεν, ἐξελθὼν δὲ τῆς πόλεως καὶ ἐλθὼν εἰς Χαλκίδα τὴν ἐν Εὐβοίᾳ, τὸν ἀπ' Ἀναξικράτους χρόνον ἕως Φιλίππου πεντεκαιδεκαετῆ γενόμενον ἐκεῖ διέτριψεν, εἴ τις αὐτῷ γένοιτο διὰ Θεοφράστου καὶ τῶν ἄλλων φίλων κάθοδος, περιμένων. συγχωρήσαντος δὲ τοῦ βασιλέως μετὰ ⟨τῶν⟩ ἄλλων φυγάδων κἀκείνῳ κατελθεῖν, ἀφικόμενος εἰς Ἀθήνας καὶ παρ' ἑνὶ τῶν φίλων Προξένῳ καταχθεὶς ⟨τὸ⟩ χρυσίον ἀπολλύει γηραιὸς ὢν ἤδη καὶ τὰς ὄψεις ἀσθενής. ὀλιγώρως δ' ἔχοντος τοῦ Προξένου πρὸς τὴν ζήτησιν, δίκην | ἔλαχεν 635 αὐτῷ περὶ τῶν χρημάτων αὐτὸς οὐδεπώποτε πρότερον εἰς δικαστήριον παρελθών. οὗτος μὲν ὁ βίος τἀνδρός. ἀποδείκνυται δ' ἕκαστον αὐτῶν ἔκ τε τῶν ἱστοριῶν τῶν Φιλοχόρου καὶ ἐξ ὧν αὐτὸς περὶ αὐτοῦ

1 διατετέλεκεν] διετέλεκεν F 2 λόγοις F: corr Victorius 4 ὑπὸ Sylburgius: ἀπο F 6 τοὺς βασιλεῖς] βασιλεῖς F 7 ἀθηναίους F^1 ut uidetur, ἀθηναίοις F^2: Ἀθηναίων tacite Blassius ὑφορώμενος F 10 τί F 13 πεντεκαίδεκα ἔτη (αι in ras) F: corr Sylburgius e codice Bodleyano 15 συχωρήσαντος F: corr Victorius 16 μετὰ τῶν ἄλλων] μετ' ἄλλων F cf p 312, 20 17 ἀθήνας ex ἀθῆνας F^1 18 τὸ e Plutarcho et Photio addidi 19 γηραιῶς ὢν F: corr Victorius 24 φιλοχώρου F: corr Sylburgius, item infra | αὐτοῦ F: αὑτοῦ Victorius

ξυνέγραψεν ἐν τῷ λόγῳ τῷ κατὰ Προξένου, ὃς εἴρηται μὲν μετὰ τὴν φυγήν, προσκειμένην δὲ ἔχει τὴν γραφὴν ταύτην· 'Δείναρχος Σωστράτου Κορίνθιος Προξένῳ, ᾧ σύνειμι, βλάβης ταλάντων δύο. Ἔβλαψέ με Πρόξενος, ὑποδεξάμενος εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ τὴν ἐν ἀγρῷ, ὅτε πεφευγὼς Ἀθήνηθεν κατῄειν ἐκ Χαλκίδος, χρυσίου μὲν στατῆρας ὀγδοήκοντα καὶ διακοσίους καὶ πέντε, οὓς ἐκόμισα ἐκ Χαλκίδος εἰδότος Προξένου καὶ εἰσῆλθον ἔχων εἰς τὴν οἰκίαν αὐτοῦ, ἀργυρώματα δὲ οὐκ ἔλαττον εἴκοσι μνῶν ἄξια, ἐπιβουλεύσας τούτοις.' οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τῷ λόγῳ εὐθὺς μὲν ἐν ἀρχῇ περὶ τοῦ μηδεμίαν δίκην πρότερον εἰσελθεῖν δεδήλωκεν, ἐν δὲ τοῖς [πρότερον] | 636 μετὰ ταῦτα πρῶτον μὲν ἐν τῷ προοιμίῳ τὴν βλάβην τὴν γενομένην αὐτῷ διὰ Προξένου δεδήλωκεν, ἐν δὲ τοῖς ἑξῆς περί τε τῆς φυγῆς καὶ τῶν ἄλλων διεξέρχεται πάντων, ἐξ ὧν γίγνεται φανερὰ τὰ προειρημένα, καὶ ἔτι πρὸς τούτοις, ὅτι ξένος διέμεινε καὶ γέρων ἤδη ὢν εἶπε τὸν λόγον, ἐξ ὧν ἐπὶ τῷ τέλει τῆς δίκης εἴρηκε.

ταῦτα μὲν αὐτὸς ὁ Δείναρχος περὶ ἑαυτοῦ. Φιλόχορος δὲ ἐν ταῖς Ἀττικαῖς ἱστορίαις περί τε τῆς φυγῆς τῶν καταλυσάντων τὸν δῆμον καὶ περὶ τῆς καθόδου πάλιν οὕτως λέγει· 'Τοῦ γὰρ Ἀναξικράτους ἄρχοντος εὐθὺ μὲν ἡ τῶν Μεγαρέων πόλις ἑάλω· ὁ δὲ Δημή-

3 Dinarchus fr XLII S. 24 Philochorus fr 144 (FHG I p 408)

2 προκειμένην Reiskius 5 οἰκίαν ex οἰκείαν F 10 ἔλαττον Reiskius: ἐλάττω F 13 πρότερον Sylburgius expunxit 16 ἑξῆς F 17 φανερὰ ex φανερὸς F^1 19 ὢν Victorius: ὧν F 21 22 φιλόχωρος F ex φιλόχορος 22 23 φυγῆς τῶν καταλυσάντων Sylburgius: αὐτῆς τῶν καλεσάντων F 25 εὐθὺς Kruegerus

τριος ὁ ⟨βασιλεὺς⟩ κατελθὼν ἐκ τῶν Μεγάρων κατεσκευάζετο τὰ πρὸς τὴν Μουνυχίαν καὶ τὰ τείχη κατασκάψας ἀπέδωκε τῷ δήμῳ. ὕστερον δὲ εἰσηγγέλθησαν πολλοὶ ⟨τῶν⟩ πολιτῶν, ἐν οἷς καὶ Δημήτριος ὁ Φαληρεύς. τῶν δ' εἰσαγγελθέντων οὓς μὲν οὐχ ὑπομείναντας τὴν κρίσιν ἐθανάτωσαν τῇ | 637 ψήφῳ, οὓς δ' ὑπακούσαντας ἀπέλυσαν.' Ταῦτα μὲν οὖν τῆς ὀγδόης. ἐν δὲ τῇ ἐνάτῃ φησί· 'Τοῦ δ' ἐνιαυτοῦ τουδὶ διελθόντος, ἑτέρου δ' εἰσιόντος, ἐν ἀκροπόλει σημεῖον ἐγένετο τοιοῦτον· κύων εἰς τὸν τῆς Πολιάδος νεὼν εἰσελθοῦσα καὶ δῦσα εἰς τὸ Πανδρόσειον, ἐπὶ τὸν βωμὸν ἀναβᾶσα τοῦ Ἑρκείου Διὸς τὸν ὑπὸ τῇ ἐλαίᾳ κατέκειτο. πάτριον δ' ἐστὶ τοῖς Ἀθηναίοις, κύνα μὴ ἀναβαίνειν εἰς ἀκρόπολιν. περὶ τὸν αὐτὸν δὲ χρόνον καὶ ἐν τῷ οὐρανῷ μεθ' ἡμέραν ἡλίου τ' ἐξέχοντος καὶ οὔσης αἰθρίας ἀστὴρ ἐπί τινα χρόνον ἐγένετο ἐκφανής. ἡμεῖς δ' ἐρωτηθέντες ὑπέρ τε τοῦ σημείου καὶ τοῦ φαντάσματος, εἰς ὃ φέρει, φυγάδων κάθοδον ἔφαμεν προσημαίνειν ἀμφότερα καὶ ταύτην οὐκ ἐκ μεταβολῆς πραγμάτων ἐσομένην, ἀλλ' ἐν τῇ καθεστώσῃ πολιτείᾳ· καὶ τὴν κρίσιν ἐπιτελεσθῆναι συνέβη.' |

4 638 προειρημένων δὴ τούτων ἓν ἔτι λείπεται καὶ ἀναγκαιότατον, τὴν ἡλικίαν αὐτοῦ διορίσαι, ἵνα καὶ

8 Philochorus fr 146 (FHG I p 409)

1 βασιλεὺς inserui, uitium Reiskius senserat 1 2 παρεσκευάζετο ci Kruegerus, an τὰ delendum est? 4 τῶν add Kruegerus 6 ἐθανάτωσαν Kruegerus: ἐνεθανάτωσαν F 8 τουδὶ διελθόντος Reiskius: τοῦ διελθόντος F τούτου διελθόντος aut τουδὶ ἐξελθόντος Sylburgius uoluerat 11 πανδρόσιον F 12 ερκίου F: corr Westermannus | an ἐλάᾳ? 14 15 ἐν τῷ ἱερῷ F: ἐν οὐρανῷ Westermannus 17 ὑπέρ τε Sylburgius: ὑπέρ γε F 18 εἰς ὃ in ras F^2 | φέροι Westermannus 20 τῇ καθεστῶσι F: corr Victorius

περὶ τῶν λόγων τῶν τε γνησίων αὐτοῦ καὶ μὴ σαφές τι ἔχωμεν λέγειν. τίθεμεν δὴ αὐτὸν ἑβδομηκοστὸν ἔχοντα ἔτος ἀπὸ τῆς φυγῆς κατεληλυθέναι, ὡς καὶ αὐτός φησι, γέροντα αὐτὸν ἀποκαλῶν· ἀφ' οὗ χρόνου καὶ καλεῖν τοὺς ἐν τῇ ἡλικίᾳ ταύτῃ μάλιστα εἰώθαμεν. ὑποκειμένων δὲ τούτων ὁλοσχερεῖ λογισμῷ (τὸ γὰρ ἀκριβὲς οὐκ ἔχομεν) εἴη ἂν κατὰ Νικόφημον ἄρχοντα γεγονώς. εἰ δέ τις ἢ πρεσβύτερον ἢ νεώτερον τῶν εἰρημένων χρόνων αὐτὸν εἶναι φήσει, πρὸς τῷ μηδὲν ὑγιὲς λέγειν καὶ λόγους αὖ πολλοὺς ἀφελεῖται, μᾶλλον δὲ πάντας πλὴν πέντε ἢ ἕξ, τῶν μὲν πρεσβύτερον αὐτόν, τῶν δὲ νεώτερον εἶναι λέγων. οὐ μὴν ἀλλὰ καὶ ἄρξασθαι λέγοντες αὐτὸν λόγους συγγράφειν ἀπὸ τοῦ πέμπτου ἢ ἕκτου πρὸς τῷ εἰκοστῷ ἔτους οὐκ ἂν ἁμάρτοιμεν, ἄλλως τε καὶ τῶν περὶ Δημοσθένη τότε ἀκμαζόντων. ἕκτος δὲ καὶ εἰκοστός ἐστιν ἀπὸ Νικο-639 φήμου Πυθόδημος. ὥσθ' ὅσους εὑρί|σκομεν πρεσβυτέρους τούτου τοῦ ἄρχοντος [τοὺς φερομένους εἰς αὐτὸν λόγους] εἴ τις γνησίους θήσεται, ἀπιστοίημεν ἂν εἰκότως· ἔτι δὲ καὶ τοὺς ἀπ' Ἀναξικράτους ἕως Φιλίππου τετελεσμένους ἀγῶνας ὁμοίως ἐν τοῖς ψευδέσιν ἀναγράφοιμεν ἄν· οὐ γὰρ εἰς Χαλκίδα ἄν τινες ἔπλεον λόγων χάριν ἢ ἰδίων ἢ δημοσίων· οὐ γὰρ τέλεον ἠπόρουν οὕτω λόγων.

2 τί F 4 αυτὸν F 5 καλεῖν οὕτως τοὺς exspectatur 7 οὐκ ἔχομεν εἰπεῖν Reiskius 9 φήσει Kruegerus: φησι F | πρὸς τὸ F: corr Victorius 10 αὖ] αὐτοῦ Sadaeus | ἀφέληται F: corr Sylburgius 11 τῶν ex τὸν F^1 | τῶν μὲν … 12 λέγων del Sadaeus 14 πέμπου F^1: corr F^2 15 τὸν in textu τῶν in mg manus recentissima F 18 τοὺς φερομένους εἰς αὐτὸν λόγους seclusi 19 εἴ τις γνησίους θήσεται] ἐν τοῖς οὐσίνης εἴθισται F 20 ἐπαναξικράτους F: corr Sylburgius

5 ἐπεὶ δὲ ὁ χρόνος τἀνδρὸς ὡς οἷόν τε ἀκριβέστατα εὕρηται, πρὸς ὃν καὶ τῶν λόγων τούς τε γνησίους καὶ μὴ διακρινοῦμεν, καιρὸς ἤδη καὶ περὶ τοῦ χαρακτῆρος αὐτοῦ λέγειν. ἔστι δὲ δυσόριστον. οὐδὲν γὰρ οὔτε κοινὸν οὔτ' ἴδιον ἔσχεν οὔτ' ἐν τοῖς ἰδίοις οὔτ' ἐν τοῖς δημοσίοις ἀγῶσιν, ἀλλὰ καὶ τοῖς Λυσίου παραπλήσιος ἔστιν ὅπου γίνεται καὶ τοῖς Ὑπερείδου καὶ τοῖς Δημοσθένους λόγοις. καὶ τούτων πολλὰ ἄν τις ἔχοι παραδείγματα | ἐκθέσθαι. τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος 640 ἔν τε τῷ περὶ Μνησικλέους λόγῳ καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου καὶ ἐν ἄλλοις πολλοῖς. τοῦ δ' Ὑπερειδείου ταῖς τε οἰκονομίαις ἀκριβεστέρου καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πως ὄντος τῶν Λυσιακῶν ἐν πλείοσι μὲν ἢ τριάκοντα Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἔστιν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τῆς Ἀγάθωνος διαμαρτυρίας. οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμήσατο, πολὺ πλείω δύναιτ' ἄν τις εἰπεῖν, ἄλλως τε καὶ ἐν τῷ κατὰ Πολυεύκτου. προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ, καὶ δι' ὅλου τοῦ λόγου παραπλήσιος μεμένηκε.

6 πῶς οὖν ἄν τις δυνηθείη τοὺς γνησίους αὐτῷ γνωρίζειν λόγους; πρῶτον μὲν εἰ ἐπίσταιτο τοὺς τῶν ἄλλων χαρακτῆρας, ἔπειτα τοὺς μὲν Λυσίου παραπλησίους λόγους τούτῳ προσφέροι, τοὺς δ' Ὑπερείδου

10 Dinarchus fr LVII S 16 idem fr LXIX S 19 cf idem fr I S

5 κοινὸν] καινὸν Christius 8 δὴ F: ἂν restituit Sadaeus | ἔχοι Reiskius: ἔχει F 12 Ὑπερειδείου Reiskius: ὑπερείδου F | ἀκριβέστερον F: corr Victorius 13 πῶς F 15 ἐστίν F 18 δυνατ' F: corr m recentissima | ἄλλως τε καὶ] ὥστε καὶ F ὡς καὶ uolgatur 21 αὐτῷ] αὐτῷ F αὐτοῦ Sylburgius 24 τούτω F

641 δόξαντας | εἶναί τισι Δεινάρχου λέγοι μακρὰ ταῖς ἐπιγραφαῖς τῶν βυβλίων χαίρειν εἰπών, τοὺς δὲ τῷ Δημοσθενικῷ χαρακτῆρι προσεληλυθότας ὡς οἷόν τε τούτου τοῦ ἀνδρὸς διαβεβαιοῖτο εἶναι. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ῥητόρων, οὓς μεμίμηται, μεγίστη γνῶσις ἡ ὁμοείδεια τῶν λόγων. αὐτίκα ὁ μὲν Λυσίας ἔν τε τοῖς ἰδίοις καὶ τοῖς δημοσίοις ἀγῶσιν αὐτὸς αὑτῷ ὁμολογούμενός ἐστιν ...... εἰς δὲ τὸν λεκτικὸν τόπον κατὰ τὴν τῶν ὀνομάτων σαφήνειαν καὶ σύνθεσιν αὐτοφυῆ μὲν καὶ λείαν εἶναι δοκοῦσαν, παντὸς δὲ λόγου κατὰ τὴν ἡδονὴν διαφέρουσαν. ὁ δ' Ὑπερείδης κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων ἡττᾶται Λυσίου, κατὰ δὲ τὸν πραγματικὸν τόπον διαφέρει. διηγεῖται δὲ πολλαχῶς, ποτὲ μὲν κατὰ φύσιν ποτὲ δὲ ἀπὸ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν πορευόμενος. πιστοῦταί ⟨τε⟩ οὐ κατ' ἐνθύμημα μόνον, ἀλλὰ καὶ κατ' ἐπιχείρημα πλατύνων.
642 ὁ δὲ τούτους τε καὶ τοὺς ἄλλους πάντας ὑπερβαλ|λόμενος Δημοσθένης, ἅπαντα μιμησάμενος καὶ πάντων τὰ κάλλιστα ἐκλεξάμενος, δῆλος μὲν καὶ τῇ φωνῇ μόνον, δῆλος δὲ καὶ τῷ καθ' ἕνα ἕκαστον λόγον πρέποντι, οὐ μὴν ἀλλὰ καὶ ⟨τῇ⟩ συνθέσει καὶ τῷ τῶν σχηματισμῶν ἀγκύλῳ καὶ τῇ οἰκονομίᾳ καὶ τῷ πάθει καὶ τὸ μέγιστον τῇ δεινότητι. ὁ δὲ Δείναρχος οὔτε

1 λέγοι Reiskius: λόγοι F 2 βιβλίων F 4 διαβεβαιοῖτο Sylburgius: διεβεβαιοῦτο F | ἐπὶ μὲν] εἰσὶ μὲν F ἔστι μὲν Sylburgius 5 6 ὁμοειδία F: corr Kruegerus 7 8 αὐτῷ ὁμολογούμενο F: corr Victorius 8 lacunae signa addidi | τόπον Reiskius: τρόπον F | κατὰ] καὶ F 10 λείαν ex λίαν F[1] 11 διαφέρουσ[αν] cum ras F 12 ἐκλογ[ὴν] cum ras F | quaedam περὶ συνθέσεως deesse Kruegerus iudicat 13 τρόπον F: corr mg Bodl 15 τε addidi δ' Sylburgius 17 18 ὑπερβαλόμενος Sadaeus 20 21 τρέποντι F: corr Victorius 21 τῇ add Reiskius

ὅμοιος ἐν ἅπασίν ἐστιν οὔτ' ἰδίου τινὸς εὑρετής, δι' οὗ γνώσεταί τις αὐτὸν ἀκριβῶς, ἢ τοῦτον τὸν τρόπον· πολὺ γὰρ ἐμφαίνει μιμήσεις τε καὶ αὐτῶν ὡς πρὸς τῶν λόγων τἀρχέτυπον διαφοράν, ὡς καὶ ἐπὶ τῶν Ἰσοκράτους μαθητῶν καὶ αὐτοῦ τοῦ Ἰσοκράτους.

7 ἔστωσαν δή τινες ἐπιγραφόμενοι λόγοι ὡς ὄντες Δεινάρχου, πολλὴν ἔχοντες πρὸς τὰ Λυσιακὰ ὁμοιότητα. τούτων ὁ βουλόμενος ποιεῖσθαι τὴν διάγνωσιν πρῶτον μὲν τὴν ἰδιότητα τοῦ ἀνδρὸς ἐκείνου θεωρείτω, ἔπειτ' ἐὰν μὲν ἀρετήν τε καὶ χάριν τοῖς λόγοις ἐπαν|θοῦσαν ἴδη καὶ τὴν τῶν ὀνομάτων ἐκλογὴν ἐνοῦσαν 643 καὶ τὸ μηδὲν ἄψυχον εἶναι τῶν λεγομένων, θαρρῶν λεγέτω τούτους Λυσίου. ἐὰν δὲ μήτε ⟨τὸ⟩ χάριεν ὅμοιον εὑρίσκῃ μήτε τὸ πιθανὸν καὶ τὸ τῶν ὀνομάτων ἀκριβὲς μήτε ⟨τὸ⟩ τῆς ἀληθείας ἁπτόμενον, ἐν τοῖς Δεινάρχου λόγοις αὐτοὺς ἐάτω. ὁμοίως καὶ ἐπὶ τῶν Ὑπερείδου· ἐὰν τῆς μὲν λέξεως τὸ ἰσχυρόν, τῆς δὲ συνθέσεως τὸ ἁπλοῦν, τῶν δὲ πραγμάτων τὸ εὔκαιρον, τῆς δὲ κατασκευῆς τὸ μὴ τραγικὸν μηδὲ ὀγκῶδες ἔχῃ (ταῦτα γὰρ μέγιστα ἐκείνου τοῦ ἀνδρὸς ἴδιά ἐστιν), Ὑπερείδου λεγέτω. ἐὰν δὲ ἐνδεεστέρως ἐν αὐτοῖς τούτοις ἔχῃ, κἂν τὰ ἄλλα πάντα μὴ φαύλως ᾖ γεγραμμένα, ἐν τοῖς Δεινάρχου πάλιν ἀναγραφέτω. τὸ δ' αὐτὸ καὶ περὶ Δημοσθένους ὑπολαμβάνομεν. ἐὰν μὲν

1 οὔτ' ἰδίου τινὸς Sylburgius: οὔτε δὴ οὔτινος F 3 καὶ αὐτὸ ὥσπερ τῶν λόγων ἀρχέτυπον F: corr Usenerus 5 μαθητῶν Sylburgius: μαθημάτων F 6 ὡς] καὶ F 7 ἔχοντες Victorius: ἔχοντας F 10 ἀρετὴν fort ἐνάργειαν 11] ἴδῃ Sadaeus: ἴδοι F | ἐκλογεῖν F: corr m. recens 13 τὸ add Sylburgius | χαρίεν ex χάριν ἓν F acc. a m. rec. 15 τὸ add Reiskius 17 ἐὰν τὸ τῆς μὲν λέξεως ἰσχυρὸν F: corr Sylburgius | ἰσχυρὸν in ἰσχνὸν mutat Reiskius 19 ὀγκῶδες F 21 ἐνδεεστέρως ex ἐνδεέστερος corr F[1] 22 κἂν Reiskius: καὶ F 24 ὑπολαμβάνωμεν Reiskius | μεν] μ in ras F

καὶ ἡ τῆς λέξεως μεγαλοπρέπεια καὶ ἡ τῆς συνθέσεως ἐξαλλαγὴ καὶ τὸ τῶν παθῶν ἔμψυχον καὶ τὸ διὰ πάσης
644 κεραίας διῆκον πικρὸν καὶ νοε|ρὸν τό τε πνεῦμα καὶ ἡ δεινότης πᾶσι παρέπηται, μηθὲν ἔτι τὸ κωλῦον ἔστω ⟨ἐν τοῖς⟩ Δημοσθένους αὐτοὺς ἀναγράφειν. ἐὰν δ' ἐλλείπῃ τὸ ἐν ἑκάστῳ τούτων ἄκρον ἢ τὸ διὰ πάσης ἰδέας ὅμοιον, μενέτωσαν ἐν τοῖς Δειναρχείοις. ὡς δὲ καθόλου εἰπεῖν, δύο τρόπους τῆς διαφορᾶς ὡς πρὸς τὰ ἀρχαῖα μιμήσεως εὕροι τις ἄν· ὧν ὃ μὲν φυσικός τέ ἐστι καὶ ἐκ πολλῆς κατηχήσεως καὶ συντροφίας λαμβανόμενος, ὃ δὲ τούτῳ προσεχὴς ἐκ τῶν τῆς τέχνης παραγγελμάτων. περὶ μὲν οὖν τοῦ προτέρου τί ἄν τις καὶ λέγοι; περὶ δὲ τοῦ δευτέρου τί ἂν ἔχοι τις εἰπεῖν ⟨ἢ⟩ ὅτι πᾶσι μὲν τοῖς ἀρχετύποις αὐτοφυής τις ἐπιπρέπει χάρις καὶ ὥρα, τοῖς δ' ἀπὸ τούτων κατεσκευασμένοις, κἂν ἐπ' ἄκρον μιμήσεως ἔλθωσι, πρόσεστίν τι ὅμως τὸ ἐπιτετηδευμένον καὶ οὐκ ἐκ φύσεως ὑπάρχον. καὶ τούτῳ τῷ παραγγέλματι οὐ ῥήτορες μόνον ῥήτορας διακρίνουσιν ἀλλὰ καὶ ζωγράφοι τὰ Ἀπελλοῦ καὶ τῶν ἐκεῖνον μιμησαμένων καὶ πλάσται τὰ Πολυκλείτου καὶ γλυφεῖς τὰ Φειδίου. |

645 καὶ οἱ μὲν Πλάτωνα μιμεῖσθαι λέγοντες καὶ τὸ μὲν 8
ἀρχαῖον καὶ ὑψηλὸν καὶ εὔχαρι καὶ καλὸν οὐ δυνάμενοι λαβεῖν, διθυραμβώδη δὲ ὀνόματα καὶ φορτικὰ εἰσφέροντες κατὰ τοῦτ' ἐλέγχονται ῥᾳδίως. οἱ δὲ Θου-

3 νοερὸν recte F 4 παρέπεται F: corr Sylburgiana | κωλύον F ο in ras F[2] 5 ἐν τοῖς add Reiskius 5 6 δ' ἐλλίπῃ Reiskius: δε λίπηι F 7 δεινάρχοις F Δεινάρχου uolgatur 8 καθ ὅλου F | ὡς Usenerus: καὶ F 9 ⟨τῆς⟩ μιμήσεως Usenerus | τίς F 10 τέ add F[1] | ἐκ inter lineas add F[1] | συντροφίας] συστροφίας F 13 et 14 τίς F 14 πλὴν ὅτι Reiskius ἢ ὅτι Usenerus 16 τι delet Reiskius 19 δικρίνουσιν F α in extremo uersu intercidit 22 μιμῆσθαι F: corr Sylburgiana 25 δὲ Reiskius: τε F

κυδίδην ζηλοῦν λέγοντες καὶ τὸ μὲν εὔτονον καὶ στερεὸν καὶ δεινὸν καὶ τὰ τούτοις ὅμοια χαλεπῶς ἐκλαμβάνοντες, τοὺς δὲ σολοικοφανεῖς σχηματισμοὺς καὶ τὸ ἀσαφὲς προχειριζόμενοι, πάνυ εὐχερῶς ἂν ἁλίσκοιντο ἐκ τούτου τοῦ παραγγέλματος. ὥς πέρ γε καὶ ἐπὶ τῶν ῥητόρων οἱ μὲν Ὑπερείδην μιμούμενοι, διαμαρτόντες τῆς χάριτος ἐκείνης καὶ τῆς ἄλλης δυνάμεως, αὐχμηροί τινες ἐγένοντο, οἷοι γεγόνασι Ῥοδιακοὶ ῥήτορες οἱ περὶ Ἀρταμένην καὶ Ἀριστοκλέα καὶ Φιλάγριον καὶ Μόλωνα· οἱ δ' Ἰσοκράτην καὶ τὰ | Ἰσο- 646 κράτους ἀποτυπώσασθαι θελήσαντες ὕπτιοι καὶ ψυχροὶ καὶ ἀσύστροφοι καὶ ἀναληθεῖς· οὗτοι δ' εἰσὶν οἱ περὶ Τίμαιον καὶ Ψάωνα καὶ Σωσιγένην. οἱ δὲ Δημοσθένην προχειρισάμενοι καὶ τὰς ἀρετὰς τὰς ἐκείνου διώκοντες τῆς μὲν προαιρέσεως ἕνεκα ἐπῃνέθησαν, οὐ μὴν ἴσχυσαν τὰ κράτιστα τῶν ἐκείνου τοῦ ῥήτορος ἔργων λαβεῖν. τούτων ἄριστον ἄν τις θείη τὸν Δείναρχον γενέσθαι. λείπεται δὲ Δημοσθένους κατὰ ⟨μὲν⟩ τὴν ἐκλογὴν τῶν ὀνομάτων τῇ δεινότητι, κατὰ δὲ τὴν σύνθεσιν τῇ ποικιλίᾳ τῶν σχημάτων καὶ τῇ ἐξαλλαγῇ, κατὰ δὲ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων τῷ μὴ καινὰ καὶ παράδοξα λαμβάνειν ἀλλὰ φανερὰ καὶ ἐν τῷ μέσῳ κείμενα, κατὰ δὲ τὴν οἰκονομίαν τῇ τάξει καὶ | ταῖς 647

10 *Μόλωνα*: διδάσκαλος οὗτος Κικέρωνος τοῦ Ῥωμαίου. Scholion

4 5 ἂν ἁλίσκοιντο] ἀνευρίσκοιντο F ἂν εὑρίσκοιντο Sadaeus 8 τινὲς F | γεγόνασιν οἱ Sylburgius 10 scholion in mg manus rec adscripsit 11 καὶ] κα in ras F 12 ἂν ἀληθεῖς F: corr m rec ἀναλθεῖς ci Ruhnkenius | οἱ περὶ Victorius: ὑπὲρ F 13 Ψάωνα Ruhnkenius: πλάτωνα F | Σωσιγένην] Σωσίλον A Schaeferus coll. Polyb. III 20 14 περιχειρισάμενοι F: corr Sylburgius 18 μὲν add Sylburgius 20 ποικιλλίᾳ F 22 λαμβάνειν F ex φαίνειν ut uidetur

ἐξεργασίαις τῶν ἐπιχειρημάτων καὶ ταῖς προκατασκευαῖς καὶ ταῖς ἐφόδοις καὶ τοῖς ἄλλοις τεχνικοῖς παραγγέλμασιν, ἃ περὶ ταύτην ἐστὶ τὴν ἰδέαν, μάλιστα δ' αὐτοῦ λείπεται τῇ συμμετρίᾳ καὶ τῷ καιρῷ ⟨καὶ τῷ⟩ πρέποντι. λέγω δὲ ταῦτα οὐκ ἐν τῷ καθόλου τρόπῳ, ὡς μηδὲν τούτων κατορθοῦντος, ἀλλ' ἐν τῷ κοινοτέρῳ καὶ ὡς ἐπὶ τὸ πολύ. δι' αὐτὸ γὰρ τοῦτο καὶ ἄγροικόν τινες Δημοσθένην ἔφασαν ⟨αὐτὸν⟩ εἶναι, κατὰ τὸ ἐλλιπὲς τῆς οἰκονομίας ταύτην περὶ αὐτοῦ τὴν δόξαν λαβόντες· τὸ γὰρ ἄγροικον τοῦ πολιτικοῦ σώματος οὐ μορφῇ, κατασκευῇ δὲ καὶ διαθέσει τινὶ τῆς μορφῆς διήνεγκεν.

ἃ μὲν οὖν ἐνεδέχετο περὶ τοῦ χαρακτῆρος τοῦ ἀν- 9 δρὸς εὑρεῖν τε καὶ γράψαι, ταῦτ' ἐστίν, ἐπὶ δὲ τὴν τῶν λόγων διάγνωσιν τρέψομαι. τοῖς μὲν οὖν γνησίοις αὐτὸ τὸ τῆς ἀναγραφῆς προσέσται μόνον, τοῖς δὲ ψευδέσι τὰ τοῦ τ' ἐλέγχου καὶ τῆς αἰτίας διηκριβωμένα, δι' ἣν ἕκαστον ἀθετοῦμεν αὐτῶν. ἐπεὶ δ' ἀναγκαία πρὸς ταῦτα ἡ τῶν χρόνων διάγνωσις, τοὺς Ἀθήνησιν ἄρξαντας, ἀφ' οὗ Δείναρχον ὑπεθέμεθα γε-
648 γονέναι χρόνου, | μέχρι τῆς δοθείσης αὐτῷ μετὰ τὴν φυγὴν καθόδου, γενομένους ἑβδομήκοντα, προθήσομεν. εἰσὶ δὲ οἵδε· Νικόφημος, Καλλιμήδης, Εὐχάριστος, Κηφισόδοτος, Ἀγαθοκλῆς, Ἐλπίνης, Καλλίστρατος, Διότιμος, Θούδημος, Ἀριστόδημος, Θέελλος, Ἀπολλό-

3 περὶ αὐτὴν F: corr Reiskius 4 καὶ τῷ addidi 5 καθὅλου F | τρόπῳ delet Kruegerus 8 αὐτὸν add Blassius 8 9 ἐλλειπὲς F: corr Kruegerus 16 προέσται F: corr Sylburgius 17 τούτ' F τοῦτ' Victorius 23 οἵδε Victorius: οἱ δὲ F 25 Θούδημος Dion. Amm. 260, 24 Θουμήδου de Din. p 320, 5: εὔδημος F | Θέελλος Curtius: θεσσαλὸς F sed Θέλλον de Din. p 312, 21

*δωρος, Καλλίμαχος, Θεόφιλος, Θεμιστοκλῆς, Ἀρχίας,
Εὔβουλος, Λυκίσκος, Πυθόδοτος, Σωσιγένης, Νικό-
μα|χος, Θεόφραστος, Λυσιμαχίδης, Χαιρωνίδας, Φρύ-* 649
*νιχος, Πυθόδημος· ἐπὶ τούτου πρῶτον αὐτὸν εἰς δι-
καστήριον λόγους συγγράφειν ὑπεθέμεθα. μετὰ δὲ
τοῦτον Εὐαίνετος, Κτησικλῆς, Νικοκράτης, Νικήτης,
Ἀριστοφάνης, Ἀριστοφῶν, Κηφισοφῶν, Εὐθύκριτος,
Ηγήμων, Χρέμης, Ἀντικλῆς, ⟨Ἡγησίας⟩, Κηφισόδωρος,
Φιλοκλῆς· | ἐπὶ τούτου τὴν φρουρὰν ἐδέξαντο Ἀθη-* 650
*ναῖοι, καὶ ὁ δῆμος κατελύθη. Ἄρχιππος, Νέαιχμος,
Ἀπολλόδωρος, Ἄρχιππος, Δημογένης, Δημοκλείδης,
Πραξίβουλος, Νικόδωρος, Θεόφραστος, Πολέμων, Σι-
μωνίδης, Ἱερομνήμων, Δημήτριος, Καίριμος, Ἀναξι-
κράτης· ἐπὶ τούτου ἡ κατασταθεῖσα ὑπὸ Κασσάνδρου
ὀλιγαρχία κατελύθη, καὶ οἱ εἰσαγγελθέντες ἔφυγον, ἐν
οἷς καὶ Δείναρχος ἦν. Κόροιβος, Εὐξένιππος, Φερε-
κλῆς, Λεώστρατος, Νικοκλῆς, Κλέαρχος, Ἡγέμαχος,
Εὐκτή|μων, Μνησίδημος, Ἀντιφάτης, Νικίας, Νικό-* 651
*στρατος, Ὀλυμπιόδωρος, Φίλιππος .... ἐπὶ τούτου
κάθοδος ἐδόθη τοῖς τε ἄλλοις φυγάσι καὶ Δεινάρχῳ
ὑπὸ βασιλέως Δημητρίου.*

1 *θεόμνητος* F, sed *Θεόφιλος* apud alios et ipsum Dion. ep ad Amm. I et infra p 312, 21 | *ἀρχίδας* F, sed *Ἀρχίας* CIG 155, 24 Diodorus Dion. ep ad Amm. et infra 2 *εὔδωρος* F, sed *Εὔβουλος* et infra bis et alibi Dionysius 3 *Χαιρώνδας* uerum nomen esse iam Meursius uidit 3 4 *φρούνιχος* F: corr Victorius 5 *λόγους συγγράφειν* Sylburgius mg Bodl: *τοὺς συγγραφεῖς* F 7 *Κηφισοφῶν* Sylburgius: *κησιφῶν* F 8 *κρέμης* F: corr Sylburgius | *Ἡγησίας* deesse idem monuit 13 14 *ἀναρχικράτης* F: corr Sylburgius collatis Dionysii locis compluribus 16 17 *φερεκλής* F 17 *νικοκλής* F | *κλέαρχος* Kirchhoffius Hermae II 169: *καλλίαρχος* F 19 lacunam Ungerus significauit, uide tamen Wilamowitzium Antig. Caryst. p 240

Δημόσιοι λόγοι γνήσιοι.

κατὰ Πολυεύκτου βασιλεύειν λαχόντος δοκιμασία· 10
*'πολλὰ καὶ ἀγαθὰ γένοιτο.' Κατὰ Πολυεύκτου ἐκ-
φυλλοφορηθέντος ὑπὸ τῆς βουλῆς ἔνδειξις· 'πάλαι
θαυμάζω ὑμῶν.' Κατὰ Πολυεύκτου περὶ τοῦ γεω-
φανίου· 'περὶ μὲν αὐτῆς τῆς μηνύσεως.' Περὶ τοῦ
γεωφανίου ἐπίλογος· 'βραχύν, ὦ ἄνδρες.' Κατὰ Πυ-
θέου ξενίας· 'ἱκανὴ μὲν ἦν πρόφασις.' Κατὰ Πυθέου
περὶ τῶν κατὰ τὸ ἐμπόριον· 'ἐπειδὴ τοῖς μὲν λέγειν
τῶν ῥητόρων.' Κατὰ Τιμοκράτους· 'ὥσπερ δίκαιόν
ἐστι.' Κατὰ Λυκούργου εὔθυναι· 'οἶδα, ὅτι, κἂν μη-*
652 *δὲν ὑμῖν.' | Συνηγορία Αἰσχίνῃ κατὰ Δεινίου· 'βου-
λοίμην ἄν, ὦ ἄνδρες.' Κατὰ Φορμισίου ἀσεβείας·
'ἆρά γ' εἴ τινες.' Κατὰ Καλλαίσχρου περὶ τῶν τιμῶν·
'πολλάκις, ὦ Ἀθηναῖοι.' Τυρρηνικός· 'ἅπαντα συμβή-
σεσθαι ἔτι.' Κατὰ Διονυσίου τοῦ ἐπὶ τῆς διοική-
σεως· 'ἴσως μέν, ὦ Ἀθηναῖοι.' Καθ' Ἱμεραίου εἰσαγ-
γελτικός· 'οὐδένα νομίζω, ὦ Ἀθηναῖοι.' Εἰσαγγελία
κατὰ Πιστίου· 'ὥσπερ καὶ ὑμῶν ἕκαστος.' Κατ' Ἀγα-
σικλέους εἰσαγγελία ξενίας· 'οὐδένα πώποτε οἶμαι.'
Κατὰ Θεοκρίνου ἔνδειξις· 'τοῦ πατρός, ὦ ἄνδρες.'*

2 *δοκιμασίαι* F (*ι* ultimum postea add F^1): corr Victorius 5 6 *τεωφανίου* F: corr Meursius 7 *τεωφάνου* F: corr idem 11 *εὔθυναι* Sauppius: *εὐθύναι* ex *εὐθῦναι* F^1 | *οἶδα* F 12 *ὑμῖν· Συνηγορία Αἰσχίνῃ κατὰ* Sylburgius: *ὑμῖν συνηγορία αἰσχίνη· κατὰ* F | *Δεινίου* Meursius: *δινίου* F 13 *Φορμισίου ἀσεβείας* Meursius: *φορασεβίας* F 14 *καλαίσχρου* F: corr Victorius 15 lege *ὦ ἄνδρες Ἀθηναῖοι*, item infra | *Τυρρηνικός* Valesius: *πιρηνικός* F | *ἅπαντα* F ita, ut *απ* ex *ετι* correctum sit 16 *ἔτι· Κατὰ* Reiskius: *ἔτι κατὰ* F 17 *ἴσως* F | *καθιμερίου* F: corr Maussacus 18 *ἰσαγγελία* F ex *εἰσαγγελία* 19 20 *κατ' Ἀγασικλέους* Meursius: *κατα πισικλέους* F 20 *εἰσαγγελία· Ξενίας οὐδένα* operae Sauppianae 21 *τοῦ* inter lineas add F

τοῦτον | *Καλλίμαχος ἐν τοῖς Δημοσθένους φέρει. Κατὰ* 653
Στεφάνου παρανόμων· ‘ὑπάρχει τοῦ νόμου δεδωκότος,
ὦ ἄνδρες.’ *Κατὰ Καλλισθένους εἰσαγγελία*· ‘οὐκ
ἀγνοῶ, ⟨ὦ⟩ ἄνδρες.’ *Διαδικασία Φαληρέων πρὸς
Φοίνικας ὑπὲρ τῆς ἱερωσύνης τοῦ Ποσειδῶνος*· ‘εὔχο-
μαι, νὴ τὴν Ἀθηνᾶν, πρέπειν δή.’ *Πρὸς τὴν Κηφι-
σοφῶντος ἀπογραφήν*· ‘πρῶτον μέν, ὦ ἄνδρες, δέομαι.’
Ὁ ὕστερος· ‘τὰ μὲν περὶ τὴν ὠνήν.’ *Ἀπολογία δια-
μαρτυρίας πρὸς τὴν Χάρητος .... εἰσαγγελία κατὰ Φει-
διάδου γραμματέως*· ‘οὔτ’ ἔχθρας οὐδεμιᾶς ἕνεκα.’
Κατὰ Φιλοκλέους ὑπὲρ | τῶν Ἁρπαλείων· ‘τί χρὴ λέ- 654
γειν τὸ πρὸς τῶν.’ *Κατὰ Γνωδίου περὶ τῶν Ἁρπα-
λείων*· ‘οὐκ ἄδηλον.’ *Κατ’ Ἀριστονίκου περὶ τῶν
Ἁρπαλείων*· ‘εὐτύχημα μὲν ἦν, ὦ ἄνδρες.’ *Κατὰ Δημο-
σθένους περὶ τῶν Ἁρπαλείων*· ‘ὁ μὲν δημαγωγὸς ὑμῖν.’
Κατὰ Ἀριστογείτονος περὶ τῶν Ἁρπαλείων· ‘πάνθ’,
ὡς ἔοικεν, ὦ ἄνδρες.’

Ψευδεπίγραφοι δημόσιοι.

11 *Κατὰ Θεοδώρου εὐθυντικός*· ‘ἥκιστα μέν, ὦ ἄνδρες.’
πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἡλικίας. εἴρηται γὰρ
ἐπὶ Θεοφίλου ἢ Θεμιστοκλέους ἄρχοντος με|τὰ Θέελ- 655
λον ἄρχοντα ἐνιαυτῷ τρίτῳ ⟨ἢ τετάρτῳ⟩, ὡς ἐξ αὐτοῦ

2 *παρανόμων* Sylburgius: *ἴασα νόμων* F 3 *Καλλισθένους* Meursius: *κλεισθένους* F 4 *ὦ* add Sauppius 6 7 *Κηφισοφῶντος* Sauppius: *κηφισῶντος* F 9 *χάρτος* F *Χάριτος* Victorius: corr Sylburgius | lacunae signa add Blassius | *εἰσαγγελίαν* Sylburgius 11 *ἁρπαλίων* F hic et infra ubique: corr Blassius 12 *τὸ* del Sauppius | *κατὰ Ἁγνωνίδου* ci Reiskius 14 *ἀρνάλου* F *Ἁρπαλίων* Victorius 19 *εὐθύνικος* F (*κ* in ras): corr Victorius 20 *ἐστι* Sylburgius: *ἐπι* F 21 *ἢ* Sylburgius: *τῇ* F *τοῦ πρὸ* Blassius mauolt | *Θέελλον* Curtius: *θέλλον* F 22 *ἄρχοντα* Sylburgius: *ἀνιόντα* ex *ἐνιαυτῶ* correctum F | *ἢ τετάρτῳ* addidi

τοῦ λόγου γίνεται φανερόν, οὔπω πέμπτον ⟨καὶ δέκα-
τον⟩, ὡς ἐδείξαμεν, ἔτος ἔχοντος αὐτοῦ. *Κατὰ Κηρύ-
κων*· ‘εἰ μὲν ὁ πατήρ, ὦ ἄνδρες.’ οὗτος ὁ ἀγὼν εἴρη-
ται ἐπ’ ἄρχοντος Εὐβούλου ἢ Λυκίσκου τοῦ μετ’ Εὔ-
βουλον, οὔπω εἰκοστ⟨ὸν ἔτος ἔχ⟩οντος αὐτοῦ ... ὁ μὲν
γὰρ λόγος περί τινος ἀποψηφισθέντος γέγονεν ἐπ’
Ἀρχίου τοῦ μετὰ Θεμιστοκλέα. δῆλον δ’ ἕκαστον τῶν
εἰρημένων ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται. *Κατὰ Μο-
σχίωνος, ἀπογραψαμένου αὐτὸν Νικοδίκου*· ‘τῶν ἀπο-
ψηφισαμένων, ὦ ἄνδρες, τουτουὶ Μοσχίωνος συμβα-
λών.’ καὶ οὗτος ὁ λόγος κατὰ τοὺς αὐτοὺς χρόνους
τῷ προτέρῳ εἴρηται. δηλοῦται δ’ ἔκ τε αὐτῆς ⟨τῆς⟩
656 ἀρχῆς τοῦ λόγου καὶ | [τὰ] τῶν ἑξῆς. *Κατὰ Μενε-
κλέους ἀπαγωγῆς*· ‘ὦ ἄνδρες δικασταί, καὶ τῶν νόμων
καθ’ οὕς.’ καὶ οὗτος εἴρηται παιδὸς ὄντος ἔτι Δεινάρχου.
ὁ μὲν γὰρ κρινόμενός ἐστι Μενεκλῆς ὁ τὴν ἱέρειαν
Νῖνον ἑλών, ὁ δὲ κατηγορῶν υἱὸς τῆς Νίνου. ἔστι
δὲ ταῦτα πρεσβύτερα τῆς Δεινάρχου ἀκμῆς. ὁ μὲν
γὰρ Δημοσθένους περὶ τοῦ ὀνόματος [δεδηλώκαμεν]
λόγος, ἐν ᾧ τούτων μέμνηται, κατὰ Θέελλον ἢ Ἀπολ-
λόδωρον ἄρχοντα τετέλεσται, ὡς ἐν τοῖς περὶ Δημο-
σθένους δεδηλώκαμεν. εἰ δ’ ὡς τεθνηκότος ἤδη τοῦ

1 *οὔπω* Victorius: *οὕτω* F | *καὶ δέκατον* additur in mg Bodl 2 *ἐδείξαμεν* Reiskius: *δείξομεν* F | *Κηρύκων* Sauppius: fuerat *κηρύκων* 5 *οὔπω εἰκοστ⟨ὸν ἔτος ἔχ⟩οντος*] *οὔπω εἴκοσι ὄντος* F *οὔπω εἴκοσιν ἔτη ἔχοντος* Sylburgius | lacunae signa addidi 7 *Ἀρχίου* Sylburgius: *ἀρχειοῦ* F 9 10 *τῶν ἀποψηφισαμένων* Sauppius: *υἱὸν ἀποψηφισάμενον* F 10 *τουΐ* F: corr Sylburgius 10 11 *συμβαλών*] *συμ* in ras F 12 *ἔκ τε αὐτῆς τῆς* Usenerus: *ἐκ τῆς αὐτῆς* F 13 *τὰ* secl Sylburgius | *ἐξῆς* F 14 *ἀπ’ ἀγωγῆς* F: corr Victorius 15 *εἴρηται*: *ται* in ras F 17 *ἑλών* Valesius: *ἔχων* F 19 *δεδηλώκαμεν* secl Sylburgius 20 *Θέελλον* Curtius: *θεσσαλὸν* F

Μενεκλέους ὁ Δημοσθένης ἐκεῖ μέμνηται λέγων· ʽἑωρᾶτε γὰρ πάντες αὐτὸν χρώμενον, ἕως ἔζη, Μενεκλεῖ', παλαιὸς λόγος τίς ἐστιν. ὅτι δὲ οὗτος ὁ Μενεκλῆς, ἐν αὐτῷ τῷ λόγῳ δεδήλωκεν ὁ κατηγορῶν. Διαδικασία | Ἀθμονεῦσι περὶ τῆς μυρρίνης καὶ τῆς μίλακος· 657 ʽεὔχομαι δὴ τῇ Δήμητρι καὶ τῇ Κόρῃ.' πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἀκμῆς. εἴρηται γὰρ ἐπὶ Νικομάχου ἄρχοντος, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται δῆλον, ἓν πρὸς τοῖς εἴκοσιν ἔτος τοῦ ῥήτορος ἔχοντος. οἱ μὲν οὖν ⟨πρεσβύτεροι⟩ τῆς ἀκμῆς αὐτοῦ φερόμενοι ψευδεπίγραφοι [εἰς αὐτὸν] λόγοι εἰσὶν οἵδε. μετὰ δὲ τὴν ἐξ Ἀθηνῶν εἰς Χαλκίδα ἀναχώρησιν οἵδε· Διαδικασία τῆς ἱερείας τῆς Δήμητρος πρὸς τὸν ἱεροφάντην· ʽπολλῶν καὶ παραδόξων, ὦ ἄνδρες δικασταί.' οὗτος ὁ λόγος ἤδη πεφευγότος αὐτοῦ εἴρηται, ὡς ἐξ αὐτοῦ γίγνεται φανερόν. μέμνηται γὰρ ἐν αὐτῷ ⟨ὁ λέγων⟩ τῆς κατασχούσης ὀλιγαρχίας. Κατὰ Τιμοκράτους εἰσαγγελτικὸς δήμου καταλύσεως· ʽἔργα ποιεῖς.' οὗτος καὶ ἀπ' αὐτῆς τῆς ἐπιγραφῆς ἐστι δῆλος ψευδεπίγραφος ὤν. Κατὰ Σπουδίου· ʽκαὶ ἐν τῷ δήμῳ κατηγορήσειν ὑπεσχόμην.' μετὰ τὴν κατάλυσιν τῆς ὀλιγαρχίας εἴρηται καὶ οὗτος | ἤδη Δεινάρχου [φαίνεται] 658 φεύγοντος, ὡς ἐξ αὐτοῦ μάλιστα τοῦ λόγου γίγνεται

1 Demosthenes or. XXXIX 13

2 μενεκλεῖ (sic) F: Μενεκλῆς Victorius 3 ὁ αὐτὸς Μενεκλῆς Kruegerus 5 Μυρρίνης uolgo post Victorium | μίλακος Victorius: μήλακος F 10 πρεσβύτεροι Reiskius inseruit 11 εἰς αὐτὸν deleui 12 ἤδε F: corr Victorius 14 πολλῶν τ̈ε̈ F τε del F² 16 ὁ λέγων addidi 18 εἰσαγγελιτικὸς F: corr Victorius | ἔργα ποιεῖς, quod in F ante κατὰ Τιμοκράτους est, post καταλύσεως Sylburgius transposuit 22 φαίνεται seclusit Reiskius

φανερόν. Διαδικασία Εὐδανέμων πρὸς Κήρυκας ὑπὲρ τοῦ κανῶς· ʽοὐδαμῶς τοιαῦτα πράγματα.' καὶ οὗτος κατὰ τοὺς αὐτοὺς χρόνους εἴρηται, πεφευγότος ἤδη τοῦ ῥήτορος, ὡς ἐν αὐτῷ τῷ λόγῳ πάλιν δηλοῦται. Ἀττικός· ʽπάντων ἦσαν ὁμοίως.' καὶ οὗτος εἴρηται ἐν ἐκείνοις τοῖς χρόνοις, ὡς καὶ ἐν αὐτῷ τῷ λόγῳ φανερὸν γίγνεται. Αἰτωλικός· ʽκαὶ ἡμεῖς, ὦ ἄνδρες Αἰτωλοί, πρέσβεις.' οὗτος καθεστώσης τῆς ὀλιγαρχίας ὑπὸ τῶν Ἀθήνηθεν φυγάδων εἴρηται δεομένων τοὺς Αἰτωλοὺς αὐτοῖς βοηθεῖν, ἐπεὶ καὶ ὁ Κάσσανδρος αὐτοῖς ἐλευθέροις οὖσιν ἐπεχείρει, ὡς ἐν αὐτῷ τῷ λόγῳ γίγνεται τοῦτο δῆλον. οὔκουν εἰκὸς φίλον ὄντα τὸν Δείναρχον τῶν τὴν ὀλιγαρχίαν καταστησάντων τοῖς καταλύειν ἐπιχειροῦσιν συναγωνίζεσθαι, οὐδ' αὐτοὺς
659 Ἀθή|νηθε λόγους †καταλαμβάνειν οἷόν τ' ἐστί. Διφίλῳ δημηγορικός, αἰτοῦντι δωρεάς· ʽδιὰ τὸ μὴ ῥᾴδιον εἶναι.' τοῦτον ἐπείσθην ὑπὸ Δημοσθένους γεγράφθαι τὸν λόγον, ὅτι τὰς δωρεὰς ἔγραψεν αὐτῷ Δημοσθένης, ὡς Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους λόγῳ δεδήλωκε, καὶ ὅτι ἐπὶ τέλει ⟨τοῦ⟩ λόγου ὁ Δίφιλος Δημοσθένην παρακαλεῖ συνήγορον. ἀπίθανον δὲ οἶμαι εἶναι τὰς μὲν τιμὰς οὕτω γράφειν εὐνοοῦντα τῷ Διφίλῳ τὸν Δημοσθένην, λόγον δὲ παρὰ Δεινάρχου λαβόντα περιιδεῖν. ʽἙρμίᾳ ἐμπορίου ἐπιμελητῇ περὶ τῶν κατηγορη-

1 ευδανεμων F | κήρυκας ante Sauppium ed 2 κανῶς· οὐδαμῶς τοιαῦτα Sylburgius: κανῶς οὐδαμῶς· τοιαῦτα F 5 ὁμοίως ad sequentia trahit F: corr Victorius 8 οὕτως F: corr Victorius 9 10 τοῖς αἰτωλοῖς F: corr Sylburgius 10 αὐτοῖς Sauppius: αὐτοῖς F 10 11 αὐτοῖς ἐλευθέροις οὖσιν] αὐτοὺς ἐλευθεροῦν F 12 εἰκω F: corr Victorius 14 συναγωνίζεσθαι mg Bodl: ἀγωνίζσεθαι F | αὐτοὺς Sylburgius: αὐτὸς F 18 αὐτῷ Sauppius: αἰτῶν F 20 τοῦ add Reiskius 22 φίλῳ F: corr Victorius 23 24 περιιδεῖν ex περιειδεῖν per rasuram F 24 ʽΕρ-

θέντων ἀπολογία· 'δέομαι ὑμῶν, ὦ ἄνδρες.' ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἂν οὐκ ὄντα τὸν λόγον Δεινάρχου (ὑδαρής τε γὰρ καὶ ἀσθενὴς καὶ ψυχρός ἐστιν), ἀλλὰ μᾶλλον αὐτὸν ἄν τις θείη Δημοκλείδου ἢ Μενεσαίχμου ἢ τῶν ἄλλων τῶν τοιούτων τινός. ἀφαιροῦμαι δὲ καὶ τοὺς ὑπὲρ Μενεσαίχμου λόγους ἀμφοτέ|ρους αὐτοῦ, ὧν ὃ μέν ἐστιν περὶ τῆς Δήλου θυσίας· 660
'ἱκετεύομεν ὑμᾶς καί'· ὃ δὲ πρὸς Περικλέα καὶ Δημοκράτην, οὗ ἡ ἀρχή· 'νομίζομεν, ὦ ἄνδρες' διά τε τὸν χαρακτῆρα (ὑδαρὴς γὰρ καὶ κεχυμένος καὶ ψυχρός) καὶ ὅτι ὁ λέγων αὐτούς, ὢν οὔτε ἄδοξος καὶ μετὰ Λυκοῦργον τὴν διοίκησιν τῶν δημοσίων χρημάτων παραλαβών, ἐξητασμένος δὲ πολλάκις αὐτός, ὡς ἐν τοῖς λόγοις περὶ ἁπάντων μηνύει, καὶ ἐν ἰδίοις καὶ ἐν δημοσίοις ἀγῶσιν οὐκ ἂν ἦν ἀδύνατος, ὥστε Δεινάρχῳ λογογράφῳ χρῆσθαι. Ὑπὲρ τοῦ μὴ ἐκδοῦναι Ἅρπαλον Ἀλεξάνδρῳ 'οὐκ ἄξιον ἄρα θαυμάζειν.' οὐδ' οὗτος ὁ λόγος ἐμφαίνει τὸν Δεινάρχου χαρακτῆρα. εἰ γὰρ κἂν μηδὲν ἄλλο, τό γ' οὖν ἠλίθιον καὶ σοφιστικὸν εὕροι τις ἂν ἐν αὐτῷ πολύ, τὸ πλεῖστον ἀπέχον τῶν Δεινάρχου χαρακτήρων. Δη|λιακός· 'Ἀπόλλωνος καὶ Ῥοιοῦς τῆς 661
Σταφύλου.' οὗτος οὐ τοῦ ῥήτορος ἀλλ' ἑτέρου τινὸς συγγραφέως ἐστί. δηλοῖ δ' ἐκ τοῦ τρόπου καὶ τοῦ

μίᾳ—ἐπιμελητῇ Sylburgius: εἰ μίᾳ—ἐπὶ μελέτῃ F 5 Μενεσαίχμου Sylburgius: μεναισέχμου F, item infra 6 ὑπὲρ Ruhnkenius: περὶ F 8 ὑμᾶς Sylburgius: ἡμᾶς F | καὶ (ante ὃ) secl Reiskius καὶ λιπαροῦμεν Kruegerus 10 ὑδαρής τε γὰρ Sadaeus 11 αὐτούς] αὐτὸς F | ὧν F 15 ἂν delet Sauppius fort οὐ μὰ Δί' ἦν | λογογράφῳ Sauppius: λογογραφεῖ F 16 ἐκδοῦναι mg Bodl: ἐνδοῦναι F | ἅρπαλον F 17 θαυμάζειν Reiskius: θαυμάζω F 19 ἠλίθιον F 20 τὸ delet Kruegerus | ἀπέχον ex ἀπέχων per ras F | τοῦ Δεινάρχου χαρακτῆρος Reiskius 22 Σταφύλου Reiskius: ταφύλου F

χαρακτῆρος ἀρχαϊκὸς ὢν καὶ περιτρέχων τὴν τοπικὴν Δήλου καὶ Λέρου ἱστορίαν. Κατὰ Δημοσθένους παρανόμων· 'εἰώθατε, ὦ ἄνδρες.' οὗτος ἐν τοῖς Περγαμηνοῖς πίναξι φέρεται ὡς Καλλικράτους. ἐγὼ δ', εἰ μὲν ἐκείνου ἐστίν, οὐκ οἶδα (οὐδὲ γὰρ ἐνέτυχον τῶν Καλλικράτους οὐδενί), ὅτι δὲ πάμπολυ τῶν Δεινάρχου λόγων ἀφέστηκεν, εὐτελής τε ὢν καὶ κενὸς καὶ οὐκ ἀπέχων ἰδιωτικῆς φλυαρίας, πείθομαι.

Ἰδιωτικοὶ γνήσιοι.

Κατὰ Προξένου βλάβης, ὃν αὐτὸς εἶπεν ὑπὲρ αὐ- 12
τοῦ· 'εἴ τίς μοι θεῶν, ὦ ἄνδρες.' Κατὰ Κηφισοκλέους 11
662 καὶ τῶν οἰκείων βλάβης· 'ἃ μὲν ἐγκαλῶν, ὦ | ἄνδρες.'
Πρὸς Φανοκλέα βλάβης ἀπολογία· 'ᾤμην μὲν ἐγώ, ὦ ἄνδρες.' Πρὸς Λυσικράτην ὑπὲρ Νικομάχου βλάβης· 'ἄνδρες δικασταί, ὅτι μὲν ἰδιώτης.' Συνηγορία Παρμένοντι ὑπὲρ ἀνδραπόδου βλάβης· 'καὶ παραγενημένος ὕστερον, ἄνδρες δικασταί, ἔγωγε ἔγνων, ὅτι Παρμένων ἀδικεῖται.' Κατὰ Ποσειδίππου κλοπῆς· 'ἀδικηθείς, ὦ ἄνδρες.' Κατὰ Ἡδύλης ἀποστασίου· 'καταλιπόντος †ἐνοτίου πατρός.' Ἀποστασίου πρὸς Ἀρχέστρατον· 'πολλὰ καὶ ἀγαθὰ γένοιτο.' Συνηγορία Ἡγελόχῳ ὑπὲρ ἐπικλήρου· 'ὥσπερ καὶ ἡμῶν ἕκαστος.' Ἐπικληρικὸς ὑπὲρ τῆς Ἰοφῶντος θυγατρός· 'ἄνδρες

2 καὶ Λέρου] καὶ Ἄνδρου Adlerus an κατὰ μέρος? 2 3 παρανόμων Sylburgius: παρανόμω F 3 4 πεπερταμηνοῖς F: corr Victorius 7 ὧν F 10 11 αὐτοῦ F: corr Victorius 14 Λυσικράτην Sauppius: νικοκράτην F 16 ἀνδροπόδου F[1] 18 Ποσειδίππου Sylburgius: ποσιδίππου F 19 Ἡδύλης Sylburgius: ἠδύκης F 20 ἐνοτίου πατρός] ἐνώτιον τοῦ πατρός Sauppius, an ἐν Ὄᾳ τοῦ πατρός? 22 deuterologia intercidisse uidetur

δικασταί, οὐ πένης ὤν.’ ⟨Ὁ⟩ ὕστερος· ‘ἄμαχον γὰρ ἦν, ὦ ἄνδρες.’ Διαμαρτυρία, ὡς οὐδὲ εἰσὶν ἐπίδικοι ⟨αἱ⟩ Ἀριστο|φῶντος θυγατέρες· ‘τοῦ νόμου δεδωκότος, 663 ὦ ἄνδρες.’ Κατὰ Πεδιέως κακώσεως παιδὸς ὀρφανοῦ· ‘μηδεὶς ὑμῶν, ὦ ἄνδρες, θαυμάσῃ.’ Διαμαρτυρία περὶ τοῦ Εὐίππου κλήρου πρὸς Χάρητα· ‘πολλάκις ἤδη ἤκουσα.’ Ὑπὲρ τοῦ Μνησικλέους κλήρου· ‘δικαίαν, ὦ ⟨ἄνδρες⟩, δέησιν.’ Κατὰ Προξένου ὕβρεως· ‘ὑβριστής ἐστιν, ὦ ἄνδρες.’ ⟨Ἀπολογία⟩ πληγῶν, ἔδει δ’ ἐπιγεγράφθαι ‘Ἀπολογία ὕβρεως Ἐπιχάρει πρὸς Φιλωτάδην’· ‘τὸν θαυμαστόν, ὦ ἄνδρες.’ Κατὰ Κλεομέδοντος αἰκίας· ‘ὅτι μέν, ὦ ἄνδρες, καὶ ὁ πατὴρ Θεόδωρος δή.’ Πρὸς Διοσκουρίδην περὶ νεώς· ‘δικαίως ἂν οἶμαι, ὦ ἄνδρες.’ Ἐρανικὸς πρὸς τοὺς Πατροκλέους παῖδας· ‘ἃ μὲν ἀδικούμενος, ὦ ἄνδρες.’ Πρὸς Ἀμεινοκράτην διαδικασία περὶ καρπῶν χωρίου· ‘ἐπὶ τούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστί.’ | Περὶ τοῦ ἵππου· ‘τοῦ μὲν ἀγῶ- 664 νος, ὦ ἄνδρες.’ Ὁ ὕστερος· ‘ἐβουλόμην ἄν, ὦ ἄνδρες.’ Λυσικλείδῃ κατὰ Δάου ὑπὲρ ἀνδραπόδων· ‘ἃ μὲν ἀδικούμενος, ὦ ἄνδρες.’ Παραγραφὴ πρὸς Βιώτην· ‘ὅτι μέν, ὦ ἄνδρες, καὶ αὐτὸς ἀπείρως.’ Κατὰ Θεοδώρου ψευδομαρτυριῶν· ‘νομίζομεν, ὦ ἄνδρες.’ Ἀγάθωνι ἀποσυνηγορία· ‘ὥσπερ καὶ αὐτὸς εἴρηκεν Ἀγάθων.’ Ἀπο-

1 ὢν F | ὁ add Blassius | ὕστερος Sylburgius: ὕστερον F 3 αἱ add Reiskius 6 Εὐίππου Reiskius: ἔτιηπου F, ε et ηπου in ras | Χάριτα F: corr Sylburgius 7 δικαῖαν F Vict 8 ἄνδρες add Victorius 9 ἀπολογία add Blassius 10 ἀπολογία ex ἰπολογία F | post ὕβρεως punctum ponit F, deleuit Blassius 13 περὶ νεώς Sauppius: περὶ νεῶν F 14 Πατροκλέους Hudsonus: προκλεως F 16 τούτοις ὦ Sylburgius: τουπίσω F 19 Λυσικλείδου (λ postea add F[1]): Λυσικλείδῃ Blassius 23 ὥσπερ — Ἀγάθων initium orationis esse Reiskius perspexit

στασίου ἀπολογία Αἰσχύλῳ πρὸς Ξενοφῶντα· ‘χρήσασθαι μέν, ὦ ἄνδρες.’ Κατὰ Καλλίππου μεταλλικός· ‘ὅτι μέν, ὦ ἄνδρες, Κάλλιππος.’ Ὑπὲρ υἱοποιήτου, ἔδει δ’ ἐπιγεγράφθαι ‘Ὑπὲρ Θεοδώρου, ὃν ἐποιήσατο υἱὸν Ἀρχεφῶν’· ‘βουλοίμην ἄν, ὦ ἄνδρες, ὥσπερ καλὸν καὶ δίκαιον.’ Περὶ τοῦ Ἀρχεφῶντος κλήρου· ‘καὶ δίκαιον εἶναι νομίζων.’

Ἰδιωτικοὶ ψευδεπίγραφοι.

Πρὸς Πεδιέα παραγραφή· ‘κατὰ τὸν νόμον τοῦτον.’ 13
665 οὗτος ὁ λόγος εἴρηται ἐπὶ Ἀριστοδήμου ἄρχοντος, | ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίνεται δῆλον. οἱ μὲν γὰρ εἰς Σάμον ἀποσταλέντες κληροῦχοι κατὰ τοῦτον τὸν ἄρχοντα ἀπεστάλησαν, ὡς Φιλόχορος ἐν ταῖς ἱστορίαις λέγει. Δείναρχος δ’ οὔπω δέκατον ἔτος τηνικαῦτα εἶχε. Πρὸς Μελήσανδρον ὑπὲρ τῆς τριηραρχίας· ‘ὥσπερ οἱ νόμοι κελεύουσιν.’ οὗ ἂν ὁ λόγος . . . . . ἀλλ’ ὁ μὲν λέγων ὡς ἐπὶ Μόλωνος ἄρχοντος γεγενημένου τοῦ ἀδικήματος ποιεῖται τὸν λόγον. φησὶν δὲ τῷ ὑστέρῳ ἔτει εἰσιέναι τὸν ἀγῶνα ἐπὶ Νικοφήμου ἄρχοντος, καθ’ ὃν εὑρίσκεται γεγεννημένος ὁ Δείναρχος. Πρὸς Βοιωτὸν ὑπὲρ τοῦ ὀνόματος· ‘οὐδεμιᾷ φιλοπραγμοσύνῃ.’ εἰ καὶ μὴ τοῖς ἄλλοις οἱ Δημοσθένους

21 Demosthenes or. XXXIX

2 Καλλίππου Blassius: φιλίππου 3 Κάλλιππος ad praecedentis or. initium Reiskius traxit: καλλιπος ὑπὲρ F 4 ὑπογεγράφθαι F: corr Sylburgius | ὑπὲρ ex ὑπὸ F[1] 13 φιλόχωρος F: corr Sylburgiana 16 λόγος ex νόμος F[1] | lacunae signa Sauppius addidit suppletque εἴη, οὐκ ἔχω λέγειν 19 ἔτει εἰσιέναι τὸν ἀγῶνα Reiskius: ἐπεισιέναι τὸν ἀγάθωνα F 21 22 οὐδεμιᾷ φιλοπραγμοσύνῃ Dem. or. 39 init: οὐδεμία φιλοπραγμοσύνη F

ἀφαιρούμενοι τοῦτον τὸν λόγον καὶ Δεινάρχῳ προσάπτοντες ἐλέγχοιντο, τῷ χρόνῳ γ' οὖν ἐπιδειχθεῖεν ἂν ψευδόμενοι. μέμνηται γὰρ ὡς νεωστὶ τῆς εἰς Πύλας ἐξόδου γεγενημένης, ἡ δ' εἰς ⟨Πύλας⟩ Ἀθηναίων ἔξοδος ἐπὶ Θουδήμου ἄρχοντος ἐγένετο, ὄγδοον | ἔτος Δεινάρχου 666
ἔχοντος. Πρὸς Μαντίθεον περὶ προικός· 'πάντων ἐστὶν ἀνιαρότατον.' οὗτος ἀκολουθεῖ τῷ προτέρῳ λόγῳ καὶ πολλὰ ἔχει κατὰ ⟨τὴν⟩ λέξιν τοιαῦτα, ἃ εἴη ἂν τοῦ αὐτοῦ ῥήτορος, ἔξω τῆς τῶν Δεινάρχου ἡλικίας .... πολλοῖς ἔτεσιν ὕστερον ἠγώνισται τὸν ἀγῶνα ὁ κατήγορος, ἀλλὰ δύο ἢ τρισίν, ὡς ἀκριβέστερον περὶ αὐτῶν ἐν τῇ ⟨περὶ⟩ Δημοσθένους γραφῇ δεδηλώκαμεν. Ἀθηνάδῃ συνηγορία περὶ τῆς σχεδίας πρὸς Ἀμύντιχον· 'φίλος μοι καὶ ἐπιτήδειος ὤν. Ὁ ὕστερος· 'οἴομαι μὲν ὑμᾶς, ὦ ἄνδρες.' Διοπείθους ἔτι περὶ Ἑλλήσποντον τοῦ τῶν Ἀθηναίων στρατηγοῦ διατρίβοντος εἴρηται ὁ λόγος, ὡς ἐξ αὐτοῦ γίνεται φανερόν. ἔστι δὲ ὁ χρόνος κατὰ Πυθόδοτον ἄρχοντα, ὡς δηλοῖ Φιλόχορος σὺν τοῖς ἄλλοις τοῖς ...... ἐπὶ τούτου τοῦ ἄρχοντος οὐδέπω εἰκοστὸν ἔχων ἔτος. Πρὸς Μήκυθον μεταλλικός· 'πριάμενοι μέταλ|λον, ὦ ἄνδρες.' ἐπὶ Νικομάχου ἄρ- 667

3 Demosthenes or. XXXIX 16 6 idem or. XL

4 *Πύλας* add Sylburgius 5 *Θουδήμου* Adlerus: *θουμήδου* F | *τρισκαιδέκατον* F: corr Kruegerus 7 *ἀνιαρώτατον* F: corr Victorius 8 *κατὰ τὴν λέξιν τοιαῦτα* Sadaeus: *κατὰ λέξιν ταῦτα* F 9 post *ῥήτορος* Sauppius *ἐστὶ δὲ* inseruit | *τοῖς τῶν* F *τῆς τοῦ* uolgatur post Victorium | *λόγων* post *Δεινάρχου* excidisse Sadaeus putat | lacunam Sauppius detexit. suppleas fere: *ὄντος. οὐ γὰρ* 12 *περὶ* add Reiskius 13 *Ἀμύντιχον* Sylburgius: *ἀμυντικὸν* F 14 *ὦ* F 18 *φιλόχωρος* F: corr Sylburgius 19 lacunae signa addidi, ratus intercidisse: *τὰς Ἀτθίδας συγγράψασιν. εὑρίσκεται δ' ὁ ῥήτωρ* 21 *μέταλλον* ex *μετάλλων* F[1]

χοντος εἴρηται ὁ λόγος οὗτος. φησὶ γὰρ ὁ λέγων ἐπ' Εὐβούλου μὲν μισθώσασθαι τὸ μέταλλον, τρία δὲ ἔτη ἐργασάμενος, ἐκβαλλόμενος ὑπὸ τοῦ πλησίον ἔχοντος μέταλλα, λαχεῖν αὐτῷ τὴν δίκην κατὰ Νικόμαχον ἄρχοντα, Δεινάρχου ἓν καὶ εἰκοστὸν ἔτος ἔχοντος. Σατύρῳ πρὸς Χαρίδημον ἐπιτροπῆς ἀπολογία· 'μὴ μεγάλου κινδύνου συμβεβηκότος.' καὶ οὗτος ἐπὶ Νικομάχου εἴρηται. Ὑπὲρ ἀντιδόσεως ⟨πρὸς⟩ Μεγακλείδην· 'εἰ μὲν ἔδει, ὦ ἄνδρες, πρὸς τρεῖς ἢ τέτταρας.' ὁ μὲν λέγων ἐστὶν Ἀφαρεύς, ἔξω δ' ἐστὶ τῶν Δεινάρχου χρόνων ⟨ὁ λόγος⟩. εἴρηται γὰρ ἐπὶ τοῦ στρατηγοῦ Τιμοθέου ζῶν-
668 τος κατὰ τὸν χρόνον τὸν τῆς μετὰ Μενεσθέως | στρατηγίας, ἐφ' ᾗ τὰς εὐθύνας ὑποσχὼν ἑάλω. Τιμόθεος δὲ τὰς εὐθύνας ὑπέσχηκεν ἐπὶ Διοτίμου τοῦ μετὰ Καλλίστρατον, ὅτε καὶ * * * * *

1 2 *λέγων ἐπ' Εὐβούλου* Sylburgius: *λέγων· ἐπευβούλου* F 3 an *τοῦ τὰ πλησίον*? 8 *πρὸς Μεγακλείδην* Sauppius: *μεγακλείδῃ* F 10 *δ' ἐστὶ τῶν* Sauppius: *δ' ἐπιστῶν* F secundum Sadaeum et Kiesslingium, *δ' ἐπι τῶν* secundum disertum Diltheyi testimonium 10 11 *χρόνων ὁ λόγος*] *λόγων* F 11 *ἔτι* Sylburgius 12 *νεμεσθέως* F: corr Valesius 13 *ὑποσχῶν ἑάλω* F

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ ΘΟΥΚΥΔΙΔΟΥ

ΠΡΟΣ ΑΙΛΙΟΝ ΤΟΥΒΕΡΩΝΑ

M	Ambrosianus
P	Vatic. Palatinus gr. 58
M¹M²P¹P²	librariorum et correctorum manus
pr P	lectio ab ipso librario inter scribendum correcta
f	editio princeps F. Sylburgii Francofurdi a. 1586 emissa p. 237 sqq.
h	editio Hudsonis Oxon. 1704
r	editio Reiskiana
Δ	Dionysius alio libro
Θ	Thucydidis exempla
	singulos Thucydidis libros, siquando indicanda erant, secundum Bekkerum scripsi litteris inclinatis
D	Demosthenis exempla

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ ΘΟΥΚΥΔΙΔΟΥ

Ἐν τοῖς προεκδοθεῖσι περὶ τῆς μιμήσεως ὑπομνηματισμοῖς ἐπεληλυθὼς οὓς ὑπελάμβανον ἐπιφανεστάτους εἶναι ποιητάς τε καὶ συγγραφεῖς, ὦ Κόιντε Αἴλιε Τουβέρων, καὶ δεδηλωκὼς ἐν ὀλίγοις, τίνας ἕκαστος αὐτῶν εἰσφέρεται πραγματικάς τε καὶ λεκτικὰς ἀρετάς,
811 *καὶ πῇ μάλιστα χείρων ἑαυτοῦ γίνεται κατὰ τὰς | ἀποτυχίας, εἴ τε τῆς προαιρέσεως οὐχ ἅπαντα κατὰ τὸν ἀκριβέστατον λογισμὸν θηρώσης εἴ τε τῆς δυνάμεως οὐκ ἐν ἅπασι τοῖς ἔργοις κατορθούσης, ἵνα τοῖς προαιρουμένοις γράφειν τε καὶ λέγειν εὖ καλοὶ καὶ δεδοκιμασμένοι κανόνες ὦσιν, ἐφ᾽ ὧν ποιήσονται τὰς κατὰ μέρος γυμνασίας μὴ πάντα μιμούμενοι τὰ παρ᾽ ἐκείνοις κείμενα τοῖς ἀνδράσιν, ἀλλὰ τὰς μὲν ἀρετὰς αὐτῶν λαμβάνοντες, τὰς δ᾽ ἀποτυχίας φυλαττόμενοι· ἁψάμενός τε τῶν συγγραφέων ἐδήλωσα καὶ περὶ Θουκυδίδου τὰ δοκοῦντά μοι, συντόμῳ τε καὶ κεφαλαιώδει*

1 *ἔτι περὶ θουκυδίδου πλατύτερον* M ubi hic liber epistulam ad Pompeium excipit, titulo caret P: *Διονυσίου Ἀλεξάνδρου Ἁλικαρνασσέως περὶ τοῦ Θουκυδίδου χαρακτῆρος καὶ τῶν λοιπῶν τοῦ συγγραφέως ἰδιωμάτων* inscripsit Sylburgius 6 *τίνας* Kruegerus: *τινὰς ἃς* MPf 10 *θηρώσης*] *ὁρώσης* MPf. distat 941 R. *τὴν ποσότητα ὁρῶν* 11 *ἵνα τῆς ἵνα τοῖς* P 12 *προαιρουμένεις* P¹ 13 *δεδοκισμαμένη* P¹ *ἐφῶ* (*ν* suprascr m II) P¹ 17 *τε*] *δὲ* Reiskius, ego deleuerim

γραφῇ περιλαβών, οὐ δι' ὀλιγωρίαν καὶ ῥᾳστώνην οὐδὲ διὰ σπάνιν τῶν δυνησομένων βεβαιῶσαι τὰς προθέσεις, ἀλλὰ τῆς εὐκαιρίας τῶν γραφομένων στοχαζόμενος, ὡς καὶ περὶ τῶν ἄλλων ἐποίησα. οὐ γὰρ ἦν ἀκριβῆ καὶ διεξοδικὴν δήλωσιν ὑπὲρ ἑκάστου τῶν ἀνδρῶν ποιεῖσθαι, προελόμενον εἰς ἐλάχιστον ὄγκον συναγαγεῖν τὴν πραγματείαν. σοῦ | δὲ βουληθέντος ἰδίαν 812
συντάξασθαί με περὶ Θουκυδίδου γραφὴν ἅπαντα περιειληφυῖαν τὰ δεόμενα λόγων, ἀναβαλόμενος τὴν περὶ Δημοσθένους πραγματείαν, ἣν εἶχον ἐν χερσίν, ὑπεσχόμην τε ποιήσειν, ὡς προῃροῦ, καὶ τελέσας τὴν ὑπόσχεσιν ἀποδίδωμι.

2 Μέλλων δὲ τῶν κατὰ μέρος ἅπτεσθαι λόγων, ὀλίγα περὶ ἐμαυτοῦ τε καὶ τοῦ γένους τῆς πραγματείας βούλομαι προειπεῖν· οὐ σοῦ μὰ Δία καὶ τῶν σοὶ παραπλησίων ἕνεκα, τῶν ἀπὸ παντὸς τοῦ βελτίστου κρινόντων τὰ πράγματα καὶ μηδὲν ἡγουμένων χρῆμα τιμιώτερον τῆς ἀληθείας· ἀλλὰ τῶν ἄλλων, ὅσοις πολὺ τὸ φιλαίτιον ἔνεστιν ⟨εἴ τε κατὰ τὸν ζῆλον⟩ τῶν ἀρχαίων γινόμενον εἴτε κατὰ τὴν ὑπεροψίαν τῶν ἐπὶ τῆς αὐτῆς ἡλικίας εἴ τε κατ' ἀμφότερα ταῦτα τὰ πάθη κοινὰ τῆς ἀνθρωπίνης ὄντα φύσεως. ὑποπτεύω γὰρ ἔσεσθαί τινας τῶν ἀναγνωσομένων τὴν γραφὴν τοὺς

2 *σπάνην* MP 4 fort *ὡς κἀπὶ τῶν* | *γὰρ παρῆν* Kiesslingius 9 *ἀναβαλλόμενος* M¹ conicias *ἀναβαλόμενον* 17. 18 *τιώτερον* M¹ 18 *ὅσοις τὸ αὐτὸ* MPf: corr Radermacherus cl 331, 10. 333, 11 19 *ἔνεστι τῶν* MP: hiatum suppleuit Kiesslingius 20 *γινομένων* MPf: corr Mestwerdt | *ὑπεροψίαν* . . . 21 *ἀμφότερα* MP, sed P ita, ut post *ἡλικίας* uerba *εἴτε κατ' ἀμφότερα ταῦτα τὰ πάθη κοινὰ τῆς ἡλικίας* lineola infra posita deleantur sequanturque *εἴτε κατ' ἀμφότερα ταῦτα τὰ πάθη κοινὰ τῆς ἀνθρωπίνης κτλ.*: om f | *ἐπὶ*] *ὑπὸ* MP 21 conicias *ταύτης τῆς*

813 ἐπιτιμήσοντας ἡμῖν, ὅτι τολμῶμεν | ἀποφαίνειν Θουκυδίδην τὸν ἁπάντων κράτιστον τῶν ἱστοριογράφων καὶ κατὰ τὴν προαίρεσίν ποτε τῶν λόγων ἁμαρτάνοντα καὶ κατὰ τὴν δύναμιν ἐξασθενοῦντα, καὶ ⟨διὰ⟩ τοῦθ' οὗτος ἡμᾶς ὁ λογισμὸς εἰσῆλθεν, ὅτι παράδοξα καινοτομεῖν πράγματα πρῶτοι καὶ μόνοι δόξομεν, εἴ τι τῶν ὑπὸ Θουκυδίδου γραφέντων συκοφαντεῖν ἐπιβαλοίμεθα, οὐ ταῖς κοιναῖς μόνον ἐναντιούμενοι δόξαις, ἃς ἅπαντες ἐκ τοῦ μακροῦ χρόνου παραλαβόντες ἀναφαιρέτους ἔχουσιν, ἀλλὰ καὶ ταῖς ἰδίαις τῶν ἐπιφανεστάτων φιλοσόφων τε καὶ ῥητόρων μαρτυρίαις ἀπιστοῦντες, οἳ κανόνα τῆς ἱστορικῆς πραγματείας ἐκεῖνον ὑποτίθενται τὸν ἄνδρα καὶ τῆς περὶ τοὺς πολιτικοὺς λόγους δεινότητος ὅρον· ὧν οὔτε προαιρέσεις ἰσχυρὰς***. ταύτας δὴ τὰς ἐπιτιμήσεις ἀπολύσασθαι βουλόμενος ἐχούσας τι θεατρικὸν καὶ τῶν πολλῶν ἀγωγόν, περὶ μὲν ἐμαυτοῦ τοσοῦτον ἀρκεσθήσομαι μόνον εἰπών, ὅτι τὸ φιλόνεικον τοῦτο καὶ δύσερι καὶ προσυλακτοῦν εἰκῇ πᾶσιν ἐν παντὶ
814 πεφυλα|γμένος τῷ βίῳ μέχρι τοῦ παρόντος καὶ οὐδεμίαν ἐκδεδωκὼς γραφήν, ἐν ᾗ κατηγορῶ τινος, ἔξω μιᾶς πραγματείας, ἣν συνεταξάμην ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας πρὸς τοὺς κατατρέχοντας αὐτῆς ἀδίκως, οὐκ ἂν ἐπεχείρησα νῦν πρῶτον εἰς τὸν ἐπιφανέστατον τῶν συγγραφέων τὴν οὔτ' ἐλευθέροις ἤθεσι πρέπουσαν οὔτ' ἐμαυτῷ συνήθη κακοήθειαν ἐναποδείκνυσθαι. περὶ δὲ τοῦ γένους τῆς γραφῆς πλείονα μὲν εἶχον λέγειν, ἀρκεσθήσομαι δὲ ὀλίγοις. εἰ δὲ ἀληθεῖς καὶ προσήκον-

2 *τὸν*] *τῶν* P 4 *καὶ οὐδ' οὗτος* libri 8 *μόναις* MPf: corr Kiesslingius 9 *ἀναφεραίτους* P 14 hiare orationem Reiskius perspexit. alio pertinere uerba *ὧν—ἰσχυράς* Kiesslingius putabat | *ἰσχρὰς* P¹ 17 *εἰπὼν* MP: *εἰπεῖν* f 18 *πᾶσιν*] *τισὶν* MPf 19 *πεφυλαγμένως* pr P 27 *δ'* r

τας ἐμαυτῷ προήρημαι λόγους, σύ τε κρινεῖς καὶ τῶν ἄλλων φιλολόγων ἕκαστος.

3 Ἔστι δὴ τὸ βούλημά μου τῆς πραγματείας οὐ καταδρομὴ τῆς Θουκυδίδου προαιρέσεώς τε καὶ δυνάμεως, οὐδ' ἐκλογισμὸς τῶν ἁμαρτημάτων οὐδ' ἐξευτελισμὸς οὐδ' ἄλλο τι τοιοῦτον ἔργον οὐδέν, ἐν ᾧ τὰ μὲν κατορθώματα καὶ τὰς ἀρετὰς οὐδενὸς ἠξίωκα λόγου, τοῖς δὲ μὴ κατὰ τὸ κράτιστον εἰρημένοις ἐπιφύομαι· ἐκλογισμὸς δέ τις τοῦ χαρακτῆρος τῶν λόγων, ἅπαντα περιειληφώς, | ὅσα συμβέβηκεν αὐτῷ κοινά τε πρὸς 815 ἑτέρους καὶ διαφέροντα παρὰ τοὺς ἄλλους. ἐν οἷς ἀναγκαῖον ἦν μὴ τὰς ἀρετὰς λέγεσθαι μόνον, ἀλλὰ καὶ τὰς γειτνιώσας αὐταῖς κακίας. οὐδεμία γὰρ αὐτάρκης ἀνθρώπου φύσις οὔτ' ἐν λόγοις οὔτ' ἐν ἔργοις ἀναμάρτητος εἶναι, κρατίστη δὲ ἡ πλεῖστα μὲν ἐπιτυγχάνουσα, ἐλάχιστα δὲ ἀστοχοῦσα. ἐπὶ ταύτην δὴ τὴν ὑπόθεσιν ἀναφέρων ἕκαστος τὰ ῥηθησόμενα μὴ τῆς προαιρέσεώς μου γενέσθω κατήγορος, ἀλλὰ τῶν ἰδίων τοῦ χαρακτῆρος ἔργων ἐξεταστὴς δίκαιος. ὅτι δ' οὐκ ἐγὼ τοῦτο πρῶτος ἐπικεχείρηκα ποιεῖν, ἀλλὰ πολλοὶ καὶ πάλαι καὶ καθ' ἡμᾶς, οὐ φιλαπεχθήμονας προελόμενοι γραφὰς ἀλλὰ θεωρητικὰς τῆς ἀληθείας, μυρίους παρασχέσθαι δυνάμενος μάρτυρας, δυεῖν ἀνδράσιν ἀρκεσθήσομαι μόνοις, Ἀριστοτέλει καὶ Πλάτωνι. Ἀριστοτέλης τε γὰρ οὐχ ἅπαντα κατὰ τὸ κράτιστον εἰρῆσθαι

2 φιλολόγων Mf: φιλοσόφων φιλολόγων P 8 μὴ κατορ κατὰ pr P 10 αὐτ[ῶ] M cum litura 13 κακίας f: κακίαις MP 18 γενέσθ[ω] M cum litura 21 καὶ παλαιοι πάλαι καὶ καὶ καθ' pr P 23 δυεῖν MP: δυοῖν f 24 ἀρκεσθήσοδμοία P i e μαι μόνοις ... p 330, 22 sq προαιρέσει τε hoc loco omittit, infra p 332, 19 intra medium uerbum ὑ||γιαίνων ponit

πείθεται τῷ καθηγητῇ Πλάτωνι· ὧν ἐστι τὰ περὶ τῆς 816 ἰδέας καὶ τὰ περὶ τἀ|γαθοῦ καὶ τὰ περὶ τῆς πολιτείας· αὐτός τε ὁ Πλάτων Παρμενίδην καὶ Πρωταγόραν καὶ Ζήνωνα καὶ τῶν ἄλλων φυσιολόγων οὐκ ὀλίγους ἡμαρτηκότας ἀποδεικνύναι βούλεται· καὶ οὐδεὶς αὐτῷ κατ' αὐτό γε τοῦτο ἐπιτιμᾷ, ἐνθυμούμενος ὅτι τῆς φιλοσόφου θεωρίας σκοπός ἐστιν ἡ τῆς ἀληθείας γνῶσις, ἀφ' ἧς καὶ τὸ τοῦ βίου τέλος γίνεται φανερόν. ὅπου δὴ τοὺς περὶ δογμάτων διαφερομένους οὐδεὶς μέμφεται τῆς προαιρέσεως, εἰ μὴ πάντα τὰ τῶν πρεσβυτέρων ἐπαινοῦσιν, ἦ που τούς γε προελομένους χαρακτήρων ἰδιότητα δηλῶσαι μέμψαιτ' ἄν τις, εἰ μὴ πάσας μαρτυροῦσι τοῖς πρὸ αὐτῶν καὶ τὰς μὴ προσούσας ἀρετάς;

Ἓν ἔτι λείπεταί μοι μέρος ἀπολογίας δεόμενον, 4 ἐπίφθονον μέν τι κατηγόρημα καὶ τοῖς πολλοῖς κεχαρισμένον, ῥᾳδίως δ' ἐξελεγχθῆναι δυνησόμενον, ὡς οὐκ ἔστιν ὑγιές. οὐ γὰρ εἰ τῇ δυνάμει λειπόμεθα Θουκυ-817 δί|δου τε καὶ τῶν ἄλλων ἀνδρῶν, καὶ τὸ θεωρητικὸν αὐτῶν ἀπολωλέκαμεν. οὐδὲ γὰρ τὰς Ἀπελλοῦ καὶ Ζεύξιδος καὶ Πρωτογένους καὶ τῶν ἄλλων γραφέων τῶν διωνομασμένων τέχνας οἱ μὴ τὰς αὐτὰς ἔχοντες ἐκείνοις ἀρετὰς κρίνειν κεκώλυνται, οὐδὲ τὰ Φειδίου καὶ Πολυκλείτου καὶ Μύρωνος ἔργα οἱ μὴ τηλικοῦτοι δημιουργοί. ἐῶ γὰρ λέγειν, ὅτι πολλῶν ἔργων οὐχ

1 ἐστὶ τὰ ... 2 πολιτείας M ἐστὶ καὶ τὰ ... πολιτείας f: ἐστὶ τὰ περὶ τῆς πολιτείας P^1 καὶ ante τὰ suprascr P^2 recentior denique manus reliqua in marg adposuit 3 προταγόραν P 4 ζήζωνα M^1 6 τῆς φιλοσοφίας φιλοσόφου pr P 8 ἀφ' ἧς ... φανερόν suspectabant Kruegerus et Sadaeus 13 προσοῦσας MP 14 μέρος caue ne suspectes. cf de Lys. 15 p 486, 1 | ἀπολογίων P 18 τε καὶ τε τῶν P 19 ἀπέλλου MPf: corr Sylburgio auctore Kruegerus 22 κ·κάλυντ·· M^1

ἥττων τοῦ τεχνίτου κριτὴς ὁ ἰδιώτης, τῶν τε δι' αἰσθήσεως ἀλόγου καὶ τοῖς πάθεσι*** καταλαμβανομένων, καὶ ὅτι πᾶσα τέχνη τούτων στοχάζεται τῶν κριτηρίων καὶ ἀπὸ τούτων λαμβάνει τὴν ἀρχήν. ἅλις ἔστω μοι προοιμίων, ἵνα μὴ λάθω περὶ ταῦτα κατατρίψας τὸν λόγον.

5 Μέλλων δὲ ἄρχεσθαι τῆς περὶ Θουκυδίδου γραφῆς ὀλίγα βούλομαι περὶ τῶν ἄλλων συγγραφέων εἰπεῖν, τῶν τε πρεσβυτέρων καὶ τῶν κατὰ τοὺς αὐτοὺς ἀκμασάντων ἐκείνῳ χρόνους, ἐξ ὧν ἔσται καταφανὴς ἥ τε προαίρεσις | τοῦ ἀνδρός, ᾗ χρησάμενος διήλλαξε τοὺς 818 πρὸ αὐτοῦ, καὶ ἡ δύναμις. ἀρχαῖοι μὲν οὖν συγγραφεῖς πολλοὶ καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου· ἐν οἷς ἐστιν Εὐγέων τε ὁ Σάμιος καὶ Δηίοχος ὁ Προκοννήσιος καὶ Εὔδημος ὁ Πάριος καὶ Δημοκλῆς ὁ Φυγελεὺς καὶ Ἑκαταῖος ὁ Μιλήσιος, ὅ τε Ἀργεῖος Ἀκουσίλαος καὶ ὁ Λαμψακηνὸς Χάρων καὶ ὁ Χαλκηδόνιος Μελησαγόρας, ὀλίγῳ δὲ πρεσβύτεροι τῶν Πελοποννησιακῶν καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας Ἑλλάνικός τε ὁ Λέσβιος καὶ Δαμάστης ὁ Σιγειεὺς καὶ Ξενομήδης ὁ Χῖος καὶ Ξάνθος | ὁ Λυδὸς καὶ ἄλλοι συχνοί. οὗτοι προαιρέσει 819 τε ὁμοίᾳ ἐχρήσαντο περὶ τὴν ἐκλογὴν τῶν ὑποθέσεων καὶ δυνάμεις οὐ πολύ τι διαφερούσας ἔσχον ἀλλήλων, οἳ μὲν τὰς Ἑλληνικὰς ἀναγράφοντες ἱστορίας, οἳ δὲ

1 τῶν τε δι' MPf, sed post τῶν syllabas τοῦ τῶν deletas dat P τῶν γε δι' Reiskius 2 καὶ ante τοῖς om f 3 hiatum indicaui, intercidit fort καὶ τῶν τῷ λογισμῷ cf p 881 sq R. 4 fort ⟨ἀλλ'⟩ ἅλις 7 μέλλον pr P 8 περὶ om P 11 διέλαξε P | τοὺς MP: τῶν f. cf supra 205, 21 15 Προικοννήσιος f 18 ἀμελησαγόρας MPf: corr Dudithius 21 ὁ σιγεὺς Mf σισιγεὺς P: corr Kruegerus

τὰς βαρβαρικάς, [καὶ] αὐτάς τε ταύτας οὐ συνάπτοντες ἀλλήλαις, ἀλλὰ κατ' ἔθνη καὶ κατὰ πόλεις διαιροῦντες καὶ χωρὶς ἀλλήλων ἐκφέροντες, ἕνα καὶ τὸν αὐτὸν φυλάττοντες σκοπόν, ὅσαι διεσῴζοντο παρὰ τοῖς ἐπιχωρίοις μνῆμαι κατὰ ἔθνη τε καὶ κατὰ πόλεις, εἴ τ' ἐν ἱεροῖς εἴ τ' ἐν βεβήλοις ἀποκείμεναι γραφαί, ταύτας εἰς τὴν κοινὴν ἁπάντων γνῶσιν ἐξενεγκεῖν, οἵας παρέλαβον, μήτε προστιθέντες αὐταῖς τι μήτε ἀφαιροῦντες· ἐν αἷς καὶ μῦθοί τινες ἐνῆσαν ἀπὸ τοῦ πολλοῦ πεπιστευμένοι χρόνου καὶ θεατρικαί τινες περιπέτειαι πολὺ τὸ ἠλίθιον ἔχειν τοῖς νῦν δοκοῦσαι· λέξιν τε ὡς ἐπὶ τὸ πολὺ τὴν αὐτὴν ἅπαντες ἐπιτηδεύσαντες, ὅσοι τοὺς αὐτοὺς προείλοντο τῶν διαλέκτων χαρακτῆρας, τὴν σαφῆ καὶ κοινὴν
820 καὶ κα|θαρὰν καὶ σύντομον καὶ τοῖς πράγμασι προσφυῆ καὶ μηδεμίαν σκευωρίαν ἐπιφαίνουσαν τεχνικήν· ἐπιτρέχει μέντοι τις ὥρα τοῖς ἔργοις αὐτῶν καὶ χάρις, τοῖς μὲν πλείων, τοῖς δ' ἐλάττων, δι' ἣν ἔτι μένουσιν αὐτῶν αἱ γραφαί. ὁ δ' Ἁλικαρνασεὺς Ἡρόδοτος, γενόμενος ὀλίγῳ πρότερον τῶν Περσικῶν, παρεκτείνας δὲ μέχρι τῶν Πελοποννησιακῶν, τήν τε πραγματικὴν προαίρεσιν ἐπὶ τὸ μεῖζον ἐξήνεγκε καὶ λαμπρότερον, οὔτε πόλεως μιᾶς οὔτ' ἔθνους ἑνὸς ἱστορίαν προελόμενος ἀναγράψαι, πολλὰς δὲ καὶ διαφόρους πράξεις ἔκ τε τῆς Εὐρώπης ἔκ τε τῆς Ἀσίας εἰς μιᾶς περιγραφὴν πραγματείας συναγαγεῖν (ἀρξάμενος γοῦν ἀπὸ τῆς τῶν

1 καὶ del Radermacherus | αὐτὰς δὲ Sylburgio auctore r 2 ἀλλήλαις ... 3 χωρὶς om P 6 ἱεραῖς Reiskius | γραφαῖς Sylburgio auctore Reiskius, ad 7 ἐξενεγκεῖν relatum Kruegerus ταῦτας P 9 ὑπὸ MPf 10 περιπέτειαι] fort γοητεῖαι cf 334, 2 12 ἐπιτήδευσαν M ἐπετήδευσαν Pf 18 Ἁλικαρνασσεὺς f 19 πρώτερον P 20 πελλοννησιακῶν P 24 εἰς MP: ἐς f | μιᾶς Kruegerus: μίαν MPf cf p 332, 4. 10 25 συναγαγεῖν Sadaeus p 213: ἀγαγεῖν MPf | γοῦν] οὖν MPf

Λυδῶν δυναστείας μέχρι τοῦ Περσικοῦ πολέμου κατεβίβασε τὴν ἱστορίαν, πάσας τὰς ἐν τοῖς κ̄ καὶ διακοσίοις ἔτεσι γενομένας πράξεις ἐπιφανεῖς Ἑλλήνων τε καὶ βαρβάρων | μιᾷ συντάξει περιλαβών), καὶ τῇ λέξει 821 *προσαπέδωκε τὰς παραλειφθείσας ὑπὸ τῶν πρὸ αὐτοῦ συγγραφέων ἀρετάς.*

6 *Τούτοις ἐπιγενόμενος Θουκυδίδης οὔτ' ἐφ' ἑνὸς ἐβουλήθη τόπου καθιδρῦσαι τὴν ἱστορίαν, ὡς οἱ περὶ τὸν Ἑλλάνικον ἐποίησαν, οὔτε τὰς ἐξ ἁπάσης χώρας Ἕλλησιν ἢ βαρβάροις ἐπιτελεσθείσας πράξεις εἰς μίαν ἱστορίαν συναγαγεῖν, μιμησάμενος Ἡρόδοτον· τῆς μὲν προτέρας ὑπεριδὼν ὡς εὐτελοῦς καὶ ταπεινῆς καὶ πολλὰ οὐ δυνησομένης τοὺς ἀναγινώσκοντας ὠφελῆσαι· τῆς δ' ὑστέρας ὡς μείζονος ἢ δυνατῆς πεσεῖν εἰς σύνοψιν ἀνθρωπίνου λογισμοῦ κατὰ τὸν ἀκριβέστατον τῶν τρόπων· ἕνα δὲ προχειρισάμενος πόλεμον, ὃν ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς ἀλλήλους, τοῦτον ἐσπούδασεν ἀναγράψαι· ἐρρωμένος τε τὸ σῶμα | καὶ* 822 *τὴν διάνοιαν ὑγιαίνων καὶ μέχρι παντὸς αὐτοῦ βιώσας, καὶ οὐκ ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων τὰς πράξεις συντιθείς, ἀλλ' οἷς μὲν αὐτὸς παρῆν, ἐξ ἐμπειρίας, ὧν δ' ἀπελείφθη διὰ τὴν φυγήν, παρὰ τῶν ἄριστα γινωσκόντων πυνθανόμενος. πρῶτον μὲν δὴ κατὰ τοῦτο διήλλαξε τῶν πρὸ αὐτοῦ συγγραφέων, λέγω*

1 *περικοῦ* P[1] 2 κ̄ Sylburgius et Scaliger animadu. in Euseb. p. 79 a: *τεσσαράκοντα* MPf. cf p 774, 1 R. 4 *περιλαβών* f: *παραλαβών* MP 5 *προσεπέδωκε* MPf | *παραλειφθείσας* MP: *παραληφθείσας* f 7 *οὔτε* P 12 *εὐτελοὺς* M | *ταπεινὴς* M *ταπινῆς* P 14 *δ'* MP: *δὲ* f | *ὑστέρας* P[1]: *ὑστεραίας* MP[2]f. fort *ἑτέρας* 17 *ἀλλήλοις* r 18 *ἐσπούδασαν* P[1] 19 *ὑμαι μόνοις . . . προαιρέσει τεγιαίνων* P cf quae dicta sunt ad p 328, 24 21 *αὐτοῖς* P[1] 23 *ἄριστ[α γ]ινωσκόντων* M cum litura | *γιγνωσκόντων* Pf 24 *λέγω δὴ* ci Kiesslingius

δὲ κατὰ τὸ λαβεῖν ὑπόθεσιν μήτε μονόκωλον παντάπασι μήτ' εἰς πολλὰ μεμερισμένην καὶ ἀσυνάρτητα κεφάλαια· ἔπειτα κατὰ τὸ μηδὲν αὐτῇ μυθῶδες προσάψαι, μηδ' εἰς ἀπάτην καὶ γοητείαν τῶν πολλῶν ἐκτρέψαι τὴν γραφήν, ὡς οἱ πρὸ αὐτοῦ πάντες ἐποίησαν, Λαμίας τινὰς ἱστοροῦντες ἐν ὕλαις καὶ νάπαις ἐκ γῆς ἀνιεμένας, καὶ Ναΐδας ἀμφιβίους ἐκ Ταρτάρων ἐξιούσας καὶ διὰ πελάγους νηχομένας καὶ μιξόθηρας, καὶ ταύτας εἰς ὁμιλίαν ἀνθρώποις συνερχομένας, καὶ ἐκ θνητῶν καὶ θείων συνουσιῶν γονὰς ἡμιθέους, καὶ ἄλλας τινὰς ἀπίστους τῷ καθ' ἡμᾶς βίῳ καὶ πολὺ τὸ ἀνόητον ἔχειν δοκούσας ἱστορίας.

823 *Ταῦτα δ' εἰπεῖν προήχθην οὐκ ἐπιτιμῶν ἐκείνοις* 7 *τοῖς ἀνδράσιν, ἀλλὰ καὶ πολλὴν ἔχων συγγνώμην, εἰ καὶ τῶν μυθικῶν ἥψαντο πλασμάτων, ἐθνικὰς καὶ τοπικὰς ἐκφέροντες ἱστορίας· ἐν ἅπασι γὰρ ἀνθρώποις καὶ κοινῇ κατὰ τόπους καὶ κατὰ πόλεις ἰδίᾳ μνῆμαί τινες ἐσῴζοντο καὶ τῶν τοιούτων ἀκουσμάτων, ὥσπερ ἔφην, ἃς διαδεχόμενοι παῖδες παρὰ πατέρων ἐπιμελὲς ἐποιοῦντο παραδιδόναι τοῖς ἐκγόνοις καὶ τοὺς βουλομένους αὐτὰς εἰς τὸ κοινὸν ἐκφέρειν οὕτως ἠξίουν συγγράφειν, ὡς παρὰ τῶν ἀρχαίων ἐδέξαντο. ἐκείνοις μὲν οὖν τοῖς ἀνδράσιν ἀναγκαῖον ἦν ποικίλλειν τοῖς μυθώδεσιν ἐπεισοδίοις τὰς τοπικὰς ἀναγραφάς. Θουκυδίδῃ δὲ τῷ προελομένῳ μίαν ὑπόθεσιν, ᾗ παρεγίνετο*

7—9 Eugeonis cf Meinekius anal. Alex. p 60 sq 19 *ἔφην* 331, 4—7

1 *ὑπόθεσις* P[1] | *μονόκολον* pr M | *παντάπασιν* Pf 2 *μηδ'* MPf: corr Kiesslingius 3 *θυμῶδες* P[1] 4 *ἀπάτειν* M | *τῶν* om P[1] 5 *ἐντρέψαι* f 6 *ἐν* in litura P 15 *ἤψαντο* M 20 *παραδιδόμεναι* M 52 *τῷ*] *τῶν* P | *παραγίνατο* P[1] *παρεγίνατο* P[2]

αὐτός, οὐχ ἥρμοττεν ἐγκαταμίσγειν τῇ διηγήσει τὰς θεατρικὰς γοητείας οὐδὲ πρὸς τὴν ἀπάτην ἁρμόττεσθαι τῶν ἀναγνωσομένων, ἣν ἐκεῖναι πεφύκασι φέρειν αἱ συντάξεις, ἀλλὰ πρὸς τὴν ὠφέλειαν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ τῆς ἱστορίας δεδήλωκε κατὰ λέξιν οὕτως γράφων· ‘καὶ ἐς μὲν ἀκρόασιν τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φαί|νεται· ὅσοι δὲ βουλήσονται τῶν τε 824 γεγονότων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει· κτῆμά τε ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.’

8 Μαρτυρεῖται δὲ τῷ ἀνδρὶ τάχα μὲν ὑπὸ πάντων φιλοσόφων τε καὶ ῥητόρων, εἰ δὲ μή, τῶν γε πλείστων, ὅτι καὶ τῆς ἀληθείας, ἧς ἱέρειαν εἶναι τὴν ἱστορίαν βουλόμεθα, πλείστην ἐποιήσατο πρόνοιαν, οὔτε προστιθεὶς τοῖς πράγμασιν οὐδὲν ὃ μὴ δίκαιον οὔτε ἀφαιρῶν, οὐδὲ ἐνεξουσιάζων τῇ γραφῇ, ἀνέγκλητον δὲ καὶ καθαρὰν τὴν προαίρεσιν ἀπὸ παντὸς φθόνου καὶ πάσης κο|λακείας φυλάττων, μάλιστα δ' ἐν ταῖς περὶ 825 τῶν ἀγαθῶν ἀνδρῶν γνώμαις. καὶ γὰρ Θεμιστοκλέους ἐν τῇ πρώτῃ βύβλῳ μνησθεὶς τὰς ὑπαρχούσας αὐτῷ

6 Thuc I 22   22 cf Thucydides I 138

1 *ἐγκαταμίγειν* MP *ἐγκαταμιγνύειν* f: corr Kiesslingius 2 *γοηθείας* P 5 *δεδήλωκα* P[1] | *καταλέλι·ιν* P[1] | *οὕτω* f 6 *τὸ* MP: *ἴσως τὸ* Θf 7 *φαίνεται* MP: *φανεῖται* Θf 8 *γεγονότων* MP: *γενομένων* Θf | *ποτὲ* MP: *ποτὲ αὖθις* Θf 9 *ἀνθρώπινον* fΘ[cg] | *καὶ*] *τε καὶ* P | *ἐσομένων* MP 10 *τε* Mf: *τ'* P | *ἀεὶ* MP: *αἰεὶ* f 15 *ἱέρειαν* cum correctore codicis Bodleiani Reiskius: *ἱερὰν* MPf 17 *οὔτε* etiam Sadaeus p 214: *οὐδὲ* MPf 19 prius *καὶ* om P 21 *γνώμας* P[1] *μνήμαις* ci Kiesslingius at cf Thucyd 3, 36 22 *βύβλω* P: *βίβλω* Mf

ἀρετὰς ἀφθόνως ἐπελήλυθε, καὶ τῶν Περικλέους πολιτευμάτων ἁψάμενος ἐν τῇ δευτέρᾳ βύβλῳ τῆς διαβεβοημένης περὶ αὐτοῦ δόξης ἄξιον εἴρηκεν ἐγκώμιον· περί τε Δημοσθένους τοῦ στρατηγοῦ καὶ Νικίου τοῦ Νικηράτου καὶ Ἀλκιβιάδου τοῦ Κλεινίου καὶ ἄλλων στρατηγῶν τε καὶ ῥητόρων ἀναγκασθεὶς λέγειν, ὅσα προσήκοντα ἦν ἑκάστῳ, δεδήλωκε. παραδείγματα δὲ περὶ αὐτῶν φέρειν οὐ δέομαι τοῖς διεληλυθόσιν αὐτοῦ τὰς ἱστορίας. ταῦτα μὲν οὖν ἂν ἔχοι τις εἰπεῖν, ἃ περὶ τὸν πραγματικὸν τόπον ὁ συγγραφεὺς κατορθοῖ, καλὰ καὶ μιμήσεως ἄξια. [κράτιστον δὲ πάντων τὸ μηδὲν ἑκουσίως ψεύδεσθαι μηδὲ μιαίνειν τὴν αὑτοῦ συνείδησιν.]

9 ἃ δ' ἐλλιπέστερον κατεσκεύασε καὶ ἐφ' οἷς ἐγκαλοῦσιν αὐτῷ τινες, περὶ τὸ τεχνικώτερον μέρος ἐστὶ | 826 τοῦ πραγματικοῦ, τὸ λεγόμενον μὲν οἰκονομικόν, ἐν ἁπάσαις δὲ γραφαῖς ἐπιζητούμενον, ἐάν τε φιλοσόφους προέληταί τις ὑποθέσεις ἐάν τε ῥητορικάς. ταῦτα δὲ ἐστὶ τὰ περὶ τὴν διαίρεσιν καὶ τὰ περὶ τὴν τάξιν καὶ τὰ περὶ τὰς ἐξεργασίας. ἄρξομαι δ' ἀπὸ τῆς διαιρέσεως, προειπὼν ὅτι τῶν πρὸ αὐτοῦ γενομένων συγγραφέων ἢ κατὰ τόπους μεριζόντων τὰς ἀναγραφὰς ἢ κατὰ χρόνους εὐπαρακολουθήτους ἐκεῖνος οὐδετέραν

2 Thucydides II 65   4 de Demosthene Dionysius errat | de Nicia Thucydides VII 86 extr   5 idem VI 15

2 *ἐν τῇ* ex *αὐτῇ* corr M[2] | *βίβλω* libri 8 *αὐτου* ex *αὐτων* corr pr P 11 *κράτιστον*...13 *συνείδησιν* adnotationem lectoris Christiani deleuit Sadaeus p 214 sq 12 *μηδὲ* P | *μηδεμίαν* pr P *μηδε μιαίνειν* P | *αὐτοῦ* MPf: corr Kruegerus 14 *ἐλιπέστερον* M 17 *ἁπάσας* P[1] 18 *ὑποθέσις* h 19 *περὶ τάξιν* f 20 *διαιρέσεως* f: *προαιρέσεως* MP 21 *συγγραφέων* om P[1]

τούτων τῶν διαιρέσεων ἐδοκίμασεν. οὔτε γὰρ τοῖς τόποις, ἐν οἷς αἱ πράξεις ἐπετελέσθησαν, ἀκολουθῶν ἐμέρισε τὰς διηγήσεις, ὡς Ἡρόδοτός τε καὶ Ἑλλάνικος καὶ ἄλλοι τινὲς τῶν πρὸ αὐτοῦ συγγραφέων ἐποίησαν· οὔτε τοῖς χρόνοις, ὡς οἱ τὴν τοπικὴν ἐκδόντες ἱστορίαν προείλοντο, ἤτοι ταῖς διαδοχαῖς τῶν βασιλέων μερίζοντες τὰς ἀναγραφὰς ἢ ταῖς τῶν ἱερέων ἢ ταῖς περιόδοις τῶν ὀλυμπιάδων ἢ τοῖς ἀποδεικνυμένοις ἄρχουσιν ἐπὶ τὰς ἐνιαυσίους ἀρχάς. καινὴν δέ τινα καὶ ἀτριβῆ τοῖς ἄλλοις πο|ρευθῆναι βουληθεὶς ὁδὸν 827 θερείαις καὶ χειμερίοις ⟨ὥραις ἀκολουθῶν⟩ ἐμέρισε τὴν ἱστορίαν. ἐκ δὲ τούτου συμβέβηκεν αὐτῷ τοὐναν|τίον 828 ἢ προσεδόκησεν. οὐ γὰρ σαφεστέρα γέγονεν ἡ διαίρεσις τῶν χρόνων ἀλλὰ δυσπαρακολουθητοτέρα [κατὰ τὰς ὥρας]. ἐφ' ᾧ θαυμάζειν ἄξιον, πῶς αὐτὸν ἔλαθεν, ὅτι πολλῶν ἅμα πραγμάτων κατὰ πολλοὺς τόπους γινομένων εἰς μικρὰς κατακερματιζομένη τομὰς ἡ διήγησις οὐκ ἀπολήψεται τὸ 'τηλαυγὲς φῶς' ἐκεῖνο 'καὶ καθαρόν', ὡς ἐξ αὐτῶν γίνεται τῶν πραγμάτων φανερόν. ἐν γοῦν τῇ τρίτῃ βύβλῳ (ταύτῃ γὰρ ἀρκεσθήσομαι μόνῃ) τὰ περὶ Μυτιληναίους ἀρξάμενος γράφειν, πρὶν ὅλην ἐκπληρῶσαι τὴν διήγησιν, ἐπὶ τὰ Λακεδαιμονίων

9—338, 3 respicit Theo prog. 4 p 184, 15—185, 7 W.
18 poetae ut uidetur lyrici incerti cf Pindarus Pyth. 3, 75
20—p 337, 16 Thucydides III 2—114

3 [ἐ]μέρισε cum litura M ἐμέρισεν P 6 ἤτο M | διαςοχαῖς pr P 7 τοῖς τῶν MP: uereor ne nomen interciderit ut βίοις 8 ἀδειγνυμένοις P 9 ἐνιουσίας sed in mg correxit P² 11 χειμερίοις MPf: χειμερείαις Hudso. sed post hanc uocem spatio c. XV litterarum hiat M, hiatum R. Schoellius expleuit apud Sadaeum p 215 14 συμπαρακολουθητοτέρα P¹ | glossema seclusi 17 μικρὰς f: μακρὰς MP 20 βύβλω M: βίβλω Pf | μόνη MP: μόνον f 21 μιτυληναίους et 337, 3 μιτυληναϊκοῦ libri

ἄπεισιν ἔργα· καὶ οὐδὲ ταῦτα συγκορυφώσας τῆς Πλαταιέων μέμνηται πολιορκίας· ἀφεὶς δὲ καὶ ταύτην ἀτελῆ τοῦ Μυτιληναϊκοῦ μέμνηται πολέμου· εἶτ' ἐκεῖθεν
829 ἄγει τὴν | διήγησιν ἐπὶ τὰ περὶ Κέρκυραν, ὡς ἐστασίασαν οἳ μὲν Λακεδαιμονίους, οἳ δ' Ἀθηναίους ἐπαγόμενοι· ἀφεὶς δὲ καὶ ταῦτα ἡμιτελῆ περὶ τῆς εἰς Σικελίαν στρατείας τῆς προτέρας Ἀθηναίων ὀλίγα λέγει. εἶτα Ἀθηναίων ἔκπλουν ἐπὶ Πελοπόννησον ἀρξάμενος λέγειν καὶ Λακεδαιμονίων τὴν ἐπὶ Δωριεῖς στρατείαν τὰ περὶ Λευκάδα πραχθέντα ὑπὸ Δημοσθένους τοῦ στρατηγοῦ καὶ τὸν πρὸς Αἰτωλοὺς πόλεμον ἐπιπορεύεται· ἐκεῖθεν δὲ ἄπεισιν ἐπὶ Ναύπακτον. ἀτελεῖς δὲ καὶ τοὺς ἠπειρωτικοὺς πολέμους καταλιπὼν Σικελίας ἅπτεται πάλιν, καὶ μετὰ τοῦτο Δῆλον καθαίρει καὶ τὸ Ἀμφιλοχικὸν Ἄργος πολεμούμενον ὑπὸ Ἀμπρακιωτῶν * * * καταλείπει. καὶ τί δεῖ πλείω λέγειν; ὅλη γὰρ ἡ βύβλος οὕτω συγκέκοπται καὶ τὸ διηνεκὲς τῆς ἀπαγγελίας ἀπολώλεκε. πλανώμεθα δή, καθάπερ εἰκός, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν, ταρατ-
830 τομένης ἐν τῷ διασπᾶσθαι τὰ | πράγματα τῆς διανοίας καὶ τὰς ἡμιτελεῖς τῶν ἀκουσθέντων μνήμας οὐ ῥᾳδίως οὐδ' ἀκριβῶς ἀναφερούσης. χρὴ δὲ τὴν ἱστορικὴν πραγματείαν εἰρομένην εἶναι καὶ ἀπερίσπαστον, ἄλλως τε ἐπειδὰν περὶ πολλῶν γίνηται πραγμάτων καὶ δυσκαταμαθήτων. ὅτι δὲ οὐκ ὀρθὸς ὁ κανὼν οὗτος οὐδ' οἰκεῖος ἱστορίᾳ, δῆλον. οὐδεὶς γὰρ τῶν μεταγενεστέρων συγ-

2 πλατέυεων P 3 εἶτ' P²f: εἴτ' MP¹ 6 δικελίαν P¹ 14 καθαιρεῖ MPf: corr Sylburgius 15 ἀμπρακιατῶν MP Ἀμβρακιωτῶν f 16 hiatum notauit Kruegerus 17 βίβλος MPf | ἀπαγελίας pr P 21 μνήμας· οὐ P 22 ἱστορίαν pr P 23 εἶναι καὶ ἀπερίσπαστον M καὶ περισπαστον (om εἶναι) notulis m 2 adpositis P: καὶ ἀπερίσπαστον εἶναι f 25 δυσκαταạμαθητων P | δ' P

γραφέων θερείαις καὶ χειμῶσι διεῖλε τὴν ἱστορίαν. ἀλλὰ πάντες τὰς τετριμμένας ⟨ὁδοὺς καὶ δυναμένας⟩ ἄγειν ἐπὶ τὴν σαφήνειαν μετῆλθον.

10 Αἰτιῶνται δὲ καὶ τὴν τάξιν αὐτοῦ τινες, ὡς οὔτε ἀρχὴν τῆς ἱστορίας εἰληφότος ἣν ἐχρῆν οὔτε τέλος ἐφηρμοκότος αὐτῇ τὸ πρέπον, οὐκ ἐλάχιστον μέρος εἶναι λέγοντες οἰκονομίας ἀγαθῆς ἀρχήν τε λαβεῖν, ἧς οὐκ ἂν εἴη τι πρότερον, καὶ τέλει περιλαβεῖν τὴν πραγματείαν, ᾧ δόξει μηδὲν ἐνδεῖν· ὧν οὐδετέρου πρόνοιαν αὐτὸν πεποιῆσθαι τὴν προσήκουσαν. τὴν δὲ ἀφορμὴν ⟨αὐτὸς⟩ αὐτοῖς τῆς κατηγορίας ταύτης ὁ συγγραφεὺς παρέσχηται· | προειπὼν γάρ, ὡς μέγιστος ἐγένετο 831 τῶν πρὸ αὐτοῦ πολέμων ὁ Πελοποννησιακὸς χρόνου τε μήκει καὶ παθημάτων πολλῶν συντυχίαις, τελευτῶν τοῦ προοιμίου τὰς αἰτίας βούλεται πρῶτον εἰπεῖν, ἀφ᾽ ὧν τὴν ἀρχὴν ἔλαβε. διττὰς δὲ ταύτας ὑποθέμενος, τήν τε ἀληθῆ μέν, οὐκ εἰς ἅπαντας δὲ λεγομένην, τὴν αὔξησιν τῆς Ἀθηναίων πόλεως, καὶ τὴν οὐκ ἀληθῆ | μέν, ὑπὸ δὲ Λακεδαιμονίων πλαττομένην, 832 τὴν Ἀθήνηθεν ἀποσταλεῖσαν Κερκυραίοις κατὰ Κορινθίων συμμαχίαν, οὐκ ἀπὸ τῆς ἀληθοῦς καὶ αὐτῷ δοκούσης τὴν ἀρχὴν πεποίηται τῆς διηγήσεως, ἀλλ᾽ ἀπὸ τῆς ἑτέρας, κατὰ λέξιν οὕτως | γράφων· ‘ἤρξαντο δὲ 833 Ἀθηναῖοι αὐτοῦ καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδάς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας

23 Thuc I 23

1 καὶ om P^1 2 hiatum Reiskius perspexit, qui καὶ εἰωθυίας supplebat 8 εἴη τι] εἰ τι ἢ P 9 δόξῃ MP^1f | μηδὲ[ν] cum litura P | οὐδέτερον pr P 10 αὐτὸς suppleui 17 ἅπαντας τας δὲ P^1 21 ἀληθοῦς f: ἀληθείας MP 23 οὕτω f 24 αὐτοῦ Ἀθηναῖοι Θ | τριακοντούτοις P 25 μετὰ MPΘ: μετὰ τὴν f | Εὐβοίας] ἐν οἷ P

ἅλωσιν. διότι δὲ ἔλυσαν, τὰς αἰτίας προέγραψα πρῶτον καὶ τὰς διαφορὰς τοῦ μή τινας ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη. τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ, τοὺς Ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις ἀναγκάσαι ἐς τὸ πολεμεῖν. αἱ δὲ ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι αἵδε ἦσαν. Ἐπίδαμνός ἐστι πόλις εἰς δεξιὰ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον. προσοικοῦσιν δ᾽ αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος.’ καὶ μετὰ τοῦτο διεξέρχεται τὰ περὶ Ἐπίδαμνον καὶ τὰ περὶ Κέρκυραν καὶ τὰ περὶ Ποτίδαιαν καὶ τὴν Πελοποννησίων σύνοδον εἰς Σπάρ-
834 την καὶ τοὺς ῥηθέντας ἐκεῖ | κατὰ τῆς Ἀθηναίων πόλεως λόγους. ταῦτα δὲ μέχρι δισχιλίων ἐκμηκύνας στίχων, τότε περὶ τῆς ἑτέρας αἰτίας τὸν λόγον ἀποδίδωσι τῆς ἀληθοῦς τε καὶ αὐτῷ δοκούσης, ἐνθένδε ἀρξάμενος· ‘ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ πολεμεῖν Ἀθηναίοις οὐ τοσοῦτον τῶν συμμάχων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα. οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιούτῳ ἦλθον ἐπὶ τὰ πράγματα, ἐν οἷς ηὐξήθησαν.’ οἷς ἐπιτίθησι τὰ ἔργα τῆς πόλεως,

8 Ἐπίδαμνος] νῦν Δυρράχιον καλεῖται· τινὲς δὲ καὶ Δοράκιον καλοῦσι. Scholion cod M | Thuc I 24 17 id I 88

2 τινὰ infra 357, 19 ut $Θ^{ab}$ 5 γινομένους P 6 ἐς PfΘ: εἰς M 7 αἵδ᾽ fΘ 8 ἦσαν MP: ἦσαν ἑκατέρων, ἀφ᾽ ὧν λύσαντες τὰς σπονδὰς ἐς τὸν πόλεμον κατέστησαν· fΘ | εἰς δεξιὰ rubro M^2 εἰς δεξιὰν P: ἐν δεξιᾷ MfΘ ut CV p 17 et 101, sed ἐς δεξιὰ testatur Harpocratio p 101, 2 | εἰσπλέοντι P 14 δυσχιλίων P | ἐκμηκένας P 18 λελῦσθαι MPf | πολεμεῖν Ἀθηναίοις] πολεμητέα εἶναι Θ 22 τοιούτω MP: τοιῷδε fΘ

ὅσα μετὰ τὸν *Περσικὸν* πόλεμον ἕως τοῦ *Πελοπον-*
νησιακοῦ διεπράξαντο, κεφαλαιωδῶς καὶ ἐπιτροχάδην ἐν
ἐλάττοσιν ἢ πεντακοσίοις στίχοις. ἀναμνησθεὶς δ' ὅτι
πρότερα τῶν *Κερκυραϊκῶν* ἦν καὶ οὐκ ἀπ' ἐκείνων
ἔλαβε τὴν ἀρχὴν ὁ πόλεμος ἀλλ' ἀπὸ τούτων, ταῦτα
πάλιν κατὰ λέξιν γράφει· 'μετὰ ταῦτα δὲ ἤδη γίγνεται
οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε |
Κερκυραϊκὰ καὶ τὰ *Ποτιδαιατικὰ* καὶ ὅσα πρόφασις 835
τοῦδε τοῦ πολέμου κατέστη. ταῦτα δὲ πάντα ὅσα
ἔπραξαν οἱ *Ἕλληνες* πρός τε ἀλλήλους καὶ πρὸς τὸν
βάρβαρον, ἐγένοντο ἐν ἔτεσι πεντήκοντα μάλιστα μεταξὺ
τῆς τε *Ξέρξου* ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε τοῦ
πολέμου· ἐν οἷς οἱ *Ἀθηναῖοι* τήν τε ἀρχὴν ἐγκρα-
τεστέραν κατεστήσαντο καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν
δυνάμεως, οἱ δὲ *Λακεδαιμόνιοι* αἰσθόμενοι οὔτε ἐκώ-
λυον, εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τὸ πλέον τοῦ
χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἐς τοὺς
πολέμους, ἢν μὴ ἀναγκάζωνται, τότε δέ τι καὶ πολέμοις
οἰκείοις ἐξειργόμενοι· πλὴν ἡ δύναμις τῶν *Ἀθηναίων*
σαφῶς ἤρετο καὶ τῆς συμμαχίας αὐτῶν ἥπτετο· τότε

6 Thuc I 118

2 ἐπιτροχάδην f: ἐπὶ κεφαλαίων τροχάδην MP 3 ἢ ἑπτακοσίοις Birtius *Buchwesen* p 199 8 καὶ [μεταξὺ] τὰ f | τὰ] ταποτι del pr P 9 δὲ ξύμπαντα fΘ 10 καὶ πρὸς MP καὶ [πρὸς] f: καὶ Θ 11 ἐγένοντο MP: ἐγένετο fΘ | πεντέκοντα pr P 12 τῆς τε etiam Thucydidis libri CG, ceteri τῆς 13 ἐκρατεστέραν P 14 κατεστήσαντο τρὶς ἐννέα P h e uerba p 340, 14 καὶ αὐτοὶ usque ad p 342, 16 πολλῶν ὅτι hoc loco omisit, infra p 344, 21 inter mediam uocem διεφ‖θάρησαν conlocat 16 ἡσύχαζόν τε] ἡσυχάζοντες f 17 ταχεῖς MP: ταχεῖς ἰέναι fΘ 18 ἢν μὴ ἀναγκάζωνται MP cum Thucydidis libris CG: εἰ μὴ ἀναγκάζοιντο fΘ | τότε MP: τὸ fΘ | τι] τοι P 19 ἐκείνοις P | πλὴν MP: πρὶν δὴ fΘ 20 ξυμμαχίας fΘ | ἥπτοντο fΘ

δὲ οὐκέτι ἐποιοῦντο ἀνασχετόν, ἀλλ' ἐπιχειρητέα ἐδό-
836 κει εἶναι πάσῃ | προθυμίᾳ, καὶ καθαιρετέα ἡ ἰσχύς, ἢν
δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον.' ἐχρῆν δὲ 11
αὐτὸν ἀρξάμενον τὰς αἰτίας τοῦ πολέμου ζητεῖν πρῶ-
τον ἀποδοῦναι τὴν ἀληθῆ καὶ ἑαυτῷ δοκοῦσαν. ἥ τε
γὰρ φύσις ἀπῄτει τὰ πρότερα τῶν ὑστέρων ἄρχειν καὶ
τἀληθῆ πρὸ τῶν ψευδῶν λέγεσθαι, ἥ τε τῆς διηγή-
σεως εἰσβολὴ κρείττων ἂν ἐγίνετο μακρῷ, τοιαύτης
οἰκονομίας τυχοῦσα. οὐδὲ γὰρ ἐκεῖνό τις ἂν εἰπεῖν
ἔχοι τῶν ἀπολογεῖσθαι περὶ αὐτοῦ βουλομένων, ὅτι
μικρὰ καὶ οὐκ ἄξια λόγου τὰ πράγματα ἦν ἢ κοινὰ
καὶ κατημαξευμένα τοῖς πρὸ αὐτοῦ, ὥςτε μὴ δεῖν ἀπὸ
τούτων ἀρχὴν ποιεῖσθαι. αὐτὸς γὰρ ὡς ἐκλειφθέντα
τὸν τόπον τοῦτον ὑπὸ τῶν ἀρχαίων ἄξιον ἱστορίας
ὑπείληφεν, αὐταῖς λέξεσιν οὕτως γράφων· 'ἔγραψα δὲ
αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην, διότι
τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τὸ χωρίον τοῦτο ἦν·
837 καὶ ἢ τὰ | πρὸ τῶν *Μηδικῶν* *Ἑλληνικὰ* ξυνετίθεσαν,
ἢ αὐτὰ τὰ *Μηδικά*. τούτων δὲ ὧνπερ καὶ ἥψατο ἐν
τῇ *Ἀττικῇ* συγγραφῇ *Ἑλλάνικος*, βραχέως τε καὶ τοῖς
χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη· ἅμα δὲ καὶ τῆς ἀρχῆς
ἀπόδειξιν ἔχει τῆς τῶν *Ἀθηναίων*, ἐν οἵῳ τρόπῳ κατ-
έστη.' ἱκανὸν μὲν οὖν καὶ τοῦτο τεκμήριον ἦν τοῦ 12
μὴ κατὰ τὸν ἄριστον τρόπον ᾠκονομῆσθαι τὴν διήγησιν

15 Thuc I 97

1 οὐκέτι] οὐκ ἔστι P | ἐποιοῦντο ἀνασχετόν MP: ἀνασχετὸν ἐπ. fΘ 4 πρώτην MPf 6 φύσεις P 11 supra τα in P nescio quae nota legitur 12 μὴ] μηδὲν MPf 13 fort ⟨τὴν⟩ ἀρχὴν 14 τούτων pr P | τὸν P 15 οὕτω f 16 διότι MP: διὰ τόδε ὅτι fΘ 17 τοῦτο ἦν τὸ χωρίον Θ 18 ἢ om P 19 ὧν περ Mf ὧν περ P: ὅς περ r ex Θ 20 ξυγγραφῇ fΘ

ὑπ' αὐτοῦ, λέγω δὴ τὸ μὴ τὴν κατὰ φύσιν ἔχειν ἀρχήν.
πρόσεστι δὲ τούτῳ καὶ τὸ μὴ εἰς ἃ ἔδει κεφάλαια
τετελευτηκέναι τὴν ἱστορίαν. ἔτη γὰρ ἑπτὰ καὶ εἴκοσιν
περιειληφότος τοῦ πολέμου, πάντα τὸν χρόνον τοῦτον
ἕως τῆς καταλύσεως αὐτοῦ βιώσας, μέχρι τοῦ δευτέρου
καὶ εἰκοστοῦ κατεβίβασεν ἔτους τὴν ἱστορίαν, τῇ περὶ
Κυνὸς σῆμα ναυμαχίᾳ τὴν ὀγδόην βύβλον παρεκτείνας,
καὶ ταῦτα προειρηκὼς ἐν τῷ προοιμίῳ πάντα περι-
λήψεσθαι τὰ πραχθέντα κατὰ τόνδε τὸν πόλεμον· καὶ
ἐν τῇ πέμπτῃ βύβλῳ πάλιν συνκεφαλαιοῦται τοὺς
χρόνους, ἀφ' οὗ τε ἤρξατο καὶ μέ|χρι οὗ προελθὼν 838
κατελύθη, ταῦτα κατὰ λέξιν γεγραφώς· 'καὶ τοῖς ἀπὸ
χρησμῶν τι ἰσχυρισαμένοις μόνον δὴ τοῦτο ὀχυρῶς
ξυμβάν. ἀεὶ γὰρ ἔγωγε μέμνημαι καὶ ἀρχομένου τοῦ
πολέμου καὶ μέχρι οὗ ἐτελεύτησε προφερόμενον ὑπὸ
πολλῶν, ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν.
ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰσθανόμενός τε τῇ
ἡλικίᾳ καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβῶς τι
εἴσομαι· καὶ ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη
εἴκοσι μετὰ τὴν εἰς Ἀμφίπολιν στρατηγίαν, καὶ γενο-
μένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι καὶ οὐχ ἧσσον

12 Thuc V 26

1 λέγω δὲ Kruegerus | μὴ τὴν M: μὴ Pf | ἀρχήν MP: om f 2 καὶ τὸ] καὶ P^1 | δεῖ MPf: corr Kruegerus 3 ἔτη P^2f: ἔτι MP^1 | εἴκοσι f 6 τῇ περὶ κινὸς τῇ περὶ P^1
7 βίβλον Mf βίβλῳ (ν suprascr.) P 10 βίβλῳ libri | συνεκεφαλαίου τε τοὺς MP: συνανακεφαλαιῶν τε τοὺς f 11 μέχρις f 12 κατελάθη P | γεγραφὼς MP: γέγραφε f | τοῖς [ἀπὸ] sic f 13 δὴ] δὲ r | ἐχυρῶς Θ 14 ξυμβᾶν M τοξυβάν P^1 ξυνβάν P^2 15 μέχρις f
16 τρὶς cf quae ad p 340, 14 dicta sunt | ἔτι P 18 ἀκριβές Θ 19 εἴσομαι fΘ: πείσομαι MP unde caue ne πεύσομαι scribas: π ex τι ortum 20 εἰς MP: ἐς fΘ 21 παρὰ M

τοῖς Πελοποννησίοις διὰ τὴν φυγὴν καθ' ἡσυχίαν τι
αὐτῶν μᾶλλον αἰσθέσθαι. τὴν οὖν μετὰ τὰ δέκα ἔτη
διαφοράν τε καὶ ξύγχυσιν τῶν σπονδῶν καὶ τὰ ἔπειτα,
ὡς ἐπολεμήθη, ἐξηγήσομαι.'
839 Ὅτι δὲ καὶ περὶ τὰς ἐξεργασίας τῶν κεφαλαίων 13
ἧττον ἐπιμελής ἐστιν, ἢ πλείονας τοῦ δέοντος λόγους 6
ἀποδιδοὺς τοῖς ἐλαττόνων δεομένοις ἢ ῥαθυμότερον
ἐπιτρέχων τὰ δεόμενα πλείονος ἐξεργασίας, πολλοῖς
τεκμηρίοις βεβαιῶσαι δυνάμενος ὀλίγοις χρήσομαι· τὰς
μὲν πρώτας Ἀθηναίων καὶ Πελοποννησίων ναυμαχίας
ἀμφοτέρας περὶ τὴν τελευτὴν τῆς δευτέρας βύβλου
γράφειν ἀρξάμενος, ἐν αἷς πρὸς ἑπτὰ καὶ τεσσαράκοντα
ναῦς Πελοποννησίων εἴκοσι ναυσὶν Ἀθηναῖοι μόνοι****
πρὸς πολλαπλασίους τῶν βαρβάρων ναυμαχήσαντες ἃς
μὲν διέφθειρον, ἃς δ' αὐτάνδρους ἔλαβον οὐκ ἐλάτ-
840 τους ἢ | ὅσας ἔστειλαν ἐπὶ τὸν πόλεμον. θήσω δὲ καὶ
τὴν λέξιν αὐτοῦ. 'Ἐγένετο μετὰ ταῦτα καὶ ἐπ' Εὐρυ-
μέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία
Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων
τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλ-
τιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ

11 Thuc II 83—84. 85—92 17 I 100

1 Πελοποννησίοις etiam Thucydidis AF, πελοποννησίων reliqui 2 αἴσθεσθαι P ut Thucydidis ABF αἴθεσθαι M | μετὰ τὰ MΘ μετὰ [τὰ] f: μετὰ P 3 σποντῶν P 8 post πολλοῖς interponit ϛ P 10 fort μέν γε πρώτας cf 344, 4 11 βίβλου MPf
12 ταῖς σαράκοντα pr P 13 hiatu oratio laborat longe maiore quam Sylburgio uisum, qui supplebat ἐμαχέσαντο, μακρᾷ καὶ διεξοδικῇ χρῆται διηγήσει· τοὐναντίον δὲ ἐν τῇ προτέρᾳ βίβλῳ βραχέως πάνυ ἐπιτρέχει τήν τε πεζομαχίαν καὶ τὴν ναυμαχίαν, ἐν ᾗ οἱ Ἀθηναῖοι 15 διέφθειραν f | ἃς δὲ f
16 ἔστειλαν om P^1 17 ἐγένετο [δὲ] f ex Θ | καὶ MP: καὶ ἡ fΘ 18 καὶ ναυμαχία om P^1

διέφθειρον τὰς πάσας διακοσίας.᾽ ὅμοια δ᾽ ἐστὶ παρ᾽ αὐτῷ καὶ τὰ κατὰ τὰς πεζικὰς μάχας ἢ μηκυνόμενα πέρα τοῦ δέοντος ἢ συναγόμενα εἰς ἔλαττον τοῦ μετρίου. τὰ μέν γε περὶ Πύλον Ἀθηναίοις πραχθέντα καὶ τὰ περὶ τὴν Σφακτηρίαν καλουμένην νῆσον, ἐν ᾗ Λακεδαιμονίους κατακλείσαντες ἐξεπολιόρκησαν, ἀρξάμενος ἐν τῇ τετάρτῃ βύβλῳ διηγεῖσθαι καὶ μεταξὺ τοῦ πολέμου τοῦδε πράξεις τινὰς ἑτέρας παραδιηγησάμενος, εἶτ᾽ αὖθις ἐπιστρέψας ἐπὶ τὴν ἀπόδοσιν τῶν ἑξῆς, ἅπαντα τὰ γεγενημένα κατὰ τὰς μάχας ὑπ᾽ ἀμφοτέρων διελήλυθεν ἀκριβῶς καὶ δυνατῶς, πλείους ἢ τριακοσίους στί|χους αὐτὸς ἀποδεδωκὼς ταῖς μάχαις, καὶ ταῦτα οὐ 841
πολλῶν ὄντων οὔτε τῶν ἀπολομένων οὔτε τῶν παραδόντων τὰ ὅπλα. αὐτός γέ τοι συγκεφαλαιούμενος τὰ περὶ τὴν μάχην κατὰ λέξιν οὕτως γράφει· ‛ἀπέθανον δὲ ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δ᾽ ἄλλοι ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν εἴκοσι καὶ ἑκατὸν τῶν ζώντων, Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν.᾽

15 Thuc IV 38

1 διέφθειραν fΘ | πάσας MP: πάσας ἐς f cum Θ uolgata πάσας ἐς τὰς Θ libri ABC | δὲ M | ἔστι f 5 τὴν σφακτητακλείσαντες P¹ omissa in marg add P² 6 κατακλείσαντες λακεδαιμονίους M¹ ordo rubro restitutus est | ἐξεπολιόρκισαν P 7 βύβλῳ P: βίβλῳ Mf 12 αὐτὸς] ταύταις ci Sylburgius αὐτοῖς uerbis ταῖς μάχαις deletis Kruegerus 14 συγκαιφαλαιούμενος P¹ 15 οὕτω f 16 τοσοίδε hoc loco fΘ: ante ζῶντες MP i e ex margine translatum in locum alienum 17 ὁπλεῖται P 19 Σπαρτιάται f 20 εἴκοσι καὶ ἑκατὸν τῶν (articulum om P¹) ζώντων MP: τῶν ζώντων [περὶ] εἴκοσι καὶ ἑκατόν· f ex Θ 21 διεφ καὶ αὐτοὶ [340,14] . . . πολλῶν ὅτι [342,16] θάρησαν P cf ad p 340,14

Τῆς δὲ Νικίου στρατηγίας μνησθείς, ὅτε ναῦς ἑξή- 14
κοντα καὶ δισχιλίους ⟨ὁπλίτας⟩ Ἀθηναίων ἐπαγόμενος ἐπὶ Πελοπόννησον ἔπλευσε, κατακλείσας δὲ Λακεδαιμονίους εἰς τὰ φρούρια, τοὺς ἐν Κυθήροις ⟨καὶ τοὺς ἐν Θυρέᾳ⟩ κατοικοῦντας Αἰγινήτας ἐξεπολιόρκησε καὶ τῆς ἄλλης Πελοποννήσου πολλὴν ἐδῄωσεν, ἐξ ἧς αἰχμαλώτων πλῆθος ἐπαγόμενος ἀπέπλευσεν εἰς τὰς Ἀθήνας, οὕτως εἴρηκεν ἐπιτροχάδην, περὶ μὲν τῶν ἐν Κυθήροις
842 πραγμάτων· ‛καὶ | μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι· ἔπειτα τραπόμενοι κατέφυγον εἰς τὴν ἄνω πόλιν καὶ ὕστερον συνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρχοντας, Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν πλὴν θανάτου.᾽ περὶ δὲ τῆς Αἰγινητῶν ἁλώσεως τῶν ἐν Θυρέᾳ· ‛ἐν τούτῳ δ᾽ οἱ Ἀθηναῖοι κατασχόντες καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ αἱροῦσι τὴν Θυρέαν, καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν, τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες ἀφίκοντο εἰς τὰς Ἀθήνας.᾽ γενομένων δὲ περὶ τὰς πόλεις ἀμφοτέρας εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου μεγάλων συμφορῶν, δι᾽ ἃς ἐπεθύμησαν ἀμφότεραι τῆς εἰρήνης, περὶ μὲν τῆς προτέρας, ὅτε Ἀθηναῖοι τετμημένης μὲν αὐτοῖς τῆς χώρας, οἰκοφθορημένης δὲ τῆς πόλεως ὑπὸ λοιμοῦ,

1 cf Thuc IV 53 9 IV 54 14 IV 57

1 ὅτε] ὅτι f 2 δισχιλίους ὁπλίτας f cf Θ 53: διακοσίας MP 4 Κυθάροις f κυθήραις MP | καὶ τοὺς ἐν Θυρέᾳ intercidisse quod sequitur u. Αἰγινήτας ostendit cf Θ 56 sq 5 αἰγινήτας M, P: om f 6 πελοποννήσου . . . αἰχμαλώτων om P¹ 8 κυθήραις MP 11 συνέβησαν MP: ξυνέβησαν fΘ 12 πρὸς fΘ: εἰς MP | συνάρχοντας M 13 αὐτῶν om P¹ 16 κατέκαυασαν P¹ 17 τὰ om P¹ | αἰγινίτας MP 18 διεφθάρισαν P | ἐς Θ 22 ὅτε] οἵ τε P 23 ᾠκοφθορημένης Kruegerus

πᾶσαν ἀπογνόντες βοήθειαν ἄλλην ἀπέστειλαν πρεσβείαν εἰς Σπάρτην εἰρήνης τυχεῖν δεόμενοι, οὔτε τοὺς ἀποσταλέντας ἄνδρας εἴρηκεν οὔτε | τοὺς ῥηθέντας ἐκεῖ 843 *λόγους ὑπ' αὐτῶν οὔτε τοὺς ἐναντιωθέντας, ὑφ' ὧν πεισθέντες Λακεδαιμόνιοι τὰς διαλλαγὰς ἀπεψηφίσαντο· φαύλως δέ πως καὶ ῥᾳθύμως ὡς περὶ μικρῶν καὶ ἀδόξων πραγμάτων ταῦτα εἴρηκε· 'μετὰ δὲ τὴν δευτέραν εἰσβολὴν τῶν Πελοποννησίων οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας, καὶ τὸν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες· πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο συγχωρεῖν, καὶ πρέσβεις τινὰς πέμψαντες πρὸς αὐτοὺς ἄπρακτοι ἐγένοντο.' περὶ δὲ τῆς ὑστέρας, ὅτε Λακεδαιμόνιοι τοὺς περὶ Πύλον ἁλόντας τριακοσίους κομίσασθαι προθέμενοι πρεσβείαν ἀπέστειλαν εἰς τὰς Ἀθήνας, καὶ τοὺς λόγους εἴρηκε τοὺς ὑπὸ τοῦ Λακεδαιμονίου ῥηθέντας τότε καὶ τὰς αἰτίας ἐπελήλυθε, δι' ἃς οὐκ ἐπετελέσθησαν αἱ σπονδαί. εἰ μὲν οὖν ἐπὶ τῆς Ἀθηναίων πρεσβείας ⟨ἡ⟩ τὰ* 844 *κεφάλαια τῶν γινομένων περιειληφυῖα δήλωσις ἤρκει, λόγων δὲ καὶ παρακλήσεων, αἷς ἐχρήσαντο οἱ πρέσβεις,*

7 Thuc II 59   15 cf IV 15—22

5 *πεισθέντας* P^1 8 *ἐςβολὴν* Θ   9 *ἐπέκειτο ὠμως ἅμα* P cf p 347, 17   10 *τὸν*] *τὸν μὲν* Θ   12 *ξυμφοραῖς* MΘ *ξυνμφοραῖς* P: *συμφοραῖς* f   13 *ξυγχωρεῖν* Θ   14 *πρὸς*] *ὡς* Θ   15 *ὅτε*] *οἵ τε* P   16 *ἀλλόντας* P | *πρεσβείας* MPf: corr Kruegerus   19 *ὑπελήλυθε* MPf: corr Sylburgius cf p 348, 3 | *σπουδαί* M   20 *οὖν*] *οὖν ἡ* MPf: corr Kruegerus | *ἡ* ante *τὰ* addidit idem   21 *τῶν* om P^1 | *γενομένων* ci Kruegerus | *περιειληφυῖαν δήλωσης* P^1 | *ἤρκη* P   22 post *πρέσβεις* notam quale est antisigma dat P

οὐδὲν ἔδει, μήτε πεισθέντων μήτε δεξαμένων τὰς σπονδὰς Λακεδαιμονίων, τί δή ποτε οὐ τὴν αὐτὴν προαίρεσιν ἐφύλαξε καὶ ἐπὶ τῶν ἐκ τῆς Σπάρτης ἀφικομένων εἰς τὰς Ἀθήνας; οὐδὲ γὰρ ἐκεῖνοι διαπραξάμενοι τὴν εἰρήνην ἀπῆλθον. εἰ δ' ἀκριβῶς ἔδει ταῦτα εἰρῆσθαι, διὰ τί παρέλιπε ῥᾳθύμως ἐκεῖνα; οὐ γὰρ δή γε ἀσθενείᾳ δυνάμεως ἐξείργετο περὶ ἀμφοτέρων τοὺς ἐνόντας εὑρεῖν τε καὶ ἐξειπεῖν λόγους. εἰ δὲ δὴ κατὰ λογισμόν τινα τὴν ἑτέραν προείλετο πρεσβείαν ἐξεργάσασθαι, οὐκ ἔχω συμβαλεῖν, κατὰ τί τὴν Λακωνικὴν προέκρινε τῆς Ἀττικῆς μᾶλλον, τὴν ὑστέραν τοῖς χρόνοις ἀντὶ τῆς προτέρας καὶ τὴν ἀλλοτρίαν ἀντὶ τῆς ἰδίας καὶ τὴν ἐπ' ἐλάττοσι κακοῖς γενομένην ἀντὶ τῆς ἐπὶ μείζοσι.

Πόλεών τε ἁλώσεις καὶ κατασκαφὰς καὶ ἀνδραποδι|σμοὺς 845 *καὶ ἄλλας τοιαύτας συμφορὰς πολλάκις ἀναγκασθεὶς γράφειν ποτὲ μὲν οὕτως ὠμὰ καὶ δεινὰ καὶ οἴκτων ἄξια φαίνεσθαι ποιεῖ τὰ πάθη, ὥστε μηδεμίαν ὑπερβολὴν μήτε ἱστοριογράφοις μήτε ποιηταῖς καταλιπεῖν· ποτὲ δὲ οὕτως ταπεινὰ καὶ μικρά, ὥστε μηδ' εἰς αἴσθησιν δεινῶν τι πεσεῖν γνώρισμα τοῖς ἀναγινώσκουσι τὸν ἄνδρα. λέγων τε ἃ περὶ τῆς Πλαταιέων πόλεως εἴρηκε καὶ περὶ τῆς Μυτιληναίων καὶ*

22 cf Thuc III 52—68   23 cf III 27 sq 35—50

5 *δεῖ* MPf: corr Kruegerus   6 *παρέλειπε* M   8 *δὲ* om P^1 | *δὴ καὶ κατὰ* P   9 *προείλετο* f: *προσείλετο* MP | *ἐξεργάσεσθαι* pr P   10 *συμμαχεῖν* P | *τί* om pr P   12 *χρό|ἰδίας* omissis his *νοις ... ἀντὶ τῆς* P^1 13 *ἐλάττουσι* et *μείζουσι* M | *ἀντὶ τῆς* f: *ἐν τοῖς* MP   15 *τε* MP: *δὲ* f   20 *οὕτω* f   21 *δεινῶν*] *ἡμῶν* MPf   22 an *λέγων* ⟨*μέν*⟩ *γε*? | *πλατεαίων* P   23 *μιτυληναίων* MPf

περὶ τῆς Μηλίων, οὐδὲν δέομαι τὰς λέξεις ἐκείνας
φέρειν, ἐν αἷς ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξείργασται
τὰς συμφορὰς αὐτῶν. ἐν αἷς δ' ἐπιτρέχει καὶ μικρὰ
ποιεῖ τὰ πάθη αὐτῇ*** κατὰ πολλοὺς τόπους τῆς
ἱστορίας, τούτων μνησθήσομαι· ‘Περὶ δὲ τοὺς αὐτοὺς
χρόνους τούτους Σκιωναίους Ἀθηναῖοι ἐκπολιορκήσαντες
ἀπέκτειναν τοὺς ἡβῶντας, παῖδας δὲ καὶ γυναῖκας ἠν-
δραπόδισαν καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδωκαν νέμεσθαι.’
‘Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔ|βοιαν διαβάντες Περικλέους 846
στρατηγοῦντος κατεστρέψαντο πᾶσαν· καὶ τὴν ἄλλην
ὁμολογίᾳ κατέστησαν, Ἑστιαιεῖς δ' ἐξοικίσαντες αὐτοὶ
τὴν γῆν ἔσχον.’ ‘Ἀνέστησαν δὲ Αἰγινήτας τῷ αὐτῷ
χρόνῳ τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι αὐτούς τε καὶ
γυναῖκας καὶ παῖδας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ
πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέ-
στερον ἐφαίνετο τῇ Πελοποννησίων ἐπικειμένην αὐτῶν
πέμψαντες ἐποίκους ἔχειν.’

16 Πολλὰ καὶ ἄλλα τις ἂν εὕροι δι' ὅλης τῆς ἱστορίας
ἢ τῆς ἄκρας ἐξεργασίας τετυχηκότα καὶ μήτε πρόσθεσιν

1 cf Thuc V 84—116 5 Thuc V 32 9 I 114 12 II 27

1 ἐκεῖνας P 2 ἐξείργασθαι P 3 ὑποτρέχει MPf: corr Sylburgius ad p 346, 19 4 ποιεῖ τὰ f: ποιεῖται MP | αὐτῇ MP αὐτῶν f. hiatum indicaui sic fere explendum ⟨τῇ βραχυλογίᾳ χρώμενος⟩ | τόπους f: τρόπους MP 6 τούτους] τοῦ θέρους τούτου Θ | σικυωνίους MP Σικυωνείους f Σκιωναίους μὲν Θ: corr Sylburgius 7 καὶ om M 8 πλατεεῦσιν P | ἔδοκαν P ἔδοσαν Θ 9 εἰς P 10 τὴν MP: τὴν μὲν fΘ 11 ὁμολογία P, f: ὁμολογίαν M | κατεστήσαντο Θ | αἰστιαιεῖς MP ἑστιαιᾶς Θ 12 δὲ] δὲ καὶ Θ | αἰγινίτας MP 13 χρόνῳ] θέρει Θ | ἀθη-ναῖοις pr P 14 καὶ παῖδας καὶ γυναῖκας Θ 16 ἐφαίνετο MΘ: ἐφαίνοντο P ἂν ἐφαίνοντο f. Thucydides haud scio an ἔθεντο ... πέμψαντες scripserit | πολοποννησίων pr P 17 πέμψαντες etiam Θ codices CF: πέμψαντας ex AB edunt

δεχόμενα μήτ' ἀφαίρεσιν, ἢ ῥᾳθύμως ἐπιτετροχασμένα
καὶ οὐδὲ τὴν ἐλαχίστην ἔμφασιν ἔχοντα τῆς δεινότητος
847 ἐκείνης, μάλιστα δ' ἐν ταῖς δημηγορίαις | καὶ ἐν τοῖς
διαλόγοις καὶ ἐν ταῖς ἄλλαις ῥητορείαις. ὧν προνοού-
μενος ἔοικεν ἀτελῆ τὴν ἱστορίαν καταλιπεῖν, ὡς καὶ
Κράτιππος ὁ συνακμάσας αὐτῷ καὶ τὰ παραλειφθέντα
ὑπ' αὐτοῦ συναγαγὼν γέγραφεν, οὐ μόνον ταῖς πράξεσιν
αὐτὰς ἐμποδὼν γεγενῆσθαι λέγων, ἀλλὰ καὶ τοῖς ἀκού-
ουσιν ὀχληρὰς εἶναι. τοῦτό γέ τοι συνέντα αὐτὸν ἐν
τοῖς τελευταίοις τῆς ἱστορίας φησὶ μηδεμίαν τάξαι ῥη-
τορείαν, πολλῶν μὲν κατὰ τὴν Ἰωνίαν γενομένων,
πολλῶν δ' ἐν ταῖς Ἀθήναις, ὅσα ⟨διὰ⟩ διαλόγων καὶ
δημηγοριῶν ἐπράχθη. εἴ γέ τοι τὴν πρώτην καὶ τὴν
ὀγδόην βύβλον ἀντιπαρεξετάζοι τις ἀλλήλαις, οὔτε τῆς
αὐτῆς ἂν προαιρέσεως δόξειεν ἀμφοτέρας ὑπάρχειν οὔτε
τῆς αὐτῆς δυνάμεως· ἡ μὲν γὰρ ὀλίγα πράγματα καὶ
μικρὰ περιέχουσα πληθύει τῶν ῥητορειῶν, ἡ δὲ περὶ
πολλὰς καὶ μεγάλας συνταχθεῖσα πράξεις δημηγορικῶν
σπανίζει λόγων.

848 Ἤδη δὲ ἔγωγε καὶ ἐν αὐταῖς ἔδοξα ταῖς ῥητορείαις 17
τοῦτο συμβεβηκέναι τῷ ἀνδρὶ τὸ πάθος, ὥστε περὶ
τὴν αὐτὴν ὑπόθεσιν καὶ ἐν τῷ αὐτῷ καιρῷ τιθέναι
μὲν ἃς οὐκ ἔδει, παραλιπεῖν δὲ ἃς ἔδει λέγεσθαι.
οἷόν τι καὶ περὶ τῆς Μυτιληναίων πόλεως ἐν τῇ τρίτῃ

1 ἀφαίρεσις pr P 3 δὲ f 4 ταῖς διαλόγοις P | ὧν P 6 συναγμάσας P | αὐτῷ suspectat Schaeferus *Quellenkunde* p 32[4] ⟨σοὶ⟩ αὐτῷ uel αὐτῷ ⟨σοι⟩ ci Stahlius De Cratippo (Monast. 1887) p 14 | παραλ[ει]φθέντα cum litura M 7 συναγαγῶν P 8 αὐταῖς MPf: corr Reiskius 12 ἀθήνα[ις] cum litura M | διὰ διαλόγων Kruegerus: διὰ λόγων Mf διαλόγων P cf infra c 37—41 14 βύβλον P: βίβλον Mf 17 πληθείει M 23 παραλιπεῖ P[1] παραλείπειν Sadaeus p 216 24 μιτυληναίων M, f μιτιλυναίων P

βύβλῳ πεποίηκε· μετὰ γὰρ τὴν ἅλωσιν αὐτῆς καὶ τὴν τῶν αἰχμαλώτων ἄφιξιν, οὓς ἀπέστειλεν ὁ στρατηγὸς Πάχης, διττῶν ἐκκλησιῶν γενομένων ἐν ταῖς Ἀθήναις τοὺς μὲν ἐν τῇ προτέρᾳ ῥηθέντας ὑπὸ τῶν δημαγωγῶν λόγους παρέλιπεν ὡς οὐκ ἀναγκαίους, ἐν ᾗ τούς τε αἰχμαλώτους ἀποκτεῖναι ὁ δῆμος ἐψηφίσατο καὶ τοὺς ἄλλους Μυτιληναίους ἡβηδόν, γυναῖκας δὲ καὶ παῖδας ἀνδραποδίσαι· τοὺς δ' ἐν τῇ ὑστεραίᾳ πάλιν ὑπὸ τῶν 849 αὐτῶν ῥηθέντας, ἐν ᾗ μετάνοιά τις ὑπεισῆλθε τοὺς πολλούς, περὶ τὴν αὐτὴν συνταχθέντας ὑπόθεσιν παρέλαβεν ὡς ἀναγκαίους.

18 Ὁ δὲ δὴ περιβόητος ἐπιτάφιος, ὃν ἐν τῇ δευτέρᾳ βύβλῳ διελήλυθε, κατὰ τίνα δή ποτε λογισμὸν ἐν τούτῳ κεῖται τῷ τόπῳ μᾶλλον ἢ οὐκ ἐν ἑτέρῳ; εἴ τε γὰρ ἐν ταῖς μεγάλαις συμφοραῖς τῆς πόλεως, ἐν αἷς Ἀθηναίων πολλοὶ καὶ ἀγαθοὶ μαχόμενοι διεφθάρησαν, τοὺς εἰωθότας ὀλοφυρμοὺς ἐπ' αὐτοῖς ἐχρῆν λέγεσθαι, εἴ τ' ἐπὶ ταῖς μεγάλαις εὐπραγίαις, ἐξ ὧν δόξα τις ἐπιφανὴς ἢ δύναμις ἐγένετο τῇ πόλει, τιμᾶσθαι τοῖς ἐπιταφίοις ἐπαίνοις τοὺς ἀποθανόντας, ἐν ᾗ βούλεταί τις μᾶλλον 850 βύβλῳ ἢ ἐν ταύτῃ τὸν ἐπιτάφιον ἥρμοττεν εἰρῆσθαι· ἐν ταύτῃ μὲν γὰρ οἱ κατὰ τὴν πρώτην τῶν Πελοποννησίων εἰσβολὴν πεσόντες Ἀθηναῖοι κομιδῇ τινες ἦσαν ὀλίγοι, καὶ οὐδ' οὗτοι λαμπρόν τι πράξαντες ἔργον, ὡς αὐτὸς ὁ Θουκυδίδης γράφει· προειπὼν γὰρ περὶ

3 Thuc III 36 8 III 36—49 12 II 35—46 25—p 351, 13 II 22

1 βίβλω MP, f | αὐτῆς f: αὐτὴν MP 5 παρέλειπεν h 7 μιτυληναίους libri | [ἡ]βηδὸν cum litura M 8 δ' ἐν] δ' ἐ P 12 δὴ om h 13 βίβλω MP, f item u 21 14 γὰρ ἐπὶ ci Kiesslingius 17 ἐχρὴν MP | exspectes γίνεσθαι 23 κομιδή P

τοῦ Περικλέους, ὅτι 'τὴν πόλιν ἐφύλασσε καὶ δι' ἡσυχίας μάλιστα ὅσον ἐδύνατο εἶχεν· ἱππέας μέντοι τινὰς ἐξέπεμπεν ἀεὶ τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας εἰς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν', καὶ ἱππομαχίαν φησὶ γενέσθαι βραχεῖαν 'ἐν Φρυγίοις τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων καὶ Θεσσαλοῖς μετ' αὐτῶν πρὸς τοὺς Βοιωτῶν ἱππέας· ἐν ᾗ οὐκ ἔλαττον ἔσχον οἱ Θεσσαλοὶ καὶ Ἀθηναῖοι, μέχρι οὗ προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν τροπὴ ἐγένετο αὐτῶν, καὶ ἀπέθανον 851 τῶν Θεσσαλῶν καὶ Ἀθη|ναίων οὐ πολλοί· ἀνείλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους· καὶ οἱ Πελοποννήσιοι τρόπαιον τῇ ὑστεραίᾳ ἔστησαν.' ἐν δὲ τῇ τετάρτῃ βύβλῳ οἱ μετὰ Δημοσθένους περὶ Πύλον ἀγωνισάμενοι πρὸς Λακεδαιμονίων δύναμιν καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης καὶ νικήσαντες ἐν ἀμφοτέραις ταῖς μάχαις, δι' οὓς ἡ πόλις αὐχήματος ἐπληρώθη, πολλῷ πλείους τε καὶ κρείττους ἦσαν ἐκείνων. τί δή ποτε οὖν ἐπὶ μὲν τοῖς ὀλίγοις ἱππεῦσι καὶ οὐδεμίαν οὔτε δόξαν οὔτε δύναμιν τῇ πόλει κτησαμένοις τάς τε ταφὰς ἀνοίγει τὰς δημοσίας ὁ συγγραφεὺς καὶ τὸν ἐπιφανέστατον τῶν δημαγωγῶν Περικλέα τὴν ὑψηλὴν τραγῳδίαν ἐκείνην εἰσάγει διατιθέμενον· ἐπὶ δὲ τοῖς πλείοσι καὶ

14 cf Thuc IV 9—23. 26—40

1 τήν τε πόλ.ν Θ 3 τινὰς MP [τινὰς] f: om Θ 4 ἐσπίπτοντας MΘ ἐπίπτοντας P: ἐπιπίπτοντας f | εἰς MP: ἐς fΘ 7 ἱππέως M | καὶ Θεσσαλοῖς ... 8 ἱππέας om M^1 8 οἱ Ἀθηναῖοι καὶ Θεσσαλοὶ Θ 9 μέχρι f | προσβοηθήσαντες MP | τοῖς βοιωτοῖς τοῖς βιωτοῖς priore deleto P 10 ὁπλιτῶν fΘ: πολιτῶν MP | τροπῇ M 12 αὐθημερῶν P 13 τῇ ὑστεραίᾳ fΘ: τῆς ὑστεραίας (—ρέας P) MP 14 βύβλω P: βίβλῳ Mf 21 ἐπιταφανέστατον pr P 23 πλείοσί ⟨τε⟩ καὶ Sadaeus p 205 cf l 18

κρείττοσι, δι' οὓς ὑπέπεσον Ἀθηναίοις οἱ τὸν πόλεμον ἐξενέγκαντες κατ' αὐτῶν, ἐπιτηδειοτέροις οὖσι ταύτης τῆς τιμῆς τυγχάνειν οὐκ ἐποίησε τὸν ἐπιτάφιον; ἵνα δὲ πάσας ἀφῶ τὰς ἄλλας μάχας τάς τε κατὰ γῆν καὶ κατὰ θάλατταν, ἐν αἷς πολλοὶ διεφθάρησαν, οὓς πολὺ δικαιότερον ἦν κοσμεῖσθαι τοῖς ἐπιταφίοις ἐπαί|νοις 852 ἢ τοὺς περιπόλους τῆς Ἀττικῆς, ἱππεῖς δέκα ἢ πεντεκαίδεκα ὄντας, οἱ ἐν Σικελίᾳ μετὰ Νικίου καὶ Δημοσθένους ἀποθανόντες Ἀθηναίων καὶ τῶν συμμάχων ἔν τε ταῖς ναυμαχίαις ἔν τε τοῖς κατὰ γῆν ἀγῶσι καὶ τὸ τελευταῖον ἐν τῇ δυστήνῳ φυγῇ τετρακισμυρίων οὐκ ἐλάττους ὄντες καὶ οὐδὲ ταφῆς δυνηθέντες τυχεῖν τῆς νομίμου πόσῳ μᾶλλον ἦσαν ἐπιτηδειότεροι τυγχάνειν οἴκτων τε καὶ κόσμων ἐπιταφίων; ὃ δ' οὕτως ἠμέληκε τῶν ἀνδρῶν, ὥςτε μηδὲ τοῦτο αὐτὸ εἰπεῖν, ὅτι πένθος δημοσίᾳ προὔθετο ἡ πόλις καὶ τοὺς εἰωθότας ἐναγισμοὺς τοῖς ἐπὶ ξένης ἀποθανοῦσιν ἐπετέλεσεν καὶ τὸν ἐροῦντα ἐπ' αὐτοῖς ἀπέδειξεν, ὃς τῶν τότε ῥητόρων λέγειν ἦν ἱκανώτατος. οὐ | γὰρ δὴ εἰκὸς ἦν Ἀθηναίους 853 ἐπὶ μὲν τοῖς πεντεκαίδεκα ἱππεῦσιν δημοσίᾳ πενθεῖν, ⟨τοὺς δ' ἐν Σικελίᾳ πεσόντας, ἐν οἷς⟩**, τῶν δ' ἐκ καταλόγου πλείους οἱ διαφθαρέντες ἢ πεντακισχίλιοι, μηδεμιᾶς ἀξιῶσαι τιμῆς. ἀλλ' ἔοικεν ὁ συγγραφεὺς (εἰρήσεται γὰρ ἃ φρονῶ) τῷ Περικλέους προσώπῳ βουλόμενος ἀποχρήσασθαι καὶ τὸν ἐπιτάφιον ἔπαινον ὡς ὑπ' ἐκείνου

1 οἱ τῶν P 5 οὓς f: οὐ MP 7 περιπόλους Dudithius: πολλοὺς MPf 11 τελευτέον P | δυςστήνω P 12 ἐλάττοντους confusa duplici lectione M | ὄντος P 13 ἐπιτειδειότεροι MP² —δεινότεροι P¹ 17 ξένοις P | ἐπετέλεσε f 18 ἐνοῦντα P 19 ἦν] ἢ P 20 ἱππεῦσι Pf 21 hiatum indicaui 22 οἱ διαφθαρέντες MP: διαφθαρέντας f | πεντακισχίλιοι MP: πεντακισχιλίους f 24 γὰρ ἀφρονῶς P¹

ῥηθέντα συνθεῖναι, ἐπειδὴ κατὰ τὸ δεύτερον ἔτος ἐτελεύτησεν ἀνὴρ τοῦδε τοῦ πολέμου καὶ οὐδεμιᾷ τῶν μετὰ ταῦτα γενομένων τῇ πόλει συμφορῶν παρεγένετο, εἰς ἐκεῖνο τὸ μικρὸν καὶ οὐκ ἄξιον σπουδῆς ἔργον τὸν ὑπὲρ τὴν ἀξίαν τοῦ πράγματος ἔπαινον ἀποθέσθαι.

Ἔτι δὲ μᾶλλον ἴδοι τις ἂν τὸ περὶ τὰς ἐξεργασίας 19 τοῦ συγγραφέως ἀνώμαλον ἐπιλογισάμενος, ὅτι πολλὰ 854 καὶ μεγάλα πράγματα παραλιπὼν ⟨τὸ⟩ προοί|μιον τῆς ἱστορίας μέχρι πεντακοσίων ἐκμηκύνει στίχων, τὰ πρὸ 855 τοῦδε τοῦ πολέμου πραχθέντα τοῖς Ἕλλησι μικρὰ | βουλόμενος ἀποδεῖξαι καὶ οὐκ ἄξια τῷδε παραβάλλεσθαι. οὔτε γὰρ τἀληθὲς οὕτως εἶχεν, ὡς ἐκ πολλῶν ἔστι παραδεῖξαι πραγμάτων, οὔτε ὁ τῆς τέχνης ὑπαγορεύει λόγος οὕτω μεθοδεύειν τὰς αὐξήσεις (οὐ γὰρ εἴ τι τῶν μικρῶν μεῖζόν ἐστι, διὰ τοῦτ' ἐστὶν ἤδη μέγα, ἀλλ' εἴ τι τῶν μεγάλων ὑπερέχει)· γέγονέ τε αὐτῷ τὸ προοίμιον, τοσαύτας εἰληφὸς ἀποδεικτικὰς τῆς προθέσεως ἐξεργασίας, ἱστορία τις αὐτὴ καθ' αὑτήν. οἱ δὲ τὰς ῥητορικὰς συνταξάμενοι τέχνας παραγγέλλουσι δείγματα τῶν λόγων τὰ προοίμια ποιεῖν αὐτὰ τὰ κεφάλαια τῶν μελλόντων δηλοῦσθαι προλαμβάνοντας. ὃ δὴ καὶ πεποίηκεν ὁ ἀνὴρ ἐπὶ τῷ τέλει τοῦ προοιμίου, 856 μέλλων ἄρχε|σθαι τῆς διηγήσεως, ἐν ἐλάττοσιν ἢ πεντήκοντα στίχοις· ὥςτε τὰ πολλὰ ἐκεῖνα καὶ καταβλη-

22 Thuc I 23

1 ἐπειδὴ Kruegerus: ἐπεὶ δὲ MPf 2 ἀνὴρ MPf 8 τὸ ante προοίμιον add Kruegerus 11 καὶ οὐκ ... 13 παραδεῖξαι om P¹ 11 τῶνδε P | προβαλέσθαι P¹ προβάλλεσθαι P² 12 ἔστι f 14 αὐξήσης P 15 τοῦτό ἐστιν f 16 γέγονέν P 20 λ[όγ]ων cum litura M | προς|μοια P | τὰ om M¹ 21 μελλ[όντ]ων ex μελ λόγων M¹ | προσλαμβάνοντας MPf: corr Reiskius cf p 357, 18 22 ἐπὶ τῷ om P

τικὰ τοῦ μεγέθους τῆς Ἑλλάδος οὐκ ἀναγκαίως αὐτῷ παρέλκεσθαι, ὅτι κατὰ τὸν Τρωικὸν πόλεμον οὔπω σύμπασα ἐκαλεῖτο ἑνὶ ὀνόματι ἡ Ἑλλάς, καὶ ὅτι περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους οἱ τροφῆς ἀπορούμενοι ἤρξαντο καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις καὶ κατὰ κώμας οἰκουμέναις ἥρπαζον καὶ τὸ πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο. τί δ' ἦν ἀναγκαῖον περὶ τῆς Ἀθηναίων τρυφῆς, ᾗ τὸ παλαιὸν ἐχρῶντο, λέγειν, ὅτι κρωβύλους τε ἀνεπλέκοντο καὶ χρυσοῦς τέττιγας εἶχον ἐπὶ ταῖς κεφαλαῖς; καὶ ὅτι Λακεδαιμόνιοι 'ἐγυμνώθησάν τε πρῶτοι καὶ εἰς τὸ φανερὸν ἀποδύντες λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο'; ὁ δὲ δὴ ναυπηγὸς ὁ Κορίνθιος Ἀμεινοκλῆς ὁ κατασκευάσας Σαμίοις πρῶτος τέτταρας τριήρεις, καὶ ὁ Σάμου τύραννος Πολυκράτης ὁ Ῥήνειαν ἑλὼν καὶ ἀναθεὶς τῷ Ἀπόλλωνι τῷ Δηλίῳ, καὶ οἱ Φωκαεῖς οἱ Μασσαλίαν οἰκίσαντες ὅτι ναυμαχίᾳ Καρχηδονίους ἐνίκων, | καὶ τὰ ἄλλα ὅσα τούτοις ἐστὶν 857 ὅμοια, τίνα καιρὸν εἶχε πρὸ τῆς διηγήσεως λέγεσθαι;

20 εἰ δ' ἔστιν ὅσιόν μοι καὶ θεμιτὸν εἰπεῖν ἃ φρονῶ, δοκεῖ μοι κράτιστον ἂν γενέσθαι ⟨τὸ⟩ προοίμιον, εἰ τὸ τελευταῖον αὐτοῦ μέρος τῇ προθέσει προσήρμοσε πάντα τὰ ἐν μέσῳ παραλιπὼν καὶ τοῦτον τὸν τρόπον αὐτὸ κατεσκεύασε· 'Θουκυδίδης Ἀθηναῖος συνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθιστα-

2 Thuc I 3 3 I 5 7 I 6 10 I 6 12 I 13 14 I 13 16 I 13 sq 23—p 355, 12 I 1

5 ἀταχίστοις P 8 ἢ P 9 χρϊσοῦς P 13 ἀμινοκλῆς M ἀμεινοκλεῖς P 16 οἰκίσαντες f: οἰκήσαντες MP | χαλκηδονίους M χαλκιδονίους P 20 τὸ ante προοίμιον add Kruegerus 23 ξυνέγραψε fΘ 24 ὡς] ὃν P

μένου καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων· τεκμαιρόμενος, ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη δὴ μεγίστη τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δ' εἰπεῖν καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. 858 τὰ γὰρ πρὸ | αὐτῶν καὶ ἔτι παλαιότερα σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντι πιστεύειν ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα· οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν ἐπὶ τὸ μεῖζον κοσμοῦντες, μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι συνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα· εὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφανεστάτων ὡς παλαιὰ εἶναι ἀποχρώντως. καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ τἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν. καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες πολε-

12—p 357, 20 Thuc I 21—23

5 καὶ ante διαν. om M 6 δὴ μεγίστη M ut Θ cod *F* et grammatici: δὲ μεγίστη δὴ P μεγίστη δὴ fΘ cf Sadaeus p 139 7 ἐπὶ πλεῖστους M? 8 καὶ ἔτι MP: καὶ τὰ ἔτι fΘ 10 σκοποῦντι MP: σκοποῦντί μοι fΘ | πιστεύειν MP: πιστεῦσαι fΘ 11 γεγενῆσθαι P 14 συνέθεσαν M συνέθησαν P: ξυνέθεσαν fΘ 17 ἐκνενικότα P[1] | ἐπιφανεστάτων MP: ἐπιφ. σημείων fΘ 20 παυσαμένων ... 21 θαυμαζόντων iterat M[1] 21 τὰ ἀρχαῖα Θ | ἐπ' M[1] 23 ἕνκαστοι P

μήσειν ἢ ἐν | αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν 859
αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν
αὐτὸς ἤκουσα καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλ-
λουσιν· ὡς δ' ἂν ἐδόκουν μοι ἕκαστοι περὶ τῶν ἀεὶ
παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐχομένῳ ὅ τι ἐγγύ-
τατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων,
οὕτως εἴρηται. τὰ δὲ ἔργα τῶν πραχθέντων ἐν τῷ
πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος ἠξίωσα γράφειν οὐδ'
ὡς ἐμοὶ δοκεῖ, ἀλλ' οἷς τε αὐτὸς παρῆ καὶ παρὰ τῶν
ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών.
ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις
οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων
τις εὐνοίας ἢ μνήμης ἔχοι. καὶ ἐς μὲν ἀκρόασιν ἴσως
τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ
βουλήσονται τῶν γεγονότων τὸ σαφὲς σκοπεῖν καὶ τῶν
μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀν|θρώπινον τοιούτων 860
καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτά, ἀρ-
κούντως ἕξει· κτῆμά τε ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα εἰς
τὸ παραχρῆμα ἀκούειν ξύγκειται. τῶν δὲ πρότερον
ἔργων μέγιστον ἐπράχθη τὸ Μηδικόν· καὶ τοῦτο ὅμως
δυεῖν ναυμαχίαιν καὶ πεζομαχίαιν τὴν κρίσιν ἔσχεν·
τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προὔβη παθή-
ματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτᾷ τῇ Ἑλλάδι οἷα

1 τὴν [ἀκρίβειαν] f 2 [διαμνημονεῦσαι] ἦν f 3 ἄλλωθεν P | ἐπαγγέλλουσιν P 4 ἐμοὶ Θ sed μοι C 6 ἀλληθῶς P 7 τὰ δ' f 8 ἠξίωσα MP: πυνθανόμενος ἠξίωσα fΘ 9 ἐδόκει Pf | παρῆ P: παρῆν Mf | fort καὶ ⟨τὰ⟩ παρὰ 11 ἐπιπόνος P | δίοτι P | ἔργοις MP: ἔργοις ἑκάστοις fΘ 12 οὐ ταὐτὰ fΘ | ἑκατέρῳ Θ sed ἑκατέρων C 15 γεγονότων MP: τε γενομένων fΘ 16 ἀνθρώπειον Θ sed ἀνθρώπινον FG^1 17 ἀρκούντος P^1 18 τ' ἐς P | αἰεὶ f | ἐς fΘ 20 ἔργον M 21 [καὶ πεζομαχίαιν ταχεῖαν] τὴν f | τὴν MP: ταχεῖαν τὴν Θ | ἔσχε f 23 ἐλλά[δι] cum litura M

οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαίδε
ληφθεῖσαι ἠρημώθησαν αἳ μὲν ὑπὸ βαρβάρων, αἳ δ'
ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων, εἰσὶ δὲ αἳ καὶ
οἰκήτορας μετέβαλον ἁλισκόμεναι· οὔτε φυγαὶ τοσαίδε
ἀνθρώπων καὶ φόνος ὃ μὲν κατ' αὐτὸν τὸν πόλεμον,
ὃ δὲ διὰ τὸ στασιάζειν. τά τε πρότερον ἀκοῇ μὲν
λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα οὐκ ἄπιστα
κατέστη σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος
γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου τε
861 ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰς ἐκ τοῦ πρὶν χρό-
νου μνημονευομένας ξυνέβησαν, αὐχμοί τε ἔστι παρ'
οἷς μεγάλοι, καὶ ἀπ' αὐτῶν καὶ λιμοί· καὶ ἡ οὐχ
ἥκιστα βλάψασα καὶ μέρος τι φθείρασα, ἡ λοιμώδης
νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα
ξυνεπέθετο. ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοπον-
νήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδάς, αἳ αὐτοῖς
ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν. διότι δὲ ἔλυσαν, τὰς
αἰτίας προέγραψα πρῶτον καὶ τὰς διαφορὰς τοῦ μή
τινα ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλ-
λησι κατέστη.' Τὰ μὲν δὴ περὶ τὸ πραγματικὸν μέρος 21
ἁμαρτήματά τε καὶ κατορθώματα τοῦ συγγραφέως ταῦτά
ἐστι.

Τὰ δὲ περὶ τὸ λεκτικόν, ἐν ᾧ μάλιστα ὁ χαρακτὴρ
αὐτοῦ διάδηλός ἐστι, μέλλω νυνὶ λέγειν. ἀνάγκη δὲ

2 ληφθήεινσαι (ν expunxit m II) P 4 μετέβαλλον P 5 αὐτὸν [τὸν] f 8 σισμῶν P 9 ἰσχυρότατοι MΘ: ἰσχυρότεραι P ἰσχυρότεροι f | τε] τε καὶ pr P 10 τὰ et 11 μνημονευόμενα Θ 11 παροῖς M 12 καὶ ἐπ' M 15 ξυνεπέθετο fΘ: ξυνετίθετο MP 16 τριακοντούτις M τριακοντούτοις P 17 μετὰ f 18 προέγραψα fΘ: προσέγραψα MP 19 τινα MPΘ: τινὰς f ut Θ codd CG et supra 339, 2 20 τὸ πρακτικὸν M 24 μέλλων M^1

ἴσως καὶ περὶ ταύτης τῆς ἰδέας προειπεῖν, εἰς πόσα
τε μέρη διαιρεῖσθαι πέφυκεν ἡ λέξις καὶ τίνας περιεί-
ληφεν | ἀρετάς· ἔπειτα δηλῶσαι, πῶς ἔχουσαν αὐτὴν ὁ 862
Θουκυδίδης παρὰ τῶν πρὸ αὐτοῦ γενομένων συγ-
γραφέων παρέλαβε, καὶ τίνα μέρη πρῶτος ἁπάντων
ἐκαίνωσεν, εἴ τ' ἐπὶ τὸ κρεῖττον εἴ τ' ἐπὶ τὸ χεῖρον,
μηδὲν ἀποκρυψάμενον.

22 Ὅτι μὲν οὖν ἅπασα λέξις εἰς δύο μέρη διαιρεῖται
τὰ πρῶτα, εἴς τε τὴν ἐκλογὴν τῶν ὀνομάτων, ὑφ' ὧν
δηλοῦται τὰ πράγματα, καὶ εἰς τὴν σύνθεσιν τῶν ἐλατ-
τόνων τε καὶ μειζόνων μορίων, καὶ ὅτι τούτων αὖθις
ἑκάτερον εἰς ἕτερα μόρια διαιρεῖται, ἡ μὲν ἐκλογὴ τῶν
στοιχειωδῶν μορίων (ὀνοματικῶν λέγω καὶ ῥηματικῶν
καὶ συνδετικῶν) εἴς τε τὴν κυρίαν φράσιν καὶ εἰς τὴν
τροπικήν, ἡ δὲ σύνθεσις εἴς τε τὰ κόμματα καὶ τὰ
κῶλα καὶ τὰς περιόδους, καὶ ὅτι τούτοις ἀμφοτέροις
συμβέβηκε (λέγω δὴ τοῖς τε ἁπλοῖς καὶ ἀτόμοις ὀνό-
μασι καὶ τοῖς ἐκ τούτων συνθέτοις) τὰ καλούμενα
σχήματα, καὶ ὅτι τῶν καλουμένων ἀρετῶν αἳ μέν εἰσιν |
ἀναγκαῖαι καὶ ἐν ἅπασιν ὀφείλουσι παρεῖναι τοῖς λό- 863
γοις, αἳ δ' ἐπίθετοι καὶ ὅταν ὑποστῶσιν αἱ πρῶται,
τότε τὴν ἑαυτῶν ἰσχὺν λαμβάνουσιν, εἴρηται πολ-
λοῖς πρότερον. ὥςτε οὐδὲν δεῖ περὶ αὐτῶν ἐμὲ νυνὶ
λέγειν οὐδ' ἐξ ὧν θεωρημάτων τε καὶ παραγγελ-
μάτων τούτων τῶν ἀρετῶν ἑκάστη γίνεται, πολλῶν
ὄντων· καὶ γὰρ ταῦτα τῆς ἀκριβεστάτης τέτευχεν ἐξερ-
γασίας.

1 πόσα τὲ M: πόσα Pf 7 ἀποκρυψάμενος MPf: corr Reiskius 16 περὶ ὅδους P 17 δὴ] δὲ ci Kruegerus 21 ὑποστῶσιν M: ὑπιστῶσιν P ὑφιστῶσιν f ὑφεστῶσιν Reiskius 22 λαμβάνουσι P 24 καὶ πραγμάτων τούτων MPf

Τίσι δὲ αὐτῶν ἐχρήσαντο πάντες οἱ πρὸ Θουκυ- 23
δίδου γενόμενοι συγγραφεῖς καὶ τίνων ἐπὶ μικρὸν
ἥψαντο, ἐξ ἀρχῆς ἀναλαβών, ὥςπερ ὑπεσχόμην, κεφα-
λαιωδῶς διέξειμι· ἀκριβέστερον γὰρ οὕτως γνώσεταί
τις τὸν ἴδιον τοῦ ἀνδρὸς χαρακτῆρα. οἱ μὲν οὖν ἀρ-
χαῖοι πάνυ καὶ ἀπ' αὐτῶν μόνον γινωσκόμενοι τῶν
ὀνομάτων ποίαν τινὰ λέξιν ἐπετήδευσαν, οὐκ ἔχω συμ-
βαλεῖν, πότερα τὴν λιτὴν καὶ ἀκόσμητον καὶ μηδὲν
ἔχουσαν περιττόν, ἀλλ' αὐτὰ τὰ χρήσιμα καὶ ἀναγκαῖα,
864 ἢ τὴν | πομπικὴν καὶ ἀξιωματικὴν καὶ ἐγκατάσκευον
καὶ τοὺς ἐπιθέτους προσειληφυῖαν κόσμους. οὔτε γὰρ
διασῴζονται τῶν πλειόνων αἱ γραφαὶ μέχρι τῶν καθ'
ἡμᾶς χρόνων, οὔθ' αἱ διασῳζόμεναι παρὰ πᾶσιν ὡς
ἐκείνων οὖσαι τῶν ἀνδρῶν πιστεύονται· ἐν αἷς εἰσιν
αἵ τε Κάδμου τοῦ Μιλησίου καὶ Ἀρισταίου τοῦ Προ-
κοννησίου καὶ τῶν παραπλησίων τούτοις. οἱ δὲ πρὸ
τοῦ Πελοποννησιακοῦ γενόμενοι πολέμου καὶ μέχρι
τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας ὁμοίας ἔσχον
ἅπαντες ὡς ἐπὶ τὸ πολὺ προαιρέσεις, οἵ τε τὴν Ἰάδα
προελόμενοι διάλεκτον τὴν ἐν τοῖς τότε χρόνοις μάλιστα
ἀνθοῦσαν καὶ οἱ τὴν ἀρχαίαν Ἀτθίδα μικράς τινας
ἔχουσαν διαφορὰς παρὰ τὴν Ἰάδα. πάντες γὰρ οὗτοι,
καθάπερ ἔφην, περὶ τὴν κυρίαν λέξιν μᾶλλον ἐσπού-
δασαν ἢ περὶ τὴν τροπικήν, ταύτην δὲ ὥςπερ ἥδυσμα
παρελάμβανον, σύνθεσίν τε ὀνομάτων ὁμοίαν ἅπαντες
865 ἐπετήδευσαν τὴν ἀφελῆ καὶ | ἀνεπιτήδευτον, καὶ οὐδ'
ἐν τῷ σχηματίζειν τὰς λέξεις ⟨καὶ⟩ τὰς νοήσεις ἐξέβησαν

2 μικρῶν M 4 οὔτω f 7 ποίαν τε λέξιν MPf. τὴν coniecerat Kruegerus | ἔχων P 13 χρόνον P 15 Προικοννησίου f 20 τὴν ... 21 καὶ οἱ om P^1 | ἐν MP: τε f 26 ἐπιτήδευσαν P 27 καὶ inseruit Kruegerus

ἐπὶ πολὺ τῆς τετριμμένης καὶ κοινῆς καὶ συνήθους ἅπασι διαλέκτου. τὰς μὲν οὖν ἀναγκαίας ἀρετὰς ἡ λέξις αὐτῶν πάντων ἔχει (καὶ γὰρ καθαρὰ καὶ σαφὴς καὶ σύντομός ἐστιν ἀποχρώντως, σῴζουσα τὸν ἴδιον ἑκάστη τῆς διαλέκτου χαρακτῆρα)· τὰς δ' ἐπιθέτους, ἐξ ὧν μάλιστα διάδηλος ἡ τοῦ ῥήτορος γίνεται δύναμις, οὔτε ἁπάσας οὔτε εἰς ἄκρον ἡκούσας, ἀλλ' ὀλίγας καὶ ἐπὶ βραχύ, ὕψος λέγω καὶ καλλιρημοσύνην καὶ σεμνολογίαν καὶ μεγαλοπρέπειαν· οὐδὲ δὴ τόνον οὐδὲ βάρος οὐδὲ πάθος διεγεῖρον τὸν νοῦν οὐδὲ τὸ ἐρρωμένον καὶ ἐναγώνιον πνεῦμα, ἐξ ὧν ἡ καλουμένη γίνεται δεινότης· πλὴν ἑνὸς Ἡροδότου. οὗτος δὲ κατά ⟨τε⟩ τὴν ἐκλογὴν τῶν ὀνομάτων καὶ κατὰ τὴν σύνθεσιν καὶ κατὰ τὴν τῶν σχηματισμῶν ποικιλίαν μακρῷ δή τινι τοὺς ἄλλους ὑπερεβάλετο, καὶ παρεσκεύασε τῇ κρατίστῃ ποιήσει τὴν πεζὴν φράσιν ὁμοίαν γενέσθαι πει|θοῦς τε 866 καὶ χαρίτων καὶ τῆς εἰς ἄκρον ἡκούσης ἡδονῆς ἕνεκα· ἀρετάς τε τὰς μεγίστας καὶ λαμπροτάτας ἔξω τῶν ἐναγωνίων οὐδὲν*** ἐν ταύταις ἐνέλιπεν, εἴ τε οὐκ εὖ πεφυκὼς πρὸς αὐτὰς εἴ τε κατὰ λογισμόν τινα ἑκουσίως ὑπεριδὼν ὡς οὐχ ἁρμοττουσῶν ἱστορίαις. οὔτε γὰρ δημηγορίαις πολλαῖς ὁ ἀνὴρ οὐδ' ἐναγωνίοις κέχρηται λόγοις, οὔτ' ἐν τῷ παθαίνειν καὶ δεινοποιεῖν τὰ πράγματα τὴν ἀλκὴν ἔχει.

24 Τούτῳ τε δὴ τῷ ἀνδρὶ Θουκυδίδης ἐπιβαλὼν καὶ

3 λέξεις P 4 ἐστιν, ἀποχρώντως σῴζουσα distinguebant 5 ἑκάστη τῆς] ἑκάστης MPf 8 βραχύ f: βραχεῖ MP 8 καλλιῤῥημοσύνην f 10 διεγείροντα Mf διεγειροῦντα P: corr Reiskius 12 κατὰ τὴν MPf: corr Sadaeus p 250 14 σχηματωσμῶν P[1] 15 ὑπερεβάλλετο P 19 hiatum indicaui | [εἴ]τ' cum litura (ex α?) P 22 οὐδὲ γὰρ et 23 οὐδ' libri 25—p 363,17 Dionysius epistulae ad Ammaeum de Thucydide c 2 inseruit (Δ) | τε] δὲ MPf | τε ... Θουκ.] γὰρ Θουκυδίδης τῷ ἀνδρὶ Δ

τοῖς ἄλλοις, ὧν πρότερον ἐμνήσθην, καὶ συνιδὼν ἃς ἕκαστος αὐτῶν ἔσχεν ἀρετάς, ἴδιόν τινα χαρακτῆρα καὶ παρεωραμένον ἅπασι πρῶτος εἰς τὴν ἱστορικὴν πραγματείαν ἐσπούδασεν ἀγαγεῖν· ἐπὶ μὲν τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν καὶ γλωττηματικὴν καὶ ἀπηρχαιωμένην καὶ ξένην λέξιν προελόμενος ἀντὶ τῆς κοινῆς 867 καὶ συνήθους τοῖς κατ' αὐτὸν ἀνθρώποις· ἐπὶ δὲ | τῆς συνθέσεως τῶν τ' ἐλαττόνων καὶ τῶν μειζόνων μορίων τὴν ἀξιωματικὴν καὶ αὐστηρὰν καὶ στιβαρὰν καὶ βεβηκυῖαν καὶ τραχύνουσαν ταῖς τῶν γραμμάτων ἀντιτυπίαις τὰς ἀκοὰς ἀντὶ τῆς λιγυρᾶς καὶ μαλακῆς καὶ συνεξεσμένης καὶ μηδὲν ἐχούσης ἀντίτυπον· ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν οἷς μάλιστα ἐβουλήθη διενέγκαι τῶν πρὸ αὐτοῦ, πλείστην εἰσενεγκάμενος σπουδήν. διετέλεσέ γέ τοι τὸν ἑπτακαιεικοσαετῆ χρόνον τοῦ πολέμου ἀπὸ τῆς ἀρχῆς ἕως τῆς τελευτῆς τὰς ὀκτὼ βύβλους, ἃς μόνας κατέλιπεν, στρέφων ἄνω καὶ κάτω καὶ καθ' ἓν ἕκαστον τῶν τῆς φράσεως μορίων ῥινῶν καὶ τορεύων· καὶ τοτὲ μὲν λόγον ἐξ ὀνόματος ποιῶν, τοτὲ δ' εἰς ὄνομα συνάγων τὸν λόγον· καὶ νῦν μὲν τὸ ῥηματικὸν ὀνοματικῶς ἐκφέρων, αὖθις δὲ τοὔνομα ῥῆμα ποιῶν, καὶ αὐτῶν γε τούτων ἀναστρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνοματικὸν προσηγορικὸν γένηται,

2 ἴδιον ... 3 εἰς] ἰδιόν τι γένος χαρακτῆρος οὔτε πεζὸν αὐτοτελῶς οὔτ' ἔμμετρον ἀπηρτισμένως, κοινὸν δέ τι καὶ μικτὸν ἐξ ἀμφοῖν ἐργασάμενος εἰς Δ 3 εἰστορικὴν P 4 ἀγαγεῖν MPf: εἰσαγαγεῖν Δ r 5 γλωττιματικὴν P 6 προελόμενος] παραλαμβάνων πολλάκις Δ 7 καθ' ἑαυτὸν Δ | ἐπὶ δὲ ... 12 ἀντίτυπον om Δ 13 διενεγκεῖν Δ 14 σπουδήν] πραγματείαν Δ 15 διετέλεσε ... 19 τορεύων καὶ om Δ 17 βίβλους MPf | κατέλιπε P 21 ὀνομαστικῶς Pf 23 ὀνοματικὸν Δ: ὀνομαστικὸν MPf | προσηγορικὸν ... 362, 1 ὀνοματικῶς om Δ

τὸ δὲ προσηγορικὸν ὀνοματικῶς λέγηται· καὶ τὰ μὲν παθητικὰ ῥήματα δραστήρια, τὰ δὲ δραστήρια παθητικά· πληθυντικῶν | τε καὶ ἑνικῶν ἐναλλάττων τὰς 868
φύσεις καὶ ἀντικατηγορῶν ταῦτα ἀλλήλων· θηλυκά τε ἀρρενικοῖς καὶ ἀρρενικὰ θηλυκοῖς καὶ οὐδέτερα τούτων τισὶ συνάπτων, ἐξ ὧν ἡ κατὰ φύσιν ἀκολουθία πλανᾶται· τὰς δὲ τῶν ὀνοματικῶν ἢ μετοχικῶν πτώσεις ποτὲ μὲν πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, ποτὲ δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου· ἐν δὲ τοῖς συνδετικοῖς καὶ τοῖς προθετικοῖς μορίοις καὶ ἔτι μᾶλλον ἐν τοῖς διαρθροῦσι τὰς τῶν ὀνομάτων δυνάμεις ποιητοῦ τρόπον ἐνεξουσιάζων. πλεῖστα δ' ἄν τις ⟨εὕροι⟩ παρ' αὐτῷ σχήματα προσώπων τε ἀποστροφαῖς καὶ χρόνων ἐναλλαγαῖς καὶ τροπικῶν σημειώσεων μεταφοραῖς ἐξηλλαγμένα τῶν συνήθων καὶ σολοικισμῶν λαμβάνοντα φαντασίας· ὁπόσα τε γίγνεται πράγματα ἀντὶ σωμάτων ἢ σώματα ἀντὶ πραγμάτων· καὶ ἐφ' ὧν ἐνθυμημάτων ⟨τε καὶ νοημάτων⟩ αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι διὰ πολλοῦ τὴν ἀκολουθίαν κομίζονται· τά τε σκολιὰ | καὶ 869
πολύπλοκα καὶ δυσεξέλικτα καὶ τὰ ἄλλα τὰ συγγενῆ τούτοις. εὕροι δ' ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ' αὐτῷ, τὰς παρισώσεις λέγω

1 ὀνομαστικῶς MPf | λέγεται P 2 3 fort παθητικὰ⟨ποιῶν⟩ 3 τε] δὲ Δ | ἐναλάττων P ἀλλάττων Δ 4 ἀντικατηγορῶν Δf: ἐγκατηγορῶν MP 5 ἀρσενικοῖς MPf | ἀρρενικὰ MP: ἀρσενικὰ f ἄρρενα Δ 7 τῶν om Δ 7 et 9 τοτὲ Δ 9 τὸ . . . σημαινομένου] τὸ σημαινόμενον Δ 11 διαρθοῦσι P 12 νοημάτων Δ 13 εὕροι Δf: om MP | σχήματα] τῶν σχημάτων Δ 14 τοπικῶν MPfΔ: corr Kruegerus 15 μεταφοραῖς ex Δ Reiskius: διαφοραῖς MPf | τῶν συνήθων om Δ 17 γείνεται fuerat in Δ 18 ἐνθημημάτων P | τε καὶ νοημάτων Δ: om MPf. cf Sadaeus p 211 20 πολλοῦ] μακροῦ Δ

⟨καὶ παρομοιώσεις⟩ καὶ παρονομασίας καὶ ἀντιθέσεις, ἐν αἷς ἐπλεόνασε Γοργίας ὁ Λεοντῖνος καὶ οἱ περὶ Πῶλον καὶ Λικύμνιον καὶ πολλοὶ ἄλλοι τῶν κατ' αὐτὸν ἀκμασάντων. ἐκδηλότατα δὲ αὐτοῦ καὶ χαρακτηρικώτατά ἐστι τό τε πειρᾶσθαι δι' ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα καὶ πολλὰ συντιθέναι νοήματα εἰς ἕν, καὶ ⟨τὸ⟩ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι καταλείπειν· ὑφ' ὧν ἀσαφὲς γίνεται τὸ βραχύ. ἵνα δὲ συνελὼν εἴπω, τέτταρα μέν ἐστιν ὥσπερ ὄργανα τῆς Θουκυδίδου λέξεως· τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημάτων, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος τῶν σημασιῶν· χρώματα
870 δὲ αὐτῆς τό τε | στριφνὸν καὶ τὸ πυκνόν, καὶ τὸ πικρὸν καὶ τὸ αὐστηρόν, καὶ τὸ ἐμβριθὲς καὶ τὸ δεινὸν καὶ [τὸ] φοβερόν, ὑπὲρ ἅπαντα δὲ ταῦτα τὸ παθητικόν. τοιοῦτος μὲν δή τίς ἐστιν ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ παρὰ τοὺς ἄλλους διήνεγκεν. ὅταν μὲν οὖν ἥ τε προαίρεσις αὐτοῦ καὶ ἡ δύναμις συνεκδράμῃ, τέλεια γίνεται κατορθώματα καὶ δαιμόνια· ὅταν δὲ ἐλλείπῃ τὸ τῆς δυνάμεως, οὐ παραμείναντος μέχρι πάντων τοῦ τόνου, διὰ τὸ τάχος τῆς ἀπαγγελίας ἀσαφής τε ἡ λέξις γίνεται καὶ ἄλλας τινὰς ἐπιφέρει κῆρας οὐκ εὐπρεπεῖς. τὸ γὰρ ἐν ᾧ δεῖ τρόπῳ τὰ ξένα καὶ πεποιημένα λέγεσθαι καὶ μέχρι πόσου προελθόντα

1 καὶ παρομοιώσεις Δ: om MPf 4 χαρακτηρικότατα M χαρακτηκώτατα P 7 καὶ ἔτι MPfΔ 8 ἀκούεσθαι Δ | καταλιπεῖν MPfΔ: corr Reiskius 9 τέσσαρα Δ 12 τῶν σημασιῶν] τῶν σχημάτων MPf τῆς σημασίας Δ 13 στριφνὸν MPΔ: στρυφνὸν f | πικρὸν καὶ τὸ πυκνὸν Δ ordine male mutato | πυκνὸν] πικνὸν ex πικρὸν corr P 14 15 καὶ φοβερὸν Δ 15 δὲ αὐτοῦ ταῦτα Δ 16 τοιουτοσὶ Δ 17 περὶ f 21 ἀπαγγελίας f: ἐπαγγελίας MP nisi quod —λείας P 23 εὐπρεπὴς M | τόπῳ r Sylburgio auctore

πεπαῦσθαι, καλὰ καὶ ἀναγκαῖα θεωρήματα ἐν πᾶσιν ὄντα τοῖς ἔργοις, οὐ διὰ πάσης τῆς ἱστορίας φυλάττει.

Προειρημένων δὲ τούτων κεφαλαιωδῶς ἐπὶ τὰς ἀποδείξεις αὐτῶν ὥρα τρέπεσθαι. ποιήσομαι δὲ οὐ χωρὶς ὑπὲρ ἑκάστης ἰδέας τὸν λόγον, ὑποτάττων αὐταῖς | τὴν Θουκυδίδου λέξιν, ἀλλὰ κατὰ περιοχάς 871 τινας καὶ τόπους, μέρη λαμβάνων τῆς τε διηγήσεως καὶ τῶν ῥητορειῶν καὶ παρατιθεὶς τοῖς τε πραγματικοῖς καὶ τοῖς λεκτικοῖς κατορθώμασιν ἢ ἁμαρτήμασι τὰς αἰτίας, δι' ἃς τοιαῦτά ἐστι· δεηθεὶς σοῦ πάλιν καὶ τῶν ἄλλων φιλολόγων τῶν ἐντευξομένων τῇ γραφῇ, τὸ βούλημά μου τῆς ὑποθέσεως ἧς προῄρημαι σκοπεῖν, ὅτι χαρακτῆρός ἐστι δήλωσις ἅπαντα περιειληφυῖα τὰ συμβεβηκότα αὐτῷ καὶ δεόμενα λόγου, σκοπὸν ἔχουσα τὴν ὠφέλειαν αὐτῶν τῶν βουλησομένων μιμεῖσθαι τὸν ἄνδρα.

Ἐν ἀρχῇ μὲν οὖν τοῦ προοιμίου προθέσει χρησάμενος, ὅτι μέγιστος ἐγένετο τῶν πρὸ αὐτοῦ πολέμων ὁ Πελοποννησιακός, κατὰ λέξιν οὕτω γράφει· 'τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι ξυνέβη πιστεῦσαι, οὐ μεγάλα νομίζω γενέσθαι οὔτε κατὰ τοὺς πολέμους οὔτε εἰς τὰ ἄλλα. | φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη 872 οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε

19 Thuc I 1

5 τὸν λόγον f: τῶν λόγων MP 8 ῥητοειῶν P | τοῖς τε πρ. καὶ om P^1 15 τῶν om P^1 19 τὰ γὰρ πρὸ αὐτῶν in lacuna omissa rubro supplet M 21 ἀδύνατα Θ sed ἀδύνατον codd *FG* 22 ξυνέβη (ξυμέβη P^1) πιστεῦσαι MP: πιστεῦσαι ξυμβαίνει fΘ cf 355, 10 24 ἐς fΘ

οὖσαι τὰ πρότερα καὶ ῥαδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων αἰεὶ πλειόνων. τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι, ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες οὐδὲ γῆν φυ<τεύοντες>******

873 **<γνώ>μῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους. καταφρονήσαντες οὖν αὐτῶν καὶ ἐμβοήσαντες ἀθρόοι ὥρμησαν ἐπ' αὐτούς.' ἥδ' ἡ περιοχὴ ὤφελε μὲν κατεσκευάσθαι μὴ τοῦτον ὑπ' αὐτοῦ τὸν τρόπον, ἀλλὰ κοινότερον μᾶλλον καὶ ὠφελιμώτερον, τοῦ τελευταίου μορίου τῷ πρώτῳ προστεθέντος, τῶν δὲ διὰ μέσου τὴν μετὰ ταῦτα χώραν λαβόντων. ἀγκυλωτέρα μὲν οὖν ἡ φράσις οὕτω σχηματισθεῖσα γέγονε καὶ δεινοτέρα, σαφεστέρα δὲ καὶ ἡδίων ἐκείνως ἂν κατασκευασθεῖσα· 'Τῶν δὲ Λακεδαιμονίων οὐκέτι ἐπεκθεῖν, ᾗ προσπίπτοιεν, δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη, συστραφέντες καὶ ἐμβοήσαντες, ὥρμησαν ἐπ' αὐτοὺς ἀθρόοι· ἔκ τε τῆς ὄψεως τὸ θαρρεῖν προσειληφότες, ὅτι πολλαπλάσιοι 874 ἦσαν, καὶ ἐκ τοῦ μηκέτι δεινοὺς | αὐτοὺς ὁμοίως σφίσι

7 Thuc IV 34

1 ἕκαστος f 2 αἰεὶ MP: ἀεὶ fΘ 4 θαλάσης P 6 post φυ nouem folia uacua reliquit M: φύφηδεδουλωμένοι P sine lacunae indicio. Sylburgius post lacunam locum Thucydideum suppleuit 7 γνώμῃ] μη M φη P 8 οὖν αὐτῶν MP: om Θ inclusit f 9 ἥδ'] ἦν δ' MPf | ἡ περιοχὴ Mf: ὑπεροχὴ P sed in mg δὴ περιοχὴ manu recentissima | ὤφελε μὲν] ὠφελίμη MPf 11 ἀφελέστερον ci Reiskius, sed cf p 372, 4 11 μηρίου P 12 πρότω P 13 ἀσκυλωτέρα P^1 14 οὕτως M 16 ἐπελθεῖν M ἀπελθεῖν Pf | ᾗ M ἢ (cf p 368, 4) P: ἢ f | προσπίπτειεν M^2: προσπίπτειν M^1 Pf 17 βραδυστέρους P | ἤδη ... 366, 2 ὑπόληψιν uerba Thucydidis liberius mutata 18 καὶ βοήσαντες P 20 σφίσιν Pf

φαίνεσθαι καταφρονήσαντες, ἐπειδὴ οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ἣν ἔσχον ὑπόληψιν, ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ
26 Λακεδαιμονίους.' ὑπεξαιρουμένης δὲ τῆς περιγραφῆς πάσης, τἆλλα πάντα ὠνόμασταί τε τοῖς προσφυεστάτοις ὀνόμασι καὶ περιείληπται τοῖς ἐπιτηδειοτάτοις σχηματισμοῖς, ἀρετῆς τε οὐδεμιᾶς ὡς εἰπεῖν οὔτε λεκτικῆς οὔτε πραγματικῆς ἐνδεῶς ἔσχηκεν· ἃς οὐδὲν δέομαι πάλιν ἐξαριθμεῖσθαι.

'Εν δὲ τῇ ἑβδόμῃ βύβλῳ τὴν ἐσχάτην ναυμαχίαν 'Αθηναίων καὶ Συρακοσίων ἀφηγούμενος οὕτως ὠνόμακέ τε καὶ ἐσχημάτικε τὰ πραχθέντα· 'ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν 'Αθηναίων στρατηγοὶ ἐπέβησαν) ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος καὶ τὸν παραλειφθέντα διέκ|πλουν, βουλό- 875
μενοι βιάσασθαι ἐς τὸ ἔξω. προεξαναγόμενοι δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν καὶ πρότερον κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς 'Αθηναίοις· καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παρεβοήθει, ᾗπερ καὶ αἱ νῆες κατίσχυον. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακοσίοις Σικανὸς μὲν καὶ 'Αγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς

10 Thuc VII 69 extr—72 init 12 VII 69 17 c 70

2 ὑπόληψιν delebat Reiskius | ὅτε] ὅτι P 3 ἐπέβαινον Reiskius 10 βίβλω MP,f 11 Συρακουσίων f 15 τὸ om P 17 προεξαγαγόμεναι Θ 18 συρακόσιοι MP aeque constanter ac Συρακούσιοι f 20 κύκλ[ω] cum litura M 21 προσπίπτοιεν ... 22 ἅμα om M[1] | προσπίπτοις ἐν P 22 παραβοηθοῖ (—θῇ libri plerique) Θ | ἥπερ P | κατίσχοιεν fΘ recte

ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. ἐπειδὴ δὲ καὶ οἱ ἄλλοι 'Αθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ καὶ ἐπειρῶντο λύειν τὰς κλείσεις· μετὰ δὲ τοῦτο πανταχόθεν σφίσι τῶν Συρακοσίων καὶ τῶν συμμάχων ἐπιφερομένων οὐ μόνον πρὸς τῷ ζεύγματι ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο· καὶ ἦν καρτερὰ καὶ οἵα οὐχ ἑτέρα τῶν πρό-
876 τερον. πολλὴ | μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν, ὁπότε κελευσθείη, ἐγίγνετο, πολλὴ δ' ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους, οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προσπέσοι ναῦς νηί, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης, πᾶς τέ τις ἐν ᾧ προσετέτακτο αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. ξυμπεσουσῶν δ' ἐν ὀλίγῳ πολλῶν νεῶν (πλεῖσται γὰρ δὴ αὗται ἐν ὀλίγῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι) αἱ μὲν ἐκβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο· αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηὶ προσπεσοῦσα ἢ διὰ τὸ φυγεῖν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνοις ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ
877 προσμίξειαν, οἱ ἐπιβάται | εἰς χεῖρας ἰόντες ἐπειρῶντο

1 κοπρίνθιοι M[1] 2 δὲ om h | καὶ οἱ ἄλλοι etiam Thucydidis cod *E*: οἱ ἄλλοι Θ*ADFG* om *B* 6 καὶ τῶν] καὶ Θ | ξυμμάχων f | οὐ μόνον] οὐ Θ 7 ζεύματι P: ζεύγματι ἔτι μόνον Θ 8 οἷα M 9 πολλὴν M 17 ὀλίγω MP: ἐλαχίστῳ fΘ 18 ἐκβολαὶ MPf ut plerique Thucydidis codices: ἐμβολαὶ *CE* 21 φυγεῖν etiam Thucydidis codd *ADF*, ceteri φεύγειν 24 ἀφθόνοις M ἀφθονεῖς P: ἀφθόνως fΘ

ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. συνετύγχανέ τε πολ-
λαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις ἐμβεβλη-
κέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν
καὶ ἔστιν ἢ καὶ πλείους ναῦς κατ᾽ ἀνάγκην ξυνηρ-
τῆσθαι· καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακήν, τῶν
δ᾽ ἐπιβουλὴν μὴ καθ᾽ ἓν ἕκαστον, κατὰ πολλὰ δὲ παν-
ταχόθεν περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολ-
λῶν νεῶν συμπιπτουσῶν, ἔκπληξίν τε ἅμα καὶ ἀποστέ-
ρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ ἐφθέγγοντο παρέχειν.
πολλὴ γὰρ ἑτέρα ἡ παρακέλευσις καὶ ἡ βοὴ ἀφ᾽ ἑκα-
τέρων τοῖς κελευσταῖς κατά τε τὴν τέχνην καὶ πρὸς
τὴν ναυτικὴν φιλονεικίαν ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις
βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς
τὴν πατρίδα σωτηρίας νῦν, εἴ ποτε, προθύμως ἀντι-
λαμβάνεσθαι· τοῖς δὲ Συρακοσίοις καὶ ξυμμάχοις καλὸν
εἶναι κωλῦσαί τε αὐτοὺς | διαφυγεῖν, καὶ τὴν οἰκείαν 878
ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι· καὶ οἱ στρα-
τηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ᾽
ἀνάγκην πρύμναν κρουόμενον ἀνακαλοῦντες ὀνομαστὶ
τὸν τριήραρχον ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολε-
μιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι᾽ ὀλίγου πόνου
ἐκτημένης θαλάσσης ἡγούμενοι ἀποχωροῦσιν· οἱ δὲ

1 ξυνετύγχανέ f   4 ἢ] ἡ 'idemque sescentiens' P   7 μέγαν MΘ [μέγαν] f: om P   8 νεῶν MP ut Thucydidis libri *ABDEF*: [τῶν] νεῶν f | ξυμπιπτουσῶν f   9 φθέγγοιντο Θ   10 ἑτέρα ἡ M¹P: δὴ ἡ Thucydidis *B* δὴ M² f cum ceteris Θ libris | καὶ ἡ MP καὶ [ἡ] f: καὶ Θ   12 ναυτικὴν MP: αὐτίκα fΘ   14 νῦν εἴ] νυνί P | ποτε MP: ποτε καὶ αὖθις fΘ | ἀντιλαβέσθαι Θ   16 κωλύσαι f   17 ἑκάστου f | νικήσαντες M¹h   18 ὁρῶ[ε]ν cum litura M   19 πρΰμναν sed μ puncto deletum M πρὄμναν P   21 [γῆν] f | δι᾽] δε᾽ P   [πόνου] f omittunt Θ libri *ADEFG*   22 ἐκτημένης M¹ ἠκτημένης P: κεκτημένης M²fΘ

Συρακόσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθη-
ναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύ-
γοντας φεύγουσιν. ὅ τ᾽ ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων
ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας πολὺν τὸν
ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν
ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ
οἱ ἐπελθόντες, μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι.
πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς
879 ναῦς ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοι|κὼς
καὶ διὰ τὸ ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας
ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν· δι᾽ ὀλίγου γὰρ οὔσης
τῆς θέας καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων,
εἰ μέν τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας,
ἀνεθάρσησάν τε ἂν καὶ πρὸς ἀνάκλησιν θεῶν μὴ
στερῆσαι σφᾶς τῆς σωτηρίας ἐτρέποντο· οἳ δὲ ἐπὶ τὸ
ἡσσώμενον βλέψαντες ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς
ἐχρῶντο καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν
γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο· ἄλλοι
δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες
διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν
αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες ἐν τοῖς
χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ᾽ ὀλίγον ἢ διέφευγον
ἢ ἀπώλλυντο. ἦν τε ἐν τῷ στρατεύματι τῶν Ἀθηναίων,
ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλο-
880 φυρμὸς βοή, νικῶντες κρατούμενοι, ἄλλα ὅσα ἐν | με-
γάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο

3 Thuc VII 71

1 Ἀθηναίους emblema Dionysio uetustius   10 ἀνώμαλλον P   14 τε] ται P   19 ἀντὶ παλού P ἀντιπάλου f | ἀποδόντες pr P   23 τῷ MPf ut Θ libri *ADEF*: τῷ αὐτῷ ceteri Θ

φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον, πρίν γε δὴ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. τότε δὴ ὁ μὲν ναυτικὸς στρατὸς ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον. ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακήν· ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς καὶ ὅπῃ σωθήσονται διεσκόπουν. ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. παραπλήσιά τε ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις προσαπώλλυντο αὐτοῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβε|βηκότες. καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν 881 τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται. γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνδρῶν ἀπολομένων οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τρόπαιον ἔστησαν.'

20 Thuc VII 72

4 λαμπρῶς...5 χρώμενοι om P 6 δὴ] δὲ Θ 9 οἰμωγῆν P 13 ὅπη an εἴπη M non liquet 15 τε πεπόνθεσαν Θ 16 διαφθαρρεισῶν M 17 αὐτοῖς MPf ut Θ libri *ABDEF*: αὐταῖς ceteri Θ, r | διεβεβηκότες P 19 παράλογον MΘ 21 ἀπολλομένων P 22 ἐπικρατήσαντες MΘ: ἐπικρατοῦντες Pf 23 πόλην P

Ἐμοὶ μὲν δὴ ταῦτα καὶ τὰ παραπλήσια τούτοις 27 ἄξια ζήλου τε καὶ μιμήσεως ἐφάνη, τήν τε μεγαληγορίαν τοῦ ἀνδρὸς καὶ τὴν καλλιλογίαν καὶ τὴν δεινότητα καὶ τὰς ἄλλας ἀρετὰς ἐν τούτοις τοῖς ἔργοις ἐπείσθην τελειοτάτας εἶναι, τεκμαιρόμενος, ὅτι πᾶσα ψυχὴ τούτῳ τῷ γένει τῆς λέξεως ἄγεται, καὶ οὔτε τὸ ἄλογον τῆς διανοίας κριτήριον, ᾧ πεφύκαμεν ἀντιλαμβάνεσθαι τῶν ἡδέων ἢ ἀνιαρῶν, ἀλλοτριοῦται πρὸς αὐτὸ οὔτε τὸ λογικόν, ἐφ' οὗ διαγιγνώσκεται τὸ ἐν
882 ἑκά|στῃ τέχνῃ καλόν· οὐδ' ἂν ἔχοιεν οὐθ' οἱ μὴ πάνυ λόγων ἔμπειροι πολιτικῶν εἰπεῖν, ἐφ' ὅτῳ δυσχεραίνουσιν ὀνόματι ἢ σχήματι, οὔθ' οἱ πάνυ περιττοὶ καὶ τῆς τῶν πολλῶν ὑπερορῶντες ἀμαθίας μέμψασθαι τὴν κατασκευὴν ταύτης τῆς λέξεως, ἀλλὰ καὶ τὸ τῶν πολλῶν καὶ ⟨τὸ⟩ τῶν ὀλίγων τὴν αὐτὴν ὑπόληψιν ἕξει· ὁ μέν γε πολὺς ἐκεῖνος ἰδιώτης οὐ δυσχερανεῖ τὸ φορτικὸν τῆς λέξεως καὶ σκολιὸν καὶ δυσπαρακολούθητον· ὁ δὲ σπάνιος καὶ οὐδ' ἐκ τῆς ἐπιτυχούσης ἀγωγῆς γιγνόμενος τεχνίτης οὐ μέμψεται τὸ ἀγεννὲς καὶ χαμαιτυπὲς καὶ ἀκατάσκευον. ἀλλὰ συνῳδὸν ἔσται τό τε λογικὸν καὶ τὸ ἄλογον κριτήριον, ὑφ' ὧν ἀμφοτέρων ἀξιοῦμεν ἅπαντα κρίνεσθαι κατὰ τὰς τέχνας.

* * * *

ἐργάσηται θάτερον, οὐκέτι καλὸν οὐδὲ τέλειον ἀποδίδωσι τὸ ἕτερον. ἐγὼ γοῦν οὐκ ἔχω, πῶς ἐκεῖνα ἐπαι- 28

5 τεκμαιρόμεν[ος] cum litura M 6 οὔτι pr P 9 αὐτό* cum rasura M | ἐφ' MP: ὑφ' f | διαγινώσκεται M 10 ἡκάστη P 11 πολιτεικῶν P 12 οἱ M^2f: οἱ μὴ M^1P 13 πέμψασθαι P^1 15 καὶ τῶν ἀλόγων MPf: corr Reiskius 16 δυσχεραίνει MPf: corr idem 18 ὑποτυχούσης MP: τυχούσης f 19 ἀγεννὲς Mf: ἀγενὲς Ph 23 hiatum indicaui iam a Sylburgio notatum 25 γ' οὖν MP

νέσω τὰ δοκοῦντα μεγάλα καὶ θαυμαστὰ εἶναί τισιν, ὅσα μηδὲ τὰς | πρώτας ἀρετὰς ἔχει καὶ κοινοτάτας, ἀλλ' 883 ἐκνενίκηται τῷ περιέργῳ καὶ περιττῷ μήτε ἡδέα εἶναι μήτε ὠφέλιμα· ὧν ὀλίγα παρέξομαι δείγματα παρατιθεὶς εὐθὺς ἑκάστοις τὰς αἰτίας, δι' ἃς περιέστηκεν εἰς τὰς ἐναντίας ταῖς ἀρεταῖς κακίας. ἐν μὲν οὖν τῇ τρίτῃ βύβλῳ τὰ περὶ Κέρκυραν ὠμὰ καὶ ἀνόσια ἔργα διὰ τὴν στάσιν εἰς τοὺς δυνατωτάτους ἐκ τοῦ δήμου γενόμενα διεξιών, ἕως μὲν ἐν τῷ κοινῷ καὶ συνήθει τῆς διαλέκτου τρόπῳ τὰ πραχθέντα δηλοῖ, σαφῶς τε καὶ συντόμως καὶ δυνατῶς ἅπαντα εἴρηκεν· ἀρξάμενος δὲ ἐπιτραγῳδεῖν τὰς κοινὰς τῶν Ἑλλήνων συμφορὰς καὶ τὴν διάνοιαν ἐξαλλάττειν ἐκ τῶν ἐν ἔθει μακρῷ τινι γίγνεται χείρων αὐτὸς ἑαυτοῦ. ἔστι δὲ τὰ μὲν πρῶτα, ὧν οὐδεὶς ἂν ὡς ἡμαρτημένων ἐπιλάβοιτο, ταῦτα· 'Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τοὺς Μεσσηνίους εἰς τὴν πόλιν ἤγαγον πρότερον ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι | κελεύσαντες, ἃς 884 ἐπλήρωσαν, ἐς τὸν Ὑλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν ἀπέκτεινον, καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν εἰσβῆναι ἐκβιβάζοντες ἀνεχρῶντο· εἰς τὸ Ἡραιόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν καὶ κατέ-

16 Thuc III 81

2 καὶ om P 4 ὠφέλημα M^1 6 κακίαις M^1 7 βίβλῳ MP, f 9 συνήθη P 13 ἐξαλάττειν P 14 γίγεται P^1 16 αἰσθανόμενοι f 17 προσπλεούσας ... 19 ναῦς om P 18 τοὺς M: τούς τε fΘ | μεσηνίους M^1, f | ἐς f 20 ἐλαϊκὸν (ὑ sscr) M^1 21 ἀπέκτειρον P 22 ἐσβῆναι f | ἀνεχρῶντο MP ἀπεχρῶντο γρ *F* in Θ: ἀνεχώρησαν f ἀπεχώρησαν Θ cf Pollux IX 153 Hesychius Suidasque u ἀνεχρήσαντο 23 ἐς f | οἰκετῶν P

γνωσαν ἁπάντων θάνατον· οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειρον ἐν τῷ ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἳ δ' ὡς ἕκαστοι ἐδύναντο ἀνηλοῦντο. ἡμέρας τε ἑπτά, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον 885 δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι | χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων. πᾶσά τε ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω· καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο καὶ πρὸς αὐτοῖς ἐκτείνοντο, οἳ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον οὕτως ὠμὴ στάσις προὐχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο· ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς εἰπεῖν τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν ⟨οὐσῶν⟩ ἑκασταχοῦ τοῖς τε τῶν δήμων προστάταις τοὺς Ἀθηναίους ἐπάγεσθαι καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους.'

ἃ δὲ τούτοις ἐπιφέρει, σκολιὰ καὶ δυσπαρακολούθητα καὶ τὰς τῶν σχηματισμῶν πλοκὰς σολοικοφανεῖς ἔχοντα καὶ οὔτε τοῖς κατ' ἐκεῖνον τὸν βίον γενομένοις ἐπιτηδευθέντα οὔτε τοῖς ὕστερον, ὅτε μάλιστα ἤκμασεν 29

17 Thuc III 82

1 πάντων Θ 2 διέφθειρον MP: διέφθειραν αὐτοῦ fΘ 4 ἀνηλοῦντο M^2fΘ: ἀναλοῦντο M^1P 6 παρέμεινε κερκυραίοις MP: παρέμεινε, οἱ Κερκ. f 7 ἐχροὺς P 8 τὸν] τῶν P 9 ἰδέας pr P 14 15 καὶ [οἱ] π. f 18 οὐσῶν fΘ: om MP 24 τὸν βίον etsi otiosum est, caue ne suspectes

ἡ πολιτικὴ δύναμις· ἃ μέλλω νυνὶ λέγειν· 'ἐστα|σίαζέν 886
τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που ἐπιπύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ.' ἐν τούτοις τὸ μὲν πρῶτον τῶν κώλων περιπέφρασται πρὸς οὐδὲν ἀναγκαῖον· 'ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων'· ὑγιέστερον γὰρ ἦν εἰπεῖν 'ἐστασίαζον αἱ πόλεις'. τὸ δ' ἐπὶ τούτῳ λεγόμενον· 'καὶ τὰ ἐφυστερίζοντά που' δυσείκαστόν ἐστι· σαφέστερον δ' ἂν ἐγένετο ῥηθὲν οὕτως· 'αἱ δ' ὑστεροῦσαι πόλεις'. οἷς ἐπίκειται· 'ἐπιπύστει τῶν προγεγενημένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν ἐς τὸ καινοῦσθαι τὰς διανοίας'· βούλεται μὲν γὰρ λέγειν· 'οἱ δὲ ὑστερίζοντες ἐπιπυνθανόμενοι τὰ γεγενημένα παρ' ἑτέροις ἐλάμβανον ὑπερβολὴν ἐπὶ τὸ διανοεῖσθαί τι καινότερον'· χωρὶς δὲ τῆς πλοκῆς οὐδὲ οἱ τῶν ὀνομάτων σχηματισμοὶ ταῖς ἀκοαῖς εἰσιν ἡδεῖς. τούτοις ἐπιφέρει κεφάλαιον ἄλλο | ποιητικῆς, μᾶλλον δὲ διθυ- 887
ραμβικῆς σκευωρίας οἰκειότερον· 'τῶν τ' ἐπιχειρήσεων ἐπιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ· καὶ τὴν εἰωθυῖαν τῶν ὀνομάτων ἀξίωσιν ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει.' ὃ γὰρ βούλεται δηλοῦν ἐν τῇ δυσεξελίκτῳ πλοκῇ, τοιοῦτόν ἐστι· 'πολλὴν τὴν ἐπίδοσιν ἐλάμβανον

1 Thuc III 82, 3

1 πολιτηκὴ P | ἐστασίαζέν τε] ἐστασιάζοντο MP ἐστασίαζόν τε f. cf u 7 2 ἐπὶ πύστει MP: πύστει fΘ. emendauit Reiskius cf u 14 3 πολὺ MPfΘ: πολλὴν Reiskius cf u 12 4 τοῦ] u 12 ἐς τὸ probatum Stahlio uereor ne ex interpretatione p 375, 1 sumptum sit cf u 15 7 ἐστασιάζετο MPf εστίζέστα- (α supra ι) σιάζετο pr P: corr Sylburgius 10 οὕτω libri 12 πολὺ M: πολλὴν Pf | ἐς τὸ] supra τοῦ 15 ἑτέροις MP: ἑτέρων f 22 δυσεξελίκτῳ f: δυσεξελέκτω P δυσεξελέγκτω M

εἰς τὸ διανοεῖσθαί τι καινότερον περὶ τὰς τέχνας τῶν ἐγχειρημάτων καὶ περὶ τὰς ὑπερβολὰς τῶν τιμωριῶν· τά τε εἰωθότα ὀνόματα ἐπὶ τοῖς πράγμασι λέγεσθαι μετατιθέντες ἄλλως ἠξίουν αὐτὰ καλεῖν.' ἡ δ' 'ἐπιτέχνησις' καὶ ἡ 'τῶν τιμωριῶν ἀτοπία' καὶ ἡ 'εἰωθυῖα τῶν ὀνομάτων ἀξίωσις' καὶ ἡ 'εἰς τὰ ἔργα ἀντηλλαγμένη δικαίωσις' περιφράσεως ποιητικῆς ἐστιν οἰκειοτέρα. οἷς ἐπιτίθησι τὰ θεατρικὰ σχήματα ταυτί· 'τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής'· παρομοιώσεις γὰρ ἀμφότερα ταῦτα καὶ παρισώσεις περιέχει, καὶ τὰ ἐπίθετα
888 καλλωπισμοῦ χάριν | κεῖται· τὸ γὰρ οὔτε θεατρικὸν * * ἀλλ' ἀναγκαῖον τῆς λέξεως σχῆμα τοιοῦτ' ἂν ἦν· 'τὴν μὲν γὰρ τόλμαν ἀνδρίαν ἐκάλουν, τὴν δὲ μέλλησιν δειλίαν.' ὅμοια δὲ τούτοις ἐστὶ καὶ τὰ συναπτόμενα· 'τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν συνετὸν ἐπὶ πᾶν ἀργόν'· κυριώτερον δ' ἂν οὕτως ἐλέχθη· 'οἱ δὲ σώφρονες ἄνανδροι, καὶ οἱ συνετοὶ πρὸς ἅπαντα ἐν ἅπασιν ἀργοί.'

εἰ μέχρι τούτων προελθὼν ἐπαύσατο τὰ μὲν καλ- 30
λωπίζων, τὰ δὲ σκληραγωγῶν τὴν λέξιν, ἧττον ἂν ὀχληρὸς ἦν. νῦν δ' ἐπιτίθησιν· 'ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων πιστὸς ἀεί, ὁ δ' ἀντιλέγων αὐτῷ ὕποπτος.' καὶ γὰρ ἐν τούτοις πάλιν ἄδηλον μέν ἐστι, τίνα βού-

8 Thuc III 82, 4 23 III 82, 5

3 πράγμασιν P 6 ἀντηλλαμένη P 8 ἐπίθησι P 9 φιλαίτερος P 11 περισώσεις M[1] 12 καλωπισμοῦ P | alterum membrum deesse uidit Reiskius 17 ξυνετὸν f | ἐπίπαν MPf 19 ἅπασι P 20 τὰ μὲν iterat P 22 ἐπιτήθησιν P | ἐπιτίθησιν ἀσφαλεία· Ἀσφάλεια δὲ f

λεται δηλοῦν τὸν χαλεπαίνοντα καὶ περὶ τίνος, τίνα δὲ τὸν ἀντιλέγοντα καὶ ἐφ' ὅτῳ. | 'ἐπιβουλεύσας δέ τις' 889 φησί 'τυχών τε ξυνετός, καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῷ δεήσει, τῆς ἑταιρίας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος.' οὔτε γὰρ ὁ 'τυχών' ἐμφαίνει μᾶλλον, ὃ βούλεται δηλοῦν, οὔτε ὁ αὐτὸς τυχών τε καὶ ὑπονοήσας ἅμα νοεῖσθαι δύναται, εἴ γε ὁ μὲν τυχὼν ἐπὶ τοῦ κατορθώσαντος καὶ ἐπιτυχόντος ὃ ἤλπισε λέγεται, ὁ δὲ ὑπονοήσας ἐπὶ τοῦ προαισθομένου τὸ μήπω πραχθὲν ἀλλ' ἔτι μέλλον κακόν. καθαρὸς δὲ καὶ τηλαυγὴς ὁ νοῦς οὕτως ἂν ἦν· 'οἵ τ' ἐπιβουλεύοντες ἑτέροις εἰ κατορθώσειαν, δεινοί· καὶ οἱ τὰς ἐπιβουλὰς προύπονοοῦντες εἰ φυλάξαιντο, ἔτι δεινότεροι· ὁ δὲ προϊδόμενος, ὅπως μηδὲν αὐτῷ δεήσει μήτ' ἐπιβουλῆς μήτε φυλακῆς, τάς τε ἑταιρίας διαλύειν ἐδόκει καὶ τοὺς ἐναντίους ἐκπεπλῆχθαι.' |

31 μίαν δὲ τούτοις ἐπιθεὶς περίοδον ἀγκύλως εἰρη- 890 μένην καὶ δυνατῶς μετὰ τοῦ σαφῶς· 'ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον' ποιητικῇ πάλιν χρήσεται μεταλήψει· 'καὶ μὴν καὶ τὸ συγγενὲς τοῦ

2 Thuc III 82, 5   22 III 82, 6

2 δέ τι f   3 τυχών τε] τυχὼν Θ | ξυνετός f | ὑπονοήσας fΘ: ἐπινοήσας MP   4 αὐτῶ MP: αὐτῶν fΘ | τῆς MP: τῆς τε fΘ | ἑτερίας δια||αλυτὴς P   5 ἐκπεπλησμένος P   7 τυχῶν M | ἐπινοήσας MPf | νοῆσθαι f   9 ὑπονοήσας MP: νοήσας f   10 ἔτι M: ἔστι Pf | μᾶλλον MPf: corr Reiskius   11 τηλαυγὴς cf p 336, 18   13 προεπινοοῦντες Mf προεπινοῦντες P: corr Reiskius   14 προειδόμενος MPf   15 αὐτῶ MP, f | ἐπιβουλὴς M   21 μὴ ἀνοούμενον P   22 χρήσεται P χρήσασθαι M: ἐχρήσατο f. cf Sadaeus p 216 | ξυγγενὲς f

ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν.' τὸ γὰρ 'συγγενές' καὶ τὸ 'ἑταιρικόν' ⟨ἀντὶ τῆς συγγενείας καὶ τῆς ἑταιρίας⟩ κείμενον μετείληπται· τό τε 'ἀπροφασίστως τολμᾶν' ἄδηλον, εἴ τε ἐπὶ τῶν φίλων κεῖται νῦν εἴ τε ἐπὶ τῶν συγγενῶν. αἰτίαν γὰρ ἀποδούς, δι' ἣν τοὺς συγγενεῖς ἀλλοτριωτέρους ἔκρινον τῶν φίλων, ἐπιτίθησιν, ὅτι τόλμαν ἀπροφάσιστον παρείχοντο. σαφὴς δ' ἂν ἦν ⟨ὁ⟩ λόγος, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον κατὰ τὴν ἑαυτοῦ βούλησιν σχηματίζων· 'καὶ μὴν καὶ τὸ ἑταιρικὸν οἰκειότερον ἐγένετο τοῦ συγγενοῦς διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν.' περιπέφρασται δὲ καὶ τὰ ἐπὶ τούτοις, καὶ οὔτε ἰσχυρῶς οὔτε σαφῶς ἀπήγ- 891 γελται· 'οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφε|λείας αἱ τοιαῦται σύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ.' ὁ μὲν νοῦς ἐστι τοιόςδε· 'οὐ γὰρ ἐπὶ ταῖς κατὰ νόμον ὠφελείαις αἱ τῶν ἑταιριῶν ἐγίνοντο σύνοδοι, ἀλλ' ἐπὶ τῷ παρὰ τοὺς νόμους τι πλεονεκτεῖν.' 'Καὶ ὅρκοι' φησίν 'εἴ που ἄρα ἐγίγνοντο συναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ⟨ἑκατέρῳ⟩ διδόμενοι ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν'· ἐν τούτοις

2 *ἀντὶ γὰρ τῆς συγγενείας καὶ τῆς ἑταιρίας εἶπεν μεταλαβὼν συγγενές καὶ ἑταιρικόν.* SCHOLION M   19 Thuc III 82, 7

1 ἑτερικοῦ P   2 ἀποφασίστως P   3 suppleui secundum scholion: ⟨ἀντὶ συγγενῶν καὶ ἑταίρων⟩ supplet Kruegerus   6 ἀποδιδοὺς MPf: corr Sadaeus l. s.   9 ὁ cum Kruegero addidi | ἐξήνεγκεν P   11 τοῦ συγγενὲς P[1] τοὺς συγγενοὺς M   12 παραπέφρασται M[1]   14 ὠφελίας Θ ὠφελίᾳ Dionysium legisse u 16 apparet   15 ξύνοδοι f   17 ἐγίγνοντο f | (σύ)νοδοι ἀλλ' ... 19 συ(ναλλαγῆς) iterat P   19 γένοιντο Θ et infra libri | ξυναλλαγῆς f   20 ἑκατέρῳ fΘ: om MP sed cf p 378, 6. 9. 11   21 ἴσχον P   23 ἑτερικὸν M

ὑπερβατόν τε καὶ περίφρασις· οἱ μὲν γὰρ ‘ὅρκοι τῆς συναλλαγῆς’ τὸ σημαινόμενον ἔχουσι τοιοῦτον· ‘οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι εἴ που ἄρα γένοιντο’. τὸ δὲ ‘ἴσχυον’ δι’ ὑπερβατοῦ κείμενον τῷ ‘αὐτίκα’ ἕπεται, βούλεται γὰρ δηλοῦν ‘ἐν τῷ παραυτίκα ἴσχυον’· τὸ δὲ ‘πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν’ σαφέστερον ἂν ἦν οὕτως ἐξενεχθέν· ‘διὰ τὸ μηδεμίαν ἄλλην ἔχειν δύναμιν κατὰ τὸ ἄπορον ἑκατέρῳ διδόμενοι’. τὸ δὲ κατάλληλον τῆς διανοίας
ἦν ἂν τοιοῦτο· | ‘οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι εἴ που 892
ἄρα γένοιντο, ἀπορίᾳ πίστεως ἄλλης ἑκατέρῳ διδόμενοι
32 ἐν τῷ παραχρῆμα ἴσχυον.’ σκολιώτερα δὲ τούτων ἐστὶ καὶ ἃ μετὰ ταῦτα τίθησιν· ‘ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρρῆσαι εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς· καὶ τό τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι ἀπάτῃ περιγενόμενος συνέσεως ἀγώνισμα προσελάμβανε’· τὸ δὴ ‘παρατυχόν’ ἀντὶ τοῦ ‘παραχρῆμα’ κεῖται, τό τε ‘ἄφρακτον’ ἀντὶ τοῦ ‘ἀφυλάκτου’ καὶ τὸ ‘ἥδιον τιμωρεῖσθαι διὰ τὴν πίστιν μᾶλλον ἢ ἀπὸ τοῦ προφανοῦς’ σκοτεινῶς περιπέφρασται, καὶ ἐλλείπει τι μόριον εἰς τὸ συμπληρωθῆναι τὴν νόησιν. εἰκάζειν δὲ ἔστιν, ὅτι τοῦτο βούλεται λέγειν· ‘εἰ δέ που παρατύχοι τινὶ καιρὸς καὶ μάθοι τὸν ἐχθρὸν ἀφύλακτον, ἥδιον ἐτιμωρεῖτο, ὅτι πιστεύσαντι ἐπέθετο μᾶλλον ἢ φυλαττομένῳ· καὶ συνέσεως δόξαν προσελάμβανε, τό τε ἀσφαλὲς λογιζόμενος καὶ ὅτι διὰ τὴν
ἀπάτην | αὐτοῦ περιεγένετο.’ ‘ῥᾷον δ’ οἱ πολλοὶ κακοῦρ- 893

1 ὑπερβατόν τε M ὑπερβατοῦντες P 3 γένοντο P¹ 4 ὑπερβάτου Pf 6 διδόμενον MP 7 δύναμις P 9 δεδόμενοι M δεδομένοι P 13 δὲ om P¹ 14 εἰ in litura M ἢ P 15 πίστην P 16 ξυνέσεως f 17 δὴ] δὲ MPf γὰρ ci Sadaeus p 217 21 μώριον P | συμπληρωθῇ P 24 ἀπέθετο P

γοι’ φησίν ‘ὄντες δεξιοὶ κέκληνται ἢ ἀμαθεῖς ἀγαθοί, καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται’· ταῦτα γὰρ ἀγκύλως μὲν εἴρηται καὶ βραχέως, ἐν ἀφανεῖ δὲ κείμενον ἔχει τὸ σημαινόμενον. χαλεπὸν γὰρ μαθεῖν, τίνας δή ποτε νοεῖ τοὺς ἀμαθεῖς τε καὶ ἀγαθούς· εἴ τε γὰρ ἀντιδιαστέλλεται πρὸς τοὺς κακούργους, οὐκ ἂν εἴησαν ἀμαθεῖς οἱ μὴ κακοί· εἴ τ’ ἐπὶ τῶν ἀνοήτων καὶ ἀφρόνων τίθησι τοὺς ἀμαθεῖς, κατὰ τί δή ποτε τούτους ἀγαθοὺς καλεῖ; ‘καὶ τῷ μὲν αἰσχύνονται’ τίνες; ἄδηλον γὰρ πότερον ἀμφότεροι ἢ οἱ ἀμαθεῖς. ‘ἐπὶ δὲ τῷ ἀγάλλονται’ κἀνταῦθα ἄδηλον, τίνες· εἰ μὲν γὰρ ἐπ’ ἀμφοτέρων τίθησιν, οὐκ ἔχει νοῦν· οὔτε γὰρ ἐπὶ τοῖς κακούργοις οἱ ἀγαθοὶ ἀγάλλονται οὔτ’ ἐπὶ τοῖς ἀμαθέσιν οἱ κακοῦργοι αἰσχύνονται.

Οὗτος ὁ χαρακτὴρ τῆς ἀσαφοῦς καὶ πεπλεγμένης 33
λέξεως, ἐν ᾗ πλείων ἔνεστι τῆς θέλξεως ἡ σκοτίζουσα
894 τὴν διάνοιαν ὄχλησις, ἕως ἑκατὸν ἐκμηκύνεται στί|χων. θήσω δὲ καὶ τὰ ἑξῆς οὐδεμίαν ἔτι λέξιν ἐμαυτοῦ προστιθείς· ‘πάντων δ’ αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν, ἐκ δ’ αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετὰ ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο· παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων

19 Thuc III 82, 8

2 αὐχύνονται P 5 τοὺς ex corr (τὶς?) M 8 τίθνη τοὺς pr P 10 ἄδηλοι pr P 15 πεπληγμένης MP sed γ sscr M¹ 16 θέλξεως] λέξεως MPf 18 δὴ MPf: corr Kruegerus | οὐδὲ μίαν ferebatur 19 ἀρχὴ ἡ MPΘ: ἡ ἀρχὴ ἡ f 22 μετ’ f 24 θεραπεύοντας P

περιγενέσθαι ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῄεσάν τε
τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ
πόλει ξυμφόρου προστιθέντες, ἐς δὲ τὸ ἑκατέροις που
αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες· καὶ ἢ μετὰ ψήφου ἀδίκου
καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν ἕτοιμοι ἦσαν
τὴν αὐτίκα φιλονεικίαν ἐκπιμπλάναι. ὥςτ᾽ εὐσεβείᾳ μὲν
οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου, οἷς ξυμβαίη
ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον· τὰ δὲ
μέσα τῶν πολιτῶν ὑπ᾽ ἀμφοτέρων, ἢ ὅτι οὐκ ἐξηγωνί-
ζοντο ἢ ὅτι φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο. οὕτω |
πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ 895
Ἑλληνικῷ· καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον
μετέχει, καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι
ἀλλήλοις τῇ γνώμῃ ἀπίστως ἐπὶ πολὺ διήνεγκεν. οὐ
γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς οὔτε ὅρκος
φοβερός. κρείττους δὲ ὄντες πάντες λογισμῷ ἐς τὸ
ἀνέλπιστον τοῦ βεβαίου μὴ παθεῖν μᾶλλον προεσκόπουν
ἢ πιστεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην ὡς
τὰ πλείω περιεγίγνοντο. τῷ γὰρ δεδιέναι τό τε αὑτῶν
ἐνδεὲς καὶ τὸ τῶν ἐναντίων ξυνετόν, μὴ λόγοις τε
ἥττους ὦσι καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης
φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα
ἐχώρουν· οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ
ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν, ἃ γνώμῃ ἔξεστιν,

11 Thuc III 83

1 περιγενέσθαι MP: περιγίγνεσθαι fΘ | τὰ δεινὰ P 6 ἐκπιπλάναι P 7 ξυμβαίη] ξυμβαίνη μὴ P 9 οὐκ ἐξηγωνίζοντο P οὐκ ἐξηγωνίζετο M: οὐ ξυνηγωνίζοντο fΘ 10 ἢ ὅτι MP: ἢ fΘ 16 πάντες MP: ἅπαντες fΘ 16 ἐς τὸ] ἐν τῷ P 18 φαυλότατοι P 19 αὐτῶν MPf 20 λόγοις τι ἥττους M 22 φθάνωσι M[1]

ἄφρακτοι μᾶλλον διεφθείροντο.᾽ Ἐκ πολλῶν ἔτι δυνά-
μενος παραδειγμάτων ποιῆσαι φανερόν, ὅτι κρείττων
896 ἐστὶν ἐν τοῖς διηγή|μασιν, ὅταν ἐν τῷ συνήθει καὶ
κοινῷ τῆς διαλέκτου χαρακτῆρι μένῃ, χείρων δέ, ὅταν
ἐκτρέψῃ τὴν διάλεκτον ἐκ τῆς συνήθους ἐπὶ τὰ ξένα
ὀνόματα καὶ βεβιασμένα σχήματα, ὧν ἔνια σολοικισμῶν
παρέχεται δόξαν, ἀρκεσθήσομαι τούτοις, ἵνα μὴ περαι-
τέρω τοῦ δέοντος ἡ γραφή μοι προβῇ.

Ἐπεὶ δὲ καὶ περὶ τῶν δημηγοριῶν αὐτοῦ τὰ δο- 34
κοῦντά μοι φανερὰ ποιήσειν ὑπεσχόμην, ἐν αἷς οἴονταί
τινες τὴν ἄκραν τοῦ συγγραφέως εἶναι δύναμιν, διελό-
μενος καὶ ταύτην διχῇ τὴν θεωρίαν εἴς τε τὸ πραγμα-
τικὸν μέρος καὶ εἰς τὸ λεκτικὸν χωρὶς ὑπὲρ ἑκατέρου
ποιήσομαι τὸν λόγον, ἀρξάμενος ἀπὸ τοῦ πραγματικοῦ.
ἐν ᾧ πρώτην μὲν ἔχει μοῖραν ἡ τῶν ἐνθυμημάτων τε
καὶ νοημάτων εὕρεσις, δευτέραν δὲ ἡ τῶν εὑρεθέντων
χρῆσις· ἐκείνη μὲν ⟨ἐν⟩ τῇ φύσει μᾶλλον ἔχουσα τὴν
ἰσχύν, αὕτη δὲ ἐν τῇ τέχνῃ. τούτων ἣ μὲν πλέον
ἔχουσα τοῦ τεχνικοῦ τὸ φυσικὸν καὶ διδαχῆς ἐλάττονος
897 δεομένη θαυμαστή | τίς ἐστι παρὰ τῷ συγγραφεῖ· φέρει
γὰρ ὥςπερ ἐκ πηγῆς πλουσίας ἄπειρόν τι χρῆμα νοη-
μάτων τε καὶ ἐνθυμημάτων περιττῶν καὶ ξένων καὶ
παραδόξων. ἣ δὲ πλεῖον ἔχουσα τὸ τεχνικὸν καὶ λαμ-
προτέραν ποιοῦσα φαίνεσθαι τὴν ἑτέραν ἐνδεεστέρα
τοῦ δέοντος ἐπὶ πολλῶν. ὅσοι μὲν οὖν ἐκτεθαυμάκασιν
αὐτὸν ὑπὲρ τὸ μέτριον, ὡς μηδὲν τῶν θεοφορήτων
διαφέρειν, διὰ τὸ πλῆθος ἐοίκασι τῶν ἐνθυμημάτων
τοῦτ᾽ ἐσχηκέναι τὸ πάθος. οὓς ἐὰν διδάσκῃ τις ἐφ᾽

15 ἔχοι f 17 μὲν ἐν f: μὲν MP 19 διμαχῆς P 22 τε καὶ M: καὶ Pf | ξένον P[1] 24 ποιοῦσα post ἑτέραν iterat P[1] 28 διδάσκει P

ἑκάστῳ πράγματι παρατιθεὶς τὸν λόγον, ὅτι ταυτὶ μὲν οὐκ ἦν ἐπιτήδεια ἐν τούτῳ τῷ καιρῷ καὶ ὑπὸ τούτων τῶν προσώπων λέγεσθαι, ταυτὶ δ' οὐκ ἐπὶ τούτοις τοῖς πράγμασιν οὐδὲ μέχρι τούτου, δυσχεραίνουσιν, ὅμοιόν τι πάσχοντες τοῖς κεκρατημένοις ὑφ' οἵας δή τινος ὄψεως ἔρωτι μὴ πολὺ ἀπέχοντι μανίας. ἐκεῖνοί τε γὰρ πάσας τὰς ἀρετάς, ὁπόσαι γίνονται περὶ μορφὰς εὐ|πρεπεῖς, ταῖς καταδεδουλωμέναις αὐτοὺς προσεῖναι 898
νομίζουσι, καὶ τοὺς ἐξονειδίζειν ἐπιχειροῦντας, εἴ τι περὶ αὐτὰς ὑπάρχει σίνος, ὡς βασκάνους καὶ συκοφάντας προβέβληνται· οὗτοί τε ὑπὸ τῆς μιᾶς ταύτης ἀρετῆς κεκαρωμένοι τὴν διάνοιαν ἅπαντα καὶ τὰ μὴ προσόντα τῷ συγγραφεῖ μαρτυροῦσιν· ἃ γὰρ ἕκαστος εἶναι βούλεται περὶ τὸ φιλούμενόν τε καὶ θαυμαζόμενον ὑφ' ἑαυτοῦ, ταῦτα οἴεται. ὅσοι δ' ἀδέκαστον τὴν διάνοιαν φυλάσσουσι καὶ τὴν ἐξέτασιν τῶν λόγων ἐπὶ τοὺς ὀρθοὺς κανόνας ἀναφέρουσιν, εἴ τε φυσικῆς τινος κρίσεως μετειληφότες εἴ τε καὶ διὰ διδαχῆς ἰσχυρὰ τὰ κριτήρια κατασκευάσαντες, οὔτε ἅπαντα ἐπαινοῦσιν ἐπ' ἴσης οὔτε πρὸς ἅπαντα δυσχεραίνουσιν, ἀλλὰ τοῖς μὲν κατορθώμασι τὴν προσήκουσαν μαρτυρίαν ἀπονέμουσιν, εἰ δέ τι διημάρτηται μέρος ἐν
35 αὐτοῖς, οὐκ ἐπαινοῦσιν. | ὁ γοῦν ἐπὶ πάντων ἐγὼ 899
τῶν ἐμαυτοῦ θεωρημάτων κανόνας ὑποτιθέμενος οὔτε πρότερον ὤκνησα τὰ δοκοῦντά μοι φέρειν ἐς μέσον

1 περιτιθεὶς MPf: corr Sylburgius 2 fort τούτῳ ⟨τε⟩ τῷ 8 αὐτοὺς MPf: corr Sadaeus p 186 9 ἐξουδενίζειν ci Sylburgius | τι] τις MPf 10 σῖνος MPf σπίλος ci Sylburgius 15 ταῦτα ⟨καὶ⟩ οἴεται ci Kruegerus cf Demosth. or 3, 19 p 34, 1 Charit. VI 5, 1 | δὲ f 18 καὶ διὰ MP: καὶ f 20 ἐπίσης f 23 ὁ γοῦν] οὔτ' οὖν MPf οὕτως οὖν ci Reiskius, οὐκοῦν Kruegerus τούτους οὖν mg cod Bodl. 25 ἐς M: εἰς Pf

οὔτε νῦν ἀποτρέψομαι. διδοὺς δὴ τὸ πρῶτον, ὥςπερ καὶ κατ' ἀρχὰς ἔφην, τὸ περὶ τὴν εὕρεσιν τοῦ συγγραφέως εὔστοχον, καὶ εἴ τις ἄλλως προὐπείληφεν εἴ τε διὰ φιλονεικίαν εἴ τε δι' ἀναισθησίαν, ἁμαρτάνειν αὐτὸν οἰόμενος, θάτερον οὐκέτι δίδωμι, τὸ περὶ τὰς οἰκονομίας αὐτοῦ τεχνικόν, πλὴν ἐπ' ὀλίγων πάνυ δημηγοριῶν. ὁρῶ δὲ καὶ ⟨τὰ⟩ περὶ τὴν λέξιν ἐλαττώματα, περὶ ὧν ἤδη προείρηκα, πλεῖστα καὶ μέγιστα ταύταις συμβεβηκότα ταῖς ἰδέαις· καὶ γὰρ αἱ γλωττηματικαὶ καὶ ξέναι καὶ πεποιημέναι λέξεις ἐν ταύταις μάλιστα ἐπιπολάζουσι, καὶ τὰ πολύπλοκα καὶ ἀγκύλα καὶ βεβιασμένα σχήματα πλεῖστα περὶ ταύτας ἐστίν. εἰ δὲ τὰ εἰκότα ἔγνωκα, σύ τε κρινεῖς καὶ τῶν ἄλλων ἕκαστος ἐπὶ τὴν ἐξέτασιν ἀγόμενος τῶν ἔργων. ἔσται
900 δὲ κατὰ ταὐτὰ ἡ παράθεσις αὐτῶν, ἀν|τιπαρεξεταζομένων τοῖς ἄριστά μοι δοκοῦσιν ἔχειν τῶν οὔτε κατὰ τὰς οἰκονομίας κατορθουμένων οὔτε κατὰ τὴν φράσιν ἀνεγκλήτων.

Ἐν μὲν οὖν τῇ δευτέρᾳ βύβλῳ ⟨τὴν⟩ ἐπὶ Πλα- 36
ταιὰς Λακεδαιμονίων τε καὶ τῶν συμμάχων ἔλασιν ἀρξάμενος γράφειν ὑποτίθεται, τοῦ βασιλέως τῶν Λακεδαιμονίων Ἀρχιδάμου μέλλοντος δῃώσειν τὴν γῆν, πρέσβεις παρὰ τῶν Πλαταιέων ἀφιγμένους πρὸς αὐτόν,

1 ἀποτρέψομαι MP: ἀποστρέψομαι f 2 καὶ κατ' M καί τ' P: κατ' f 3 καὶ εἴ . . . 5 οἰόμενος ut a Dudithio, non in exemplari omissa inclusit f | ἄλλως f: ἄλλος MP | προσυπείληφεν MPf: corr Kruegerus 6 αὐτῶ MP, f: corr Sadaeus p 217 | ὀλίγ[ω]ν cum litura M 7 καὶ ⟨τὰ⟩ Sadaeus p 198 11 πολύπληστα P[1] 12 ταῦτά MPf: corr Reiskius 13 ἄλλων ⟨φιλολόγων⟩ ci Kruegerus cl p 328, 2 et 364, 11 de Dem 23 p 179, 14 14 ἔσται MP: ἔστω f 15 κατὰ ταῦτα MPf: corr Reiskius 16 τοῖς . . . δοκοῦσιν f: τῆς . . . δοκούσης MP 17 κατορθουμενον M[1] 19 βίβλω MP, f | τὴν deesse uidit Reiskius | πλαταιᾶς M 23 πλαταίων P

καὶ λόγους ἀποδίδωσιν, οἵους εἰκὸς ἦν ὑπὸ ἀμφοτέρων εἰρῆσθαι, τοῖς ⟨τε⟩ προσώποις πρέποντας καὶ τοῖς πράγμασιν οἰκείους καὶ μήτ' ἐλλείποντας τοῦ μετρίου μήτε ὑπεραίροντας, λέξει τε κεκόσμηκεν αὐτοὺς καθαρᾷ καὶ σαφεῖ καὶ συντόμῳ καὶ τὰς ἄλλας ἀρετὰς ἐχούσῃ· τήν τε ἁρμονίαν οὕτως ἔναυλον ἀποδέδωκεν ἅμα *** τοῖς ἡδίστοις παρεξετάζεσθαι· ʽΤοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἡγεῖτο δ' Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς· καὶ καθίσας τὸν στρατὸν | ἔμελλε δῃώσειν 901
τὴν γῆν. οἱ δὲ Πλαταιεῖς εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγον τοιάδε· Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε οὐδὲ ἄξια οὔθ' ὑμῶν οὔτε πατέρων ὧν ἐστε, ἐς γῆν τὴν Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαιμόνιος ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων μετὰ Ἑλλήνων τῶν ἐθελησάντων συνάρασθαι τοῦ κινδύνου καὶ τῆς μάχης, ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ ἱερὰ Διὶ ἐλευθερίῳ καὶ ξυγκαλέσας πάντας τοὺς συμμάχους, ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς μηδ' ἐπὶ δουλείᾳ· εἰ

7 Thuc II 71

1 οἵους] οὓς MPf 2 τε inserui 3 μήτε λείποντας MPf: corr Reiskius 6 αὐτοῖς post ἔναυλον deesse ci Kruegerus | ἅμα] ὥςτε ci Reiskius. intercidit unus uersus 12 πλαταιῆς Θ et infra 14 δίκα ‖ κα P | οὔτε ἄξια r 15 ὧν om M[1] | πλαταιῶν ut solet Θ, infra 386, 1 etiam Dion. 18 ξυνάρασθαι f | τοῦ (τῶν M) κινδύνου καὶ MP: τὸν κίνδυνον fΘ 20 ἱερὰ διὶ ἐλευθερίω MP cum CG: Διῒ ἐλευθερίῳ ἱερὰ fΘ 21 ξυμμάχους f | πλαταιεῦσιν P 23 μηδὲ M

δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς κινδύνοις γενο-
902 μένης. ὑμεῖς δὲ τἀναντία | ἐκείνοις δρᾶτε· μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι καὶ τοὺς ὑμετέρους πατρῴους καὶ ἡμετέρους ἐγχωρίους λέγομεν ὑμῖν, γῆν τὴν Πλαταιίδα μὴ ἀδικεῖν μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐὰν δὲ οἰκεῖν αὐτονόμους, ὥσπερ Παυσανίας ἐδικαίωσε.' τοιαῦτα τῶν Πλαταιέων λεγόντων Ἀρχίδαμος ἀποκρίνεται τοιάδε· ʽΔίκαια λέγετε, ὦ ἄνδρες Πλαταιεῖς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις. καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετασχόντες τῶν τότε κινδύνων ὑμῖν τε ξυνώμοσαν καὶ εἰσὶ νῦν ὑπ' Ἀθηναίοις· παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως. ἧς μάλιστα μὲν
903 μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις. εἰ | δὲ μή, ἅπερ καὶ πρότερον ἤδη προὐκαλεσάμεθα, ἡσυχίαν ἄγετε νεμόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων, δέχεσθε δ' ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδετέρους. καὶ τάδε ἡμῖν ἀρκέσει.' ὁ μὲν Ἀρχίδαμος

12 Thuc II 72

4 ἐκείνοις MP: om Θ seclusit f 7 ὑμετέρους] ἡμετέρους f 8 γῆν MPf cum CG τὴν γῆν Θ sed cf p 387, 19 9 ἐᾶν P 10 ὥσπερ MP: καθάπερ fΘ | ἐδικαίωσεν P 11 τοιαῦτα MP: τοσαῦτα fΘ | τῶν πλαταιέων λεγόντων (λεγόνων τ P) MP: εἰπόντων (sed τῶν add CG) Πλαταιῶν Θ et τῶν incluso f | ἀποκρίνεται τοιάδε MP: ὑπολαβὼν εἶπεν fΘ 14 αὐτονομεῖσθαι P 20 καὶ MP cum CG: καὶ τὸ fΘ | τρουκαλεσάμεθα P 22 δέχεσθαι MP 23 μηδ' ἑτέρους Pf

τοσαῦτα εἶπεν. οἱ δὲ Πλαταιῶν πρέσβεις ἀκούσαντες ταῦτα εἰσῆλθον εἰς τὴν πόλιν· καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες ἀπεκρίναντο αὐτῷ, ὅτι ἀδύνατα εἴη σφίσι ποιεῖν, ἃ προκαλεῖται, ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἴησαν. δεδιέναι δὲ καὶ περὶ πάσῃ τῇ πόλει, μὴ 'κείνων ἀποχωρησάντων Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν ἢ Θηβαῖοι ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν. ὃ δὲ θαρσύνων αὐτοὺς πρὸς ταῦτα ἔφη· "Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν παράδοτε τοῖς Λακεδαιμονίοις, καὶ γῆς ὅρους ἀποδείξατε, καὶ δέν|δρα τὰ 904 ὑμέτερα καὶ εἴ τι ἄλλο δυνατὸν εἰς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν ὑμῖν, ἃ ἂν παραλάβωμεν· μέχρι δὲ τοῦδε ἕξομεν ὑμῖν παρακαταθήκην ἐργαζόμενοι καὶ ἀποφορὰν φέροντες, ἣ ἂν ὑμῖν ἱκανὴ μέλλῃ ἔσεσθαι.' οἳ δὲ ἀκούσαντες αὖθις εἰσῆλθον εἰς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους ἔλεξαν, ὅτι βούλονται Ἀθηναίοις κοινῶσαι πρῶτον ἃ προκαλεῖται, καὶ ἢν πείθωσιν αὐτούς, ποιεῖν ταῦτα. μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον

18 Thuc II 73

2 ἐσῆλθον ἐς f 4 σφίσιν εἴη f Θ 6 τῇ πάσῃ Θ A excepto | κείνων MP: ἐκείνων f Θ 7 ἀθηναῖοι οι P 8 ἔνορχοι P 9 αὖθις om P 10 προς τἀὐέφη P 11 ἡμῖν παράδοτε (-δοτα P) MP Θ: παράδοτε ἡμῖν f A 12 δένδρα MP: δένδρα ἀριθμῷ f Θ 13 ἡμέτερα P | εἴ τι ἄλλο MP: ἄλλο εἴ τι f Θ | ἀριθμῶν P 14 βούλεσθαι P 15 ὑμῖν ἃ ἂν παραλ. inclusit f 16 παραλάβοιμεν MP | μέχρις MP | ὑμῖν MP: om f Θ 17 ἀποφορὰν MP: φορὰν f Θ 18 ἡμῖν P | ἱκανὴ μέλλῃ MP: μέλλῃ ἱκανὴ f Θ 19 ἐσῆλθον αὖθις ἐς Θ | ἐσῆλθον ἐς f 21 ἃ προκαλεῖται ante 20 Ἀθηναίοις ponunt f Θ 22 μέχρις MP | τοῦτον M

καὶ τὴν γῆν μὴ δῃοῦν. ὃ δ' ἡμέρας τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. ἐλθόντες δὲ οἱ Πλαταιεῖς πρέσβεις ὡς τοὺς Ἀθηναίους καὶ βουλευσάμενοι μετ' αὐτῶν πάλιν ἦλθον ἀγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· 'Οὔτ' ἐν τῷ πρὸ τοῦ χρόνῳ, ἄνδρες Πλαταιεῖς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, Ἀθηναῖοι φασὶν ἐν οὐδενὶ ὑμᾶς προέσθαι ἀδικουμένους
905 οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύ|ναμιν· ἐπισκήπτουσίν τε ὑμῖν πρὸς τῶν ὅρκων, οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν συμμαχίαν.' τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων οἱ Πλαταιεῖς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνασχέσθαι καὶ γῆν τεμνομένην, εἰ δέοι, ὁρῶντας καὶ ἄλλο πάσχοντας, ὅ τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι, ὅτι ἀδύνατά ἐστι σφίσι ποιεῖν ἃ Λακεδαιμόνιοι προκαλοῦνται. ὡς δ' ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη λέγων ὧδε· 'Θεοὶ ὅσοι γῆν τὴν Πλαταιίδα ἔχετε, καὶ ἥρωες, ξυνίστορες ἔστε, ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων δὲ τῶνδε προτέρων τὸ ξυνώμοτον ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν

10 Thuc II 74

2 ἔτεμεν f 4 ἀγγέλλοντες MP cum CG: ἀπαγγέλλοντες f Θ 5 προτοῦ f 6 ἄνδρες MP: [ὦ]ἄνδρες f ὦ ἄνδρες Θ 7 ὑμᾶς MP cum $ABCFG$: ἡμᾶς f cum DE 9 ἐπισκήπτουσί f | τῶν ὅρκων mg M² f Θ: τοῖς ὅρκοις M¹P 10 ὤμωσαν P priore loco (cf ad u 11) | ξυμμαχίαν f 11 ante ἐβουλεύσαντο initio folii noui 22ʳ uerba inde a u 6 ἀφ' οὗ iterat P 12 ἀνασχέσθαι MP: ἀνέχεσθαι f Θ sed ἀντέχεσθαι BF 13 δεῖ Θ 15 ἐστι σφίσι ποιεῖν MP: σφίσι ποιεῖν ἐστιν f Θ 18 ἐςχωρίων P 20 ἥρως P | ἐστὲ Mf ἔστε P 21 δὲ τῶνδε MP cum EF δὲ τῶν C: τῶνδε f cum ADG | προτέρων MP: πρότερον f Θ. cf p 388, 5

εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν, οὔτε νῦν ἤν τι ποιῶμεν, ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα οὐ τυγχάνομεν. ξυγγνώμονες δὲ ἔστε τῆς μὲν
ἀδικίας | κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ 900
τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως.' τοσαῦτα ἐπιθειάσας καθίστη εἰς πόλεμον τὸν στρατόν.'

37 Ἐξετάσωμεν δὴ παρὰ τοῦτον τὸν διάλογον ⟨τὸν⟩ οὕτω καλῶς καὶ περιττῶς ἔχοντα ἕτερον αὐτοῦ διάλογον, ὃν μάλιστα ἐπαινοῦσιν οἱ τοῦ χαρακτῆρος τούτου θαυμασταί. ὑποτίθεται δή, στρατιὰν ἀποστειλάντων Ἀθηναίων ἐπὶ Μηλίους Λακεδαιμονίων ἀποίκους, πρὶν ἄρξασθαι τοῦ πολέμου, τὸν στρατηγὸν τῶν Ἀθηναίων καὶ τοὺς προβούλους τῶν Μηλίων συνιόντας εἰς λόγους περὶ καταλύσεως τοῦ πολέμου· καὶ κατ' ἀρχὰς μὲν ἐκ τοῦ ἰδίου προσώπου δηλοῖ τὰ λεχθέντα ὑφ' ἑκατέρων, ἐπὶ μιᾶς δ' ἀποκρίσεως τοῦτο τὸ σχῆμα διατηρήσας, τὸ διηγηματικόν, προσωποποιεῖ τὸν μετὰ ταῦτα διάλογον καὶ δραματίζει. ἄρχει δ' ὁ Ἀθηναῖος τάδε λέγων· 'Ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ συνεχεῖ ῥήσει οἱ λαοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἐς ἅπαξ ἀκούσαντες ἡμῶν ἀπατηθῶσι
(γινώσκομεν γὰρ | ὅτι τοῦτο φρονεῖ ἡμῶν ἡ ἐς τοὺς 907
ὀλίγους ἀγωγή), ὑμεῖς οἱ προκαθήμενοι ἔτι ἀσφαλέ-

6 Thuc II 75 11 V 84 20 V 85

2 ἐνγωνίσασθαι M 3 ἀδηκήσομεν pr P 4 οἰκότα P | ἐστὲ M ἐστε Pf 5 τοῖς δὲ M 7 ἐς f 8 τὸν διάλογον ⟨τὸν⟩ scripsi ex usu Dionysii 14 προβόλους M | συνόντας f 17 τοῦτο τὸ] τοῦτο P 18 τὸν μὲν μετὰ P 19 δραματικόν MPf. ἀποδίδωσιν aut ἀπεργάζεται addebat Reiskius 21 ξυνεχεῖ f | λαοὶ MP: πολλοὶ fΘ 22 ἀνέλεγχθα P | ἐσάπαξ f 23 ἡ εἰς P 24 προκαθήμενοι MP: καθήμενοι fΘ

στερον ποιήσετε. καὶ μηδ' ὑμεῖς ἐν ὀλίγῳ ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως λέγεσθαι εὐθὺς ὑπολαμβάνοντες κρίνετε· καὶ πρῶτον, εἰ ἀρέσκει ὡς λέγομεν, εἴπατε.' οἱ δὲ τῶν Μηλίων σύνεδροι ἀπεκρίναντο· 'Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα διαφέροντα αὐτοῦ φαίνετε.' τοῦτο τὸ τελευταῖον εἴ τις ἐν τοῖς σχήμασιν ἀξιώσει φέρειν, οὐκ ἂν φθάνοι πάντας τοὺς σολοικισμούς, ὅσοι γίγνονται παρὰ τοὺς ἀριθμοὺς καὶ παρὰ τὰς πτώσεις, σχήματα καλῶν; προθεὶς γὰρ 'ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν οὐ ψέγεται', ἔπειτα συνάψας τῷ ἑνικῷ καὶ κατὰ τὴν ὀρθὴν ἐξενηνεγμένῳ πτῶσιν 'τὰ δὲ τοῦ
908 πολέμου παρόντα ἤδη | καὶ οὐ μέλλοντα' ἐπιζεύγνυσι
τούτοις ἑνικὸν καὶ κατὰ τὴν γενικὴν ἐσχηματισμένον πτῶσιν, εἴ τε ἄρθρον δεικτικὸν βούλεταί τις αὐτὸ καλεῖν εἴ τε ἀντονομασίαν, τὸ 'αὐτοῦ'· τοῦτο δὲ οὔτε τῷ θηλυκῷ καὶ ἑνικῷ καὶ ὀνοματικῷ προσαρμοττόμενον σῴζει τὴν ἀκολουθίαν οὔτε τῷ πληθυντικῷ καὶ οὐδετέρῳ ⟨καὶ⟩ κατὰ τὴν αἰτιατικὴν ἐσχηματισμένῳ πτῶσιν. ἣν δ' ἂν ὁ λόγος κατάλληλος οὕτω σχη-

4 Thuc V 86

1 ποιήσετε MPf: ποιήσατε ex Θ Reiskius | καὶ MP: καθ' ἕκαστον. καὶ f καθ' ἕκαστον γὰρ καὶ ex Θ Reiskius | ἐν ὀλίγω MP, f cum libris Bekkeri: ἑνὶ λόγῳ Θ cf Hemsterhusius ad Lucian. t I p 50 4 ξύνεδροι f 7 φαίνεται MPfΘ: corr Buechelerus in Fleckeiseni ann. 1874 p 691 conl u 20 8 τοῖς χήμασιν P 11 et p 390, 1 ἐπιείκια P accentu seruato 13 ἐξενηνεγμένα MPf: corr Sylburgius | ⟨τάδε⟩· τὰ δὲ ci Reiskius 14 ἐπιζεύννυσι P 15 γενικὴν f: ἑνικὴν MP 16 εἴ τε ... καλεῖν om P¹ 17 ἀντωνυμίαν r Sylburgio suasore | δ' P? 18 ὀνομαστικῶ MP, f 19 ἀκολουθείαν MP 20 καὶ ante κατὰ suppleuit Buechelerus l s 21 οὕτω ... p 390, 2 ἀλλήλους om M¹ | οὕτως MPf

ματισθείς· ‛ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ᾽ ἡσυχίαν
ἀλλήλους οὐ ψέγεται, τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη
καὶ οὐ μέλλοντα διαφέροντα αὐτῆς φαίνεται.᾽ τούτοις
ἐπιτίθησιν ἐνθύμημα νενοημένον μὲν οὐκ ἀτόπως,
ἡρμηνευμένον δὲ οὐκ εὐπαρακολουθήτως· ‛Εἰ μὲν τοί-
νυν ὑπονοίας τῶν μελλόντων λογιούμενοι ἢ ἄλλο τι
ξυνήκετε, ἢ ἐκ τῶν παρόντων καὶ ὧν ὁρᾶτε περὶ σω-
τηρίας βουλεύσαντες τῇ πόλει, πανόμεθα· εἰ δ᾽ ἐπὶ
38 τοῦτο, λέγοιμεν ἄν.᾽ καὶ μετὰ τοῦτο ἀποστρέψας τοῦ
διηγήματος τὸν διάλογον ἐπὶ τὸ δραματικὸν ταῦτα
τὸν ᾽Αθηναῖον | ἀποκρινόμενον ποιεῖ· ‛Εἰκὸς μὲν καὶ 909
ξυγγνώμη, ἐν τῷ τοιῷδε καθεστῶτας ἐπὶ πολλὰ καὶ
λέγοντας καὶ δοκοῦντας τραπέσθαι.᾽ ἔπειτα εὐσχή-
μονα πρόθεσιν ὑποθέμενος ‛ἡ μέντοι ξύνοδος καὶ περὶ
σωτηρίας ἤδη πάρεστι, καὶ ὁ λόγος, ᾧ προκαλεῖσθε
τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω᾽ πρῶτον μὲν εἴρηκεν ἐνθύ-
μημα οὔτε τῆς ᾽Αθηναίων πόλεως ἄξιον οὔτ᾽ ἐπὶ
τοιούτοις πράγμασιν ἁρμόττον λέγεσθαι ‛‛Ημεῖς τοίνυν
οὔτε αὐτοὶ μετ᾽ ὀνομάτων καλῶν, ὡς ἢ δικαίως τὸν
Μῆδον καταλύσαντες ἄρχομεν, ἢ ἀδικούμενοι νῦν
ἐπεξερχόμεθα, λόγων μῆκος ἄπιστον παρέξομεν·᾽ τοῦτο
δέ ἐστιν ὁμολογοῦντος τὴν ἐπὶ τοὺς μηδὲν ἀδικοῦντας
στράτευσιν, ἐπειδὴ περὶ μηδετέρου τούτων βούλεται
τὸν λόγον ὑπέχειν· οἷς ἐπιτίθησιν ‛οὔθ᾽ ὑμᾶς ἀξιοῦμεν

5 Thuc V 87 11 V 88 18 V 89

6 τῶν μελλόντων τῶν M[1], alterum τῶν expunctum | ἄλλό τι f 7 σωκρατηρίας P[1] 8 βουλεύσαντες MPf cum *BEF*: βουλεύσοντες Θ (*AG*) | πανόμεθα MP: πανοίμεθ᾽ ἄν fΘ 10 immo διηγηματικοῦ cf *Muenchener sitzungsber.* 1892 p 616 | τὸ f: τὸν MP 11 non ᾽Αθηναῖον sed Μήλιον dicere debuit 13 τραπέσθαι MP: τρέπεσθαι fΘ 15 ἤδη MP: ἧδε fΘ 16 εὕρηκεν MPf: corr Kruegerus

ἢ ὅτι Λακεδαιμονίων ἄποικοι ὄντες οὐ ξυνεστρατεύ-
σατε ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε λέγοντας οἴεσθαι
πείσειν, τὰ δυνατὰ δ᾽ ἐξ ὧν ἑκάτεροι ἀληθῶς φρο-
νοῦμεν διαπράσσεσθαι.᾽ τοῦτο δέ ἐστιν· ‛ὑμεῖς μὲν
910 ἀληθῶς φρονοῦντες ὅτι ἀδικεῖσθε, τὴν ἀνάγ|κην φέρετε
καὶ εἴκετε· ἡμεῖς δὲ οὐκ ἀγνοοῦντες, ὅτι ἀδικοῦμεν
ὑμᾶς, τῆς ἀσθενείας ὑμῶν περιεσόμεθα τῇ βίᾳ· ταῦτα
γὰρ ἑκατέροις δυνατά.᾽ ἔπειτα τὴν αἰτίαν ἀποδοῦναι
τούτου βουληθεὶς ἐπιλέγει· ‛ὅτι δίκαια μὲν ἐν τῷ ἀν-
θρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται, δυνατὰ
δὲ οἱ προὔχοντες πράσσουσι καὶ οἱ ἀσθενεῖς ξυγχω-
ροῦσι.᾽ βασιλεῦσι γὰρ βαρβάροις ταῦτα πρὸς Ἕλληνας 39
ἥρμοττε λέγειν· ᾽Αθηναίοις δὲ πρὸς τοὺς Ἕλληνας,
911 οὓς ἠλευθέρωσαν ἀπὸ τῶν Μήδων, οὐκ ἦν προσή-
κοντα εἰρῆσθαι, ὅτι τὰ δίκαια τοῖς ἴσοις ἐστὶ πρὸς
ἀλλήλους, τὰ δὲ βίαια τοῖς ἰσχυροῖς πρὸς τοὺς ἀσθενεῖς.
ὀλίγα δὲ πρὸς ταῦτα τῶν Μηλίων ἀποκριναμένων, ὅτι
καλῶς ἂν ἔχοι τοῖς ᾽Αθηναίοις προνοεῖν τοῦ δικαίου,
μὴ καὶ αὐτοί ποτε σφαλέντες ὑπ᾽ ἄλλων [ἐν] ἐξουσίᾳ
γένωνται καὶ τὰ αὐτὰ πάσχωσιν ὑπὸ τῶν ἰσχυροτέρων,
ἀποκρινόμενον ποιεῖ τὸν ᾽Αθηναῖον ‛‛Ημεῖς δὲ τῆς
ἡμετέρας ἀρχῆς, ἢν καὶ παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν
912 τελευτήν᾽, | τούτου δ᾽ αἰτίαν ἀποδιδόντα, ὅτι κἂν κατα-
λύσωσιν αὐτῶν Λακεδαιμόνιοι τὴν ἀρχήν, συγγνώμην
ἕξουσι, καὶ αὐτοὶ πολλὰ τοιαῦτα πράσσοντες. θήσω
δὲ καὶ τὴν λέξιν αὐτοῦ· ‛οὐ γὰρ οἱ ἄρχοντες ἄλλων,

21 Thuc V 91

4 ἡμεῖς P 5 ἀδικεῖσθαι P 8 ὑποδοῦναι M 9 ἐπι-λέγειν P 10 κρίνεσθαι P 11 πράσσουσιν P | ξυνχωροῦσι P 15 ἔστι f 17 ἀποκρινομένων f 19 ἐν inclusi 20 γένονται M 24 λακεδαιμονίων pr P 25 πράξαντες malebat Reiskius

ὥςπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικηθεῖσι.’
τοῦτο δὲ ὅμοιόν ἐστι τῷ λέγειν, ὅτι παρὰ τοῖς τυράν-
νοις οὐ μισοῦνται τύραννοι. οἷς ἐπιτίθησιν ‘καὶ περὶ
μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι’, ὃ μόγις ἂν
εἶπεν τῶν καταποντιστῶν τις ἢ λῃστῶν ‘οὐδὲν ἐπιστρέ-
φομαι τῆς μετὰ ταῦτα τιμωρίας χαρισάμενος ἐπιθυ-
μίαις ἐν τῷ παρόντι.’ ἔπειτ’ ὀλίγων τῶν μεταξὺ γενο-
μένων ἀμοιβαίων καὶ τῶν Μηλίων εἰς ἐπιεικῆ συγ-
καταβαινόντων αἵρεσιν ‘“Ωςτε δὲ ἡσυχίαν ἄγοντας ἡμᾶς
φίλους μὲν εἶναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδε-
τέρων οὐκ ἂν δέξαισθε;’ ἀποκρινόμενον ποιεῖ τὸν
’Αθηναῖον ‘Οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα
ὑμῶν, ὅσον ἡ φιλία μὲν ἀσθενείας, τὸ δὲ μῖσος δυνά-
μεως παράδειγμα τοῖς ἀρχομένοις δηλούμενον’, ἐνθύ-
μημα πονηρὸν καὶ σκολιῶς ἀπηγγελμένον· εἰ δὲ τὸ
νόημα βούλεταί τις αὐτοῦ σκοπεῖν, τοιόνδε | ἐστίν, ὅτι 913
‘φιλοῦντες μὲν ἡμᾶς ἀσθενεῖς φαίνεσθαι πρὸς τοὺς
ἄλλους ποιήσετε, μισοῦντες δὲ ἰσχυρούς· οὐ γὰρ ζη-
40 τοῦμεν εὐνοίᾳ τῶν ὑπηκόων ἄρχειν, ἀλλὰ φόβῳ.’ τού-
τοις ἕτερα προσθεὶς πάλιν ἀμοιβαῖα περίεργα καὶ
πικρά, τοὺς Μηλίους ὑποτίθεται λέγοντας, ὅτι κοινὰς
τὰς τύχας φέρουσιν οἱ πολέμιοι καὶ ‘τὸ μὲν εἶξαι
εὐθὺς ἀνέλπιστον, μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ στῆ-
ναι ἐλπὶς ὀρθῶς.’ πρὸς ταῦτα ποιεῖ τὸν ’Αθηναῖον
ἀποκρινόμενον λαβυρίνθων σκολιώτερα περὶ τῆς ἐλ-

9 Thuc V 94 12 V 95 21 V 102

2 ὅμοιον ἐστὶ f 3 ἐπιτίθησι f 4 μόγις M: μόνοις P μόλις f 5 εἶπε f | ἐπιστρέφομαι MP: ἐπιστρεφόμενος f 9 αἵρεσις P | δὲ om *ΘABF* 11 δέξεσθαι M: δέξασθαι P δέξοισθε f cum *E* 12 ὑμᾶς MP | ἡ] ἢ M 20 ἕτερον P 21 μιλίους P 24 ἐλπεῖς· ὀρθῶς πρὸς P

πίδος ἐπὶ κακῷ τοῖς ἀνθρώποις γινομένης, κατὰ λέξιν
οὕτως γράφων· ‘’Ελπὶς δὲ κινδύνου παραμύθιον οὖσα
τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ κἂν βλάψῃ,
οὐ καθεῖλεν· τοῖς δὲ ἐς πᾶν τὸ ὑπάρχον ἀναρριπτοῦσι
(δάπανος γὰρ φύσει) ἅμα τε γιγνώσκεται σφαλέντων,
καὶ ἐν ὅτῳ φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ
ἐλλείπει. ὃ ὑμεῖς ἀσθενεῖς τε καὶ ἐπὶ σκοπῆς μιᾶς
ὄντες μὴ βούλεσθε παθεῖν μηδ’ ὁμοιωθῆναι τοῖς πολ-
914 λοῖς, ⟨οἷς⟩ | παρὸν ἀνθρωπείως ἔτι σῴζεσθαι, ἐπειδὰν
πιεζομένους αὐτοὺς ἐπιλείπωσιν αἱ φανεραὶ ἐλπίδες,
ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρη-
σμοὺς καὶ ὅσα τοιαῦτα μετ’ ἐλπίδων λυμαίνεται.’ ταῦτ’
οὐκ οἶδα πῶς ἄν τις ἐπαινέσειεν ὡς προσήκοντα
εἰρῆσθαι στρατηγοῖς ’Αθηναίων, ὅτι λυμαίνεται τοὺς
ἀνθρώπους ἡ παρὰ τῶν θεῶν ἐλπὶς καὶ οὔτε χρη-
σμῶν ὄφελος οὔτε μαντικῆς τοῖς εὐσεβῆ καὶ δίκαιον
προῃρημένοις τὸν βίον. εἰ γάρ τι καὶ ἄλλο, τῆς ’Αθη-
ναίων πόλεως καὶ τοῦτ’ ἐν τοῖς πρώτοις ἐστὶν ἐγκώ-
μιον, τὸ περὶ παντὸς πράγματος καὶ ἐν παντὶ καιρῷ
τοῖς θεοῖς ἕπεσθαι καὶ μηδὲν ἄνευ μαντικῆς καὶ
χρησμῶν ἐπιτελεῖν. λεγόντων τε τῶν Μηλίων, ὅτι
σὺν τῇ παρὰ τῶν θεῶν βοηθείᾳ καὶ Λακεδαιμονίοις
πεποίθασιν, οὓς εἰ καὶ διὰ μηδὲν ἄλλο, διὰ γοῦν τὴν
αἰσχύνην αὐτοῖς βοηθήσειν καὶ οὐ περιόψεσθαι συγ-

2 Thuc V 103 21 cf V 104

2 κινδύνῳ f*Θ* 4 καθεῖλε f | ἐς πᾶν MP: ἐσάπαν f, *Θ* ἀναρρίπτουσι Mf 5 γινώσκεται Pf 6 ὅτω MP cum *G*: ὅτῳ ἔτι f*Θ* | φυλάξαται pr P 7 ἐλλείπει . ὃ f*Θ*: ἐλλιπεῖς MP | ἐπὶ ῥοπῆς f*Θ* 8 μὴ f*Θ*: οὐ MP | βούλεσθε M*Θ* βούλεσθαι P: βούλησθε f cum *G* 9 οἷς om MP | ἀνθρωπίοις MP 12 ταῦτ’ M: ταῦτα Pf 14 λυμαίνονται MP 15 χρημῶν M 17 τι καὶ M τις P: τι f 18 τοῖς f 20 μηθὲν Pf 23 δῖα M 24 βοηθήσεις P | συγ-

γενεῖς ἀπολλυμένους, αὐθαδέστερον ἔτι τὸν Ἀθηναῖον ἀποκρινόμενον εἰσάγει· ‘Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον
εὐ|μενείας οὐδ᾽ ἡμεῖς οἰόμεθα λελείψεσθαι· οὐδὲν γὰρ 915
ἔξω τῆς μὲν ἀνθρωπείας, τῆς δ᾽ εἰς τὸ θεῖον νεμέσεως τῶν τ᾽ εἰς σφᾶς αὐτοὺς βουλήσεων δικαιοῦμεν ἢ πράσσομεν. ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ τἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ἀπὸ φύσεως ἀναγκαίως, οὗ ἂν κρατῇ, ἄρχειν’· τούτων ὁ νοῦς ἔστι μὲν δυσείκαστος καὶ τοῖς πάνυ δοκοῦσιν ἐμπείρως τοῦ ἀνδρὸς ἔχειν, κατακλείεται δ᾽ εἰς τοιοῦτόν τι πέρας, ὅτι τὸ μὲν θεῖον δόξῃ γινώσκουσιν ἅπαντες, τὰ δὲ πρὸς ἀλλήλους δίκαια τῷ κοινῷ τῆς φύσεως κρίνουσι .νόμῳ· οὗτος δ᾽ ἔστιν ἄρχειν ὧν ἂν δύνηταί τις κρατεῖν. ἀκόλουθα καὶ ταῦτα τοῖς πρώτοις καὶ οὔτε Ἀθηναίοις οὔτε Ἕλλησι πρέποντα εἰρῆσθαι.

41 Πολλὰς δυνάμενος ἔτι διανοίας παρασχέσθαι τὸ συνετὸν ἐχούσας πονηρόν, ἵνα μὴ πλείων ὁ λόγος | γένοιτό 916
μοι τοῦ μετρίου, τὴν τελευταίαν ἔτι προσθήκην παραλήψομαι μόνην, ἣν ἀπαλλαττόμενος ἐκ τοῦ συλλόγου ὁ Ἀθηναῖος εἴρηκεν· ‘ἀλλ᾽ ὑμῶν τὰ μὲν ἰσχυρὰ ὄντα ἐλπιζόμενα μέλλεται, τὰ δὲ παρόντα βραχέα πρὸς τὰ

2 Thuc V 105 20 V 111

γενεῖς M: καὶ συγγενεῖς Pf 4 τῆς μὲν MP: τῆς fΘ ueterem huius loci interpolationem oblitterare nolui, cf Sadaeus p 163 | ἀνθρωπίας M | τῆς δ᾽ (δὲ P) εἰς MP: τῶν μὲν ἐς fΘ | νεμέσεως MP: νομίσεως fΘ 5 τ᾽ εἰς MP: δὲ ἐς fΘ | σφὰς M | βουλήσεων MP: βουλήσεως fΘ 6 τό τε] τότε τε M | τἀνθρώπιόν MP 7 ἀπὸ MP: ὑπὸ fΘ | ἀναγκαίας Θ 11 γιγνώσκουσιν M 13 ἐστὶν f | ὧν μὴ MP: ὧν f . correxit Sadaeus p 218 16 πολλὰς . . . παρασχέσθαι iterat P | ἔτι MP: εἰς f 17 λόγως P | fort γένηται cl 399, 6 20 ἰσχυρὰ ὄντα MPf: ἰσχυρότατα Θ

ἤδη ἀντιτεταγμένα περιγενέσθαι. πολλήν γε ἀλογίαν’ φησί ‘τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι ἡμᾶς ἄλλό τι τῶνδε σωφρονέστερον γνώσεσθε.’ οἷς ἐπιτίθησιν ‘οὐ γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προὔπτοις κινδύνοις πλεῖστα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε. πολλοῖς γὰρ προορωμένοις ἔτι ἐς οἷα φέρονται τὸ αἰσχρὸν καλούμενον ὀνόματος ἐπαγωγοῦ δυνάμεις ἐπεσπάσατο ἡσσηθεῖσι τοῦ ῥήματος ἔργῳ συμφοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν.’

Τούτων τῶν λόγων ὅτι μὲν οὔτε αὐτὸς μετέσχεν
917 ὁ | συγγραφεὺς τῷ συλλόγῳ τότε παρατυχὼν οὔτε τῶν διαθεμένων αὐτοὺς Ἀθηναίων ἢ Μηλίων ἤκουσεν, ἐξ ὧν αὐτὸς ἐν τῇ πρὸ ταύτης βύβλῳ περὶ αὐτοῦ γράφει,
918 μα|θεῖν ῥᾴδιον, ὅτι μετὰ τὴν ἐν Ἀμφιπόλει στρατηγίαν ἐξελαθεὶς τῆς πατρίδος πάντα τὸν λοιπὸν τοῦ πολέμου χρόνον ἐν Θρᾴκῃ διέτριψε. λείπεται δὴ σκοπεῖν, εἰ τοῖς τε πράγμασι προσήκοντα καὶ τοῖς συνεληλυθόσιν εἰς τὸν σύλλογον προσώποις ἁρμόττοντα πέπλακε ⟨τὸν⟩ διάλογον ‘ἐχόμενος ὡς ἔγγιστα τῆς συμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων’, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ τῆς ἱστορίας προείρηκεν. ἆρ᾽ οὖν ὥςπερ τοῖς Μηλίοις

14 cf Thuc IV 104—108. V 26 20 I 22

1 ἤδη ἂν τεταγμένα MP | περιγίγνεσθαι Θ | γε MPf: τε Θ | ἀλλογίαν P 2 παρέχεται ut 3 γνώσεσθαι 6 τρέψεσθαι P 3 ἡμᾶς MP: [ἔτι] ἡμᾶς f ex Θ | ἀλλό τι M 5 ἀνθρώπους om P 6 αἰσχύνειν M | προορωμένης P? 8 δυνάμει fΘ | ἐπεσπάσασατο P 9 ξυμφοραῖς f | ὁρῶντας MP: ἑκόντας fΘ 13 μελλίων P 14 ὧ P | πρὸ αὐτῆς MPf: corr Kruegerus | βίβλω MP, f | αὐτοῦ MPf: corr Kruegerus 15 ἀμφιπόλι P 17 θράκει P 19 τὸν add Sadaeus p 218 20 ἐχόμενον MPf: corr Reiskius | ἔγγιστα idem: εἴ τις τὰ MPf ἐγγύτατα Θ | συμπάσας pr P

οἰκεῖοι καὶ προσήκοντες ἦσαν οἱ περὶ τῆς ἐλευθερίας λόγοι παρακαλοῦντες τοὺς Ἀθηναίους μὴ καταδουλοῦσθαι πόλιν Ἑλληνίδα μηδὲν ἁμαρτάνουσαν εἰς αὐτούς, οὕτως καὶ τοῖς Ἀθηναίων στρατηγοῖς πρέποντες ἦσαν οἱ περὶ τῶν δικαίων μήτ' ἐξετάζειν ἐῶντες μήτε λέγειν, ἀλλὰ τὸν τῆς βίας καὶ πλεονεξίας νόμον εἰσάγοντες καὶ ταῦτ' εἶναι δίκαια τοῖς ἀσθενέσιν ἀποφαίνοντες, ὅσα τοῖς ἰσχυροτέροις δοκεῖ; ἐγὼ μὲν γὰρ οὐκ οἴομαι τοῖς ἐκ τῆς εὐνομω|τάτης πόλεως ἐπὶ 919 τὰς ἔξω πόλεις ἀποστελλομένοις ἡγεμόσι ταῦτα προσήκειν λέγεσθαι, οὐδ' ἂν ἀξιώσαιμι τοὺς μὲν μικροπολίτας καὶ μηδὲν ἔργον ἐπιφανὲς ἀποδειξαμένους Μηλίους πλέονα τοῦ καλοῦ ποιεῖσθαι πρόνοιαν ἢ τοῦ ἀσφαλοῦς καὶ πάντα ἑτοίμους εἶναι τὰ δεινὰ ὑποφέρειν, ἵνα μηδὲν ἄσχημον ἀναγκασθῶσι πράττειν, τοὺς δὲ προελομένους τήν τε χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν κατὰ τὸν Περσικὸν πόλεμον Ἀθηναίους, ἵνα μηδὲν αἰσχρὸν ὑπομείνωσιν ἐπίταγμα, τῶν ταὐτὰ προαιρουμένων ὡς ἀνοήτων κατηγορεῖν. οἴομαι δ', ὅτι κἂν εἴ τινες ἄλλοι παρόντων Ἀθηναίων ταῦτα ἐπεχείρουν λέγειν, ἐπαχθῶς ἤνεγκαν ἂν οἱ τὸν κοινὸν βίον ἐξημερώσαντες. ἐγὼ μὲν δὴ διὰ ταύτας τὰς αἰτίας οὐκ ἐπαινῶ τὸν διάλογον τοῦτον ἀντιπαρεξετάζων τὸν ἕτερον. ἐν ἐκείνῳ μὲν γὰρ Ἀρχίδαμος ὁ Λακεδαιμόνιος δίκαιά τε προκαλεῖται τοὺς Πλαταιεῖς καὶ λέξει κέχρηται καθαρᾷ καὶ σαφεῖ καὶ οὐδὲν ἐχούσῃ σχῆμα βεβασανισμένον οὐδὲ ἀνα|κό- 920

1 *εἰκεῖοι* M 3 *πάλιν* pr P | *ἑλληνίδην* M 9 *εὐνομωτάτοις* M 12 *ἀποδειξαμένου* P 18 *ἐπιτάγματα* P | *ταῦτα* MPf: uerum sensit Sylburgius 19 *οἴομαι δ' ὅτι κἂν* corrupta. fort *οἴομαι δ', αὐτίκα* 20 *ἐπιχείρουν* P | *ἐπαχθὼς* M 22 *αἰπενῶ* P | *τὸν λόγον* MPf 23 *ἀντιπαρεξετάζω* P

λουθον· ἐν τούτῳ δὲ οἱ φρονιμώτατοι τῶν Ἑλλήνων αἴσχιστα μὲν ἐνθυμήματα φέρουσιν, ἀηδεστάτῃ δ' αὐτὰ περιλαμβάνουσι λέξει· εἰ μὴ ἄρα μνησικακῶν ὁ συγγραφεὺς τῇ πόλει διὰ τὴν καταδίκην ταῦτα τὰ ὀνείδη κατεσκέδασεν αὐτῆς, ἐξ ὧν ἅπαντες μισήσειν αὐτὴν ἔμελλον. ἃ γὰρ οἱ προεστηκότες τῶν πόλεων καὶ τηλικαύτας ἐξουσίας πιστευόμενοι φρονεῖν τε καὶ λέγειν ⟨ἐοίκασιν⟩ πρὸς τὰς πόλεις ὑπὲρ τῆς αὐτῶν πατρίδος, ταῦτα κοινὰ ὑπολαμβάνουσιν ἅπαντες εἶναι τῆς ἀποστελλούσης πόλεως αὐτούς. καὶ περὶ μὲν τῶν διαλόγων ἅλις.

42 Τῶν δὲ δημηγορικῶν λόγων τεθαύμακα μὲν τὸν ἐν τῇ πρώτῃ βύβλῳ ῥηθέντα ἐν Ἀθήναις ὑπὸ Περικλέους περὶ τοῦ μὴ εἴκειν Λακεδαιμονίοις, τὸν ἔχοντα τήνδε τὴν ἀρχήν· 'Τῆς μὲν γνώμης, ὦ ἄνδρες Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις' ὡς καὶ τοῖς ἐνθυμήμασιν ἡρμηνευμένον δαιμονίως καὶ 921 οὔτε | κατὰ τὴν σύνθεσιν τῶν μορίων οὔτε κατὰ τὴν ἐξαλλαγὴν τῶν σχηματισμῶν τῶν ἀνακολούθων καὶ βεβιασμένων ἐνοχλοῦντα τὰς ἀκοάς, πάσας δὲ περιειληφότα τὰς ἀρετάς, ὁπόσαι γίγνονται περὶ δημηγορικοὺς ⟨λόγους⟩· καὶ τοὺς ὑπὸ Νικίου τοῦ στρατηγοῦ ῥηθέντας ἐν Ἀθήναις ὑπὲρ τῆς εἰς Σικελίαν στρατείας· τήν τε πεμφθεῖσαν ὑπὸ αὐτοῦ τοῖς Ἀθηναίοις ἐπιστολήν,

13 Thuc I 140—144 22 VI 9—14. 20—23 24 VII 11—15

2 *προφέρουσιν* malebat Reiskius 8 *ἐοίκασιν* exempli causa interposui, post *πατρίδος* hiatum statuit Sylburgius | *αὐτῶν* MPf 9 *ἀποστελούσης* P 12 *δὲ* om h 13 *βύβλω* P: *βίβλω* M, f *ὑπὲρ* P 15 *ἄνδρες* mg M[2] et in solito conpendio (α with θ above) pro *ἄ. Ἀθ.* P: om fΘ 17 *ἐνθυμήμασι* P 22 *λόγους* suppleuit Kruegerus 23 *τῆς* ..24 *αὐτοῦ* om P | *στρατιᾶς* M 24 *ὑπ' αὐτοῦ* f

ἐν ᾗ χρῄζει συμμαχίας ἄλλης καὶ διαδόχου, κάμνων τὸ σῶμα ὑπὸ νόσου· καὶ τὴν παράκλησιν τῶν στρατιωτῶν, ἣν ἐποιήσατο πρὸ τῆς τελευταίας ναυμαχίας· καὶ τὸν παραμυθητικὸν λόγον, ὅτε πεζῇ τὴν στρατιὰν ἔμελλεν ἀπάγειν, ἀπολωλεκὼς τὰς τριήρεις ἁπάσας· καὶ εἴ τινές εἰσιν ἄλλαι τοιαῦται δημηγορίαι καθαραὶ καὶ σαφεῖς καὶ εἰς τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτήδειοι. ὑπὲρ ἁπάσας δὲ τὰς ἐν ταῖς ἑπτὰ βύβλοις φερομένας τὴν Πλαταιέων ἀπολογίαν τεθαύμακα παρ' οὐδὲν οὕτως ἕτερον ὡς τὸ μὴ βεβασανίσθαι μηδὲ κατεπιτετηδεῦσθαι, ἀληθεῖ δέ τινι καὶ φυσικῷ κεκοσμῆσθαι | χρώματι. τά 922 *τε γὰρ ἐνθυμήματα πάθους ἐστὶ μεστὰ καὶ ἡ λέξις οὐκ ἀποστρέφουσα τὰς ἀκοάς· ἥ τε γὰρ σύνθεσις εὐεπὴς καὶ τὰ σχήματα τῶν πραγμάτων ἴδια. ταῦτα δὴ τὰ Θουκυδίδου ζηλωτὰ ἔργα, καὶ ἀπὸ τούτων τὰ μιμήματα τοῖς ἱστοριογραφοῦσιν ὑποτίθεμαι λαμβάνειν.*

43 *Τὴν δ' ἐν τῇ δευτέρᾳ βύβλῳ Περικλέους ἀπολογίαν, ἣν ὑπὲρ αὑτοῦ διετίθετο τραχυνομένων Ἀθηναίων, ὅτι τὸν πόλεμον ἔπεισεν αὐτοὺς ἀναλαβεῖν, οὐχ ὅλην ἐπαινῶ· οὐδὲ τὰς περὶ τῆς Μυτιληναίων πόλεως δημηγορίας, ἃς διέθεντο Κλέων καὶ Διόδοτος, ⟨τὰς⟩ ἐν τῇ τρίτῃ βύβλῳ· οὐδὲ τὴν Ἑρμοκράτους τοῦ Συρακοσίου πρὸς Καμαριναίους· οὐδὲ τὴν Εὐφήμου τοῦ πρεσβευτοῦ*

2 Thuc VII 61—64 4 VII 77 9 III 53—59 17 II 60—64 20 III 37—40. 42—48 22 VI 76—80 23 VI 82—87

8 *βίβλοις* MPf 10 *κατεπιτετηδεῦσθαι* M: *κατεπιτηδεῦσθαι* Pf 11 *φισικῶ* P 12 *μετὰ* P 14 *τῶν*] *πάθους ἐστι τῶν* pr P | *ἴδια*] *οἰκεῖα* ci Radermacherus cl mus. Rhen. 48, 625 sq 15 post *ἔργα* conicias e c *καὶ πάνυ τεθαύμακα* intercidisse 16 *ὑποτίθεται* MPf: corr Reiskius 17 *βύβλω* P: *βίβλω* M, f 20 *μιτυληναίων* MPf 21 *διέθετο* MPf | *τὰς* inserui 22 *βίβλω* MP, f | *συρακοσίου* P: *συρακουσίου* Mf 23 *εὐφήβου* P

τῶν Ἀθηναίων τὴν ἐναντίαν ταύτης, οὐδὲ τὰς ὁμοίας ταύταις· οὐ γὰρ ἀνάγκη πάσας ἐξαριθμεῖσθαι τὰς εἰς τὸν αὐτὸν κατεσκευασμένας τῆς διαλέκτου χαρακτῆρα. ἵνα δὲ μὴ δόξῃ τις φάσεις ἀναποδείκτους με λέγειν, 923 *πολλὰς πα|ρασχέσθαι πίστεις δυνάμενος δυσὶν ἀρκεσθήσομαι δημηγορίαις, ἵνα μὴ μακρὸς ὁ λόγος γένηται, τῇ Περικλέους ἀπολογίᾳ καὶ τῇ Ἑρμοκράτους πρὸς Καμαριναίους κατηγορίᾳ κατὰ τῆς Ἀθηναίων πόλεως.*

Ὁ μὲν οὖν Περικλῆς ταῦτα λέγει· ‘Καὶ προσδεχο- 44 *μένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν εἰς ἐμὲ γεγένηται (αἰσθάνομαι γὰρ τὰς αἰτίας), καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω καὶ μέμψωμαι, εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε.’ ταῦτα Θουκυδίδῃ μὲν γράφοντι περὶ τοῦ ἀνδρὸς ἐν* 924 *ἱστορικῷ σχήματι προσήκοντα ἦν, Περικλεῖ δὲ ἀπο|λογουμένῳ πρὸς ἠρεθισμένον ὄχλον οὐκ ἦν ἐπιτήδεια εἰρῆσθαι, καὶ ταῦτα ἐν ἀρχαῖς τῆς ἀπολογίας, πρὶν ἑτέροις τισὶν ἀπομειλίξασθαι λόγοις τὰς ὀργὰς τῶν εἰκότως ἐπὶ ταῖς συμφοραῖς ἀχθομένων, τετμημένης μὲν ὑπὸ Λακεδαιμονίων τῆς κρατίστης γῆς, πολλοῦ δὲ κατὰ τὸν λοιμὸν ἀπολωλότος ὄχλου, τὴν δ' αἰτίαν τῶν κακῶν τούτων τοῦ πολέμου παρεσχηκότος, ὃν ὑπ' ἐκείνου πεισθέντες ἀνεδέξαντο. σχῆμά τε οὐ τοῦτο τῇ διανοίᾳ πρεπωδέστατον ἦν, τὸ ἐπιτιμητικόν, ἀλλὰ τὸ παραιτητικόν· οὐ γὰρ ἐρεθίζειν προσήκει τὰς τῶν ὄχλων*

9 Thuc II 60

1 *ταύτας* P 5 *παρεσχέσθαι* P 9 *περικλεῖς* P 10 *ἐς* f 12 *μέμψωμαι* etiam *Θ*: *μέμψομαι* ex uno *F* edidit Bekkerus 19 *εἰκότων* M | *τεκμημένης* P 23 *τῇ*] ⟨*ταύτῃ*⟩ *τῇ* ci Reiskius 25 *προσῆκε* MPf: corr Reiskius

ὀργὰς τοὺς δημηγοροῦντας ἀλλὰ πραΰνειν. τούτοις
ἐπιτίθησι διάνοιαν ἀληθῆ μὲν καὶ δεινῶς ἀπηγγελ-
μένην, οὐ μέντοι γε τῷ παρόντι καιρῷ χρησίμην· 'ἐγὼ
γὰρ ἡγοῦμαι' φησί 'πόλιν πλείω ξύμπασαν ὀρθουμένην
ὠφελεῖν τοὺς ἰδιώ|τας ἢ καθ' ἕκαστον τῶν πολιτῶν 925
εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. καλῶς μὲν γὰρ
φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν διαφθειρομένης τῆς
πατρίδος οὐδὲν ἧσσον ξυναπόλλυται, κακοτυχῶν δὲ ἐν
εὐτυχούσῃ πολλῷ μᾶλλον διασῴζεται.' εἰ μὲν γὰρ ἰδίᾳ
τινὲς ἐβλάπτοντο τῶν πολιτῶν, εὐτύχει δὲ τὸ κοινόν,
καλῶς ταῦτ' ἔλεγεν· ἐπεὶ δ' ἐν ταῖς ἐσχάταις συμφο-
ραῖς ἦσαν ἅπαντες, οὐκέτι καλῶς. οὐδὲ γὰρ ἡ περὶ
τοῦ μέλλοντος ἐλπίς, ὅτι ταῦτα πρὸς ἀγαθοῦ τῇ πόλει
γενήσεται τὰ δεινά, βέβαιον εἶχέν τι· ἀφανὲς γὰρ ἀν-
θρώπῳ τὸ μέλλον καὶ πρὸς τὰ παρόντα τὰς περὶ τῶν
45 ἐσομένων γνώμας αἱ τύχαι τρέπουσι. Τούτοις ἐπι-
τίθησιν ἔτι φορτικωτέραν διάνοιαν καὶ ἥκιστα τῷ
παρόντι καιρῷ πρέπουσαν· 'καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ
ὀργίζεσθε, ὃς οὐδενὸς οἴομαι ἥσσων εἶναι γνῶναί τε
τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπο|λίς τε καὶ 926
χρημάτων κρείσσων.' θαυμαστὸν γάρ, εἰ Περικλῆς ὁ
μέγιστος τῶν τότε ῥητόρων ἠγνόει τοῦτο, ὃ μηδεὶς ἂν
τῶν ἐχόντων μέτριον νοῦν ἠγνόησεν, ὅτι πανταχῇ μὲν
οἱ μὴ τεταμιευμένως ἐπαινοῦντες τὰς ἑαυτῶν ἀρετὰς
ἐπαχθεῖς τοῖς ἀκούουσι φαίνονται, μάλιστα δ' ἐν τοῖς

3 Thuc II 60, 2 18 ibidem 60, 5

1 τοὺς μηγοροῦντας pr P 2 ἐπιτίθησιν P 4 ὀρθουμένη P 10 ἐβλάττοντο (ex -τι corr) P 11 καλῶς ⟨ἂν⟩ Sadaeus p 186 | ἐλέχθη ci Reiskius 16 τρέπουσι f: πρέπουσι MP 19 ὀργίζεσθαι P 23 ν[οῦν] cum litura M 25 ἐπαχθεὶς M

πρὸς τὰ δικαστήρια καὶ τὰς ἐκκλησίας ἀγῶσιν, ἐν οἷς
γε δὴ μὴ περὶ τιμῶν αὐτοῖς ἐστιν ἀλλὰ περὶ τιμωριῶν
927 ὁ κίνδυνος· τότε γὰρ οὐκ ἐπαχθεῖς μόνον εἰσὶν | ἑτέ-
ροις, ἀλλὰ καὶ δυστυχεῖς ἑαυτοῖς ἐκκαλούμενοι τὸν
παρὰ τῶν πολλῶν φθόνον· ὅταν δὲ τοὺς αὐτούς τις
ἔχῃ δικαστάς τε καὶ κατηγόρους, μυρίων αὐτῷ δεῖ
δακρύων τε καὶ οἴκτων εἰς αὐτὸ τοῦτο πρῶτον τὸ μετ'
εὐνοίας ἀκουσθῆναι. ὁ δὲ δημαγωγὸς οὐκ ἀρκεῖται
τούτοις ἀλλ' ἐπεξεργάζεταί τε τούτοις καὶ μεταφράζει
τὰ ῥηθέντα· 'ὅ τε γὰρ γνούς' φησί 'καὶ μὴ σαφῶς
διδάξας ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη, ὅ τ' ἔχων ἀμφό-
τερα, τῇ δὲ πόλει δύσνους οὐκ ἂν ὁμοίως τι οἰκείως
φράζοι· προσόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικω-
μένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο.' οὐκ οἶδ'
ὅς τις ἂν ὁμολογήσειεν, ὥςπερ ἀληθῆ ταῦτα ἦν, οὕτως
καὶ προσήκοντα εἶναι ὑπὸ Περικλέους ἐν Ἀθηναίοις
ἠρεθισμένοις πρὸς αὐτοὺς λέγεσθαι. ἦν δέ γε οὐχ ἡ
τῶν κρατίστων ἐνθυμημάτων τε καὶ νοημάτων εὕρεσις
αὐτὴ καθ' ἑαυτὴν ἀξία σπουδῆς, εἰ μὴ καὶ τοῖς
πράγμασιν εἴη προσήκοντα καὶ τοῖς προσώποις καὶ
τοῖς καιροῖς καὶ τοῖς ἄλλοις ἅπασιν· ἀλλ' ὥςπερ καὶ
κατ' ἀρχὰς ἔφην, τὴν ἑαυτοῦ γνώμην ἀποδεικνύμενος
928 ὁ συγ|γραφεύς, ἣν εἶχε περὶ τῆς Περικλέους ἀρετῆς,
παρὰ τόπον ἔοικεν εἰρηκέναι ταῦτα. ἐχρῆν δέ γε
αὐτὸν μὲν ὅ τι βούλεται περὶ τοῦ ἀνδρὸς ἀποφαί-

10 Thuc II 60, 6

4 ἐκκαλούμενοι MP: ἐμβαλούμενοι f 5 φθόνων pr P 11 καὶ εἰ MPΘ: εἰ καὶ f | ὅ τε f 13 φράζει f 14 οὐκ οἶδ' ὅς MP: οὐκ οἶδ' εἰ f οὐδ' οἶδ' εἰ h 17 ἐρεθισμένοις M | αὐτοὺς MPf: αὐτὸν Reiskius 20 καὶ τοῖς προσώποις om r 21 ὅπερ MPf: corr Sadaeus p 173 23 εἶχεν Pf 24 γ' Pf

νεσθαι, τῷ δὲ κινδυνεύοντι τοὺς ταπεινοὺς καὶ παραιτητικοὺς τῆς ὀργῆς ἀποδοῦναι λόγους· τοῦτο γὰρ ἦν πρέπον τῷ μιμεῖσθαι βουλομένῳ συγγραφεῖ τὴν ἀλήθειαν.

46 Ὀχληρὰ δὲ κἀκεῖνα τὰ μειρακιώδη καλλωπίσματα τῆς λέξεως καὶ τὰ πολύπλοκα τῶν ἐνθυμημάτων σχήματα· ‘ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε καὶ ἀμύνεσθαι μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. φρόνημα μὲν γὰρ καὶ ὑπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίγνεται· καταφρόνησις δέ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ σύνεσις ἐκ τοῦ ὑπέρφρονος ὀχυρωτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.’ τά τε γὰρ
‘φρονήματα’ ψυχρότερά ἐστι καὶ τῆς Γοργίου προαιρέ- 929
σεως μᾶλλον οἰκειότερα, ἥ τε τῶν ὀνομάτων ἐξήγησις ἀμφότερον σοφιστικὴ καὶ ἀπειρόκαλος· ἥ τε τόλμα ἣν ‘ἀπὸ τῆς ὁμοίας τύχης ἡ σύνεσις ἐκ τοῦ ὑπέρφρονος ὀχυρωτέραν παρέχεται’ τῶν Ἡρακλειτείων σκοτεινῶν ἀσαφεστέραν ἔχει τὴν δήλωσιν, ἥ τε τῆς ἐλπίδος ‘ἐν τῷ ἀπόρῳ ἰσχύς’ καὶ ἡ τῆς γνώμης ‘ἀπὸ τῶν ὑπαρχόντων βεβαιοτέρα πρόνοια’ ποιητικώτερον περιπέφρασται· βούλεται γὰρ λέγειν, ὅτι δεῖ τῇ γνώμῃ πιστεύειν μᾶλλον, ἣν ἐκ τῶν παρόντων λαμβάνομεν,

7 Thuc II 62, 3

6 σχήματα Kruegerus: ὀνόματα MPf 7 καὶ ἀμύνεσθαι MP: om Θ inclusit f 8 φρονήματα pr P | φρόνημα] αὔχημα Θ 9 ἀπὸ Θ 10 ἐγγίνεται Pf 12 ξύνεσις f 13 ὀχυροτέραν f 16 νοήματα ci Kruegerus 18 ἀμφοτέρων MPf: corr Reiskius 19 ξύνεσις r 20 ἡρακλητείων Pf | σκοτινῶν P

ἢ ταῖς ἐλπίσιν, ὧν ἐν τῷ μέλλοντι ἐστὶν ἡ ἰσχύς. ἤδη 47
δ’ ἔγωγε κἀκεῖνο ἐνεθυμήθην, ὅτι παραμυθούμενος τὴν ὀργὴν τὴν κατειληφυῖαν αὐτοὺς ἐπὶ ταῖς παρούσαις συμφοραῖς, ὧν αἱ πλείους παράλογοί τε συνέβησαν αὐτοῖς καὶ ἀπροσδόκητοι, καὶ παρακαλῶν τὰς συμφορὰς
930 γενναίως ὑφίστασθαι μὴ ἀφανίζοντας | τὴν τῆς πόλεως
ἀξίωσιν, ἀπαλγήσαντας δὲ τὰ ἴδια τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι, καὶ μετὰ τοῦτο διεξελθών, ὅτι τὴν κατὰ θάλατταν ἀρχὴν βεβαίως ἔχοντες οὔτε ὑπὸ βασιλέως οὔτε ὑπὸ Λακεδαιμονίων οὔτε ὑπ’ ἄλλου ἀνθρώπων ἔθνους οὐδενὸς καταλυθήσονται (ὧν ἡ πίστις οὐχ ἡ παροῦσα ἦν ἀλλ’ ἡ μέλλουσα, οὐδ’ ἐν τῇ προνοίᾳ τὸ βέβαιον ἔχουσα ἀλλ’ ἐν ταῖς ἐλπίσιν), ἔπειτα τούτων ἐπιλαθόμενος ἀξιοῖ μὴ πιστεύειν τῇ ἐλπίδι, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς. ἐναντία γὰρ δὴ ταῦτα ἀλλήλοις, εἴ γε δὴ τὸ μὲν λυποῦν τὴν αἴσθησιν εἶχεν ἤδη παροῦσαν, τῆς δ’ ὠφελείας ἡ δήλωσις ἔτι ἀπῆν.

ἀλλ’ ὥσπερ ταῦτα οὐκ ἐπαινῶ οὔτε κατὰ τὸ πραγματικὸν μέρος οὔτε κατὰ τὸ λεκτικόν, οὕτως ἐκεῖνα τεθαύμακα ὡς νενοημένα τε ἀκριβῶς καὶ ἡρμηνευμένα περιττῶς καὶ συγκείμενα ἡδέως· ‘καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται τὰ ἄλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ’ ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ
931 φυγὼν τὸν κίν|δυνον τοῦ ὑποστάντος μεμπτότερος·
καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι καὶ οὐκ ἐξίσταμαι, ὑμεῖς δὲ

21 Thuc II 61

1 τῶ μέλλειν MP, f: corr Sadaeus p 218 6 γεναίως P 15 γὰρ δὴ M: γὰρ Pf 16 αἴσθησις P 17 ἔτει M 22 τἆλλα Θ 24 ἐπακοῦσαι MP 25 [μ]εμπτότερος cum litura M πεμπτότερος P

μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκε-
ραίοις, μεταμέλειν δὲ κακουμένοις.' καὶ ἔτι ἐκεῖνα·
'δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ τὸ ἀπροσδόκητον
καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ...ὅμως δὲ πόλιν
μεγάλην οἰκοῦντας καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ
τεθραμμένους χρεὼν καὶ τὰς συμφορὰς ἐθέλειν ὑφί-
στασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν· ἐν ἴσῳ γὰρ οἱ
ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι,
ὅστις ἂν μαλακίᾳ ἐλλείπῃ, καὶ τῆς μὴ προσηκούσης
μισεῖν τὸν θρασύτητι ὀρεγόμενον.' καὶ ἔτι τὰ διεγεί-
ροντα τὰς ψυχὰς τῶν Ἀθηναίων ἐπὶ τὸ φρόνημα τὸ
πάτριον ταυτί· 'τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ
ἀπὸ τοῦ ἄρχειν, ᾧ | ὑπὲρ ἅπαντας ἀγάλλεσθε, βοηθεῖν 932
καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώ-
κειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ'
ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως
καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. ἧς οὐδ'
ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ τόδε ἐν τῷ παρόντι
δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται. ὡς τυραννίδα
γὰρ ἤδη ἔχετε αὐτήν, ἣν λαβεῖν μὲν ἄδικον δοκεῖ εἶναι,
ἀφεῖναι δὲ ἐπικίνδυνον', καὶ τὰ τούτοις ὅμοια, ὅσα
τάς τε ἐξαλλαγὰς τῶν ὀνομάτων καὶ τῶν σχημάτων
μετρίας ἔχει καὶ οὔτε περιέργους οὔτε δυσπαρακολου-
θήτους.

3 Thuc II 61, 3 12 II 63

3 καὶ τὸ MP: καὶ [τὸ] f καὶ Θ 4 ξυμβαῖνον· ὅμως MP: ξυμ-βαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. ὅμως f ex Θ 5 μεγάλιν P 6 τὰς συμφορὰς MPf: ξυμφοραῖς ταῖς μεγίσταις Θ 9 ὅς τις μαλ. ἐλλείπει Θ 13 ᾧ ὑπὲρ ἅπαντας etiam *ABEF*: ᾧπερ ἅπαντες *CG* 15 νομεῖσαι P 18 ἐστιν f 21 ἀφθεῖναι P

Ἐκ δὲ τῆς Ἑρμοκράτους δημηγορίας ἐπαινεῖν μὲν 48
ἔχω ταῦτα τὰ κατορθώματα τοῦ συγγραφέως· 'ἀλλ' οὐ
933 γὰρ δὴ τὴν Ἀθηναίων εὐκατηγόρητον | οὖσαν πόλιν
νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν, ὅσα ἀδικεῖ· πολὺ
δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι, ὅτι ἔχοντες παρα-
δείγματα τῶν ἐκεῖ Ἑλλήνων, ὡς ἐδουλώθησαν οὐκ
ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ' ἡμᾶς τὰ αὐτὰ
παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις
καὶ Αἰγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες
βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς, ὅτι οὐκ Ἴωνες
ταῦτά εἰσιν οὐδὲ Ἑλλησπόντιοι καὶ νησιῶται, οἳ δε-
σπότην ἢ Μῆδον ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλλοντες
δουλοῦνται, ἀλλὰ Δωριεῖς ἐλεύθεροι ἀπ' αὐτονόμου
τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. ἢ μένομεν,
ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες ὅτι
ταύτῃ μόνον ἁλωτοί ἐσμεν;' ταῦτα γὰρ ἐν τῷ σαφεῖ
934 καὶ καθαρῷ τῆς διαλέκτου τρόπῳ λεγόμενα προσεί|-
ληφε καὶ τὸ τάχος καὶ τὸ κάλλος καὶ τὸν τόνον καὶ
τὴν μεγαλοπρέπειαν καὶ τὴν δεινότητα, καὶ πάθους
ἐστὶν ἐναγωνίου μεστά· οἷς ἂν καὶ ἐν δικαστηρίῳ χρή-
σαιτό τις καὶ ἐν ἐκκλησίαις, καὶ φίλοις διαλεγόμενος.
καὶ ἔτι πρὸς τούτοις ἐκεῖνα· 'εἴ τέ τις φθονεῖ μὲν ἢ
καὶ φοβεῖται (ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω),

2 Thuc VI 77 22 VI 78, 2

3 τὴν MP: τὴν [τῶν] f ex Θ | εὐκατηγήρητον P 4 ἀποφα-νοῦντες fΘ: ἀποφαγοῦντες (ουν in compendio) M ἀποφανοῦσθε ἀποφανοῦντες P 6 τῶν MPf: τῶν τ' uel τε Θ | ἐκεῖ MPf cum *CG*: ἐκεῖσε *ABEFM* 7 σφίσι P | τὰ αὐτὰ MP ταὐτὰ f *CEM*: ταῦτα h*ABFG* 8 κατοικήσεις MP 9 Ἐγεσταίων Θ sed cf ant Rom I 52 sq 11 ταῦτα] τάδε Θ | οἳ] ἢ f 15 ἕως ἂν] ἑώς P | ληφθόμεν MP 18 κάλος P

διὰ δ' αὐτὰ τὰς Συρακόσσας κακωθῆναι μέν, ἵνα σωφρονισθῶμεν, βούλεται, περιγενέσθαι δὲ ἕνεκα τῆς ἑαυτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπείας δυνάμεως βούλησιν ἐλπίζει. οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι', καὶ τὰ ἐπὶ τελευτῇ κείμενα τοῦ λόγου· 'δεόμεθα οὖν καὶ μαρτυρόμεθα, εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων, προδιδόμεθα δὲ ὑφ' ὑμῶν Δωριεῖς Δωριέων· καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις γνώμαις κρατήσουσι, τῷ δ'
αὐτῶν | ὀνόματι τιμηθήσονται, καὶ τῆς νίκης οὐκ ἄλ- 935
λον τινὰ ἆθλον ἢ τὸν τὴν νίκην παρασχόντα λήψονται.' ταῦτα μὲν δὴ καὶ τὰ παραπλήσια τούτοις καλὰ καὶ ζήλου ἄξια ἡγοῦμαι. ἐκεῖνα δ' οὐκ οἶδ' ὅπως ἂν ἐπαινέσαιμι· 'νῦν γὰρ εἰς τὴν Σικελίαν προφάσει μέν, ᾗ πυνθάνεσθε, διανοίᾳ δέ, ἣν πάντες ὑπονοοῦμεν. καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι.' ψυχρὰ γὰρ ἡ παρονομασία καὶ οὐ προσβάλλουσα πάθος, ἀλλ' ἐπιτήδευσιν. καὶ ἔτι τὰ πεπλεγμένα καὶ πολλὰς τὰς ἕλικας ἔχοντα σχήματα ταυτί· 'καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οἵδε τῶν Ἑλλήνων οὔτε οἱ Ἕλληνες τῆς ἑαυτῶν τῷ Μήδῳ ἀντέστησαν, περὶ δὲ τοῦ, οἱ μὲν σφίσιν ἀλλὰ

6 Thuc VI 80, 3 15 VI 76, 2 21 VI 76, 4

1 δ' M: δὲ Pf | συρακόσσας MP: Συρακούσας fΘ 4 οἷόν τε] οἴονται P 6 οὖν] δὲ Θ 7 εἰ MP: [ἅμα], εἰ f ex Θ 8 δὲ MP: [δὲ] f 9 δωρίων P | κατατρέψονται P 10 ἡμετέραις Pf 11 αὐτῶν MP | ὀνόματι μηθήσονται P 12 παρασκόντα P 15 νῦν MP: ἥκουσι fΘ | ἐς f 16 πυνθάνεσθαι P | ὑπονοοῦμεν MfΘ: ὑπονοοῦσι P sscr M¹. fort in exemplo ὑπονοοῦμεν ἥκουσιν fuerat 22 οἵδε] οὗτοι Θ 23 [μή]δω cum litura M | δὲ τοῦ MP δὲ [τοῦ] f: δὲ Θ. δὲ τῆς Reiskius 2 [κακοξυνετωτέρου] f 3 τῆς ante ἐκ inserui 4 πρόσωπον MP: προσώπου f 8 πέρι ετῆς sed γ supra ε (ie γε) P | post ἐμῆς iterat P uerba κινδυνεύειν ἐνθ. οὐ περὶ τῆς ἐμῆς 9 μαχόμενος] μαχούμενος f cum CG 10 ὅσω M: ὅσον Pf 11 σύμμαχον P 12 ἔρημον MP 13 ἔχθρας P | post κολάσασθαι Reiskius colon sequens τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου δουλείαν βεβαιώσασθαι βούλεσθαι ex Θ inseruit sententiae sane necessarium | μηρακιώδη P 14 αἰνίγματα P 16 αὐτοῦ M: αὑτοῦ Pf 18 ἀδύνατον fΘ: δυνατὸν MP 20 ἐπιτίθεσιν P 22 post δὲ uersum eundem τὴν ἡμετέραν δύ-

μὴ ἐκείνῳ καταδουλώσεως, οἱ δ' ἐπὶ δεσπότου μεταβολῇ οὐκ ἀξυνετωτέρου, κακοξυνετωτέρου δέ.' καὶ ἔτι
936 τὸ κα|τακορὲς τῆς μεταγωγῆς ⟨τῆς⟩ ἔκ τε τοῦ πληθυν-
τικοῦ εἰς τὸ ἑνικὸν καὶ ἐκ τοῦ περὶ προσώπων λόγου εἰς τὸ τοῦ λέγοντος πρόσωπον· 'καὶ εἴ τῳ ἄρα παρέστηκε τὸν μὲν Συρακόσιον, ἑαυτὸν δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχόμενος, τοσούτῳ δὲ καὶ ἀσφαλέστερον, ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ καὶ οὐκ ἔρημος ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακοσίου ἔχθραν κολάσασθαι.' ταῦτα γὰρ καὶ μειρακιώδη καὶ περίεργα καὶ τῶν λεγομένων αἰνιγμάτων ἀσαφέστερα. καὶ ἐκεῖνα ἔτι πρὸς τούτοις· 'καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὑτοῦ κακοῖς ὀλοφυρθεὶς τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε βουληθείη αὖθις φθονῆσαι· ἀδύνατον δὲ προεμένῳ καὶ μὴ τοὺς αὐτοὺς κινδύνους
937 οὐ περὶ τῶν ὀνομάτων, ἀλλὰ περὶ τῶν | ἔργων ἐθελή-
σαντι προσλαβεῖν.' οἷς ἐπιτίθησιν οὐδὲ μειρακίῳ προσῆκον ἐπιφώνημα· 'λόγῳ μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σῴζοι ἄν τις, ἔργῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν.'

5 Thuc VI 78 15 VI 78, 3

49 Ἔστι δὲ καὶ ἄλλα ἐν τῇ δημηγορίᾳ ταύτῃ μέμψεως ἄξια, περὶ ὧν οὐδὲν δέομαι τὰ πλείω λέγειν· ἱκανῶς δ' οἴομαι καὶ διὰ τούτων φανερὸν πεποιηκέναι τὸ προκείμενον, ὅτι τῆς Θουκυδίδου λέξεως κρατίστη μέν ἐστιν ἡ μετρίως ἐκβεβηκυῖα τὰ συνήθη καὶ τὰς πρώτας καὶ ἀναγκαίας ἀρετὰς φυλάσσουσα, χείρων δὲ ἡ λαμβάνουσα πολλὴν ἐκτροπὴν ἐκ τῶν κοινῶν ὀνομάτων τε καὶ σχημάτων εἰς τὰ ξένα καὶ βεβιασμένα καὶ ἀνακολούθητα, δι' ἣν οὐδὲ τῶν ἄλλων ἀρετῶν οὐδεμίαι τὴν ἑαυτῶν ἐπιδείκνυνται δύναμιν. οὔτε γὰρ ἐν ταῖς ἐκκλησίαις χρήσιμόν ἐστι τοῦτο τὸ γένος τῆς φράσεως, ἐν αἷς ὑπὲρ εἰρήνης καὶ πολέμου καὶ νόμων εἰσφορᾶς καὶ πολιτειῶν κόσμου καὶ τῶν ἄλλων τῶν κοινῶν καὶ μεγάλων αἱ πόλεις βουλευσόμεναι συνέρχονται, οὔτ' ἐν τοῖς δικαστηρίοις, ἔνθα περὶ θανάτου καὶ φυγῆς καὶ ἀτιμίας καὶ δεσμῶν καὶ | χρημάτων ἀφαιρέσεως οἱ λό- 938
γοι πρὸς τοὺς ἀνειληφότας τὴν ὑπὲρ τούτων ἐξουσίαν λέγονται (*** αἳ λυποῦσι τὸν πολιτικὸν ὄχλον οὐκ ὄντα τῶν τοιούτων ἀκουσμάτων ἐν ἔθει), οὔτ' ἐν ταῖς ἰδιωτικαῖς ὁμιλίαις, ἐν αἷς περὶ τῶν βιωτικῶν διαλεγόμεθα πολίταις ἢ φίλοις ἢ συγγενέσιν διηγούμενοί τι τῶν συμβεβηκότων ἑαυτοῖς ἢ συμβουλευόμενοι περί τινος τῶν ἀναγκαίων, ἢ νουθετοῦντες ἢ παρακαλοῦντες ἢ συνηδόμενοι τοῖς ἀγαθοῖς ἢ συναλγοῦντες τοῖς κακοῖς·

ναμιν ... δὲ iteratum del M 2 ἱκανῶς οἴομαι δὲ M 5 μετρίως ἕως ἐκβ. P: num μετρίως πως? 7 post ἐκτροπὴν articulum conicio deesse, Kruegerus ante u 8 ἀνακόλουθα ci Kruegerus 9 οὐδεμιᾶ M: οὐδεμία Pf 10 ἑαυτῶν ἐπιδείκνυνται (ἐπιδείγν- P) MP: ἑαυτῆς ἐπιδείκνυται f 13 κόσμου f: κόσμων MP
16 ἀφαιρεως P 18 hiatum indicaui, quo talia fere hausta esse conicias ⟨οὐδεὶς γὰρ ἀγνοεῖ, ὅτι αἱ τοιαῦται ῥητορεῖ⟩αι aut ⟨τίς γὰρ ἂν προέλοιτο νοῦν ἔχων τὰς τοιαύτας ῥητορείας⟩ αἳ 19 οὐδ' f 20 βιωτικὸν P 21 διηγουμένοι P 24 συναλ-

ἐῶ γὰρ λέγειν, ὅτι τῶν οὕτως διαλεγομένων οὐδὲ αἱ μητέρες ἂν καὶ οἱ πατέρες ἀνάσχοιντο διὰ τὴν ἀηδίαν, ἀλλ' ὥςπερ ἀλλοεθνοῦς γλώσσης ἀκούοντες τῶν ἑρμηνευσόντων ἂν δεηθεῖεν. ταῦτα ἔστιν ἃ περὶ τοῦ συγγραφέως ἐπείσθην, μετὰ πάσης ἀληθείας εἰρημένα κατὰ τὴν ἐμὴν δύναμιν.

Ἀνάγκη δὲ καὶ τὰ λεγόμενα ὑπὲρ αὐτοῦ τισιν ἐξε- 50
τάσαι δι' ὀλίγων, ἵνα μηδὲν παρεικέναι δοκῶ. ὅτι μὲν οὖν οὔτ' εἰς τοὺς πολιτικοὺς ἀγῶνας ἐπιτήδειός ἐστιν οὔτ' εἰς τὰς ὁμιλίας τὰς ἰδιωτικὰς οὗτος ὁ χαρακτήρ,
939 ἅπαντες | ὁμολογήσουσιν οἱ μὴ διεφθαρμένοι τὴν διάνοιαν ἀλλ' ἐν τῷ κατὰ φύσιν τὰς αἰσθήσεις ἔχοντες. ἐπιχειροῦσι δέ τινες οὐκ ἄδοξοι σοφισταὶ λέγειν, ὅτι τοῖς μὲν πρὸς τὰς ὀχλικὰς ἐντεύξεις παρεσκευασμένοις καὶ τὰ δίκαια λέγουσιν οὐκ ἔστιν ἐπιτήδειος οὗτος ὁ χαρακτήρ, τοῖς δὲ τὰς ἱστορικὰς πραγματείας ἐκφέρουσιν, αἷς μεγαλοπρεπείας τε δεῖ καὶ σεμνολογίας καὶ καταπλήξεως, παντὸς μάλιστα προσήκει ταύτην ἀσκεῖν τὴν φράσιν τὴν γλωττηματικήν τε καὶ ἀπηρχαιωμένην καὶ τροπικὴν καὶ ἐξηλλαγμένην τῶν ἐν ἔθει σχημάτων ἐπὶ τὸ ξένον καὶ περιττόν. οὐ γὰρ ἀγοραίοις ἀνθρώποις οὐδ' ἐπιδιφρίοις ἢ χειροτέχναις οὐδὲ τοῖς ἄλλοις οἳ μὴ μετέσχον ἀγωγῆς ἐλευθερίου ταύτας κατασκευάζεσθαι τὰς γραφάς, ἀλλ' ἀνδράσι διὰ τῶν ἐγκυκλίων μαθημάτων ἐπὶ ῥητορικήν τε ⟨καὶ⟩ φιλοσοφίαν ἐληλυθόσιν, οἷς οὐδὲν φανήσεται τούτων ξένον. ἤδη δέ

γοῦντες f: συναδικοῦντες MP 1 ἐῶ P 3 ἄλλου ἔθνους MPf: corr L Dindorfius in Fleckeiseni ann. 1869 p 471 sq 4 ἐστιν libri 5 ⟨γράφειν⟩ ἐπείσθην ci Reiskius 7 ὑπὲρ] κατὰ ὑπὲρ P
8 διὰ λόγων MPf: corr Reiskius 10 τὰς βιωτικὰς MPf: corr Sadaeus p 218 12 fort ἀλλ' εὖ τε ⟨καὶ⟩ κατὰ 16 ἐκφέρουσι P 22 χειροτέκναις P 25 τε καὶ f: τε MP 26 φανή-

τινες ἐπεχείρησαν λέγειν, ὡς οὐ τῶν μεθ᾽ ἑαυτὸν ἐσο-
μένων στοχαζόμενος ὁ συγγραφεὺς οὕτως ἔγραψε τὰς
ἱστορίας, ἀλλὰ τῶν καθ᾽ ἑαυτὸν ὄντων, | οἷς ἦν ἡ διά- 940
λεκτος *** χρήσιμος οὗτος ὁ χαρακτὴρ οὔτ᾽ εἰς τοὺς
συμβουλευτικοὺς ⟨οὔτ᾽ εἰς τοὺς δικανικοὺς⟩ ἀγῶνας, ἐν
οἷς οἵ τ᾽ ἐκκλησιάζοντες καὶ οἱ δικάζοντες, οὐχ οἵους
ὁ Θουκυδίδης ὑπέθετο, συνέρχονται.

51 Πρὸς μὲν οὖν τοὺς οἰομένους μόνων εἶναι τῶν
εὐπαιδεύτων ἀναγνῶναί τε καὶ συνεῖναι τὴν Θουκυ-
δίδου διάλεκτον ταῦτα λέγειν ἔχω, ὅτι τὸ τοῦ πράγ-
ματος ἀναγκαῖόν τε καὶ χρήσιμον ἅπασιν (οὐδὲν γὰρ
⟨ἂν⟩ ἀναγκαιότερον γένοιτο οὐδὲ πολυωφελέστερον)
ἀναιροῦσιν ἐκ τοῦ κοινοῦ βίου, ὀλίγων παντάπασιν
ἀνθρώπων οὕτω ποιοῦντες, ὥςπερ ἐν ταῖς ὀλιγαρχου-
μέναις ἢ τυραννουμέναις πόλεσιν· εὐαρίθμητοι γάρ
τινές εἰσιν οἷοι πάντα τὰ Θουκυδίδου συμβαλεῖν, καὶ
οὐδ᾽ οὗτοι χωρὶς ἐξηγήσεως γραμματικῆς ἔνια. πρὸς
δὲ τοὺς ἐπὶ τὸν ἀρ|χαῖον βίον ἀναφέροντας τὴν Θουκυ- 941
δίδου διάλεκτον ὡς δὴ τοῖς τότε ἀνθρώποις οὖσαν
συνήθη, βραχὺς ἀπόχρη μοι λόγος καὶ σαφής, ὅτι πολ-
λῶν γενομένων Ἀθήνησι κατὰ τὸν Πελοποννησιακὸν
πόλεμον ῥητόρων τε καὶ φιλοσόφων οὐδεὶς αὐτῶν
κέχρηται ταύτῃ τῇ διαλέκτῳ, οὔθ᾽ οἱ περὶ Ἀνδοκίδην
καὶ Ἀντιφῶντα καὶ Λυσίαν ῥήτορες οὔθ᾽ οἱ περὶ Κρι-
τίαν καὶ Ἀντισθένη καὶ Ξενοφῶντα Σωκρατικοί. ἐκ

σεσθαι coni Kruegerus 1 τῶς pr P 4 hiare orationem Sylburgius perspexit 5 οὔτ᾽ εἰς τοὺς δικανικοὺς f: om MP 9 ἀναγνῶταί M 12 ἂν deesse Reiskius uidit 14 οὕτω MP: τοῦτο f 16 οἷοι] οἱ MPf | συμβαλεῖν MP: συμβαλεῖν δυνάμενοι f 19 τοῖς M: om Pf 20 ἀπέχρη MPf: corr Kruegerus | λόγοις P 21 ἀθήνησιν P 23 διαλέκτω οὐδ᾽ MP, f: corr Kruegerus 24 λησίαν M 25 σωκρατικὸν P

δὴ τούτων ἁπάντων δῆλός ἐστιν ἀνὴρ πρῶτος ἐπιτε-
τηδευκὼς ταύτην τὴν ἑρμηνείαν, ἵνα διαλλάξῃ τοὺς
ἄλλους συγγραφεῖς. ὅταν μὲν οὖν τεταμιευμένως αὐτῇ
χρήσηται καὶ μετρίως, θαυμαστός ἐστι καὶ οὐδενὶ
συγκριτὸς [οὐδ᾽] ἑτέρῳ· ὅταν δὲ κατακόρως καὶ ἀπειρο-
κάλως, μήτε τοὺς καιροὺς διορίζων μήτε τὴν ποσότητα
ὁρῶν, μεμπτός. ἐγὼ δὲ οὔτε αὐχμηρὰν καὶ ἀκόσμητον
942 καὶ ἰδιωτικὴν τὴν ἱστορικὴν εἶναι πραγματείαν | ἀξιώ-
σαιμ᾽ ἄν, ἀλλ᾽ ἔχουσάν τι καὶ ποιητικόν· οὔτε παντά-
πασι ποιητικήν, ἀλλ᾽ ἐπ᾽ ὀλίγον ἐκβεβηκυῖαν τῆς ἐν
ἔθει· ἀνιαρὸν γὰρ ὁ κόρος καὶ τῶν πάνυ ἡδέων, ἡ δὲ
συμμετρία πανταχῇ χρήσιμον.

Εἷς ἔτι μοι καταλείπεται λόγος ⟨ὁ⟩ περὶ τῶν 52
μιμησαμένων τὸν ἄνδρα ῥητόρων τε καὶ συγγραφέων,
⟨ἀναγκαῖος μὲν ὤν⟩, ὥςπέρ τις καὶ ἄλλος, εἰς τὴν
συντέλειαν τῆς ὑποθέσεως, ὄκνον δέ τινα καὶ πολλὴν
εὐλάβειαν ἡμῖν παρέχων, μή τινα παράσχωμεν ἀφορμὴν
διαβολῆς τοῖς πάντα συκοφαντεῖν εἰωθόσιν ἀλλοτρίαν
τῆς ἐπιεικείας, ᾗ κεχρήμεθα καὶ περὶ τοὺς λόγους καὶ
περὶ τὰ ἤθη· οἷς τάχα βάσκανόν τι καὶ κακόηθες
πρᾶγμα δόξομεν*, εἰ τοὺς μὴ καλῶς τῇ μιμήσει χρη-
σαμένους παράγομεν καὶ παρεχόμεθα τὰς γραφὰς
αὐτῶν, ἐφ᾽ αἷς μέγιστον ἐφρόνουν ἐκεῖνοι καὶ δι᾽ ἃς
943 πλούτους τε μεγάλους ἐκτή|σαντο καὶ δόξης λαμπρᾶς

1 δὴ τῶν pr P | ἀνὴρ MPf ὁ ἀνὴρ Sylburgius 4 μητρίως P | οὐδὲ συγκριτικὸς οὐδ᾽ ἑτέρω MPf: corr Reiskius, συγκριτὸς Sylburgius praeiuerat 6 διορίζον MP 7 μεμπτῶς P 10 ὀλίγων ci Sylburgius 11 πάνυ ἀηδῶν MPf: corr Kruegerus, cf Vlietius p 29 13 ὁ inseruit Sadaeus p 218 14 μιμησομένων uitiose r 15 ἀναγκαῖος μὲν suppleuerat Reiskius | ὥςπερ] εἴ περ Vlietius p 30 16 καὶ πολλὴν . . . . 17 τινα om M[1] 18 διαβολλῆς P 19 τῆς ἐπιεικὸς τῆς ἐπιεικείας P 21 infinitiuum intercidisse Sylburgius uidit

κατηξιώθησαν. ἵνα δὲ μηδεμία ὑποψία καθ' ἡμῶν τοιαύτη γένηται, τὸ μὲν ἐπιτιμᾶν τισι καὶ μεμνῆσθαι τῶν ἡμαρτημένων αὐτοῖς ἐάσομεν· περὶ δὲ τῶν κατορθωσάντων ἐν τῇ μιμήσει μικρὰ προσθέντες ἔτι καταπαύσομεν αὐτοῦ τὸν λόγον. Συγγραφέων μὲν οὖν ἀρχαίων, ὅσα κἀμὲ εἰδέναι, Θουκυδίδου μιμητὴς ⟨οὐδεὶς⟩ ἐγένετο κατὰ ταῦτά γε, καθ' ἃ δοκεῖ μάλιστα τῶν ἄλλων διαφέρειν, κατὰ τὴν γλωσσηματικὴν καὶ ἀπηρχαιωμένην καὶ ποιητικὴν καὶ ξένην λέξιν, καὶ κατὰ τὰς ὑπερβατοὺς καὶ πολυπλόκους καὶ ἐξ ἀποκοπῆς πολλὰ σημαίνειν πράγματα βουλομένας καὶ διὰ μακροῦ τὰς ἀποδόσεις λαμβανούσας νοήσεις, καὶ ἔτι πρὸς τούτοις κατὰ τοὺς σκαιοὺς καὶ πεπλανημένους ἐκ τῆς κατὰ φύσιν συζυγίας καὶ οὐδ' ἐν ἁπάσῃ ποιητικῇ
χώραν ἔχοντας σχηματισμούς, ἐξ ὧν ἡ πάντα | λυμαι- 944
νομένη τὰ καλὰ καὶ σκότον παρέχουσα ταῖς ἀρεταῖς ἀσάφεια παρῆλθεν εἰς τοὺς λόγους.

53 Ῥητόρων δὲ Δημοσθένης μόνος, ὥσπερ τῶν ἄλλων ὅσοι μέγα τι καὶ λαμπρὸν ἔδοξαν ποιεῖν ἐν λόγοις, οὕτω καὶ Θουκυδίδου ζηλωτὴς ἐγένετο κατὰ πολλὰ καὶ προσέθηκε τοῖς πολιτικοῖς λόγοις παρ' ἐκείνου λαβών, ἃς οὔτε Ἀντιφῶν οὔτε Λυσίας οὔτε Ἰσοκράτης οἱ πρωτεύσαντες τῶν τότε ῥητόρων ἔσχον ἀρετάς, τὰ τάχη λέγω καὶ τὰς συστροφὰς καὶ τοὺς τόνους καὶ τὸ πικρὸν καὶ τὸ στριφνὸν καὶ τὴν ἐξεγείρουσαν τὰ πάθη δεινότητα· τὸ δὲ κατάγλωσσον τῆς λέξεως καὶ ξένον καὶ

3 ἐάσωμεν M | δὲ τὸν MP 5 καταπαύσωμεν MP 6 οὐδεὶς f: om MP 12 ἀποδίξεις P 13 σκαιοὺς] σκολιοὺς ci Kruegerus 14 post ποιητικῇ intercidisse κατασκευῇ Kruegerus ci 15 ὧν] ὢ P 21 παρ' ἐκείνου P recte, sed in mg γρ. παρ' ἐκείνου idem 25 στριφνὸν MP: στρυφνὸν f 26 κατὰ γλῶσσαν f

ποιητικὸν οὐχ ἡγησάμενος ἐπιτήδεια τοῖς ἀληθινοῖς ἀγῶσι παρέλιπε, καὶ οὐδὲ τῶν σχημάτων τὸ πεπλανημένον ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας καὶ τὸ σολοικοφανὲς ἠγάπησεν, ἀλλ' ἐν τοῖς συνήθεσιν ἔμεινε, ταῖς μεταβολαῖς καὶ τῇ ποικιλίᾳ καὶ τῷ μηδὲν ἁπλῶς ἀσχημάτιστον ἐκφέρειν νόημα κοσμῶν τὴν φράσιν. τὰς δὲ πολυπλόκους νοήσεις καὶ πολλὰ δηλούσας ἐν ὀλίγοις |
945 καὶ διὰ μακροῦ κομιζομένας τὴν ἀκολουθίαν καὶ ἐκ παραδόξου τὰ ἐνθυμήματα φερούσας ἐζήλωσέν τε καὶ προσέθηκε τοῖς τε δημηγορικοῖς καὶ τοῖς δικανικοῖς λόγοις, ἧττον μὲν ἐπὶ τῶν ἰδιωτικῶν, δαψιλέστερον δὲ ἐπὶ τῶν δημοσίων ἀγώνων.

Θήσω δ' ἐξ ἀμφοτέρων παραδείγματα, πολλῶν ὄν- 54
των ὀλίγα καὶ τοῖς ἀνεγνωκόσι τὸν ἄνδρα ἀρκοῦντα. ἔστι δή τις αὐτῷ δημηγορία τὴν μὲν ὑπόθεσιν ἔχουσα περὶ τοῦ πρὸς βασιλέα πολέμου, παρακαλοῦσα δὲ τοὺς Ἀθηναίους μὴ προχείρως αὐτὸν ἄρασθαι, ὡς οὔτε τῆς οἰκείας αὐτῶν δυνάμεως ἀξιομάχου πρὸς τὴν τοῦ βασιλέως ὑπαρχούσης οὔτε τῆς συμμαχικῆς πιστῶς καὶ βεβαίως τῶν κινδύνων ἀντιληψομένης· παρακαλεῖ τε αὐτοὺς παρασκευασαμένους τὴν ἑαυτῶν δύναμιν φανεροὺς εἶναι τοῖς Ἕλλησιν, ὅτι τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας κίνδυνον ὑπομενοῦσιν, ἐάν τις ἐπ' αὐτοὺς ἴῃ· πρὸ δὲ τοῦ παρασκευάσασθαι πρέσβεις οὐκ ἐᾷ πρὸς τοὺς Ἕλληνας ἀποστέλλειν τοὺς καλέσοντας αὐτοὺς ἐπὶ
946 τὸν πόλεμον, | ὡς οὐχ ὑπακουσομένους. τοῦτο λαβὼν τὸ νόημα κατεσκεύακέν τε καὶ ἐσχημάτικεν οὕτως·

9 ἐζήλωσέ f 10 προσέθηκεν P 13 δὲ f 14 ἀναγνωκόσι M 18 ἀξιωμάχου pr P 19 πιστῶς f: πίστεως MP 23 τις f: τε MP 24 παρασκευάσασθαι M: παρασκευάσθαι P παρεσκευάσθαι f 27 κατεσύακέν P | καὶ σχημάτικεν P

'Τότε δέ, ἐὰν ἄρα ἃ νῦν οἰόμεθα ἡμεῖς πράττητε, οὐδεὶς δήπου τῶν πάντων Ἑλλήνων τηλικοῦτον ἐφ' ἑαυτῷ φρονεῖ, ὅςτις ὁρῶν χιλίους ἱππέας, ὁπλίτας δὲ ὅσους ἂν ἐθέλῃ τις, ναῦς δὲ τριακοσίας οὐχ ἥξει καὶ δεήσεται, μετὰ τούτων ἀσφαλέστατ' ἂν ἡγούμενος σωθῆναι· οὐκοῦν ἐκ μὲν τοῦ καλεῖν ἤδη τὸ δεῖσθαι κἂν μὴ τύχητε ἐφαμαρτεῖν, ἐκ δὲ τοῦ μετὰ τοῦ παρασκευάσασθαι τὰ ὑμέτερα αὐτῶν ἐπισχεῖν δεομένους σῴζειν καὶ εὖ εἰδέναι πάντας ἥξοντας ἔστι.' ταῦτα ἐξήλλακται μὲν ἐκ τῆς πολιτικῆς καὶ συνήθους τοῖς πολλοῖς ἀπαγγελίας, καὶ κρείττονά ἐστιν ἢ κατὰ τὸν ἰδιώτην· οὐ μὴν ἐσκότισταί γε οὐδὲ ἀσαφῆ γέγονεν ὥςτε ἐξηγήσεως δεῖσθαι. ἀρξάμενός τε ὑπὲρ τῆς παρασκευῆς λέγειν ταῦτα ἐπιτίθη|σιν· 947
'ἔστι δὲ πρῶτον τῆς παρασκευῆς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μέγιστον, οὕτω διακεῖσθαι τὰς γνώμας ὑμᾶς, ὡς ἕκαστον ἑκόντα προθύμως ὅ τι ἂν δέῃ ποιήσοντα. ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὅσα μὲν πώποτε ἐβουλήθητε καὶ μετὰ ταῦτα τὸ πράττειν αὐτὸς ἕκαστος

1 Dem or XIV 13 14 Dem or XIV 14 extr

1 τότε δὲ ... πράττητε M: om Pf | πράττηται D(emosthenis libri) sed πράττητε *F* 2 πάντων MP cum *Σ*: ἁπάντων f ex D 3 φρονεῖ MP cum *Σ*: φρονήσει f ex D | χιλίους MP: ὑμῖν χιλίους μὲν f ex D sed ὑμῖν χιλίους *Σ* χιλίους ὑμῖν *A* | ἱππέας [ὑπάρχειν] f 6 ἤδει MP | κἂν f ex D: καὶ MP 7 ἐφαμαρτεῖν MPf: ἀφαμαρτεῖν Dr | ἐκ δὲ τοῦ fD: ἑκάστου MP 9 ἥξοντάς ἐστι f | ἐκ cf supra 148, 18 10 πολιτικῆς] πολλῆς MPf κοινῆς Kruegerus. cf supra 143,11 11 οὐ μὲν h 13 τ' ἀπὸ r | ὑπὲρ] ἀπὸ MPf | κατασκευῆς M[1] 14 δὲ MP: τοίνυν f ex D | τῆς MP: μὲν τῆς fD 15 ὑμᾶς etiam *AF* sed ὑμῶν *ΣΥ* 16 ποιήσονται MP 17 ὁρᾶται P | ἄνδρες hic et 415, 10 om M, utroque loco ᾰ͂ solito conpendio P | πώποτε MP: πώποθ' ἅπαντες [ὑμεῖς] f πώποθ' ἅπαντες *ΣΥF* ἅπαντες πώποτ' *A* 18 ἠβουλήθητε D item 415, 2 | αὐτὸς om P

ἑαυτῷ προσήκειν ἡγήσατο, οὐδὲν πώποτε ὑμᾶς ἐξέφυγεν· ὅσα δ' ἐβουλήθητε μέν, μετὰ ταῦτα δὲ ἀπεβλέψατε εἰς ἀλλήλους, ὡς αὐτὸς μὲν οὐ ποιήσων, τὸν δὲ πλησίον τὰ δέοντα πράξοντα, οὐδὲν πώποτε ὑμῖν ἐγένετο.' καὶ γὰρ ἐνταῦθα πέπλεκται μὲν ἡ διάνοια πολυπλόκως, λέλεκται δ' ἐκ τῆς κοινότητος εἰς τὴν ἀσυνήθη φράσιν ἐκβεβηκότα, φυλάττεται δὲ τὸ περιττὸν αὐτῶν ἐν τῷ σαφεῖ. Ἐν δὲ τῇ μεγίστῃ τῶν κατὰ Φιλίππου δημηγοριῶν καὶ τὴν ἀρχὴν εὐθὺς οὕτως κατεσκεύακεν· 'Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν, περὶ
948 ὧν Φίλιππος ἀφ' οὗ τὴν εἰρήνην ἐποιή|σατο οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους ἀδικεῖ· καὶ πάντων οἶδ' ὅτι φησάντων γ' ἄν, εἰ μὴ καὶ ποιοῦσι τοῦτο, καὶ λέγειν καὶ πράττειν, ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦτο ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥςτε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δέ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλονθ' οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς ἐξ ὧν ὡς φαυλότατα ἔμελλε τὰ πράγματα ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι.' ὅμοια δὲ τούτοις ἐστὶ κἀκεῖνα· 'εἶτ' οἴεσθε, εἰ μὲν αὐτὸν μηδὲν ἐποίησαν

10 Dem or IX (Phil III) 1 22 Dem or IX 13

2 δ' M: δὲ Pf | ἐβουλέθητε P 3 εἰς etiam *Σ* et γρ *F*: πρὸς D | μὲν MP: μὲν ἕκαστος fD 4 τὰ δέοντα MP: inclusit f om D | πώποθ' Pf 5 πέπλευται P 7 φυλάτεται P 13 ἄλλους MP cum *Σ*[1]: ἄλλους [Ἕλληνας] f ex D | οἶδ' MP cum D: εὖ οἶδ' f cum *ΥF* 14 μὴ καὶ MP: καὶ μὴ fD | λέγειν MP: λέγειν [δεῖν] f ex D 15 πράττειν MPD: πράττειν ἅπασι προσήκειν (-κει *Υ*) f *ΥF* 17 προειρημένα M 18 δὲ MP cum *ΣF*[1]: δὲ ἢ f ex D 20 πράγμαθ' f 21 νῦν MPf cum *Σ*[1]*F*: νῦν αὐτὰ D 22 ἔστι edebant | εἰ μὲν αὐτὸν μηδὲν ἐποίησαν MP:

κακόν, μὴ παθεῖν δὲ φυλάξαιντο ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ⟨ἑκόντες⟩ ἐξαπατᾶσθε;' Ἐν δὲ τῷ κρατίστῳ τῶν | δι- 949
κανικῶν, τῷ περὶ τοῦ στεφάνου γραφέντι λόγῳ τῆς Φιλίππου δεινότητος, ᾗ κατεστρατηγήκει τὰς πόλεις, μνησθεὶς οὕτω τὴν διάνοιαν ἐσχημάτικεν· 'καὶ οὐκέτι προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κατέστη κύριος ὁ Φίλιππος ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη, τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος πρὸς ὑμᾶς ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς ἐκομίσασθε.' καὶ ἐν οἷς τοὺς προδιδόντας τῷ Φιλίππῳ τὰ πράγματα πάντων αἰτίους ἀποφαίνει τῶν συμβεβηκότων τοῖς Ἕλλησι κακῶν, κατὰ λέξιν οὕτως γράφει· 'καίτοι νὴ τὸν Ἡρακλέα καὶ πάντας θεούς, εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι ἢ τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς ἦσαν οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους

7 Dem or XVIII 231 16 id or XVIII 294

οἳ μὲν οὐδὲν ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι f ex D, sed αὐτόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν Σ 1 δὲ φυλάξαιντο MP: δ' ἐφυλάξαντ' ἂν f ex D 3 ἕως fD: ὡς MP 4 ἑκόντες om MP: ex D inseruit f | ἐξαπατᾶσθαι MP 6 ἥ P | κατεστρατήγει f 7 ἐσχημάτηκεν P 8 προτίθημι MP 9 κατέστη κύριος ὁ Mf κατέστηκεν ὁ P: κύριος κατέστη D 11 περιβαλόμενος f | πρὸς ὑμᾶς om Σ | ἡμᾶς P 12 καλεῖς P | κεκόμισθε D 14 ἀποφαίνειν M¹ 15 γράφων MPf: corr Sadaeus p 219 16 νῆ M | πάντας MP cum ΣΥΑ: πάντας τοὺς f cum F 17 ἢ] εἰ M εἰς P [εἰς] f om r 18 ἔχθράν τι f | ἀνελόντας fD: ἀνελόντες M ἀνελοῦντες P | μήσου P 19 ἦσαν] εἰσίν D

950 τούτῳ | παρ' ἑκάστῃ τῶν πόλεων εὕροιτ' ἄν, οὐχὶ τοὺς ἐμοί· οἳ ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλάκι προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων ⟨τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας⟩ τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἑκάστοις πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν.'

Μυρία παραδείγματα φέρειν δυναίμην ἂν ἐκ τῶν 55
τοῦ Δημοσθένους λόγων τῶν τε δημηγορικῶν καὶ τῶν δικανικῶν, ἃ παρὰ τὸν Θουκυδίδου κατεσκεύασται χαρακτῆρα τὸν ἐν τῇ κοινῇ καὶ συνήθει διαλέκτῳ τὴν ἐξαλλαγὴν ἔχοντα. ἀλλ' ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένοιτό μοι, τούτοις ἀρκεσθεὶς ἱκανοῖς οὖσι βεβαιῶσαι τὸ προκείμενον οὐκ ἂν ὀκνήσαιμι τοῖς ἀσκοῦσι τοὺς πολιτικοὺς λόγους ὑποτίθεσθαι τοῖς γε δὴ τὰς κρίσεις ἀδιαστρόφους ἔτι φυλάσσουσι, Δημοσθένει συμβούλῳ χρησαμένους, ὃν ἁπάντων ῥητόρων κράτιστον γεγενῆσθαι πειθόμεθα, ταύτας μιμεῖσθαι τὰς κατα-
951 σκευάς, ἐν αἷς | ἥ τε βραχύτης καὶ ἡ δεινότης καὶ ἡ ἰσχὺς καὶ ὁ τόνος καὶ ἡ μεγαλοπρέπεια καὶ αἱ συγγενεῖς ταύταις ἀρεταὶ πᾶσιν ἀνθρώποις εἰσὶ φανεραί· τὰς δὲ αἰνιγματώδεις καὶ δυσκαταμαθήτους καὶ γραμματικῶν ἐξηγήσεων δεομένας καὶ πολὺ τὸ βεβασανισμένον καὶ τὸ σολοικοφανὲς ἐν τοῖς σχηματισμοῖς ἐχούσας μήτε θαυμάζειν μήτε μιμεῖσθαι. ἵνα δὲ συνελὼν εἴπω,

1 παρ' ἑκάστῃ fD: παρέστη MP | εὕροιτ' MPf cum ΣΥΑ γρ F: εὕροι τις F | οὐχὶ] οὐ ΣΥΑ | τοὺς κομιδῇ ἐμοί M unde apparet proximum uersum in archetypo omissum et in mg additum fuisse, cf P 2 ἐμοί ... καὶ om P 3 πολλάκι MP: πολλάκις fD 4 τὰ βέλτιστα ... αἰσχροκερδείας om MP 5 προεῖντο MP 6 ἑκάστοις MP: ἕκαστοι f ex D 9 δημηγοριῶν P 13 ἱκανῶς Pf

ἀμφότερα μὲν ἐπ᾽ ἴσης ζηλωτὰ εἶναι, τά τε μὴ σαφῶς εἰρημένα ὑπὸ τοῦ συγγραφέως καὶ τὰ προσειληφότα σὺν ταῖς ἄλλαις ἀρεταῖς τὴν σαφήνειαν, οὐκ ἔχει λόγον· ἀνάγκη δὲ ὁμολογεῖν κρείττονα τῶν ἀτελεστέρων εἶναι τὰ τελειότερα καὶ τῶν ἀφανεστέρων τά γ᾽ ἐμφανέστερα. τί οὖν μαθόντες ἅπασαν τὴν διάλεκτον τοῦ συγγραφέως ἐπαινοῦμεν καὶ βιαζόμεθα λέγειν, ὅτι τοῖς καθ᾽ ἑαυτὸν οὖσιν ἀνθρώποις αὐτὰ ὁ Θουκυδίδης ἔγραψε συνήθη πᾶσι καὶ γνώριμα ὄντα, ἡμῶν δὲ λόγος αὐτῷ τῶν ὕστερον ἐσομένων οὐκ ἦν, οἳ δ᾽ ἐκβάλλομεν ἐκ τῶν 952 *δικαστηρίων καὶ τῶν ἐκκλησιῶν ἅπασαν τὴν Θουκυδίδου λέξιν ὡς ἄχρηστον, ἀλλ᾽ οὐχ ὁμολογοῦμεν τὸ διηγηματικὸν μέρος αὐτῆς πλὴν ὀλίγων πάνυ θαυμαστῶς ἔχειν καὶ εἰς πάσας εἶναι τὰς χρείας εὔθετον, τὸ δὲ δημηγορικὸν οὐχ ἅπαν εἰς μίμησιν ἐπιτήδειον εἶναι, ἀλλ᾽ ὅσον ἐστὶν αὐτοῦ μέρος γνωσθῆναι μὲν ἅπασιν ἀνθρώποις εὔπορον, κατασκευασθῆναι δ᾽ οὐχ ἅπασι δυνατόν;*

Τούτων ἡδίω μὲν εἶχόν σοι περὶ Θουκυδίδου γράφειν, ὦ βέλτιστε Κόιντε Αἴλιε Τουβέρων, οὐ μὴν ἀληθέστερα.

1 *ἐπίσης* M 4 *κρείττωνα* P 6 *παθόντες* erit qui exspectet | fort ⟨*οἳ μὲν*⟩ *ἅπασαν* 9 *γνώρημα* P 10 *οἳ δ᾽*] *οὐδ᾽* MPf 12 *ἀλλ᾽ οὐχ* MP: *ἀλλ᾽* f 13 *ὀλίγων* f: *ὀλίγων ἢ* MP an *ὀλίγων τινῶν*? 16 *ὅσσον* M 19 *γραφεῖν* M 21 *Διονυσίου ἁλικαρνασέως* | *περὶ θουκυδίδου πλατύτερον* | *τέλος* rubro M, *τέλος* P subscribit.

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ ΤΩΝ ΘΟΥΚΥΔΙΔΟΥ ΙΔΙΩΜΑΤΩΝ

ΠΡΟΣ ΑΜΜΑΙΟΝ

fons lectionis est

P	codex Parisinus bybl nat 1741
	lectionis uolgatae fontes passim adhibentur
G	codex Guelferbytanus XIV
C	Laurentianus LX 18 a F. Philelpho scriptus
D	Parisiensis supplem 256 olim A. Schotti
a	editio princeps rhetorum Aldi Manutii 1508
s	editio Roberti Stephani 1547
Δ	Dionysius Halic de Thucydide c 24 et alibi
Θ	Thucydidis lectio

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ
788 # ΠΕΡΙ ΤΩΝ ΘΟΥΚΥΔΙΔΟΥ ΙΔΙΩΜΑΤΩΝ

ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩΙ ΤΩΙ ΦΙΛΤΑΤΩΙ ΧΑΙΡΕΙΝ

Ἐγὼ μὲν ὑπελάμβανον ἀρκούντως δεδηλωκέναι τὸν Θουκυδίδου χαρακτῆρα, τὰ μέγιστα καὶ κυριώτατα τῶν ὑπαρχόντων περὶ αὐτὸν ἰδιωμάτων ἐπεξελθών, ἐν οἷς γε δὴ μάλιστα διαφέρειν ἔδοξέν μοι τῶν πρὸ αὐτοῦ ῥητόρων τε καὶ συγγραφέων, πρότερον μὲν ἐν τοῖς
789 περὶ | τῶν ἀρχαίων ῥητόρων πρὸς τὸ σὸν ὄνομα συνταχθεῖσιν ὑπομνηματισμοῖς, ὀλίγοις ⟨δὲ⟩ δὴ πρόσθεν χρόνοις ἐν τῇ περὶ αὐτοῦ τοῦ Θουκυδίδου κατασκευασθείσῃ γραφῇ προσειπὼν τὸν Αἴλιον Τουβέρωνα, ἐν ᾗ πάντα τὰ δεόμενα λόγου μετὰ τῶν οἰκείων ἀποδείξεων διεξελήλυθα κατὰ τὴν ἐμαυτοῦ δύναμιν· σοῦ δὲ ὑπολαμβάνοντος ἧττον ἠκριβῶσθαι τὰς γραφάς, ἐπειδὴ προεκθέμενος ἅπαντα τὰ συμβεβηκότα τῷ χαρακτῆρι τότε τὰς περὶ αὐτῶν πίστεις παρέχομαι, ἀκριβεστέραν

7 ἐνοῖς P ut 13 ἐνῆι et plerumque 10 προστόσον P | συντεταχθεῖσιν P 11 δὲ δὴ] δὴ Pa δὲ H. Stephanus 13 προσειπὸν P sed ω supra scripsit corrector recentior | τοῦ βέρωνα Pa 14 ἀποδέων P: ειξ supra scr. m. rec. 15 ἐμαυτοῦ G: αὐτοῦ Pa 18 [πίστ]εις cum litura P | παρέσχημαι mauolt Herwerdenus

δὲ τὴν δήλωσιν τῶν ἰδιωμάτων τοῦ χαρακτῆρος ἔσεσθαι
νομίζοντος, εἰ παρὰ μίαν ἑκάστην τῶν προθέσεων τὰς
λέξεις τοῦ συγγραφέως παρατιθείην, ὃ οἱ τὰς τέχνας
καὶ τὰς εἰσαγωγὰς τῶν λόγων πραγματευόμενοι ποιοῦσιν,
προελόμενος εἰς μηδὲν ἐλλείπειν καὶ τοῦτο πεποίηκα,
τὸ διδασκαλικὸν σχῆμα λαβὼν ἀντὶ τοῦ ἀποδεικτικοῦ.

2 Ἵνα δὲ εὐπαρακολούθητος ὁ λόγος σοι γένηται, 790
προθεὶς κατὰ λέξιν, ὅσα περὶ τοῦ συγγραφέως τυγχάνω
προειρηκώς, ἐπιτροχάδην ἀναλήψομαι τῶν προθέσεων
ἑκάστην καὶ τὰς ἀποδείξεις παρέξομαι, καθάπερ ἠξίους.
ἕπεται δὲ τοῖς περὶ Ἡροδότου γραφεῖσιν τὰ μέλλοντα
δηλοῦσθαι. τούτῳ γὰρ Θουκυδίδης τῷ ἀνδρὶ ἐπιβαλὼν
καὶ τοῖς ἄλλοις ὧν πρότερον ἐμνήσθην, καὶ συνιδών,
ἃς ἕκαστος αὐτῶν ἔσχεν ἀρετάς, ἴδιόν τι γένος χαρακτῆ-
ρος, οὔτε πεζὸν αὐτοτελῶς οὔτ' ἔμμετρον ἀπηρτισμένως,
κοινὸν δέ τι καὶ μικτὸν ἐξ ἀμφοῖν ἐργασάμενος εἰς τὴν
ἱστορικὴν πραγματείαν ἐσπούδασεν εἰσαγαγεῖν· ἐπὶ μὲν
τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν καὶ γλωττη-
ματικὴν καὶ ἀπηρχαιωμένην καὶ ξένην λέξιν παραλαμ-
βάνων πολλάκις ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς
καθ' ἑαυτὸν ἀνθρώποις, ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν

12—p 425, 8 ex commentationis de Thucydide c 24 p 360, 25—363, 17 sublata

1 τοῦ χαρακτῆρος glossema existimat Herwerdenus, sed cf p 421, 6 sq. 2 παραθέσεων Pa: corr cum Reiskio Kruegerus cf Vlietius stud cr p 33 4 ποιοῦσι s 6 ἐπιδεικτικοῦ Pa 8 ὅσαπερ τοῦ P 10 ἠξίουν Pa: corr Sylburgius 12 τούτῳ δὲ δὴ τῷ ἀνδρὶ Θουκυδίδης ἐπιβαλὼν Δ 13 ὧ[ν πρό]τερον cum litura P | συνειδὼν P 14 ἴδιον ... 16 εἰς] ἴδιόν τινα χαρακτῆρα καὶ παρεωραμένον ἅπασι πρῶτος εἰς Δ 15 οὔτε s 16 μικτὸν CDs: μικρὸν P 17 ἀγαγεῖν Δ 19 παραλαμβάνων πολλάκις] προελόμενος Δ 20 τοῖς GCs: τῆσ P 21 κατ' αὐτὸν Δ | ἐπὶ δὲ] ἐπὶ δὲ τῆς συνθέσεως τῶν τ' ἐλατ-

οἷς μάλιστα ἐβουλήθη διενεγκεῖν τῶν πρὸ αὐτοῦ, πλεί-
791 στην εἰσενεγκάμενος πραγματείαν, τοτὲ | μὲν λόγον ἐξ
ὀνόματος ποιῶν, τοτὲ δὲ εἰς ὄνομα συνάγων τὸν λόγον·
καὶ νῦν μὲν τὸ ῥηματικὸν ὀνοματικῶς ἐκφέρων, αὖθις
δὲ τοὔνομα ῥῆμα ποιῶν· καὶ αὐτῶν γε τούτων ἀνα-
στρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνοματικὸν ⟨προση-
γορικὸν γένηται, τὸ δὲ προσηγορικὸν ὀνοματικῶς⟩ λέ-
γηται, καὶ τὰ μὲν παθητικὰ ῥήματα δραστήρια, τὰ δὲ
δραστήρια παθητικά· πληθυντικῶν δὲ καὶ ἑνικῶν ἀλ-
λάττων τὰς φύσεις καὶ ἀντικατηγορῶν ταῦτα ἀλλήλων,
θηλυκά τ' ἀρρενικοῖς καὶ ἀρρενικὰ θηλυκοῖς καὶ οὐδέ-
τερα τούτων τισὶν συνάπτων, ἐξ ὧν ἡ κατὰ φύσιν
ἀκολουθία πλανᾶται· τὰς δὲ ⟨τῶν⟩ ὀνοματικῶν ἢ
μετοχικῶν πτώσεις τοτὲ μὲν πρὸς τὸ σημαινόμενον
ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, τοτὲ δὲ πρὸς τὸ
⟨σημαῖνον ἀπὸ τοῦ⟩ σημαινομένου· ἐν δὲ τοῖς συνδε-
τικοῖς καὶ τοῖς προθετικοῖς μορίοις καὶ ἔτι μᾶλλον ἐν

τόνων καὶ τῶν μειζόνων μορίων τὴν ἀξιωματικὴν καὶ αὐστηρὰν καὶ στιβαρὰν καὶ βεβηκυῖαν καὶ τραχύνουσαν ταῖς τῶν γραμμάτων ἀντιτυπίαις τὰς ἀκοὰς ἀντὶ τῆς λιγυρᾶς καὶ μαλακῆς καὶ συνεξεσμένης καὶ μηδὲν ἐχούσης ἀντίτυπον· ἐπὶ δὲ Δ 1 μάληστα P | διενέγκαι Δ | αυτοῦ P αὑτοῦ a: corr Kruegerus 2 πραγματείαν] σπουδήν. διετέλεσέ γέ τοι τὸν ἑπτακαιεικοσαετῆ χρόνον τοῦ πολέμου ἀπὸ τῆς ἀρχῆς ἕως τῆς τελευτῆς τὰς ὀκτὼ βύβλους, ἃς μόνας κατέλιπεν, στρέφων ἄνω καὶ κάτω, καὶ καθ' ἓν ἕκαστον τῶν τῆς φράσεως μορίων ῥινῶν καὶ τορεύων· καὶ Δ | ἐξ' sic P 4 ὀνομαστικῶς a 6 ἵνα τὸ μὲν ὀνοματικὸν λέγηται P ἵνα τὸ μὲν ὀνοματικὸν ῥηματικὸν, τὸ δὲ ῥηματικὸν ὀνοματικὸν λέγηται inpudenti interpolatione CDs: orationem mancam ex Δ supplendam esse uidit Reiskius 8 sq fort deest ποιῶν 9 ἐναλλάττων Δ Kruegerus ad historiogr p 129 10 καὶ ἐγκατηγορῶν Δ 11 τε CDs | ἀρενικοῖς P ἀρσενικοῖς ΔDs | ἀρρενικὰ Δ: ἄρρενα Pa 12 τούτων τισὶν corr P^1 τούτων σίν pr P^1 13 δὲ τῶν Δ: δὲ Pa 14 ποτὲ hic et u 15 Δ 15 πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου ΔCDs: πρὸς τὸ σημαινόμενον Pa

τοῖς διαρθροῦσι τὰς τῶν ὀνομάτων δυνά|μεις ποιητοῦ 792
τρόπον ἐνεξουσιάζων. πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ τῶν σχημάτων, προσώπων τε ἀποστροφαῖς καὶ χρόνων ἐναλλαγαῖς καὶ τροπικῶν σημειώσεων μεταφοραῖς ἐξηλλαγμένα καὶ σολοικισμῶν λαμβάνοντα φαντασίας· ὁπόσα τε γίνεται πράγματα ἀντὶ σωμάτων ἢ σώματα ἀντὶ πραγμάτων, καὶ ἐφ' ὧν ἐνθυμημάτων τε καὶ νοημάτων αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι διὰ μακροῦ τὴν ἀκολουθίαν κομίζονται, τά τε σκολιὰ καὶ πολύπλοκα καὶ δυσεξέλικτα καὶ τὰ ἄλλα τὰ συγγενῆ τούτοις. εὕροι δ' ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ' αὐτῷ, τὰς παρισώσεις λέγω καὶ παρομοιώσεις καὶ παρονομασίας καὶ ἀντιθέσεις, ἐν αἷς ἐπλεόνασε Γοργίας ὁ Λεοντῖνος καὶ οἱ περὶ Πῶλον καὶ Λικύμνιον καὶ πολλοὶ ἄλλοι τῶν κατ' αὐτὸν ἀκμασάντων. ἐκδηλότατα δὲ αὐτοῦ καὶ χαρακτηρικώτατά ἐστι τό τε πειρᾶσθαι δι' ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν | πράγματα καὶ πολλὰ 793
συντιθέναι νοήματα εἰς ἓν καὶ ⟨τὸ⟩ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι καταλιπεῖν, ὑφ' ὧν ἀσαφὲς γίνεται τὸ βραχύ. ἵνα δὲ συνελὼν εἴπω, τέσσαρα μέν

1 ὀνομάτων Δ: νοημάτων Pa cf Vlietius stud crit p 5 2 εὗροι P om Δ 3 τῶν σχημάτων] σχήματα Δ delet Vlietius p 31 | ἀποστροφ[αῖ]ς cum rasura P 4 τοπικῶν PaΔ: corr Kruegerus | διαφοραῖς Δ 5 ἐξηλλαγμένα τῶν συνήθων καὶ Δ 6 ὁπόσα τε γίγνεται Δ: ἀποστέγειν ἢ τὰ Pa corr Reiskius 7 8 τε καὶ νοημάτων om Δ cf Sadaeus quaestt crit p 211 9 μακροῦ] πολλοῦ Δ 11 εὗροι δ' άν P 13 καὶ παρομοιώσεις om Δ sed cf p 437, 5 et Sadaeus l s p 211 sq 16 ἐκδηλώτατα P 17 χαρακτηριστικώτατα CDs | ἔστι P | τό τε πειρᾶσθαι] πεπειρᾶσθαι Ds 19 εἰς ἓν ex Δ Reiskius: εἰς ἃ Pa | καὶ τὸ ἔτι] καὶ ἔτι PaΔ 20 ἀκούσεσθαι CDsΔ: ἀκούεσθαι Pa | καταλείπει CDs καταλείπειν Reiskius et Vlietius stud cr p 82 | ὑφῶν P

ἐστιν ὥςπερ ὄργανα τῆς Θουκυδίδου λέξεως, τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημάτων, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος τῆς σημασίας· χρώματα δὲ αὐτῆς τό τε στριφνὸν καὶ τὸ πικρὸν καὶ τὸ πυκνὸν καὶ τὸ αὐστηρὸν καὶ τὸ ἐμβριθὲς καὶ τὸ δεινὸν καὶ φοβερόν, ὑπὲρ ἅπαντα δὲ αὐτοῦ ταῦτα τὸ παθητικόν. τοιουτοσὶ μὲν δή τίς ἐστιν ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ παρὰ τοὺς ἄλλους διήνεγκεν.

Γλωσσηματικὰ μὲν οὖν καὶ ἀπηρχαιωμένα καὶ δυσ- 3
είκαστα τοῖς πολλοῖς ἐστι τό τε ἀκραιφνές καὶ ὁ ἐπι-
794 λογισμός καὶ ἡ περιωπή καὶ ἡ | ἀνακωχή καὶ τὰ ὅμοια τούτοις. ποιητικὰ δὲ ἥ τε κωλύμη καὶ ἡ πρέσβευσις καὶ ἡ καταβοή καὶ ἡ ἀχθηδών καὶ ἡ δικαίωσις καὶ τὰ παραπλήσια.

ἡ δ' ἐν τοῖς σχηματισμοῖς καινότης τε καὶ πολυτροπία καὶ ἡ ἐξαλλαγὴ τῆς συνήθους χρήσεως, ἐν ᾗ μάλιστα διαφέρειν αὐτὸν ἡγούμεθα τῶν ἄλλων, ἐπὶ τούτων γίγνεται τῶν ἔργων φανερά·

ὅταν μὲν οὖν μίαν λέξιν εἴτε ὀνοματικὴν εἴτε ῥη- 4

10 ἀκραιφνής Thuc I 19 extr. I 52 11 περιωπή Thuc IV 87 | ἀνακωχή Thuc I 40. 66 III 4 IV 38. 117 V 25. 26. 32 VIII 87 12 κωλύμη Thuc I 92 IV 27. 63 13 καταβοή I 73 VIII 85. 87 | ἀχθηδών II 37 IV 40 | δικαίωσις I 141 III 82 IV 86 V 17 VIII 66

3 τῆς σημασίας] τῶν σχημάτων Δ corruptum ex τῶν σημασιῶν 4 στρῦφνὸν GCs | τὸ πυκνὸν (sed πικρὸν P^1) καὶ τὸ πικρὸν ordine uero Δ καὶ τὸ πυκνὸν Reiskio suasore expunxit Herwerdenus 5 καὶ τὸ φοβερόν Δ 6 αὐτοῦ om Δ 7 τοιοῦτος Δ 8 διήνεγκε a 10 ἐπιλογισμὸς P περιλογισμὸς a. uox corrupta, fuit fort επηλύτης (Thuc. I 9 cf Marcellinus 52) 12 πρεσβεύ εις P πρέσβευσις GCD: πρεσβευσία a 13 καταβολὴ Pa: Sylburgio auctore corr Kruegerus 15 τε] δὲ Pa 18 γίνεται a 19 ὀνομαστικὴν edebatur ante Kruegerum

ματικὴν ἐν πλείοσιν ὀνόμασιν ἢ ῥήμασιν ἐκφέρῃ περιφράζων τὴν αὐτὴν νόησιν, τοιαύτην ποιεῖ τὴν λέξιν· 'ἣν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι.' καὶ μὴν ἐν τῷ ἐπιταφίῳ γέγραφεν· 'οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν
πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται'· καὶ γὰρ ἐν |
τούτοις τὸ σύντομον ποιεῖ τὸν λόγον τοιοῦτον, ὡς 795
ἐπὶ τοῦ Λακεδαιμονίου Βρασίδα τέθηκεν, ὅτε μαχόμενος περὶ Πύλον ἀπὸ τῆς νεὼς τραυματίας γενόμενος ἐξέπεσεν· 'πεσόντος δὲ αὐτοῦ' φησίν 'εἰς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιερρύη.' βούλεται γὰρ δηλοῦν· 'πεσόντος δὲ αὐτοῦ ἔξω τῆς νεὼς ἐπὶ τὰ προέχοντα μέρη τῆς εἰρεσίας' [εἰς θάλατταν].

5 Ἐν οἷς δὲ τὰ ῥηματικὰ μόρια τῆς λέξεως ὀνοματικῶς σχηματίζει, τοιαύτην ποιεῖ τὴν φράσιν· ἔστιν δὲ αὐτῷ πρὸς Ἀθηναίους ὁ Κορίνθιος ἐν τῇ πρώτῃ βύβλῳ τάδε λέγων· 'δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε.' τὸ γὰρ παραινεῖν καὶ ἀξιοῦν ῥήματα ὄντα ὀνοματικὰ

3 Thuc I 138   6 II 37   11 IV 12   18 I 41

1 ἐμπλείοσιν P: ἐν deleuit Herwerdenus   4 τι ἐς αὐτὸ Gs τισ σαυ το P τίς σαυτὸν a: τϊσ αὐτὸν D τι* αὐτὸν C   5 θαυμᾶσαι P   8 τὸ σύντομον] τὸ σημαινόμενον Pa σχηματίζων ὄνομα ci Kruegerus τὸ σημαινόμενον ⟨εἰς ἓν συνάγων⟩ H. Schenkelius *Zeitschr. f. österr. Gymn.* 1890 p 317   9 τέθεικεν a   10 νεῶς P   11 ἐξέπεσε a | πεσόντος δὲ] καὶ πεσόντος Θ   12 περιερρύηι· P   13 πεσόντος] τὸ ὄντος Pa τὸ πεσόντος Sylburgio duce Kruegerus. tu cf p 428, 13   14 εἰς θάλατταν glossema supplendis Thucydidis uerbis u 12 adscriptum deleui: illuc traiecerat Sylburgius   15 ὀνοματικὼς P ὀνομαστικῶς Cs   16 ἔστι a   17 βίβλῳ a   19 ἔχομεν] ἔχομεν ἱκανὰ κατὰ τοὺς Ἑλλήνων νόμους Θ   20 ὀνομαστικῶς Ds

γέγονεν παραίνεσις καὶ ἀξίωσις. ταύτης ἐστὶ τῆς
796 ἰδέας ἥ τε οὐκ ἀποτείχισις τοῦ | Πλημμυρίου ἡ
ἐν τῇ ἑβδόμῃ βύβλῳ ⟨καὶ ἡ ὀλόφυρσις ἣν ἐν τῇ πρώτῃ βύβλῳ⟩ τέθηκεν ἐν δημηγορίᾳ. τὸ γὰρ ἀποτειχίσαι καὶ τὸ ὀλοφύρασθαι ῥηματικὰ ὄντα ὀνοματικῶς ἐσχημάτικεν ἀποτείχισιν καὶ ὀλόφυρσιν.

Ὅταν δὲ ἀντιστρέψας ἑκατέρου τούτων τὴν φύσιν 6
τὰ ὀνόματα ποιῇ ῥήματα, τοῦτον τὸν τρόπον ἐκφέρει τὴν λέξιν, ὡς ἐν τῇ πρώτῃ βύβλῳ περὶ τῆς αἰτίας τοῦ πολέμου γράφει· 'τὴν μὲν οὖν ἀληθεστάτην αἰτίαν, λόγῳ δὲ ἀφανεστάτην, τοὺς Ἀθηναίους οἴομαι μεγάλους γινομένους ἀναγκάσαι εἰς τὸ πολεμεῖν.' βούλεται γὰρ δηλοῦν, ὅτι μεγάλοι γιγνόμενοι οἱ Ἀθηναῖοι ἀνάγκην παρέσχον τοῦ πολέμου· πεποίηκεν δὲ ἀντὶ τῆς ἀνάγκης καὶ τοῦ πολέμου ὀνοματικῶν ὄντων ῥηματικὰ τό τε ἀναγκάσαι καὶ τὸ πολεμεῖν.

Ὅταν δὲ τῶν ῥημάτων ἀλλάττῃ τὰ εἴδη τῶν παθη- 7
797 τικῶν καὶ ποιητικῶν, οὕτω σχηματίζει | τὸν λόγον·

2 καὶ ἐν τῇ τρίτῃ [c 95] τῆς Λευκάδος τὴν οὐ περιτείχισιν SCHOLION

2 uide adnotationem editionis prioris p 104   3 Thuc I 143 cf II 51   10 I 23

1 γέγονε a | ταύτης] ταύτης δ' s   2 οὐκ ἀποτείχισις] οὐ κατατείχισις a | ἡ P: ἣν GCDs   3 ἑβδόμῃ βίβλῳ τέθεικεν libri: hiatum Kruegerus expleuit   4 τέθηκεν a: τέθ[ει]κεν cum rasura P, s   5 τὸ ὀλοφύρασθαι] ἀπολοφύρασθαι Pa | ῥήματα ci Sylburgius | ὀνομαστικῶς Ds   8 ποιεῖ Pa   9 βίβλῳ libri, ut supra u 3 et p 426, 17   10 οὖν] γὰρ Θ | αἰτίαν] πρόφασιν Θ   11 ἀφανεστάτην δὲ λόγῳ Θ | οἴομαι] ἡγοῦμαι Θ   12 γινομένους] γιγνομένους καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις Θ | ἀναγκᾶσαι P | ἐς Θ   13 γενόμενοι s   14 πεποίηκε a   15 ὀνομάτων Herwerdenus   16 ἀναγκᾶσαι P | καὶ τὸ] καὶ a   17 ἀπαλλάττη G ἐναλλάττῃ Herwerdenus

'οὔτε γὰρ ἐκεῖνο κωλύει ταῖς σπονδαῖς οὔτε τόδε·' τὸ γὰρ κωλύει ῥῆμα ἐνεργητικὸν ὑπάρχον ἀντὶ τοῦ κωλύεται παθητικοῦ ὄντος παρείληπται· ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιοῦτο· 'οὔτε γὰρ ἐκεῖνο κωλύεται ταῖς σπονδαῖς οὔτε τόδε.' καὶ ἔτι τὰ ἐν τῷ προοιμίῳ λεγόμενα· 'τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις'· καὶ γὰρ ⟨ἐν⟩ τούτοις τὸ ἐπιμιγνύντες ἐνεργητικὸν ὑπάρχον ῥῆμα τοῦ ἐπιμιγνύμενοι παθητικοῦ ὄντος χώραν ἐπέχει.

8 Ὅταν δὲ ἀντὶ τοῦ ποιητικοῦ τὸ παθητικὸν παραλαμβάνῃ, τοῦτον σχηματίζει τὸν τρόπον· 'ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν'· βούλεται μὲν γὰρ δηλοῦν· 'ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις συνήλλαξαν', παρείληφεν δὲ τὸ ἐνηλλάγησαν παθητικὸν ὑπάρχον ἀντὶ ποιητικοῦ τοῦ συνήλλαξαν. καὶ τὸ ἐπιφερόμενον τούτῳ· 'τοὺς δ' ἐν τῇ μεσογείᾳ μᾶλλον κατῳκημένους'· ἀντὶ γὰρ τοῦ ποιητικοῦ ῥήματος τοῦ κατῳκηκότας τὸ παθητικὸν παρείληφεν τὸ κατῳκημένους. |

9 Παρὰ δὲ τὰς τῶν ἑνικῶν τε καὶ πληθυντικῶν δια- 798
φοράς, ὅταν ἐναλλάττῃ τὴν ἑκατέρου τούτων τάξιν, ἑνικὰ μὲν ἀντὶ πληθυντικῶν οὕτως ἐκφέρει· 'καὶ εἴ

1 Thuc I 144 6 I 2 13 I 120 16 ibidem 21 VI 78

1 *κωλύει ἐν ταῖς Θ* | *ταῖ* sed ς additum m I P 4 *τοιοῦτον* a 7 *ἐν* CDs: om Pa 8 *τοῦ ἐπιμιγνύμενοι* CDs: *τοῦ ἐπιμιγνυμένου* Pa 10 itemque u 15 et 17 *ποιητικοῦ* Pa: *ἐνεργητικοῦ* s | *παραλαμβάν[ηι]* cum litura P 13 *μὲν* post *ὅσοι* om a 14 *παρείληφε* a 16 *τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ κατῳκημένους Θ* 16 et 18 *κατωικειμένους* P 18 *παρείληφε* a 20 *ἐναλλαττη* sine *ι* P 21 *ἑνικὰ* G^2CDs: *ἡνίκα* PG^1a | *ἐκφέρῃ* a 21 sq *εἴ τῳ*] *οὕτως* Pa: ex *Θ* corr Herwerdenus

τῳ ἄρα παρέστηκεν τὸν μὲν Συρακόσιον, αὐτὸν δὲ οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ'· βούλεται μὲν γὰρ τοὺς Συρακοσίους λέγειν καὶ τοὺς Ἀθηναίους, πεποίηκεν δὲ τῶν ὀνομάτων ἑκάτερον ἑνικόν. καὶ ἐν οἷς φησιν· 'καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ ῥᾳδίας αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως'· τοὺς γὰρ πολεμίους ἐσχημάτικεν ἑνικῶς, οὐχὶ πληθυντικῶς. Ἀντὶ δὲ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν παραλαμβάνει τοῦτον τὸν τρόπον ἐξαλλάττων τὴν συνήθη φράσιν· κεῖται δὲ ἡ λέξις ⟨ἐν⟩ τῷ προοιμίῳ τοῦ ἐπιταφίου· 'μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσιν περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσεν'· τὸ γὰρ ἕκαστος καὶ τὸ ἤκουσεν ἑνικά, τὰ δ' ἐπιφερόμενα τούτοις πληθυντικῶς ἐξενήνεκται·
799 'τῷ δὲ ὑπερβάλλοντι αὐτὸν | φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν' ** οὐ καθ' ἑνὸς λέγεσθαι πεφύκασιν, ἀλλὰ κατὰ πολλῶν.

Ἀρρενικῶν δὲ καὶ θηλυκῶν καὶ οὐδετέρων ἀντι- 10
μετατάξεις ἐκβεβηκυῖαι τῶν συνήθων σχημάτων αἱ τοιαίδε εἰσίν, ὅταν τὴν μὲν ταραχὴν τάραχον καλῇ τὸ θηλυκὸν ἐκφέρων ἀρρενικῶς καὶ τὴν ὄχλησιν ὄχλον,

5 Thuc IV 10 10 et 15 II 35 20 *τάραχος* nunc in Thuc euanuit 21 *ὄχλος* Thuc I 73

1 *παρέστηκε* a | *συρακούσιον* a | *αὐτὸν* Pa: corr Kruegerus 2 *τῷ ἀθηναίω* G *τῶν ἀθηναίων* PDa *τὸν ἀθηναῖον* Cs: datiuum restituerat Kruegerus et Dobraeus aduers. I p 561 3 *συρακουσίους* a | *πεποίηκε* a 4 *ἐνοῖς φησιν·* P | *φησι* a 5 *ραιδίας* P *ῥαιδίως Θ* libri *BEF* 10 *ἐν* CDs: om Pa 11 *εἰσι* a | *εσ* P, a: *εἰς* CDa 13 *ἤκουσε· τὸ* a 14 *τὰ δὲ* GCDs 15 *τῶ* sine iota P | *αὐτῶν* GCDs 16 ante *οὐ* hiatum notaui 18 *ἀρσενικῶν* s | fort *ἀντικαταλλάξεις* 19 *ἐκβεβηκυίαι* P *ἐμβεβηκυῖαι* a 20 *ὅταν*] *οιαν* sic P *οἷαν* Ga: *οἷον* CDs cf mus Rhen t XXV p 610 | *καλῆι* P: *καλεῖ* a 21 *ἀρσενικῶς* s

τὴν δὲ βούλησιν καὶ τὴν δύναμιν τὸ βουλόμενον λέγῃ καὶ τὸ δυνάμενον· ὡς ἐπὶ τῶν Ἀθηναίων τέθηκεν, ὅτε τὴν εἰς Σικελίαν ἀπέστελλον στρατιάν· ʽοἱ δὲ Ἀθηναῖοι τὸ μὲν βουλόμενον οὐκ ἀφῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς', καὶ ἐν οἷς περὶ τῶν Θεσσαλῶν εἴρηκεν· ʽὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῷ ἐπιχωρίῳ οἱ Θεσσαλοί'· καὶ γὰρ ἐνταῦθα οὐδέτερον πεποίηκεν τὸ θηλυκόν· ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιόνδε· ʽὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῇ ἐπιχωρίῳ οἱ Θεσσαλοί.'

11 Ἐν οἷς δὲ τὰς πτώσεις τῶν ὀνομάτων καὶ τῶν προσηγοριῶν καὶ τῶν μετοχῶν καὶ ⟨τῶν⟩ συναπτομένων | τούτοις ἄρθρων ἐξαλλάττει τοῦ συνήθους, 800 οὕτως σχηματίζει [τῇ φράσει]· ʽσωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τῆς ἀπὸ τῶν Ἀθηναίων ὑπούλου εὐνομίας οὐ προτιμήσαντες.' οἱ μὲν γὰρ ἀκολούθως τῇ κοινῇ συνηθείᾳ σχηματίζοντες τὴν φράσιν τῷ τε θηλυκῷ γένει τῆς προσηγορίας τὸ

1 τὸ βουλόμενον Thuc I 90 VII 49 2 τὸ δυνάμενον fort Thuc II 97 legebatur 3 Thuc VI 24 6 IV 78 15 VIII 64 extr

1 λέγηι P: λέγει a 2 τέθεικεν libri 3 Ἀθηναῖοι deest Θ nec Dionysio necessarium erat 4 βουλόμενον] ἐπιθυμοῦν τοῦ πλοῦ Θ | ουκαφηρέθησαν sic P οὐκ ἐξῃρέθησαν Θ 7 τὸ ἐγχώριον Θ 8 πεποίηκε a 9 τοιόνδε Pa: τοιόνδέ τι CDs 13 τῶν ante συναπτ. ex apographo Laurentiano Herwerdenus inseruit 15 ὄντως P: οὕτω CDs | τῆι φράσει P: τὴν φράσιν CDs. deleui glossema 17 τὴν (τῆς unus *B*) ἀπὸ (sic *B*: ὑπὸ ceteri) τῶν Ἀθηναίων ὕπουλον αὐτονομίαν Θ 20 τῷ τε G, s: τό τε PCD

θηλυκὸν ἂν ἔζευξαν μόριον, καὶ τὴν πτῶσιν [τῆς μετοχῆς] τὴν αἰτιατικὴν ⟨ἂν⟩ ἀντὶ τῆς γενικῆς ἔταξαν τὸν τρόπον τόνδε· ʽσωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ἀπὸ τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν οὐ προτιμήσασαι.' οἱ δὲ τὰ ἀρρενικὰ τοῖς θηλυκοῖς συντάττοντες, ὥςπερ οὗτος πεποίηκεν, ⟨καὶ⟩ τὰς γενικὰς ἀντὶ τῶν αἰτιατικῶν πτώσεων παραλαμβάνοντες σολοικίζειν ἂν ὑφ' ἡμῶν λέγοιντο. καὶ ἔτι 801 τὰ τοιαῦτα· ʽκαὶ μὴ τῷ πλήθει αὐτῶν καταπλα|γέντες'· οὐ γὰρ ἐπὶ τῆς δοτικῆς πτώσεως ἐσχηματίσθαι τὴν λέξιν ἥρμοττεν, ἀλλ' ἐπὶ τῆς αἰτιατικῆς· ʽκαὶ μὴ τὸ πλῆθος τῶν πολεμίων καταπλαγέντες.' οὐδὲ γὰρ ʽτῇ παρὰ τῶν θεῶν ὀργῇ φοβεῖσθαι' λέγοιτ' ἄν τις, ἀλλὰ ʽτὴν τῶν θεῶν ὀργήν.'

Ἡ δὲ παρὰ τοὺς χρόνους τῶν ῥημάτων ἐκβεβηκυῖα τὸ κατάλληλον φράσις τοιαύτη τίς ἐστι· ʽκαίτοι εἰ ῥαθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλοιμεν κινδυνεύειν, περιγίνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέροις τῶν ἀεὶ μοχθούντων φαίνεσθαι'· ἐνταῦθα γὰρ τὸ μὲν ἐθέ- 12

10 Thuc IV 10 17 II 39 extr.

1 ἂν ἔζευξαν Herwerdenus: ἀντέζευξαν Pa | μόριον] μετοχικὸν Herwerdenus | καὶ τὴν] καὶ as | τῆς μετοχῆς glossema uocis μόριον falso loco irrepsit 2 ἂν restituit Herwerdenus 6 οἱ δὲ] εἰ δὲ H. Stephanus | ἀρσενικὰ s 7 συνέταττον Pas | πεποίηκε a | καὶ inserui 8 παραλαμβάνοντες. σολοικίζειν ... λέγοιτο καὶ inde ab s distinguebant, recte iam H. Stephanus 9 λέγοιντο· Pa: λέγοιτο CDs 11 ἐσχιματεῖσθαι P 14 λέγοι τἄν P 16 ἐκβεβηκυία P 17 εἰ] ἢ G 18 μετὰ] κατὰ G 19 πλέον etiam ΘCG πλεῖον ceteri 21 ἐσ αυτα ἐλθουσι P | ἀτολμοτέρους Θ praeter corr *FG*

*λοιμεν ῥῆμα τοῦ μέλλοντός ἐστι χρόνου δηλωτικόν, τὸ δὲ περιγίγνεται τοῦ παρόντος. ἀκόλουθον δ' ἂν ἦν, εἰ συνέζευξεν τῷ ἐθέλοιμεν τὸ περιέσται** 'τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ὃ μενόντων μὲν ἡμῶν σύμμαχον γίνεται· ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν ὂν εὔπορον ἔσται.' τὸ μὲν γὰρ | 802 γίνεται τοῦ παρόντος ἐστί, τὸ δὲ ἔσται τοῦ μέλλοντος χρόνου δηλωτικόν. γέγονεν δὲ καὶ παρὰ τὰς πτώσεις σχηματισμὸς ἀκατάλληλος· ἐπὶ μὲν γὰρ τῆς γενικῆς πτώσεως ἐξενήνοχεν τό τε μετοχικὸν ὄνομα τὸ μενόντων καὶ ⟨τὸ⟩ ἀντονομαστικὸν τὸ ἡμῶν, ἐπὶ δὲ τῆς δοτικῆς τὸ ὑποχωρήσασιν· οἰκειότερον δ' ἦν καὶ τοῦτο κατὰ τὴν αὐτὴν ἐξενηνέχθαι πτῶσιν.*

13 *Ὅταν δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου πράγματος τὴν ἀποστροφὴν ποιῆται ἢ πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος, οὕτως σχηματίζει τὸν λόγον· 'τῶν δὲ Συρακοσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν'· προθεὶς γὰρ ἑνικὸν ὄνομα τὸν δῆμον ἀπέστρεψεν ἀπὸ τούτου τὸν λόγον ἐπὶ τὸ σημαινόμενον πρᾶγμα πληθυντικὸν ὑπάρχον, τοὺς Συρακοσίους. καὶ αὖθις· 'Λεοντῖνοι γὰρ ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν σύμβασιν πολίτας τε | 803 ἐπεγράψαντο πολλοὺς καὶ ὁ δῆμος ἐπενόει τὴν γῆν ἀναδάσασθαι'· ἀπὸ γὰρ τοῦ πληθυντικοῦ ὀνόματος τοῦ Λεοντῖνοι ἀπέστρεψεν τὸν λόγον ἐπὶ τὸ ἑνικὸν ὄνομα τὸν δῆμον.* *

14 *Πρόσωπα δὲ παρ' αὐτῷ τὰ πράγματα γίνεται, καθάπερ ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους δημηγορίᾳ γέγονεν· ἀξιῶν γὰρ ὁ Κορίνθιος τοὺς προεστηκότας τῆς Πελοποννήσου φυλάττειν αὐτῆς τὸ ἀξίωμα πρὸς τὰς ἔξω πόλεις, οἷον παρὰ τῶν πατέρων παρέλαβον, ταῦτα λέγει· 'πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσον' ἐξηγεῖσθαι ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν'· τὸ γὰρ ἐξηγεῖσθαι νῦν τέθηκεν ἐπὶ τοῦ προάγειν ἔξω τὴν Πελοπόννησον ἡγουμένους αὐτῆς· τοῦτο δὲ τῇ χώρᾳ μὲν ἀδύνατον ἦν συμβῆναι, τῇ δὲ δόξῃ καὶ τοῖς πράγμασιν τοῖς περὶ αὐτὴν ὑπάρχουσιν δυνατόν, καὶ βούλεται τοῦτο δηλοῦν.*

Πράγματα δὲ ἀντὶ σωμάτων τὰ τοιαῦτα ὑπ' αὐτοῦ γίνεται· λέγεται δὲ ὑπὸ τοῦ Κορινθίων πρεσβευτοῦ πρὸς Λακεδαιμονίους συγκρίνοντος τά τε Ἀθηναίων καὶ Λακεδαιμονίων· 'οἳ | 804 μέν γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν· ὑμεῖς

[p. 432] 8 *σημείωσαι περὶ τῆς τιθεμένης γενικῆς ἀντὶ τῆς αἰτιατικῆς* SCHOLION

3 Thuc IV 10   17 VI 35 in   21 V 4 in

1 *ἔστι* P   2 *περιγίνεται* Cs | *δὰν* P | *δ' ἦν ἂν συνέζ.* s   3 *συνέζευξε* a | ante *τοῦ* intercidisse transitus formulam Herwerdenus uidit   4 *νομίζωι* sic P | *ὃν* P   8 *γέγονε* a | *πτώσεις* Pa: *πτώσεις ὁ* CDs   10 *ἐξενήνοχε* a | *τὸ μὲν ὄντων* P   11 *καὶ τὸ* CDs: *καὶ* Pa | *ἀντονοματικὸν* Pa: *ἀντωνυμικὸν* CD *ἀντωνυματικὸν* s   14 *σημαῖνον* CDs: *σημαινόμενον* Pa   16 *οὕτω* a | *σχιματίζει* P   17 *συρακουσίων* a   19 *ἀπέστρεψεν* CDs: *ἐπέστρεψεν* Pa   20 *συρακουσίους* a

[p. 433] 11 Thuc I 71   21 I 70

2 *τὴν γῆν ἐπενόει* Θ   4 *ἀπέστρεψε* a | *ὄνομα* deleuit Herwerdenus | hiatum Kruegerus detexit. interciderunt quibus Dionysius quae p423,16—424,5 proposuit ex ordine tractauerat   8 *γέγονεν* suspectum   11 *πρὸστὰ δε* P | *βουλεύεσθε* ΘCs: *βουλεύεσθαι* Pa   12 *ἐλάσσον'*] *ἔλασσον* P, a *ἔλαττον* CDs *ἐλάσσω* Θ. correxit etiam Sadaeus quaestt cr p 157   13 *τέθηκεν* P: *τέθεικεν* a   16 *πράγμασι* et *ὑπάρχουσι* a   19 *κορινθίου* CDs   21 *γενεωτεροποιοὶ* P   22 *ἂν γνῶσιν* GCDs: *ἀνάγνωσιν* Pa

δὲ τὰ ὑπάρχοντά τε σῴζειν καὶ ἐπιγνῶναι μηδὲν καὶ ἔργῳ οὐδὲ τὰ ἀναγκαῖα ἐξικέσθαι’· μέχρι μὲν οὖν τούτων τὸ σχῆμα τῆς λέξεως σῴζει τὴν ἀκολουθίαν, ὡς ἐπὶ προσώπων ἀμφοτέρων κείμενον. ἔπειτα ἀποστρέφεται κατὰ θάτερον τῶν μερῶν ὁ λόγος, καὶ ἀντὶ σωμάτων πρᾶγμα γίνεται ⟨τὸ⟩ περὶ τοὺς Λακεδαιμονίους, ὅταν φῇ· ‘αὖθις δὲ οἳ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι’· τὸ γὰρ ὑ μ έ τ ε ρ ο ν ἀντὶ τοῦ ὑ μ ε ῖ ς παρείληπται, πρᾶγμα ὑπάρχον ἀντὶ σώματος.

15 *Ἐν δὲ τοῖς ἐνθυμήμασίν τε καὶ νοήμασιν αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι καὶ μόλις ἐπὶ τὸ τέλος ἀφικνούμεναι, δι’ ἃς ἡ φράσις δυσπαρακολούθητος γίνεται, πλεῖσται μέν εἰσιν καθ’ ὅλην τὴν ἱστορίαν· | ἀρκέσουσι δὲ ἐκ τοῦ προοιμίου δύο ληφθεῖσαι μόναι,* 805 *ἥ τε δηλοῦσα τὴν ἀσθένειαν τῶν ἀρχαίων τῆς Ἑλλάδος πραγμάτων καὶ τὰς αἰτίας ἀποδιδοῦσα· ‘τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδὲ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὔτε γῆν φυτεύοντες, ἄδηλον ὂν*

7 Thuc I 70 19 I 2

1 *σῴζειν* sine iota P ut solet 5 *ἀντὶ*] *ἀντὶ τῶν* Pas 6 *γίνεται τὸ*] *γίνεται* Pas *γίγνεται τὰ* Herwerdenus 8 *ἐν* etiam *ΘCE* *ἐπὶ* ceteri 10 *ἐνδεᾶ πρᾶξαι* CDs: *ἐνδε απάρξαι* P 11 *πιστεῦσαι* P: *πιστεῦσαι· τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι* CDs interpolata ex p 437,13 12 *ὑπάρχων* P | *ἀντὶ*] *ἀντὶ τοῦ* libri 13 *ἐνθυμήμασι* a 16 *πλεῖστα* libri: corr Kruegerus | *εἰσι* a | *καθόλην* PD 19 *γὰρ* Ps: *μὲν γὰρ* Ga 22 *αὑτῶν* s: *ἀυτῶν* P, a 23 *οὐδὲ* *Θ* | *ον ποτέ* P: *ὂν ὁπότε* ΘGCDs

πότε τις ἐπελθὼν καὶ ἅμ’ ἀτειχίστων ὄντων ἄλλος ἀφαιρήσεται· τῆς τε ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ὁμοίως ἐπικρατήσειν οἰόμενοι οὐ χαλεπῶς ἀνίσταντο’ (⟨εἰ γὰρ τὸ ο ὐ χ α λ ε π ῶ ς ἀ ν ί σ τ α ν τ ο⟩ προσέθηκεν τῇ πρώτῃ περιόδῳ καὶ ἐσχημάτισεν οὕτως· ‘τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ’ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν ⟨οὔτε κατὰ θάλασσαν⟩, νεμόμενοι δὲ τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν οὐ χαλεπῶς ἀνίσταντο’, φανερωτέραν ἂν ἐποίει τὴν διάνοιαν· τῇ δὲ παρεμβολῇ τῶν μεταξὺ πραγμάτων πολλῶν ὄντων ἀσαφῆ καὶ δυσπαρακολούθητον πεποίηκεν), καὶ ἡ περὶ τῆς Εὐρυσθέως 806 *στρατείας ἐπὶ τὴν Ἀτ|τικὴν ἥδε· ‘Εὐρυσθέως ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ’ ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν κατὰ τὸ οἰκεῖον Ἀτρεῖ· τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου θάνατον· καὶ ὡς οὐκέτι ἀνεχώρησεν Εὐρυσθεύς, βουλομένων καὶ τῶν Μυκηναίων φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι καὶ τὸ πλῆθος τεθεραπευκότα τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχεν τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν.’*

12 Thuc I 9

1 *ἅμα τειχιστῶν* P *ἅμα ἀτειχίστων* GCD: *ἀτειχίστων ἅμα* *Θ*s 2 *τε* PGCD: *τε καθ’ ἡμέραν* ex *Θ* inde ab Aldo uolgabatur | *ἂν ὁμοίως* (*ἀνομοίωσ* P) *ὡς* (om CD) *ἐπικρατήσειν οἰόμενοι* PGCDa: *ἂν ἡγούμενοι ἐπικρατεῖν* *Θ*s 3 *ἀπανίσταντο* *Θ*s hic et infra u 8 4 *εἰ . . . ἀνίσταντο* suppleui | *προσέθηκεν*] *προστεθὲν* Pas 5 *σχηματισθὲν* Pas | *οὕτω* a 7 *οὔτε κατὰ θάλατταν* G: om Pa *οὔτε διὰ θαλάσσης* ex *Θ* Kruegerus | *δὲ*] *τε* G ut *Θ* 9 *ἐποίηι* rasurae uestigio supra *η* relicto P 11 *πεποίηκε* a | *εὐρύσθεωσ* P ut u 12 et 14 12 *στρατιᾶς* libri: corr H. Stephanus | *ἐπὶ*] *τῆς ἐπὶ* Herwerdenus | *ἥδε* s: *ἡδὲ* P, a | *ἐν* P: *μὲν ἐν* *Θ*Cs 18 *μηκυναίων* P 20 *ὅσων* CDs: *ὡστῶν* P, a 21 *ἦρχε* a

16 Ἐν οἷς δὲ σκολιὰ καὶ πολύπλοκος καὶ δυσεξέλικτος ἡ τῶν ἐνθυμημάτων κατασκευὴ γίνεται, τοῦτον τὸν τρόπον ἔχει παρ' αὐτῷ· κεῖται δὲ ἐν τῷ ἐπιταφίῳ ἡ λέξις· 'τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες ἐβουλήθησαν τοὺς μὲν τιμωρεῖσθαι τῶν δ' ἐφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν | ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη δρωμένου σφίσιν 807
αὐτοῖς ἀξιοῦντες πεποιθέναι· ἐν τῷ ἀμύνεσθαι παθεῖν μᾶλλον ἡγησάμενοι ἢ ἐνδόντες σῴζεσθαι τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν.' τοιαῦτά ἐστι καὶ τὰ περὶ Θεμιστοκλέους εἰρημένα ὑπὸ τοῦ συγγραφέως ἐν τῇ πρώτῃ βύβλῳ· 'ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν εἰς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθὼν τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ

4 Thuc II 42   15 I 138

4 ποθινωτέραν P   5 τὸν δὲ P   6 νομήσαντες P | τοὺς] μετ' αὐτοῦ τοὺς Θ | δὲ CDs   7 ἐφιέσθαι P ἀφίεσθαι Herwerdenus   8 ὁρωμένουσ φησὶν P, a: corr s   9 ἐν τῷ ἀμύνεσθαι] καὶ ἐν αὐτῷ τὸ ἀμύνεσθαι καὶ Θ. post πεποιθέναι puto καὶ intercidisse   10 ἢ] ἢ τὸ Θ ἢ τῷ s ex Θ CG¹   14 ὑπὸ τοῦ συγγραφέως om CDs   15 βίβλωι P, a   17 θαυμᾶσαι P   18 οὐθὲν P: οὐδὲν as   22 οἷο στεων P | εἴη κρῖναι Θs: ἐπικρῖναι PGD ἐπικρίναι C

808 ἀφανεῖ ἔτι προεώρα. καὶ | τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο.'

Οἱ δὲ μειρακιώδεις σχηματισμοὶ τῶν ἀντιθέτων τε 17
καὶ παρομοιώσεων καὶ παρισώσεων, ἐν οἷς οἱ περὶ τὸν Γοργίαν μάλιστα ἐπλεόνασαν, ἥκιστα τῷ χαρακτῆρι τούτῳ προσήκοντες, αὐστηρὰν ἔχοντι τὴν ἀγωγὴν καὶ τοῦ κομψοῦ πλεῖστον ἀφεστηκότι, τοιοῦτοί τινές εἰσι παρὰ τῷ συγγραφεῖ· 'φαίνεται γὰρ ἡ νῦν καλουμένη Ἑλλὰς οὐ πάλαι βεβαίως οἰκουμένη.' καὶ ἔτι δέ· 'οἳ μὲν καὶ παρὰ δύναμιν τολμηταί καὶ παρὰ γνώμην κινδυνευταί· τὸ δ' ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι'· καὶ ἐν οἷς τὰς καταλαβούσας τὴν Ἑλλάδα συμφορὰς διὰ τὰς στάσεις ἐπεξέρχεται τοιάδε γράφων· 'τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον πρόσχημα |
809 τοῦ ἀνάνδρου, καὶ τὸ εἰς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν.' πολλὰ τοιαῦτά τις ἂν εὕροι δι' ὅλης αὐτοῦ τῆς ἱστορίας λεγόμενα, ἱκανὰ δὲ καὶ ταῦτα δείγματος ἕνεκα εἰρῆσθαι.

9 Thuc I 2   10 I 70   16 III 82

1 προεώραι P προεώρα μάλιστα Θ   4 ad marginem obelum et σ(ημειῶδε)ς adponit P   5 παρομοίων libri: corr Herwerdenus cf Sadaeus quaestt cr p 212 | περιτο γοργίαν P   7 τούτω GCDs: τούτου τῷ P, a | προσηκόντεσ P   8 κόμψου P   9 10 ἑλλὰς καλουμένη ΘCDs   11 κινδυνευταί] κινδυνευταὶ καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες CDs ex p 434, 8sq interpolata   12 ἐνδεὰ P   13 δὲ] τε Θ   17 ἀνδρία Θ   18 προσ σχημα P   19 τοῦ ἀνάνδρου πρόσχημα ΘΔ p 375, 16 | εἰς ἅπαν] εἰσάπαξ CDs πρὸς ἅπαν ΘΔ 375, 16 | ξυνετὸν] συνετὸν CDs | ἐπίπαν libri   20 τίς ἂν εὕροι διόλησ P   21 ἱκανὸν CDs

Ἔχεις, ὦ φίλε Ἀμμαῖε, τὰ παρατηρήματα καθ' ἕκαστον αὐτῶν ἐκ τῆς κοινῆς ἐξητασμένα πραγματείας, ὡς ἐπεζήτεις.

1 *ἀμμαίε* P | *κα[θ]'* cum litura P^1 3 *ἐπεζήτεις. εὐτυχῶς ἀμμαίω* CD. carent epiphonemate PGas, in cod Par 1733 manus posterior in marg addidit.

CORRIGENDA ET ADDENDA

Radermacherum, dum in Eifliae solitudine librum de antiquis oratoribus tractat praeloque parat, H. Weilii commentatio fugit *Revue de philologie* t. XV p. 1 sqq. edita, unde has coniecturas adponimus

p. 17, 20 *ἃ λαμβάνων καὶ μιμούμενος*
21, 6 *ἀπολύσας τὰ στρατεύματα*
33, 5 *οὐδὲν ἀποδείξας αὐτοῖς ἔτι περιόν*
50, 16 *ἐπίστασθε γὰρ ⟨τὰ ἐν⟩ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημένα*
51, 10 *εἶτα τοιούτων ἡμῖν ὑπαρχόντων ⟨μνημείων⟩*
51, 13 *τίς ⟨ἡμῖν ἐλπὶς⟩ τῷ πλήθει περιγενέσθαι.*

Praeterea in adnotatione

p. 24, 15 legas: Tournier
34, 9 et 37, 9 Fuhrius nominandus erat pro Rauchensteinio
39, 6 Scheibius eodem pacto
39, 10 Matthaei scribendum
136, 8 Capperonnerius
197, 3 *ποιητικὸν* ci Brandstaetterus
206, 9 haec uerba lacunosa nunc putat Blassius
224, 9 *ἀφ'* restituas apostrophon ab operis abiectam
313, 8 *Κατὰ Μοσχίωνος ἐπιγραψαμένου αὐτὸν Νικοδίκου υἱόν· 'ἀποψηφισαμένων, ὦ ἄνδρες, τουτουὶ Μοσχίωνος Συβαληττίων* (uel *Σφενδαλέων*) Wysius *Classical review* 1898 p. 391 sq. egregie
325, 5 *ποιητάς τε καὶ ⟨φιλοσόφους, ῥήτοράς τε καὶ⟩ συγγραφέας* Rabeus Musei rhen. t. 48, 150 sq.

VOLUME 2
PART 1

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ

ΣΥΝΘΕΣΕΩΣ ΟΝΟΜΑΤΩΝ

Dionysii opuscula edd. Usener et Radermacher. VI, 1.

Die zu diesem Bande gehörigen Titel, Praefatio und Indices werden in kurzem als VI, 2 nachfolgen.

E	epitoma
F	codex Florentinus Laurentianus LIX 15
P	codex Parisinus bybl. nat. 1741
M	codex Venetus Marcianus 508
R	rhetor graecus
V	codex Vergetii Parisiensis bybl. nat. 1798
a	editio princeps Aldi Manutii Ven. 1508
s	editio Roberti Stephani plerumque ex cod. V expressa
h	editio Iohannis Hudsoni Oxon. 1704
r	editio Reiskii Lips. 1775 Dion. t. v.

ΔΙΟΝΥΣΙΟΥ
ΑΛΙΚΑΡΝΑΣΕΩΣ
ΠΕΡΙ
ΣΥΝΘΕΣΕΩΣ ΟΝΟΜΑΤΩΝ

'Δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι', καθάπερ ἡ παρ' Ὁμήρῳ φησὶν Ἑλένη ξενίζουσα τὸν
2 *Τηλέμαχον, | πρώτην ἡμέραν ἄγοντι ταύτην γενέθλιον, ἀφ' οὗ παραγέγονας εἰς ἀνδρὸς ἡλικίαν, ἡδίστην καὶ τιμιωτάτην ἑορτῶν ἐμοί· πλὴν οὔτε χειρῶν δημιούργημα πέμπω σοι τῶν ἐμῶν, ὡς ἐκείνη φησὶ διδοῦσα τῷ μειρακίῳ τὸν πέπλον, οὔτ' ἐς γάμου μόνον ὥραν, καὶ γαμετῇ χάριν εὔθετον, ἀλλὰ ποίημα μὲν καὶ γέννημα παιδείας καὶ ψυχῆς τῆς ἐμῆς, κτῆμα δὲ [σοὶ] τὸ αὐτὸ καὶ χρῆμα πρὸς ἁπάσας τὰς ἐν τῷ βίῳ χρείας ὁπόσαι γίνονται διὰ λόγων ὠφέλιμον, ἀναγκαιότατον ἁπάντων χρημάτων, εἴ τι κἀγὼ τυγχάνω τῶν δεόντων*

5 Homerus ο 125 9 cf idem ο 126 *μνῆμ' Ἑλένης χειρῶν* 11 cf idem ο 126 *πολυηράτου ἐς γάμου ὥρην, σῇ ἀλόχῳ φορέειν*

2 *ἁλικαρνασσέως* PV² 5 *καὶ* om V 7 *ταυτηνὶ* PMV 8 *ἡδίστην* om P 9 *χεῖρον* PV¹ 10 *ἔφη* P 11 *οὔτε εἰς* PMV 12 *γαμετῆς* libri: corr Sauppius 13 *σοὶ* om E 14 *πάσας* EF 15 *ὠφέλιμον* V: *ὠφελίμων* EFM *ὠφέλιμοι* P 16 *τι*] *τι δὴ* MV

φρονῶν, ἅπασι μὲν ὁμοίως τοῖς ἀσκοῦσι τοὺς πολιτι-
κοὺς λόγους, ἐν ᾗ ποτ' ἂν ἡλικίᾳ τε καὶ ἕξει τυγχά-
νωσιν | ὄντες· μάλιστα δὲ τοῖς μειρακίοις τε καὶ νεωστὶ 3
τοῦ μαθήματος ἁπτομένοις ὑμῖν, ὦ Ῥοῦφε Μετίλιε
πατρὸς ἀγαθοῦ κἀμοὶ τιμιωτάτου φίλων.

Διττῆς γὰρ οὔσης ἀσκήσεως περὶ πάντας ὡς εἰπεῖν
τοὺς λόγους, τῆς περὶ τὰ νοήματα καὶ τῆς περὶ τὰ ὀνό-
ματα, ὧν ἡ μὲν τοῦ πραγματικοῦ τόπου μᾶλλον
ἐφά|πτεσθαι δόξειεν ἄν, ἡ δὲ τοῦ λεκτικοῦ, καὶ πάν- 4
των ὅσοι τοῦ λέγειν εὖ στοχάζονται περὶ ἀμφοτέρας
τὰς θεωρίας τοῦ λόγου ταύτας σπουδαζόντων ἐξ ἴσου,
ἡ μὲν ἐπὶ τὰ πράγματα καὶ τὴν ἐν τούτοις φρόνησιν
ἄγουσα ἡμᾶς ἐπιστήμη βραδεῖά ἐστι καὶ χαλεπὴ νέοις,
μᾶλλον δὲ ἀδύνατος εἰς ἀγενείων καὶ μειρακίων πεσεῖν
ἡλικίαν· ἀκμαζούσης γὰρ ἤδη συνέσεώς ἐστι καὶ πολιαῖς
κατηρτυμένης ἡλικίας [ἡ τούτων κατάληψις] οἰκειοτέρα,
πολλῇ μὲν ἱστορίᾳ λόγων τε καὶ ἔργων, πολλῇ δὲ πείρᾳ
καὶ συμφορᾷ παθῶν οἰκείων τε καὶ ἀλλοτρίων συν-
αυξομένη· τὸ δὲ περὶ τὰς λέξεις φιλόκαλον καὶ ταῖς
νεαραῖς πέφυκε συνανθεῖν ἡλικίαις. ἐπτόηται γὰρ ἅπασα
νέου ψυχὴ περὶ τὸν τῆς | ἑρμηνείας ὡραϊσμόν, ἀλόγους 5

1 τ[οῖς] cum litura P 2 τε καὶ PV: ἢ FM 3 τε om F | νεωστὶ PMV: ἄρτι F 4 μετίλιε FP: μελίτιε MV 5 ⟨παῖ⟩ πατρὸς ci Reiskius | καμοὶ P,MV: καὶ ἐμοὶ F 6 ἀσκήσεως EPMV: ὑποθέσεως F 7 νοήματα καὶ τὴν λέξιν ὧν EF 8 μᾶλλον ἐφάπτεσθαι om M 9 [λ]εκτικοῦ c lit P 12 τούτοις EPMV: αὐτοῖς F | φρόνησι**ν ἄγουσα* F 13 ἐπιστημηι F^{1} 14 [ἀγ]ενείων c lit F | καὶ EFMV: ἢ P 15 ἀγμαζούσης F^{1} | πολιαῖς κατηρτυμένης FMVs: κεκοσμημένης P, fort πολιαῖς interpolatum 16 ἡλικίαις M^{2} | ἡ τούτων κατάληψις F γρ M ἐστὶν ἡ τ. κ. E ἡ τούτων γνῶσις ἐστὶν PMV seclusi glossema | οἰκει[ο]τέρα c lit F,PMV: om E 18 συναυξανομένη PMV 19 φιλόκαλον EFP: φιλότιμον καὶ φιλόκαλον MV 20 πεφυκὸς συνανθεῖν P: συνανθεῖν εἴωθεν οὐχ ἧττον EF πεφυκὸς συνανθεῖν (εἴωθεν addit M) οὐχ ἧττον MV. πέφυκε corr Reiskius

τινὰς καὶ ὥςπερ ἐνθουσιώδεις ἐπὶ τοῦτο λαμβάνουσα
τὰς ὁρμάς· οἷς πολλῆς πάνυ καὶ ἔμφρονος δεῖ τῆς πρώ-
της ἐπιστάσεώς τε καὶ ἀγωγῆς, εἰ μέλλουσι μὴ πᾶν 'ὅ τι
κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν ἔπος ἔλθῃ' λέγειν μηδ' εἰκῇ
συνθήσειν τὰ προστυχόντα ἀλλήλοις, ἀλλ' ἐκλογῇ τε
χρήσεσθαι καθαρῶν ἅμα καὶ γενναίων ὀνομάτων καὶ
συνθέσει ταῦτα κοσμήσειν μεμιγμένον ἐχούσῃ τῷ σεμνῷ
τὸ ἡδύ. εἰς δὴ τοῦτο τὸ μέρος, ὃ δεῖ πρῶτον νέοις
6 ἀσκεῖσθαι, 'συμβάλλομαί σοι | μέλος εἰς ἔρωτα' τὴν
περὶ τῆς συνθέσεως τῶν ὀνομάτων πραγματείαν ὀλί-
γοις μὲν ἐπὶ νοῦν ἐλθοῦσαν, ὅσοι τῶν ἀρχαίων ῥητο-
ρικὰς ἢ διαλεκτικὰς συνέγραψαν τέχνας, οὐδενὶ δ'
ἀκριβῶς οὐδ' ἀποχρώντως μέχρι τοῦ παρόντος ἐξειρ-
γασμένην, ὡς ἐγὼ πείθομαι. ἐὰν δ' ἐγγένηταί μοι
σχολή, καὶ περὶ τῆς ἐκλογῆς τῶν ὀνομάτων ἑτέραν
ἐξοίσω σοι γραφήν, ἵνα τὸν λεκτικὸν τόπον τελείως
ἐξειργασμένον ἔχῃς. ἐκείνην μὲν οὖν τὴν πραγματείαν
εἰς νέωτα πάλιν ὥραις ταῖς αὐταῖς προσδέχου θεῶν
ἡμᾶς φυλαττόντων ἀσινεῖς τε καὶ ἀνόσους, εἰ δή ποτε

3 poetae melici incerti fr 86 A Bergkii 9 Philoxenus fr 6 Bergkii

1 ἐπὶ τοῦτο EF^{2} ἐπι τοῦτον F^{1},MV: om P 2 τὰς EFM: om PV 3 ἐπιστάσεώς EF: ἐπιστασίας PMV | ὅττι M 4 ἀκαιρίαν V | μηδὲ PF^{1}V | εἰκῆ sine iota PF^{2} εἰκεῖ F^{1} 5 [συν]θήσειν c lit F fort ex προσθ. | ἀλλὰ PMV | τε χρήσεσθαι s: τε χρήσασθαι PMV κεχρῆσθαι sine τε EF 7 τῶ σεμνῶ sine iota P | σεμνῶ[ι] c lit F 8 ἐσ F 9 συμβάλλομέν F | μέρος libri: corr Maur Schmidt diatr in dithyr p 57 Meinekius uindic Strab p 9 | εἰς F: εἰς τὸν PMV | τὴν (ex τῆς) F,M: τὸν P, mg V τὸ r 10 τῆς F: om PMV | ὀνομάτων] τὴν ὀν. V ὀν. τὴν s | ὀλίγοις] οὐκ ὀλίγοις mg V 11 ἐλθοῦσαν ἐπινοῦν F | ἀρχομένων M 12 διαλεκτικὰς F: καὶ λεκτικὰς P καὶ διαλεκτικὰς MV 12 et 14 δὲ PMV 13 ἀποχρώντως οὐδ' ἀκριβῶς F | οὐδὲ PMV 16 σοι om F | τελέως M 17 ἔχης P sine iota 18 *αυταῖς F 19 ἀνούσους P

ἡμῖν ἄρα τούτου πέπρωται βεβαίως τυχεῖν· νυνὶ δὲ
ἣν τὸ δαιμόνιον ἐπὶ νοῦν ἤγαγέ μοι πραγματείαν δέχου.

Κεφάλαια δ' αὐτῆς ἐστιν ἃ πρόκειταί μοι δεῖξαι
ταῦτα, τίς τε ἐστὶν ἡ τῆς συνθέσεως φύσις καὶ τίνα
ἰσχὺν ἔχει, καὶ τίνων στοχάζεται καὶ πῶς αὐτῶν τυγ|χά- 7
νει, καὶ τίνες αἱ γενικώταται αὐτῆς εἰσι διαφοραὶ καὶ
τίς ἑκάστης χαρακτὴρ καὶ ποίαν κρατίστην αὐτῶν εἶναι
πείθομαι, καὶ ἔτι πρὸς τούτοις, τί ποτ' ἐστὶ τὸ ποιη-
τικὸν ἐκεῖνο καὶ εὔγλωσσον καὶ μελιχρὸν ἐν ταῖς
ἀκοαῖς, ὃ πέφυκε τῇ συνθέσει τῆς πεζῆς λέξεως παρα-
κολουθεῖν, ποιητικῆς τε κατασκευῆς τὸν ἀποίητον ἐκμι-
μουμένης λόγον καὶ σφόδρα ἐν τῇ μιμήσει κατορθού-
σης εὖ τί τὸ κράτος καὶ διὰ ποίας ἂν ἐπιτηδεύσεως
ἐγγένοιτο ἑκάτερον αὐτῶν. τοιαυτὶ μὲν δή τινά ἐστιν
ὡς τύπῳ περιλαβεῖν ὑπὲρ ὧν μέλλω λέγειν. ἄρχεται
δὲ ἐνθένδ' ἡ πραγματεία.

2 Ἡ σύνθεσις ἔστι μέν, ὥςπερ καὶ αὐτὸ δηλοῖ τοὔ-
νομα, ποιά τις θέσις παρ' ἄλληλα τῶν τοῦ λό|γου 8
μορίων, ἃ δὴ καὶ στοιχεῖά τινες τῆς λέξεως καλοῦσιν.
ταῦτα δὲ Θεοδέκτης μὲν καὶ Ἀριστοτέλης καὶ οἱ κατ'
ἐκείνους φιλοσοφήσαντες τοὺς χρόνους ἄχρι τριῶν

19 τινές fort Theophrastus cf Simplic in Arist categ p 3Bas 20 cf de Dem 48 p 232, 21 Quintil I 4, 18 sq

1 ἄρα om F sed cf de Dem 8 p 144, 3 2 δέχου F ut uoluerat Reiskius: προσδέχου PMV 3 δὲ PMV 4 ταῦτα ante u. δεῖξαι traiecit F | τε om M 5 τίν[ων] c lit F[1] 7 τίνες—χαρακτῆρες F | εἶναι F: om PMV 8 τί ποτέ ἐστι FM sed ἐστὶ F[1] 9 ἐν suspectum 11 ποιητικῆς τε om P, non MV | ἐκμημουμένης P[1] 13 εὖ τί] αὐτοῦ PV τοῦτο FM αὐτῷ s 14 ἐγγένοιτο F: γένοιτο PMV 15 ἄρχεται . . . πραγματεία om s 16 δὲ om V | ἔνθεν PF[2] ἐντεῦθεν F[1]MV 17 ἔστι μὲν EFM: ἐστιν PV 18 ποι[ά] c lit F | ***θέσις ex σύνθεσις F | παράλληλ[ος] c lit F,EM

προήγαγον, ὀνόματα καὶ ῥήματα καὶ συνδέσμους πρῶτα
μέρη τῆς λέξεως ποιοῦντες. οἱ δὲ μετὰ τούτους γενό-
μενοι, καὶ μάλιστα οἱ τῆς Στωικῆς αἱρέσεως ἡγεμόνες,
ἕως τεττάρων προὐβίβασαν, χωρίσαντες ἀπὸ τῶν συν-
δέσμων τὰ ἄρθρα. εἶθ' οἱ μεταγενέστεροι τὰ προση-
γορικὰ διελόντες ἀπὸ τῶν ὀνοματικῶν πέντε ἀπεφή-
ναντο τὰ πρῶτα μέρη. ἕτεροι δὲ καὶ τὰς ἀντονομασίας
ἀποζεύξαντες ἀπὸ τῶν ὀνομάτων ἕκτον στοιχεῖον τοῦτ'
ἐποίησαν. οἳ δὲ καὶ τὰ ἐπιρρήματα διελόντες ἀπὸ τῶν
9 ῥημά|των καὶ τὰς προθέσεις ἀπὸ τῶν συνδέσμων καὶ
τὰς μετοχὰς ἀπὸ τῶν προσηγορικῶν, οἳ δὲ καὶ ἄλλας
τινὰς προσαγαγόντες τομὰς πολλὰ τὰ πρῶτα μόρια τῆς
λέξεως ἐποίησαν· ὑπὲρ ὧν οὐ μικρὸς ἂν εἴη λόγος.
πλὴν ἥ γε τῶν πρώτων εἴτε τριῶν ἢ τεττάρων εἴθ'
ὅσων δή ποτε ὄντων μερῶν πλοκὴ καὶ παράθεσις τὰ
λεγόμενα ποιεῖ κῶλα, ἔπειθ' ἡ τούτων ἁρμονία τὰς
καλουμένας συμπληροῖ περιόδους, αὗται δὲ τὸν σύμ-
παντα τελειοῦσι λόγον. ἔστι δὴ τῆς συνθέσεως ἔργα
τά τε ὀνόματα οἰκείως θεῖναι παρ' ἄλληλα καὶ τοῖς
κώλοις ἀποδοῦναι τὴν προσήκουσαν ἁρμονίαν καὶ ταῖς
περιόδοις διαλαβεῖν εὖ τὸν λόγον.

δευτέρα δ' οὖσα μοῖρα τῶν περὶ τὸν λεκτικὸν τό-
πον θεωρημάτων κατὰ γοῦν τὴν τάξιν (ἡγεῖται γὰρ ἡ

1 προῆγον F 2 μετὰ τούτους F: μετ' αὐτοὺς PMV 4 τεσσάρων F 7 ἀντωνυμίας V 8 τοῦτο PMV 9 ἐπ[ι]ρρήματα c lit P | διελόντες F: διεῖλον PMV 12 προσαγαγόντες F: εἰσάγοντες PVa προεισαγαγόντες M 13 οὐ μικρὸς PMV: πολλὺς sic F 14 ἥ γε] εἴτε M **ε (ex εἴτε) F | τριῶν] τῶν τριῶν PMVa ***τριῶν**** F 15 post μερῶν distinctio et litterula erasa in F | καὶ om P[1] 19 τά τε ὀνόματα post θεῖναι dant PMV | παράλληλα PM, corr F[1] 20 ἀποδιδόναι F, non E | ἁρμονίαν FP ut solent 21 λαβεῖν F[1] | εὖ τὸν EF: αὐτὸν ὅλον τὸν PMV 22 δὲ PMV | τ[ὸ]ν ex τῶν F 23 κατα γοῦν F ut Reiskius ci: κατανοοῦντι EPMV | γὰρ deleuit, μὲν sscr F[1]

τῶν ὀνομάτων ἐκλογὴ καὶ προὔφίσταται ταύτης κατὰ φύσιν) ἡδονὴν καὶ πειθὼ καὶ κράτος ἐν τοῖς λόγοις οὐκ ὀλίγῳ κρείττον' ἐκείνης ἔχει. καὶ μηδεὶς ἡγήσηται παράδοξον, εἰ πολλῶν καὶ μεγάλων ὄντων | θεωρη- 10
μάτων περὶ τὴν ἐκλογήν, ὑπὲρ ὧν πολὺς ἐγένετο φιλοσόφοις τε καὶ πολιτικοῖς ἀνδράσι λόγος, ἡ σύνθεσις δευτέραν ἔχουσα χώραν τῇ τάξει καὶ λόγων οὐδὲ πολλοῦ δεῖ τῶν ἴσων ἐκείνῃ τυχοῦσα τοσαύτην ἰσχὺν ἔχει καὶ δύναμιν ὥστε περιεῖναι πάντων τῶν ἐκείνης ἔργων καὶ κρατεῖν, ἐνθυμούμενος ὅτι καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, ὅσαι διαφόρους ὕλας λαμβάνουσαι συμφορητὸν ἐκ τούτων ποιοῦσι τὸ τέλος, ὡς οἰκοδομική τε καὶ τεκτονικὴ καὶ ποικιλτικὴ καὶ ὅσαι ταύταις εἰσὶν ὁμοιογενεῖς, αἱ συνθετικαὶ δυνάμεις τῇ μὲν τάξει δεύτεραι τῶν ἐκλεκτικῶν εἰσι, τῇ δὲ δυνάμει πρότεραι· ὥστ' εἰ καὶ τῷ λόγῳ τὸ αὐτὸ συμβέβηκεν, οὐκ ἄτοπον ἡγητέον. οὐδὲν δὲ κωλύει καὶ πίστεις παρασχεῖν τοῦ προκειμένου, μή τι δόξωμεν ἐξ ἑτοίμου λαμβάνειν τῶν ἀμφισβήτησιν ἐχόντων λόγων.

3 Ἔστι τοίνυν πᾶσα λέξις ᾗ σημαίνομεν τὰς | νοή- 11
σεις ἡ μὲν ἔμμετρος, ἡ δὲ ἄμετρος· ὧν ἑκατέρα καλῆς μὲν ἁρμονίας τυχοῦσα καλὸν οἷά τ' ἐστὶ ποιεῖν καὶ τὸ μέτρον καὶ τὸν λόγον, ἀνεπιστάτως δὲ καὶ ὡς ἔτυχεν

2 τοῖς EF: om PMV 3 ὀλίγον M | κρεῖττον EFM: κρείττω PV | ἡγήσεται F 6 καὶ ῥητορικοῖς PMV | ἀνδρᾶσι F ἀνδράσιν P 7 χώραν ἔχουσα F | συντάξει F^1 8 ἐκείνη FP sine iota | τὸ σαύτην F 9 περιεῖναι F^1P 10 ἐπὶ EF: αἱ περὶ PMV 11 δ(ια)αφόρους P^1 | λαμβάνουσιν F λαμβάνουσι M 12 τε om EF 13 πολιτικὴ E | ταύτης F: ταῖς τοιαύταις PMV | ὁμοιογενεῖς P: ὁμογενεῖς FMV 14 δυνάμεις] ante hoc uocabulum γὰρ inseruit F^1 15 τῶν λεκτικῶν E 21 ἄμετρος ἢ δ' (ex ἤδ' corr) ἔμμετρος F, E | in ἑκατέρα ultimam α add F^2 | καλ(ῶς) P 22 μὲν om M | οἷα τ' M: οἷά τ' PV οἷά τε F, E | καὶ τὸ FE: τὸ PMV 23 ἔτυχεν] ἔοικε M

ῥιπτουμένη προσαπόλλυσι καὶ τὸ ἐν τῇ διανοίᾳ χρήσιμον. πολλοὶ γοῦν καὶ ποιηταὶ καὶ συγγραφεῖς φιλόσοφοί τε καὶ ῥήτορες λέξεις πάνυ καλὰς καὶ πρεπούσας τοῖς ὑποκειμένοις ἐκλέξαντες ἐπιμελῶς, ἁρμονίαν δὲ αὐταῖς ἀποδόντες εἰκαίαν τινὰ καὶ ἄμουσον οὐδὲν χρηστὸν ἀπέλαυσαν ἐκείνου τοῦ πόνου. ἕτεροι δ' εὐκαταφρόνητα καὶ ταπεινὰ λαβόντες ὀνόματα, συνθέντες δ' αὐτὰ ἡδέως καὶ περιττῶς πολλὴν τὴν ἀφροδίτην τῷ λόγῳ περιέθηκαν. καὶ σχεδὸν ἀνάλογόν τι πεπονθέναι δόξειεν ἂν ἡ σύνθεσις πρὸς τὴν ἐκλογήν,
12 ὃ πάσχει τὰ ὀνόμα|τα πρὸς τὰ νοήματα. ὥσπερ γὰρ οὐδὲν ὄφελος διανοίας ἐστὶ χρηστῆς, εἰ μή τις αὐτῇ κόσμον ἀποδώσει καλῆς ὀνομασίας, οὕτω κἀνταῦθα οὐδέν ἐστι προὔργου λέξιν εὑρεῖν καθαρὰν καὶ καλλιρήμονα, εἰ μὴ καὶ κόσμον αὐτῇ τις ἁρμονίας τὸν προσήκοντα περιθήσει.

Ἵνα δὲ μὴ δόξω φάσιν ἀναπόδεικτον λέγειν, ἐξ ὧν ἐπείσθην κρεῖττον εἶναι καὶ τελειότερον ἄσκημα τῆς ἐκλογῆς τὴν σύνθεσιν, ἔργῳ πειράσομαι δεικνύναι, ἐμμέτρων τε καὶ πεζῶν λόγων ἀπαρχὰς ὀλίγας προχειρισάμενος. λαμβανέσθω δὲ ποιητῶν μὲν Ὅμηρος, συγγραφέων δὲ Ἡρόδοτος· ἀπόχρη γὰρ ἐκ τούτων καὶ

1 ῥιπτομένη PMVE | τὸ om F^1 2 γοῦν καὶ F, E: γοῦν PMV 5 ἀποδόντες E γρ M [αποδόν]τες c lit F: περιθέντες PV παραθέντες M | [εἰκαί]αν c lit F 6 πό[ν]ου c lit F | δὲ PMV 7 τὰ πεινὰ F 8 δε PV | ἀντὰ P^1 | ἰδίως EFM^1 ἡδίως ex ἰδίως P^1 ἰδέως M^2 9 τ(ῷ) λόγ(ῳ) P τῶν λόγων M 10 ἂν om M 11 ὃ] fort ᾧ 12 ἐστὶ ante διανοίας EF | αὐτῇ * F 13 κόσμον***** P | ἀποδώσῃ V | καὶ ἐνταῦθα EF 14 πούργου P^1 προὔργον V | καλλιρήμονα FM, P καλλιῤῥήμονα V 15 κόσμιον V | τίς F τ(ῆς) P, MV 17 φασὶν libri: corr Krueger ad historiogr p 188 | ἀναπόδεικτον P: ἀναπόδεικτα F^2MV ἀπόδεικτα F^1 18 κρεῖττον] καὶ κρεῖττον F | τελεώτερον M 19 ἔργω F | δεικνῦναι F 20 ἐνμέτρων F | [πεζῶν] c ras F

περὶ τῶν ἄλλων εἰκάσαι. ἔστι δὴ παρ' Ὁμήρῳ μὲν ὁ παρὰ τῷ συβώτῃ καταγόμενος Ὀδυσσεὺς περὶ τὴν ἑωθινὴν ὥραν ἀκρατίζεσθαι μέλλων, ὡς τοῖς παλαιοῖς ἔθος ἦν· ἔπειτα ὁ Τηλέμαχος αὐτοῖς ἐπιφαινόμενος ἐκ τῆς εἰς | Πελοπόννησον ἀποδημίας· πραγμάτι' ἄττα 13 βιωτικὰ ἡρμηνευμένα ὑπέρεν. ποῦ δ' ἐστὶν ἡ τῆς ἑρμηνείας ἀρετή, τὰ ποιήματα δηλώσει παρατεθέντα αὐτά·

τὼ δ' αὖτ' ἐν κλισίῃς Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
ἐντύνοντ' ἄριστον ἅμ' ἠοῖ κειαμένω πῦρ
ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι
οὐδ' ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
σαίνοντάς τε κύνας, ὑπὸ δὲ κτύπος ἦλθε ποδοῖιν·
αἶψα δ' ἄρ Εὔμαιον προσεφώνεεν ἐγγὺς ἐόντα·
Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος 11
ἢ καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
οὔπω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
ἔστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης·

9 Homerus π 1—16

1 εἰκᾶσαι F | ὁμήρ(ω) P 2 τῷ om P | σϊβώτηι P: corr in marg P^2 | ὀδυσεὺς P 3 ἑωθι[ν]ὴν c lit F^1 | ὧραν F 5 πελοπόνησον F^1V | πραγμάτια ἄττα F: πρ. λιτὰ καὶ PV πραγματιάττα λιτὰ καὶ M 6 ἐιρμηνευμένα F ἠρμ- M | δ' ἔστιν F δέ (ἐστιν) P 9 τῶ δ' FV τώδ' M | κλισίησ' EFV κλισίῃ Hom | ὀδυσσεὺς FP^2M^1V | συφορβὸς M 10 ἐντύνοντ(ες) P, V 11 ἐκπέμψαντε EFPM | ἀγρομένοισ(ιν) P 12 περίσαινον FEV | κῦνες ut 14 κῦνας F^1 13 ὀδυσεὺς P 14 περί τε κτύπος Hom | κτῦπος pr F^1 κτῆπος M^1 15 ἂρ sic FP 16 ἔῦμαι' P εὔμαιε V | ἐλεύσετ' M 17 οὐχ' F 18 περισαίνουσι FV 19 εἴρητ' M εἴρηται V | ὅτέ P ὅτι V 20 ἔστηκεν (sed κεν erasum) ἐπὶ F | προθύροισ(ιν) P | ἀνώρουσε M

ἐκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο
κιρνὰς αἴθοπα οἶνον. ὁ δ' ἀντίος ἔδραμ' ἄνακτος·
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

Ταῦθ' ὅτι μὲν ἐπάγεται καὶ κηλεῖ τὰς ἀκοὰς ποιημάτων τε τῶν πάνυ ἡδίστων οὐδενὸς ἧττω μοῖραν ἔχει, πάντες ἂν εὖ οἶδ' ὅτι μαρτυρήσειαν. ποῦ δὲ αὐτῶν ἐστιν ἡ πειθὼ καὶ διὰ τί τοιαῦτά ἐστι, πότερον διὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων ἢ διὰ τὴν σύνθεσιν; οὐδεὶς ἂν εἴποι διὰ τὴν ἐκλογήν, ὡς ἐγὼ πείθομαι· διὰ γὰρ τῶν
15 εὐ|τελεστάτων καὶ ταπεινοτάτων ὀνομάτων πέπλεκται πᾶσα ἡ λέξις, οἷς ἂν καὶ γεωργὸς καὶ θαλαττουργὸς καὶ χειροτέχνης καὶ πᾶς ὁ μηδεμίαν ὥραν τοῦ λέγειν εὖ ποιούμενος ἐξ ἑτοίμου λαβὼν ἐχρήσατο. λυθέντος γοῦν τοῦ μέτρου φαῦλα φανήσεται τὰ αὐτὰ ταῦτα καὶ ἄζηλα· οὔτε γὰρ μεταφοραί τινες ἔνεισιν εὐγενεῖς οὔτε ὑπαλλαγαὶ οὔτε καταχρήσεις οὔτ' ἄλλη τροπικὴ διάλεκτος οὐδεμία, οὐδὲ δὴ γλῶτται παλαιαί τινες οὐδὲ ξένα ἢ πεποιημένα ὀνόματα. τί οὖν λείπεται μὴ οὐχὶ τὴν σύνθεσιν τοῦ κάλλους τῆς ἑρμηνείας αἰτιᾶσθαι;

2 αἴθωπα PM | ἔδραμ(εν) F ἔδραμ' E: ἦλθεν PMV Hom 3 καὶ φαλήν P | τε om M 5 ἐπάγεταί τε καὶ F sed καὶ gradationem facit 6 τῶν F: καὶ τῶν PMV | οὐδ' ἑνὸς F^1 | ἧττων F 7 εὖ F: om PMV | δὲ Sauppius: δὴ libri 8 τοιαύτη F^1 | πότερα F 10 ἐκλογ[ὴ]ν c lit P, om add mg F^2 | ὡς ἐγὼ πείθομαι om F 11 καὶ FE: τε καὶ PMV | ὀνομάτων add mg F^2 12 fort οἵοις 13 ὥραν PMV ὧραν F γρ φροντίδα mg M: corr Sylburgius 14 λαβῶν P 15 γοῦν F γ' οὖν P | μετρίου F^1 15 et p 12, 6 φαύλα F 16 ἔνεισιν εὐγενεῖς] ἐν αὐταῖς (αὐτοῖς MV) εὐγενεῖς ἔνεισιν PMV εἰσὶν εὐγενεῖς ἐν αὐτοῖς EF glossema sede incerta arguitur 17 [ὑ]παλλαγαὶ c lit F ὑπαλλαγὴ M | οὔτε ἄλλη PV 18 οὐδεμία διάλεκτος F | οὐδεδὴ P: οὔτε δὴ FMV | γλῶσσαι F | παλαιαί] πολλαί libri οὐδὲ Sauppius: οὔτε PMV ἢ in rasura ampliore F^2 20 κάλλους ex καλοῦ corr F^1

τοιαῦτα δ' ἐστὶ παρὰ τῷ ποιητῇ μυρία, ὡς εὖ οἶδ' ὅτι πάντες ἴσασιν· ἐμοὶ δ' ὑπομνήσεως ἕνεκα λέγοντι ἀρκεῖ ταῦτα μόνα εἰρῆσθαι.

Φέρε δὴ μεταβῶμεν ἤδη καὶ ἐπὶ τὴν πεζὴν διά- 16
λεκτον καὶ σκοπῶμεν, εἰ κἀκείνῃ τοῦτο συμβέβηκε τὸ πάθος, ὥςτε παρὰ μικρὰ καὶ φαῦλα πράγματά τε καὶ ὀνόματα συνταχθέντα καλῶς μεγάλας ἡδονὰς γίνεσθαι καὶ χάριτας. ἔστι δὴ παρὰ τῷ Ἡροδότῳ βασιλεύς τις Λυδῶν, ὃν ἐκεῖνος Κανδαύλην ⟨καλεῖ, Μυρσίλον δὲ⟩ καλεῖσθαί φησιν ὑφ' Ἑλλήνων, τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, ἔπειτα ἀξιῶν τινα τῶν ἑταίρων αὐτοῦ γυμνὴν τὴν ἄνθρωπον ἰδεῖν, ὃ δὲ ἀπομαχόμενος μὴ ἀναγκασθῆναι, ὡς δὲ οὐκ ἔπειθεν, ὑπομένων τε καὶ θεώμενος αὐτήν — πρᾶγμα οὐχ ὅτι σεμνὸν ἢ καλλιλογεῖσθαι ἐπιτήδειον, ἀλλὰ καὶ παιδικὸν καὶ ἐπικίνδυνον καὶ τοῦ αἰσχροῦ μᾶλλον ἢ τοῦ καλοῦ ἐγγυτέρῳ· ἀλλ' εἴρηται σφόδρα δεξιῶς, καὶ κρεῖττον γέγονεν ἀκουσθῆ-
ναι λεγόμενον ἢ ὀφθῆναι | γινόμενον. ἵνα δὲ μή τις 17
ὑπολάβῃ τὴν διάλεκτον εἶναι τῆς ἡδονῆς αἰτίαν τῇ λέξει, μεταθεὶς αὐτῆς τὸν χαρακτῆρα εἰς τὴν Ἀτθίδα

1 τοιαῦτ(α) (εστι) P, MV | εὖ εἰδότι M 2 *ἴσασιν F | δε P, MV 3 εἰρεῖσθαι P 4 μ[ε]ταβῶμεν c lit P | ἤδη F: om PMV | διάλεξιν F 5 καὶ ἐκείνη F | τοῦτο F: τὸ αὐτὸ PV τοῦτο αὐτὸ M | τὸ F: om PMV 6 παρὰ] περὶ libri 7 ἡδονὰς om PMV 8 καὶ F: τὰς PMV 9 κανδάλην F[1] | καλεῖ . . . δὲ om FM καλεῖ . . . καλεῖσθαι om PV: suppleuit Sylb 11 τινα post αὐτοῦ traicit F | fort ⟨Γύγην⟩ γυμνὴν 12 ὁ δὲ PMV: ὃσ, F | μὴ] fort ⟨μὲν⟩ μὴ 13 δὲ om F 14 αὐτὴν· πράγμα F: αὐτὴν τὸ πρᾶγμα P, αὐτὴν ἦν· τὸ δὲ πρ. MV cui lectioni Γύγης ante ἦν interposuit Reiskius | οὐχ' F ut solet ante uocalem aspiratam 15 ἐπιτήδειον] δυνάμενον E | παιδικὸν F: ταπεινὸν EPMV | καὶ ἐπιτήδειον bis M, alterum expunctum manu rec 16 ἐγγυτέρωι sic F | ἀλλὰ PM 17 δεξι(ῶς) sed conpendium ως in lit P | ἀκο[υ]σθῆναι c lit ampliore F 19 τηῖ P

γλῶτταν καὶ οὐδὲν ἄλλο περιεργασάμενος οὕτως ἐξοίσω τὸν διάλογον.

18 Γύγη, οὐ | γάρ σε δοκῶ πείθεσθαί μοι λέγοντι περὶ τοῦ εἴδους τῆς γυναικός· ὦτα γὰρ τυγχάνει ἀνθρώποις ὄντα ἀπιστότερα ὀφθαλμῶν· ποίει ὅπως ἐκείνην θεάσῃ γυμνήν. Ὁ δ' ἀναβοήσας εἶπε· Δέσποτα, τίνα λόγον λέγεις οὐχ ὑγιᾶ, κελεύων με δέσποιναν τὴν ἐμὴν θεάσασθαι γυμνήν; ἅμα δὲ χιτῶνι ἐκδυομένῳ
19 συνεκδύεται | καὶ τὴν αἰδῶ γυνή. πάλαι δὲ τὰ καλὰ ἀνθρώποις ἐξεύρηται, ἐξ ὧν μανθάνειν δεῖ· ἐν οἷς ἓν τόδ' ἐστίν, ὁρᾶν τινα τὰ ἑαυτοῦ. ἐγὼ δὲ πείθομαι ἐκείνην εἶναι πασῶν γυναικῶν καλλίστην, καὶ σοῦ δέομαι μὴ δεῖσθαι ἀνόμων. ὃ μὲν δὴ λέγων ταῦτα ἀπεμάχετο…, ὃ δ' ἠμείβετο τοῖςδε· Θάρσει Γύγη, καὶ μὴ φοβοῦ μήτ' ἐμέ, ὡς πειρώμενόν σου λέγω λόγον τόνδε, μήτε γυναῖκα τὴν ἐμήν, μή τί σοι ἐξ αὐτῆς γένηται βλάβος. ἀρχὴν γὰρ ἐγὼ μηχανήσομαι οὕτως, ὥςτε μηδὲ μαθεῖν αὐτὴν ὀφθεῖσαν ὑπὸ σοῦ. ἀγαγὼν γάρ σε εἰς τὸ οἴκημα, ἐν ᾧ κοιμώμεθα, ὄπισθε τῆς ἀνοιγομένης θύρας στήσω· μετὰ δὲ ἐμὲ εἰσελθόντα παρέσται

3 Herodotus I 8—10

1 γλῶσσαν F | περιειργασμένος P 2 τὸν λόγον F 4 περὶ] τ(ους) περι P τὰ περὶ Va | τυγχάνει] ὑπάρχει F 5 ὄντα πιστότερα M ὄντ' ἀπ. rec M[2] 6 [θεάσηι ἐκεί]νην c lit F | δ' F δὲ PMV: δὲ μέγα H(erodotus) h | εἶπεν PV 7 λέγεις λόγον Hh 8 ἐκδυομένω F, H: ἐκδυομένη PMV 9 αἰδὼ FM 10 δεῖ ex δὴ F[2] | ἐν τώδε (τῶδε corr) F, MV ἐν τωῖ δε P 11 ἔνεστιν corr F[1],M 12 εἶναι post γυναικῶν PMV 13 δεῖσθαι FH: χρήιζειν P, MV | ἀνομῶν P ἀνόμου M | ταῦτα] τοιαῦτα H 14 ·addit H: ἀρρωδέων μή τί οἱ ἐξ αὐτῶν γένηται κακόν | δὲ P | ἀμείβετο V 15 μήτε με F | ὡς σέο πειρ. H | πειρώμενός V[1]a | λόγον λέγω PMV 16 τόνδε . . . 17 ἐγὼ om add mg P[2] | τ[ι] σοι c lit F τισ P 18 ἄγων P ἐγὼ H 19 ἐσ P,M | ὄπισθεν PMV 20 θυραστήσω P[1]

καὶ ἡ γυνὴ ἡ ἐμὴ εἰς κοίτην. κεῖται δ' ἐγγὺς τῆς εἰσόδου θρόνος· ἐπὶ τοῦτον τῶν ἱματίων καθ' ἓν ἕκαστον ἐκδῦσα θήσει, καὶ καθ' ἡσυχίαν πολλὴν παρέσται σοι θεάσασθαι. ὅταν δ' ἀπὸ τοῦ θρόνου πορεύηται ἐπὶ τὴν εὐνὴν κατὰ νώτου τε αὐτῆς γένῃ, σοὶ μελέτω τὸ ἐντεῦθεν, ὅπως μή σε ὄψεται ἀπιόντα διὰ θυρῶν. ὃ μὲν δὴ ὡς οὐκ ἐδύνατο διαφυγεῖν, ἕτοιμος ἦν [ποιεῖν ταῦτα]'.

οὐκ ἂν ἔχοι τις οὐδὲ ἐνταῦθα | εἰπεῖν, ὅτι τὸ ἀξίωμα 20
καὶ ἡ σεμνότης τῶν ὀνομάτων εὔμορφον πεποίηκε τὴν φράσιν· ἀνεπιτήδευτα γάρ ἐστι καὶ ἀνέκλεκτα, οἷα ἡ φύσις τέθηκεν σύμβολα τοῖς πράγμασιν· οὐδὲ γὰρ ἥρμοττεν ἴσως κρείττοσι χρήσασθαι ἑτέροις. ἀνάγκη δὲ δή που, ὅταν τοῖς κυριωτάτοις τε καὶ προσεχεστάτοις ὀνόμασιν ἐκφέρηται, τὰ νοήματα μηδὲν σεμνότερ' εἶναι, ἢ οἷά ἐστιν ⟨ἐκεῖνα⟩. ὅτι δὲ οὐδὲν ἐν αὐτοῖς ἐστι σεμνὸν οὐδὲ περιττόν, ὁ βουλόμενος εἴσεται μεταθεὶς οὐδὲν ὅ τι μὴ τὴν ἁρμονίαν. πολλὰ δὲ καὶ παρὰ τούτῳ τῷ ἀνδρὶ τοιαῦτά ἐστιν, ἐξ ὧν ἄν τις τεκμήραιτο, ὅτι οὐκ ἐν τῷ κάλλει τῶν ὀνομάτων ἡ πειθὼ τῆς ἑρμη-

1 *καὶ* ante *ἡ* om F | *ἐς* PMV | *δὲ* PMV 2 *τούτω* M | *ἐκδῦσα* ante *καθ'* PMV 3 *ἐκδύνουσα* H | *παρέξει* H 4 *∗σοι* P om F¹ | *ὅτ' ἂν* FP ut solent: *ἐπεὰν* H | *δε* P, MV | *τοῦ* om supplet F¹ 5 *μελέτω σοι* F 6 *ἰόντα* H | *δ[ι]α* c lit P 7 *ἐδύνατο* F cum H cod mediceo: *ἠδύνατο* PMV | *διαφεύγειν* P | *ἦν ἕτοιμος.* H 8 *ποιεῖν ταῦτα* (*τά γ' αὐτά* P) om H 9 *οὐδὲν* F 10 *πεποίηκεν* P 11 *ἀνεπιτήδευτα∗* F | *ἀνέλεκτα* V | *ἡ* om PV 12 *τέθεικεν* FP *τέθεικε* EMV 13 *κρείττοσ(ιν)* P 14 *δὲ δὴ* FM: *δε* P *δὴ* Vs 15 *μηδὲν δὲ* sed *δὲ* expunctum F | *σεμνότερον εἶναι* libri *σεμνοτέραν ⟨τὴν λέξιν⟩ εἶναι* ci Reiskius 16 *ἢ* om F¹ | *οἷα* F¹ | *ἐστὶ ⟨τὰ ὀνόματα⟩* ci Reiskius | *οὐδὲ* M | *ἀυτοῖσ* F 17 *περιττὸν οὐδὲ σεμνὸν* F 18 *καὶ ⟨ἄλλα⟩* ci Reiskius | *τοῦτο* (-*τω* corr) *τ(ω)* P

νείας ἦν, ἀλλ' ἐν τῇ συζυγίᾳ. καὶ περὶ μὲν τούτων ἱκανὰ ταῦτα.

Ἵνα δὲ πολὺ μᾶλλον αἴσθηταί τις, ὅσην ἔχει ῥώμην 4
ἡ συνθετικὴ δύναμις ἔν τε ποιήμασι καὶ λόγοις, λήψομαί τινας εὖ ἔχειν δοκούσας λέξεις, ὧν τὰς ἁρμο-
21 νίας με|ταθεὶς ἀλλοῖα φαίνεσθαι ποιήσω καὶ τὰ μέτρα καὶ τοὺς λόγους. λαμβανέσθω δὲ πρῶτον μὲν ἐκ τῶν Ὁμηρικῶν ταῦτα·

ἀλλ' ἔχεν ὥςτε τάλαντα γυνὴ χερνῆτις ἀληθής,
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει
ἰσάζουσ', ἵνα παισὶν ἀεικέα μισθὸν ἄροιτο.

τοῦτο τὸ μέτρον ἡρῷόν ἐστιν ἑξάπουν τέλειον, κατὰ
22 δάκτυλον πόδα βαινόμενον. ἐγὼ δὴ τῶν ὀνομά|των τούτων μετακινήσας τὴν σύνθεσιν τοὺς αὐτοὺς στίχους ἀντὶ μὲν ἑξαμέτρων ποιήσω τετραμέτρους, ἀντὶ δὲ ἡρωϊκῶν προσοδιακοὺς τὸν τρόπον τοῦτον·

ἀλλ' ἔχεν ὥςτε γυνὴ χερνῆτις τάλαντ' ἀληθής,

9 Homerus *M* 433—5 9—p 16, 2. 7—p 17, 5 in usum uertit Hermogenes *π. ἰδ.* I 3 p 230, 9—231, 8 W (Castor Walzii III 715) 14—p 16, 6 testatur Maximus Planudes Walzii V 491, 7 17—p 16, 2 testatur Syrianus in Herm p 48, 4 Rab

1 *ἦν∗∗ἀλλ'* P | *καὶ*] *ἦν καὶ* M *ἢ καὶ* V 3 *πολλὺ* F¹ | *τις* FM: om PV 4 *ποιήμασιν* P 5 *δοκούσας* suppleuit F¹ 6 *μετατεθεὶς* V | *ἀλλοίας* P 7 *μὲν* om PMV 8 *ταυτί* PMV 9 *ἔχεν* FM ut Apollonius lex.: *ἔχον* PV Hom(erus) | *χενῆ τ[ι]ς* et *[ἀνέλ]κει* c lit F 10 *εἰριον* deleto accentu P 11 *ἄρηται* Hom 12 *ἡρωϊκόν* PMV 13 *πόδα δάκτυλον* PMV | *τῶν*] *τῶν αὐτῶν* PV 16 *προσωιδιακοὺς* FP *προσῳδικοὺς* MV. errorem scriptoris Planudes suspicabatur V p 491, 13 cf Ritschelius opusc I 287. sed uaria ui nomen metricis fuit cf anecd Ambr in Studemundi anecd I p 226, 13 Choeroboscus ibid 60, 10; Dionysius quid uoluerit, Bacchylides docebit fr 19 17 *ἔχεν* FMV *ἔχον* P scholl Hermogenis. Dionysius fort *ἔχ'* scripsit ut haec forma euaderet – ∪ – ∪ ∪ – – – | – ∪ – ∪ – – | *τάλαντ'* F Syrianus Planudes anonymus: *τάλαντα* PMV Ioannes Walzii VI

ἤ τις εἴριον ἀμφὶ καὶ σταθμὸν ἔχουσ' ἀνέλκει
ἰσάζουσ', ἵν' ἀεικέα παισὶν ἄροιτο μισθόν.

τοιαῦτά ἐστι τὰ πριάπεια[, ὑπό τινων δ' ἰθυφάλλια] λεγόμενα ταυτί·

Οὐ βέβηλος, ὦ τελέται τοῦ νέου Διονύσου . . .
κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω. 23

ἄλλους πάλιν λαβὼν στίχους Ὁμηρικούς, οὔτε προσθεὶς αὐτοῖς οὐδὲν οὔτε ἀφελών, τὴν δὲ σύνθεσιν ἀλλάξας μόνον ἕτερον ἀποδώσω γένος τὸ τετράμετρον καλούμενον Ἰωνικόν·

ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.

ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
αἱματοέσσης κόνιος δεδραγμένος, βεβρυχώς.

5 Euphorio Chersonesita Hephaestionis c 16 11 Homerus *N* 392—3

244, 20: articulum τὰ adicere possis ut uersum ceteris aeques, sed cf Bacchyl fr 19, 4 1 ἤ τις Syrianus Ioannes anonymus: ἧ τ' FMs Planudes ἡ̃ PV | ἀμφὶ anonymus et Syriani cod S: ἀμφὶς libri, Planudes et qui ante ἔχ. ponit Ioannes | ἐχ(ων)ουσ' P ἔχουσα F | ἄνελκει P ἕλκει F 2 ἵνα (καὶ add Ioannes) παισὶν ἀεικέα (ἀεικέ' Syr) Syr Ioannes anon | λάβοι τὸν (lege λάβοιτο) μισθόν Ioannes 3—6 ex Hephaestione interpolata putabat Meinekius Anal Alex p 343 3 [ὑ]πό τινων δὲ ἰθυφάλλια c lit F, MV Planudes: διφίλια P. spuria sunt | ἰθυφαλλικὰ Planudes 5 συμβέβηλος F Planudes | ὦ Hephaestio: ὡς libri, Maximus | τελεταί P Heph λέγεται FMV: corr Meinekius l s | δρονύσου P 6 εὐεργεσίης P Planudes ut Hephaestio: ἐργασίης MV ἐργασίας F | ὀργιασμένος F ὠργια∗σμένος P 8 οὐδὲν αὐτοῖς PV 9 γένος τὸ F: μέλος PMV | τὸ ante καλ. dant PMV 11 et 13 ὃ libri | καὶ δίφρου add mg F^1 12—13 om F 13 sic etiam cod Monacensis Hermogenis, cuius interpretes ut trochaeos efficerent, alii ἔκειτο καὶ δίφρου τανυσθείς scripsere ut teste Ioanne Sic. Syrianus et Ioannes Caesariensis, Castor, Planudes, alii (Walz VI 243, 3 VII 985, 3) τανυσθεὶς κεῖτο καὶ δίφρου | τανυσθεῖς P^1 14 αἱματοσέσ(η)ς P αἱματοέσης V. uoluitne Dionysius ditrochaeum αἱματούσσης?

τοιαῦτ' ἐστὶ τὰ Σωτάδεια ταυτί·

24 ἔνθ' οἳ μὲν ἐπ' ἄκραισι πυραῖς νέκυες ἔκειντο
γῆς ἐπὶ ξένης, ὀρφανὰ τείχεα προλιπόντες
Ἑλλάδος ἱερῆς καὶ μυχὸν ἐστίης πατρῴης,
ἥβην τ' ἐρατὴν καὶ καλὸν ἡλίου πρόσωπον.

ἐδυνάμην δ' ἂν ἔτι πολλὰς ἰδέας μέτρων καὶ διαφόρους εἰς τὸν ἡρωϊκὸν ἐμπιπτούσας στίχον ἐπιδεικνύναι, τὸ δ' αὐτὸ καὶ τοῖς ἄλλοις ὀλίγου δεῖν πᾶσι συμβεβηκὸς μέτροις τε καὶ ῥυθμοῖς ἀποφαίνειν, ὥςτε τῆς μὲν ἐκλογῆς τῶν ὀνομάτων τῆς αὐτῆς μενούσης, τῆς δὲ συνθέσεως μόνης μεταπεσούσης τά τε μέτρα μεταρρυθμίζεσθαι καὶ συμμεταπίπτειν αὐτοῖς τὰ σχήματα, τὰ χρώματα, τὰ ἤθη, τὰ πάθη, τὴν ὅλην τῶν ποιημάτων ἀξίωσιν· ἀλλ' ἀναγκασθήσομαι πλειόνων ἅψασθαι θεωρημάτων, ὧν ἔνια ὀλίγοις πάνυ ἐστὶ γνώριμα. ἐπὶ
25 πολλῶν δ' ἴσως καὶ | οὐχ ἥκιστα ἐπὶ τῶν τοιούτων καλῶς ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν·

μή μοι
λεπτῶν θίγγανε μύθων, ψυχή·

1 cf anonymus Walzii VII 985, 9 ταῦτα Σωτάδου φησὶ Διονύσιος εἶναι Ioannes Sic Walzii VI 243, 30 18 Euripides fr 924

1—5 ex Hermogene p 230, 19 interpolata Meinekius putabat p 344 1 τοιαῦτα PMV | Σωτάδεια Planudes: σωτάδια libri 2 ἄκραισι FM ut Hermog Ioannes Sic VI 243, 30: ἄκραις PV anonymus VII 985, 14 | πυραῖσι anon | ἔγκειντο F 5 ἥβη sed ν sscr P^1 | ἐραστὴν F: ἐρατεινὴν PMV Hermogenes eiusque interpretes: em Goeller et Hermannus elem metr p 445 6 δυναίμην PV | δὲ ἔτι M 7 ἐπιδεικνῦναι F 8 δὲ PMV | καὶ P: κἂν F κάν MV 9 τε om F 10 ὀματων sscr νο P^1 11 μεταπιπτούσης sed πεσούσης conpendio mg F μεταπεσούσης M: μάλιστα πεσούσης PV 12 αὐτῆς M 13 τὰ πάθη om P 14 ἀλλ' om F inserto δὲ ante πλειόνων | ἀν(αν)κασθήσομαι P | ἅπτεσθαι P 15 γνώρισμα F^1 16 δὲ PMV | καὶ om P 17 εὐριπίδια F^1M 19 [θί]γγανε c ras F θίγανε M

τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
σεμνύνεσθαι παρ᾽ ὁμοίοις.

ταῦτα μὲν οὖν ἐάσειν μοι δοκῶ κατὰ τὸ παρόν. ὅτι δὲ καὶ ἡ πεζὴ λέξις τὸ αὐτὸ δύναται παθεῖν τῇ ἐμμέτρῳ | μενόντων μὲν τῶν ὀνομάτων, ἀλλαττομένης 26 *δὲ τῆς συνθέσεως, πάρεστι τῷ βουλομένῳ σκοπεῖν. λήψομαι δ᾽ ἐκ τῆς Ἡροδότου λέξεως τὴν ἀρχὴν τῆς ἱστορίας, ἐπειδὴ καὶ γνώριμός ἐστι τοῖς πολλοῖς, μεταθεὶς τὸν χαρακτῆρα τῆς διαλέκτου μόνον. ‘Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δ᾽ Ἀλυάττου, τύραννος δ᾽ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ· ὃς ῥέων ἀπὸ μεσημβρίας μεταξὺ Σύρων τε καὶ Παφλαγόνων ἐξίησι πρὸς βορέαν ἄνεμον εἰς τὸν Εὔξεινον καλούμενον πόντον’. μετατίθημι τῆς λέξεως ταύτης τὴν ἁρμονίαν, καὶ γενήσεταί μοι οὐκέτι ὑπαγωγικὸν τὸ πλάσμα | οὐδ᾽ ἱστορικόν,* 27 *ἀλλ᾽ ὀρθὸν μᾶλλον καὶ ἐναγώνιον· ‘Κροῖσος ἦν υἱὸς μὲν Ἀλυάττου, γένος δὲ Λυδός, τύραννος δὲ τῶν ἐντὸς Ἅλυος ποταμοῦ ἐθνῶν· ὃς ἀπὸ μεσημβρίας ῥέων μεταξὺ Σύρων καὶ Παφλαγόνων εἰς τὸν Εὔξεινον καλούμενον πόντον ἐκδίδωσι πρὸς βορέαν ἄνεμον.’ οὗτος ὁ χαρακτὴρ οὐ πολὺ ἀπέχειν ἂν δόξειεν τῶν*

9 Herodotus I 6

1 *μέλλοις* F 3 *οὖν* F 5 *ἐμμέτρω ὄντων* PMV | *μὲν* om V | *τῶν* F *τῶν αὐτῶν* E: om PMV | *ἀλλασσομένης* MV *ἀλλασομένης* P 6 plura legit E | *τῶ βουλομέν(ω)* P 7 et 10 *δὲ* PMV 8 *ἐπειδὴ* F: *ἐπεὶ* PMV | *μετα**θεὶς* F 9 *κροῖσσος* P 10 *ἀλυάττεω* E | *ἐθν[ῶν]* c lit F 11 *ἄλυος* FMV ut u 18. 19, 6 FPMV 12 *τε* om M Herodotus, Dionysius consulto addidit et 19, 8 et hic, omisit l 19 | *ἐξίησιν* P | *βορέἄνεμον* pr sed corr F^1 13 *μαιτατίθημι* P *μάρτυρα τίθημι* M 14 *γενησετέμοι* sed sscr *αί* P 15 *ὑπαγωγικὸν* F *επαγ(ω)γικον* sed sscr *ϋ* P: *ἐπαγωγικὸν* MV | *οὐδε* P, MV 16 *ἦν ἀλ. μὲν παῖς* E 17 *ἀλυ*άττου* P 19 *παφλαγόνων καὶ σύρων* F 21 *ὁ* sscr P^1 | *δόξειε* F

Θουκυδίδου τούτων· ‘Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ εἰσπλέοντι τὸν Ἰόνιον κόλπον· προσοικοῦσι δ᾽ αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος.’ πάλιν δὲ ἀλλάξας τὴν αὐτὴν λέξιν ἑτέραν αὐτῇ μορφὴν ἀποδώσω τὸν τρόπον τοῦτον· ‘Ἀλυάττου μὲν υἱὸς ἦν Κροῖσος, γένος δὲ Λυδός, τῶν δ᾽ ἐντὸς Ἅλυος ποταμοῦ τύραννος ἐθνῶν· ὃς ἀπὸ μεσημβρίας ῥέων Σύρων τε καὶ Παφλαγόνων μεταξὺ πρὸς βορέαν ἐξίησιν ἄνεμον ἐς τὸν καλούμενον πόντον Εὔξεινον’. Ἡγησιακὸν 28 *τὸ σχῆμα τοῦτο τῆς συνθέσεως, μικρό|κομψον, ἀγεννές, μαλθακόν· τούτων γὰρ τῶν λήρων ἱερεὺς ἐκεῖνος ἀνὴρ τοιαῦτα γράφων· ‘Ἐξ ἀγαθῆς ἑορτῆς ἀγαθὴν ἄγομεν ἄλλην.’ ‘Ἀπὸ Μαγνησίας εἰμὶ τῆς μεγάλης Σιπυλεύς.’ ‘Οὐ γὰρ μικρὰν εἰς Θηβαίων ὕδωρ ἔπτυσεν ὁ Διόνυσος· ἡδὺ μὲν γάρ ἐστι, ποιεῖ δὲ μαίνεσθαι.’*

Ἅλις ἔστω παραδειγμάτων. ἱκανῶς γὰρ οἴομαι πεποιηκέναι φανερὸν ὃ προὔκειτό μοι, ὅτι μείζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ σύνθεσις. καί μοι δοκεῖ τις οὐκ ἂν ἁμαρτεῖν εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ· ἐκείνη τε γὰρ τὸν Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἀλλοῖον

1 Thucydides I 24 12 Hegesias Muelleri fr scr Alex p 138

1 *(εστι)*** P | *ἐν . . . κόλπον* om add mg F 2 *πρ(οσ)οικοῦσιν* P | *δὲ* PV 3 *ταλάντιοι* MV | *δὲ ἀλλάξας* F: *διαλλάξας* PMV 4 *ἑταίραν* V | *αὐτῆι* add mg F^1 *αὐτὴν* PM 5 *τοῦτον* om M 6 *δ᾽* om PV 8 *ἐξίησιν* FM: *ἔξεισιν* PV 9 *ἐς* F: *εἰς* PMV ut supra 10 *τοῦτο* ante *τὸ σχ.* traicit F | *ἀγεννες* P, V: *ἀγενὲς* FMa 11 *ἀνὴρ* libri 14 *μικρὰν* libri *μιαρὰν* Casaubonus cf *Götternamen* p 374. *μικρὰν ⟨χολὴν⟩* ci Reiskius | *ἐσθηβαίων* F 15 *ἡδὺ* Reiskius: *ἡδὺς* libri. frustra Ismenum aduocabat C Mueller 16 *ἄλις* F *ἄν* P | *ἔστω* F: *ἔστω τῶν* PMV | *ἱκαν(ῶς)* P^1 17 *φανερὸν πεποιηκέναι* F | *προύκειταί* F^1 18 *ἔχει* ante *ἡ* iterauerat F^1 | *δοκεῖ τις οὐκ ἂν* PV: *οὐ δοκεῖ τις* EFM 19 *ἁμαρτάνειν* PMV 20 *ὀδυσσέα* F

ἐποίει φαίνεσθαι, τοτὲ μὲν μικρὸν καὶ ῥυσὸν καὶ αἰσχρὸν

πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι, 29
τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη
μείζονά τ' εἰσιδέειν καὶ πάσσονα θῆκεν ἰδέσθαι,
κὰδ δὲ κάρητος
οὔλας ἧκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὕτη τε τὰ αὐτὰ λαμβάνουσα ὀνόματα τοτὲ μὲν ἄμορφα καὶ ταπεινὰ καὶ πτωχὰ ποιεῖ φαίνεσθαι τὰ νοήματα, τοτὲ δ' ὑψηλὰ καὶ πλούσια [καὶ ἁδρὰ] καὶ καλά. καὶ τοῦτ' ἦν σχεδὸν ᾧ μάλιστα διαλλάττει ποιητής τε ποιητοῦ καὶ ῥήτωρ ῥήτορος, τὸ συντιθέναι δεξιῶς τὰ ὀνόματα. τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ ἐπιτήδευσις ἦν αὐτοῦ, παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τά τε μέτρα καὶ τὰ μέλη καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι πλὴν ὀλί|γων· χρόνῳ δ' ὕστερον 30 παντάπασιν ἠμελήθη καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων· τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον οἵας οὐδεὶς

3 Homerus π 273 ρ 202. 337 ω 157 5 μείζ. .. πάσσονα, 6 κὰδ ... 7 ὁμοίας Homerus ζ 230—1 (ψ 157 sq), 5 θῆκεν ἰδέσθαι ex ω 369 cf ϑ 20

1. 4. 8. τότε F[1] ut 8 P[1] 1 μὲν μικρὸν καὶ ῥυσὸν EF: μὲν ῥυσὸν καὶ μικρὸν PMV 3 ἠδὲ] ἠδὲ καὶ F | γέροντα P 4 ῥάβδω P 5 θῆκεν ἰδέσθαι cum Victorio Goellerus delebat 6 καδδ' εκκάρητος F 7 ὑακινθίν(ω) P 8 αὐτή libri: corr Sylb | τοτὲ] τε* sed sscr το F 9 ταπεινὰ καὶ πτωχὰ EF: πτωχὰ καὶ ταπεινὰ PMV 10 δὲ PMV | καὶ ἁδρὰ del Sadaeus p 28 | ἀδρὰ F 11 τοῦτ' ἦν σχεδὸν ὧι P τοῦτ' ἦν ὃ (ᾧ M) FM: τούτῳ V | διαλάττει P 12 τὸ EFP: τῷ MV 13 πᾶσιν P 14 ἐπίδοσις ἦν libri: corr Sylburgius. δόσις ci Disselbeck conl Dion t I p 240, 16. 167, 13. 234, 12 15 τε om PV 16 οὐκ ἔστι P | χρον(ω) P | δὲ V 17 οὐδεῖσ P | δεῖν] fort λοιπὸν 18 τι om P | τ(ω) P 19 κατέλειπον P

ὑπομένει μέχρι κορωνίδος διελθεῖν, Φύλαρχον λέγω καὶ Δοῦριν καὶ Πολύβιον καὶ Ψάωνα καὶ τὸν Καλλατιανὸν Δημήτριον Ἱερώνυμόν τε καὶ Ἀντίγονον καὶ Ἡρακλείδην καὶ Ἡγησιάνακτα καὶ ἄλλους μυρίους· ὧν ἁπάντων εἰ τὰ ὀνόματα βουλοίμην λέγειν, 'ἐπιλείψει με' ὁ τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζειν, ὅπου γε καὶ οἱ φιλοσοφίαν ἐπαγγελλόμενοι καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας οὕτως εἰσὶν 31 ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων ὥςτε | αἰδεῖσθαι καὶ λέγειν; ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τοῦ λόγου Χρυσίππῳ τῷ Στωϊκῷ (περαιτέρῳ γὰρ οὐκ ἂν προβαῖεν)· τούτου γὰρ οὔτ' ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν οὔτε ἁρμονίᾳ χείρονι συνταχθέντας ἐξήνεγκε λόγους τῶν γοῦν ὀνόματος καὶ δόξης ἀξιωθέντων. καίτοι σπουδάζεσθαί γέ τινες προσεποιήθησαν αὐτῶν καὶ περὶ τοῦτο τὸ μέρος ὡς ἀναγκαῖον ὂν τῷ λόγῳ καὶ τέχνας γέ τινας ἔγραψαν ὑπὲρ τῆς συντάξεως τῶν τοῦ λόγου μορίων· ἀλλὰ

5 Demosthenes or XVIII 296

1 φύταρχον PM 2 σάωνα PMV σ(φ)τατωνα F quod στράτωνα Victorius legit: corr H Valesius emendd. III 14 p 96 Burm. Ionsius scr hist phil I 2, 2 Ruhnkenius ad Rutilium p LXII | καλατιανὸν P καλαντιανὸν MV καλανδιανὸν F cf C Mueller frr hist gr 4, 380 3 ἀντίγονον F ἀντίλογον PMV: Ἀντίλοχον cum Vossio de hist gr III p. 245 Reiskius Ἀντίοχον alii 4 ἡγησι(ά)νακτα P,F ἡγησίνναкτα M: ἡγησίαν μάγνητα V 5 εἰ post ὀνόματα dant PMV 7 οἱ F[2]P: om F[1] οἱ τὴν MV | ἐπ[αγγελλό]μενοι c lit F 8 φέροντες F[1] 10 τῶι λόγωι χρυσίππου τοῦ στωικοῦ PMV 11 περ***αιτέρωι F 12 προβαίην libri | τοῦτο F | οὔτε PMV 13 χείρονι ante ἁρμ. PMV 14 γ' οὖν F,M: om PV 15 ἠξιωμένων F ex p 22, 9 | καίτοι] καὶ M | σπουδάζεσθαι F: σπουδάζειν PMV. medii rari uestigium seruandum erat 16 αὐτῶι F,M 17 ὂν F om P | τ(ω) λόγ(ω) P | γε om PMV | ἔγραψαν PM ἔγραψεν F: ἐπέγραψαν V 18 ὑπερ** P | τῆς om M

πολύ τι πάντες ἀπὸ τῆς ἀληθείας ἀπεπλάγχθησαν καὶ οὐδ' ὄναρ εἶδον, τί ποτ' ἐστὶ τὸ ποιοῦν ἡδεῖαν καὶ καλὴν τὴν σύνθεσιν. ἐγὼ γ' οὖν ὅτ' ἔγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν εἴ τι τοῖς πρότερον εἴρηται περὶ αὐτῆς καὶ μάλιστα τοῖς ἀπὸ τῆς Στοᾶς φιλοσόφοις, εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου ποιουμένους· δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. οὐδαμῇ δ' οὐδὲν εἰρημένον ὑπ' οὐδενὸς ὁρῶν τῶν γοῦν ὀνόματος ἠξιωμένων οὔτε μεῖ|ζον οὔτ' ἔλαττον εἰς ἣν ἐγὼ προῄρημαι πραγμα- 32
τείαν, ἃς δὲ Χρύσιππος καταλέλοιπε συντάξεις διττὰς ἐπιγραφὴν ἐχούσας 'περὶ τῆς συντάξεως τῶν τοῦ λόγου μερῶν' οὐ ῥητορικὴν θεωρίαν ἐχούσας ἀλλὰ διαλεκτικήν, ὡς ἴσασιν οἱ τὰς βύβλους ἀνεγνωκότες, ὑπὲρ ἀξιωμάτων συντάξεως ἀληθῶν τε καὶ ψευδῶν καὶ δυνατῶν καὶ ἀδυνάτων ἐνδεχομένων τε καὶ μεταπιπτόντων καὶ ἀμφιβόλων καὶ ἄλλων τινῶν τοιουτοτρόπων, οὐδεμίαν οὔτ' ὠφέλειαν οὔτε χρείαν τοῖς πολιτικοῖς λόγοις συμβαλλομένας εἴς γοῦν ἡδονὴν καὶ κάλλος

12 cf Laertius Diogenes VII 193

1 πολύ τι FP: πολύ τι μᾶλλον MV πολλοὶ ἢ μᾶλλον Reiskius | ἀπεπλανήθησαν PMV 2 οὐδε P, MV | ποτε c ras supra τε F | ἡδείαν F 3 ἐγὼ γ' οὖν F: ἔγωγ' οὖν PMV | ὅτ' ἔγνων F: ὅτε διέγνων PMV 5 τῆστοᾶς F 7 τόπου] λόγου F | τε ποιημένους P πεποιημένους Va 8 οὐδαμεῖ (sscr ηι) P[1] | δ' om P | εἰρημένον om PMV | ὑπ' οὐδενὸς] ὑπὸ αυτῆς sed οὐδενὸς supra ὑπὸ scr F αὐτῆς deleui, ad Stoam Goellerus referebat 9 ὁρῶν FPM: ἐυρὼν V εὗρον a | γοῦν om PV 10 οὔτε ἔλ. συναχθὲν εἰς Vs 11 χρήσιππος M[1] | καταλέλοιπ(εν) sed conpendium in ras P | διττὴν F 12 περὶ] οὐ περὶ PM 13 οὐ] καὶ P | θεωρίαν ⟨εὑρὼν⟩ ἐχούσας ci Reiskius
14 βίβλους libri | ἀνεγ*νω*κό*τες ex ἀναγινώσκοντες F[2] 16 τε] δὲ PMV 17 ἀμφιλόβων P | in mg ἁπλῶν adposuit m ant F 18 οὔτ' ὠφέλειαν om P: post χρείαν traiciunt MV 19 συμβαλλομένων PMV | καὶ F: ἢ PMV

ἑρμηνείας, ὧν δεῖ στοχάζεσθαι τὴν σύνθεσιν· ταύτης μὲν τῆς πραγματείας ἀπέστην, ἐσκόπουν δ' αὐτὸς ἐπ' ἐμαυτοῦ γενόμενος, εἴ τινα δυναίμην εὑρεῖν φυσικὴν ἀφορμήν, ἐπειδὴ παντὸς πράγματος καὶ πάσης ζητήσεως αὕτη δοκεῖ κρατίστη εἶναι ἀρχή. ἀψάμενος δέ
33 τι|νων θεωρημάτων καὶ δόξας ὁδῷ μοι τὸ πρᾶγμα χωρεῖν ὡς ἔμαθον ἑτέρωσέ ποι ταύτην ἄγουσαν ἐμὲ τὴν ὁδόν, οὐχ ὅποι ἐπορευόμην καὶ ἀναγκαῖον ἦν ἐλθεῖν, ἀπέστην. κωλύσει δ' οὐδὲν ἴσως κἀκείνης ἅψασθαι τῆς θεωρίας καὶ τὰς αἰτίας εἰπεῖν δι' ἃς ἐξέλιπον αὐτήν, ἵνα μή με δόξῃ τις ἀγνοίᾳ παρελθεῖν αὐτὴν ἀλλὰ προαιρέσει.

Ἐδόκει δή μοι τῇ φύσει μάλιστα ἡμᾶς ἑπομένους οὕτω δεῖν ἁρμόττειν τὰ μόρια τοῦ λόγου, ὡς ἐκείνη βούλεται. αὐτίκα τὰ ὀνόματα πρότερα ἠξίουν τάττειν τῶν ῥημάτων (τὰ μὲν γὰρ τὴν οὐσίαν δηλοῦν, τὰ δὲ τὸ συμβεβηκός, πρότερον δ' εἶναι τῇ φύσει τὴν οὐσίαν τῶν συμβεβηκότων), ὡς τὰ Ὁμηρικὰ ἔχει ταυτί·

ἄνδρά μοι ἔννεπε Μοῦσα πολύτροπον
καὶ
μῆνιν ἄειδε, θεά

19 Homerus α 1 21 idem Α 1

2 [ἐσ]κόπουν c lit F | δὲ PMV 5 αὐτὴ F | δοκεῖ] δοκεῖ καὶ P | εἶναι καὶ ἀρχή V 6 μοι FP: τινι MV | τὰ πράγματα προχωρεῖν F 7 ἄγουσα F[1] | ἐμὲ om F 8 ἐπορευόμην] πρ[ου]θέμην 'πορευοίμην sic c lit F προυθέμην PMV 9 κωλύει V | δὲ PV | ἴσως ex ὅμως corr F 11 ἀγνοία P | προελθεῖν F sed παρελθεῖν marg F[2] 12 ἀλλὰ] ἀλλὰ μὴ V[2] 13—p 26, 16 nonne Chrysippea? licet neget Dion l 2, p 26, 21—27, 6 14 ἐκείνηι βεβούληται P 15 πρότερα] πρῶτα F om PMV | ἠξίουν F: ἡγούμην PMV 16 τῶν F: πρὸ τῶν PMV | οὐσίαν FV: αἰτίαν PM | δηλοῖ F 17 προτέραν M Reiskius | δε P, V | τῇ φύσει om F 18 ταυτί om PMV 19 ἄνδρά PM | πολλύτροπον F 20 καὶ μῆνιν ... p 24, 2 λιπών om add mg F

καὶ

ἠέλιος δ' ἀνόρουσε λιπών

καὶ τὰ | 34 παραπλήσια τούτοις· ἡγεῖται μὲν γὰρ ἐν τούτοις τὰ ὀνόματα, ἕπεται δὲ τὰ ῥήματα. πιθανὸς ὁ λόγος, ἀλλ' οὐκ ἀληθὴς ἔδοξεν εἶναί μοι. ἕτερα γοῦν παράσχοι τις ἂν παραδείγματα παρὰ τῷ αὐτῷ ποιητῇ κείμενα ἐναντίως συντεταγμένα ἢ ταῦτα συντέτακται, καλὰ δὲ οὐχ ἧττον καὶ πιθανά. οἷά τινά ἐστι ταῦτα·

κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη

καὶ

ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι...
μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

ἐν γὰρ τούτοις ἡγεῖται μὲν τὰ ῥήματα, ὑποτέτακται δὲ τὰ ὀνόματα· καὶ οὐδεὶς ἂν αἰτιάσαιτο τὴν σύνταξιν ταύτην ὡς ἀηδῆ. ἔτι πρὸς τούτοις ἄμεινον ἐδόκουν εἶναι τὰ ῥήματα προτάττειν τῶν ἐπιρρημάτων, ἐπειδὴ πρό|35 τερόν ἐστι τῇ φύσει τὸ ποιοῦν ἢ πάσχον τῶν συνεδρευόντων αὐτοῖς, τρόπου λέγω καὶ τόπου καὶ χρόνου καὶ τῶν παραπλησίων, ἃ δὴ καλοῦμεν ἐπιρρήματα, παραδείγμασι χρώμενος τούτοις·

τύπτε δ' ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικής...

2 Homerus *γ* 1 9 idem *E* 115 *δ* 762 *ζ* 324 11 idem *B* 484 12 idem *Ω* 486 21 idem *Φ* 20

2 ἀνώρουσε F 3 γὰρ om F^1 4 ⟨ἀλλὰ γὰρ⟩ πιθανὸς ⟨μὲν⟩ ci Reiskius 6 παράσχοιτ' ἄν τις PMV | τ(ω) αυτ(ω) P 7 ἐναντίοις M | ἢ ταῦτα συντ. deleuerim cf p 25, 6 | συντέτα*αται sic F 8 δὲ Sauppius: τε libri | ἧττ(ον) ex -(ων) P | οἷά τινα] τίνα οὖν libri 9 μ' εὖ M μοι F 11 ἔσπετε F | ἔχουσαι. καὶ Ms 12 σοῖο Hom | ἀχιλευ F 13 τὰ om PMV | ὑποτ. ... ὀνόματα add mg F^2 15 ταύτην F: αὐτῶν PMV | ἔτι in ras F ἔτι δὲ V 16 προτάττειν F: πρότερα τάττειν PMV 17 ἐστι πρότερον F | πάσχειν F^1 19 δὴ] δὴ καὶ V 20 παραδείγμασιν P 21 τίπτε M^1 | τῶνδε ex τῶδε corr F | ὄρνυτ' PMV

ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν...
ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρός.

ἐν ἅπασι γὰρ δὴ τούτοις ὕστερα τέτακται [ἅμα] τῶν ῥημάτων τὰ ἐπιρρήματα. καὶ τοῦτο πιθανὸν μὲν ὡς τὸ πρῶτον, οὐκ ἀληθὲς δὲ ὡς οὐδ' ἐκεῖνο. τάδε γὰρ δὴ παρὰ τῷ αὐτῷ ποιητῇ ἐναντίως εἴρηται·

36 βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι...
σήμερον ἄνδρα φάοσδε μογοστόκος Εἰλείθυια
ἐκφανεῖ.

ἆρ' οὖν τι χείρω γέγονε τὰ ποιήματα ὑποταχθέντων τοῖς ἐπιρρήμασι τῶν ῥημάτων; οὐδεὶς ἂν εἴποι. ἔτι καὶ τόδε ᾤμην δεῖν μὴ παρέργως φυλάττειν, ὅπως τὰ πρότερα τοῖς χρόνοις καὶ τῇ τάξει πρότερα λαμβάνηται· οἷά ἐστι ταῦτα·

αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν

καὶ

λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀιστός

καὶ

σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια·
ἀμφιπόλου μὲν ἅμαρτε, βαθείῃ δ' ἔμβαλε δίνῃ.

1 Homerus *X* 467 2 idem *χ* 17 7 idem *B* 89 8 idem *T* 103 sq 15 idem *A* 459 *B* 422 17 idem *Δ* 125 19 idem *ζ* 115 sq

1 ἢ ὅτι ἤρειπε δ' ἐξ ὀχέων M | κάπυσε F in lacuna om M 3 γὰρ δὴ F: γὰρ PMV | τούτο[ισ] c lit P^2 | ἅμα τῶν FPM: καὶ τῶν V^1 τῶν V^2. uoluitne cui ἅμα debetur l 4 ⟨ἀλλὰ⟩ καὶ? 5 οὐδὲ PMV | τάδε (ex τὰ δὲ) γὰρ δὴ F: καὶ γὰρ δὴ καὶ ταῦτα PMV 6 τ(ω) P | αὐτῶι F: om PMV | ἐναντίως] ἐναντίως ἐκείνοις F ἐναντίως ἢ ἐκεῖνα PMV: glossema sustuli 7 πέτανται F 8 φάος δὲ F φάωσδε P | εἰλήθυια PM 9 ἐ(κ)φαίνει (κ sscr) F 10 χείρω τι PMV | γέγονεν P 11 τοῖς] ἐνθάδε τοῖς F ἐνταῦθα τοῖς PMV | οὐδεὶς ἂν εἴποι F: om PMV 12 τάδε libri: corr Sylb | ᾤμην F, M: ᾠόμην P, V | ⟨ἂν⟩ τὰ Sauppius 13 τῆι τάξει καὶ τοῖς χρόνοις F | τῇ om M^1 | προτέρᾳ V edebaturque ante r 14 οἷά F | ταῦτα F: ταυτί PMV 15 alterum καὶ sscr F 17 ἆλτο P 19 σφαίραν F | ἔρριψεν P 20 ἀμφιπόλον M

νὴ Δία, φαίη τις ἄν, εἴ γε μὴ καὶ ἄλλα ἦν πολλὰ
οὐχ | οὕτω συντεταγμένα ποιήματα οὐδὲν ἧττον ἢ 37
ταῦτα καλά·

πλῆξε δ' ἀνασχόμενος σχίζῃ δρυός, ἣν λίπε κείων,

πρότερον γάρ δή που τὸ ἐπανατείνασθαί ἐστι τοῦ πλῆξαι. καὶ ἔτι

ἤλασεν ἄγχι στάς, πέλεκυς δ' ἀπέκοψε τένοντας
αὐχενίους,

πρῶτον γὰρ δή που προσῆκεν τῷ μέλλοντι τὸν πέλεκυν ἐμβάλλειν εἰς τοὺς τένοντας τοῦ ταύρου τὸ στῆναι αὐτοῦ πλησίον. ἔτι πρὸς τούτοις ἠξίουν τὰ μὲν ὀνοματικὰ προτάττειν τῶν ἐπιθέτων, τὰ δὲ προσηγορικὰ τῶν ὀνοματικῶν, τὰς δ' ἀντονομασίας τῶν προσηγορικῶν, ἔν τε τοῖς ῥήμασι φυλάττειν, ἵνα τὰ ὀρθὰ τῶν ἐγκλινομένων ἡγῆται καὶ τὰ παρεμφατικὰ τῶν ἀπαρεμφά-
των, | καὶ ἄλλα τοιαῦτα πολλά. πάντα δὲ ταῦτα διεσά- 38
λευεν ἡ πεῖρα καὶ τοῦ μηδενὸς ἄξια ἀπέφαινε. τοτὲ μὲν γὰρ ἐκ τούτων ἐγίνετο καὶ τῶν ὁμοίων αὐτοῖς ἡδεῖα ἡ σύνθεσις καὶ καλή, τοτὲ δ' ἐκ τῶν μὴ τοιούτων ἀλλ' ἐναντίων. διὰ ταύτας μὲν δὴ τὰς αἰτίας τῆς τοιαύτης θεωρίας ἀπέστην. ἐμνήσθην δ' αὐτῶν καὶ

4 Homerus ξ 425 7 idem γ 449

1 εἴ γε μὴ F: εἰ PM ἔστι V^1 ἔστι δὲ V^2 | καὶ ἄλλα PMV: οὐχ* F^1 ἄλλα sscr F^2 | ἦν πολλὰ F πολλὰ ἦν PMa πολλὰ ην λιπε pr V^1 πολλὰ corr V^1 2 οὕτως FP^1 | ἢ FV: ἢ M ἦν P 4 πλῆξε δ' F: πλῆξεν PMV κόψε δ' Hom | ἣν λίπε] κάλλιπε P | κιών libri 5 ἐπανασθαι F^1 | ἔστι M 9 προσῆκεν F: προσήκει PMV | **τὸν P 10 τένοντες F^1 11 τούτοις] τούτοις καὶ MVs | ἠξίου P 13 δὲ PMV | ἀντωνομασίας PF^2M^2: ὠνομασίας M^1 ἀντωνυμίας F^1V 14 ῥήμασιν P 15 ἐγκεκλιμένων PMV | ἡγεῖται FV | ἀπαρεμφατικὰ PV | παρεμφατικῶν P 16 διεσάλευσεν MV 17 ἀπέφαινεν P ἀπέφηνε MV | τότε ex τοτὲ F 19 τότε δ' F τοτὲ δὲ PV τὸ δὲ M 20 ἀλλ'] μηδ' F 21 τοιαύτης F: om PMV | δὲ PMV

νῦν οὐχ ὡς σπουδῆς ἀξίων, καὶ τὰς διαλεκτικὰς παρεθέμην τέχνας οὐχ ὡς ἀναγκαίας, ἀλλ' ἵνα μηδεὶς δοκῶν ἔχειν τι αὐτὰς χρήσιμον εἰς τὴν παροῦσαν θεωρίαν περὶ πολλοῦ ποιῆται εἰδέναι, θηρευθεὶς ταῖς ἐπιγραφαῖς τῶν πραγματειῶν ὁμοιότητά τινα ἐχούσαις καὶ τῇ δόξῃ τῶν συνταξαμένων αὐτάς.

Ἐπάνειμι δὴ ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἀφ' ἧς εἰς ταῦτ' ἐξέβην, ὅτι πολλὴ πρόνοια τοῖς ἀρχαίοις ἦν καὶ ποιηταῖς καὶ συγγραφεῦσι φιλοσόφοις τε καὶ ῥήτορσι τῆς ἰδέας ταύτης, καὶ οὔτε τὰ ὀνόματα τοῖς ὀνόμασιν οὔτε τὰ κῶλα τοῖς κώλοις οὔτε τὰς περιόδους
39 ἀλ|λήλαις εἰκῇ συνάπτειν ᾤοντο δεῖν, τέχνη δέ τις ἦν παρ' αὐτοῖς καὶ θεωρήματα οἷς χρώμενοι συνετίθεσαν εὖ. τίνα δ' ἦν τὰ θεωρήματα ταῦτα, ἐγὼ πειράσομαι διδάσκειν, ὡς ἂν οἷός τε ὦ, ὅσα μοι δύναμις ἐγένετο συνεξευρεῖν, οὐχ ἅπαντα λέγων ἀλλ' αὐτὰ τὰ ἀναγκαιότατα.

Δοκεῖ μοι τῆς συνθετικῆς ἐπιστήμης τρία ἔργα 6
εἶναι· ἓν μὲν ἰδεῖν, τί μετὰ τίνος ἁρμοζόμενον πέφυκε καλὴν καὶ ἡδεῖαν λήψεσθαι συζυγίαν· ἕτερον δὲ γνῶναι τῶν ἁρμόττεσθαι μελλόντων πρὸς ἄλληλα πῶς ἂν ἕκαστον σχηματισθὲν κρείττονα ποιήσειε φαίνεσθαι τὴν ἁρμονίαν· τρίτον δ' εἴ τι δεῖται μετασκευῆς τῶν λαμβανομένων, ἀφαιρέσεως λέγω καὶ προσθήκης καὶ ἀλλοιώ-

1 ἄξιον F^1 4 ποιεῖται F | fort ταῖς ⟨τ'⟩ 5 πραγματι(ῶν) P,V 6 τηῖ P 7 δὲ libri 8 ταῦ(τα) P,MV 9 συγγραφεῦσιν et ῥήτορσιν P | φιλοσόφοις τε] καὶ φιλοσόφοις F 12 εἰκῆι sic FP 14 δε P,MV | ἐγὼ FM: om PV 16 ἐξευρεῖν P | λέγω Reiskius 18 τρία εἶναι τὰ ἔ. E 19 μετά τινος PV | ἁρμοζόμενον EF: ἁρμοττόμενον PMV 20 ἀναλήψεσθαι MV 22 φαίνεσθαι ποιήσειεν P,V 23 δὲ τί EFMV εἴ τι P: corr Reiskius | κατασκευ(ης) P 24 ἀφαιρέσ(ως) P | λέγω . . . ἀλλοι. om P | προσθήκης . . . p 28, 1 τε in ras V^1 | προσθέσεως EF

σεως, γνῶναί τε καὶ πρὸς τὴν μέλλουσαν χρείαν οἰκείως ἐξεργάσασθαι. ὅ τι δὲ τούτων ἕκαστον δύναται, | σαφέ- 40
στερον ἐρῶ χρησάμενος εἰκόσι τῶν δημιουργικῶν τεχνῶν τισιν ἃς ἅπαντες ἴσασιν, οἰκοδομικῇ λέγω καὶ ναυπηγικῇ καὶ ταῖς παραπλησίαις· ὅ τε γὰρ οἰκοδόμος ὅταν πορίσηται τὴν ὕλην ἐξ ἧς μέλλει κατασκευάζειν τὴν οἰκίαν, λίθους καὶ ξύλα καὶ κέραμον καὶ τἆλλα πάντα, συντίθησιν ἐκ τούτων ἤδη τὸ ἔργον τρία ταῦτα πραγματευόμενος, ποίῳ δεῖ λίθῳ τε καὶ ξύλῳ καὶ πλίνθῳ ποῖον ἁρμόσαι λίθον ἢ ξύλον ἢ πλίνθον, ἔπειτα πῶς τῶν ἁρμοζομένων ἕκαστον καὶ ἐπὶ ποίας πλευρᾶς ἑδράσαι, καὶ τρίτον, εἴ τι δύσεδρόν ἐστιν, ἀποκροῦσαι καὶ περικόψαι καὶ αὐτὸ τοῦτο εὔεδρον ποιῆσαι· ὅ τε ναυπηγὸς τὰ αὐτὰ ταῦτα πραγματεύεται. τὰ δὴ παραπλήσιά φημι δεῖν καὶ τοὺς μέλλοντας εὖ συνθήσειν τὰ τοῦ λόγου μόρια, πρῶτον μὲν σκοπεῖν, ποῖον ὄνομα ἢ ῥῆμα ἢ τῶν ἄλλων τι μορίων ποίῳ συν|ταχθὲν ἐπιτη- 41
δείως ἔσται κείμενον καὶ πῶς εὖ ἢ ἄμεινον (οὐ γὰρ δὴ πάντα γε μετὰ πάντων τιθέμενα πέφυκεν ὁμοίως διατιθέναι τὰς ἀκοάς)· ἔπειτα διακρίνειν, πῶς σχηματισθὲν τοὔνομα ἢ τὸ ῥῆμα ἢ τῶν ἄλλων ὅ τι δή ποτε χαριέστερον ἱδρυθήσεται καὶ πρὸς τὰ ὑποκείμενα πρε-

1 τε F ut ci Reiskius: τε πῶς PMV 2 ὅτι F: τί PMV | δύνατ[αι] ἕκαστον ἐρῶ σαφέστερον c lit F 3 δημιουργῶν PM^{1}V | τε τεχνῶν h 4 ναυτικῆι P,MV 6 πορί*σηται P 7 λίθοις F supra litteras -υς rasura in P | τάλλα F 8 ἐκ τούτων add mg F^1 9 δεῖ EV ex δηῖ P: δὴ FM 10 ξύλ(ω) et πλίνθ(ω) P 11 ἑδρᾶσαι V 12 κα(τα)κροῦσαι P^1 13 καὶ τὸ αὐτὸ EF | τοῦτ᾽ M | αὐτῷ τούτῳ ci Sauppius | ἑδραῖον P 14 τὰ δὴ] τὰ F δή. PMV 15 δεῖν F: δεῖν ποιεῖν PMV | τοὺς] τοὺς ἄλλους V^1 16 σκ[ο]πεῖν c lit F 17 ποί(ω) P 18 εὖ ἢ] οὐκ libri 19 μετα πάν sic P | ὁμοίως πέφυκεν MV 22 ἱδρυθήσεται P: ἱδρυνθήσεται F,EMV | πρὸς ... p 29, 1 ὀνομάτων om V

πωδέστερον· λέγω δὲ ἐπὶ μὲν τῶν ὀνομάτων, πότερον ἑνικῶς ἢ πληθυντικῶς λαμβανόμενα κρείττω λήψεται συζυγίαν, καὶ πότερον κατὰ τὴν ὀρθὴν ἐκφερόμενα πτῶσιν ἢ κατὰ τῶν πλαγίων τινά, καὶ εἴ τινα πέφυκεν ἐξ ἀρρενικῶν γίνεσθαι θηλυκὰ ἢ ἐκ θηλυκῶν ἀρρενικὰ ἢ οὐδέτερα ἐκ τούτων, πῶς ἂν ἄμεινον σχηματισθείη, καὶ πάντα τὰ τοιαῦτα· ἐπὶ δὲ τῶν ῥημάτων, πότερα κρείττω λαμβανόμενα ἔσται, τὰ ὀρθὰ ἢ τὰ ὕπτια, καὶ κατὰ ποίας ἐγκλίσεις ἐκφερόμενα, ἃς δή τινες πτώσεις ῥηματικὰς καλοῦσι, κρατίστην ἕδραν λήψεται, καὶ ποίας παρεμφαίνοντα διαφορὰς χρόνων καὶ εἴ τινα τοῖς ῥή-
42 μασιν ἄλλα παρακολουθεῖν πέφυκε (τὰ δ᾽ | αὐτὰ ταῦτα καὶ ἐπὶ τῶν ἄλλων τοῦ λόγου μερῶν φυλακτέον, ἵνα μὴ καθ᾽ ἓν ἕκαστον λέγω)· ἐπὶ δὲ τούτοις τὰ ληφθέντα διακρίνειν, εἴ τι δεῖται μετασκευῆς ὄνομα ἢ ῥῆμα, πῶς ἂν ἐναρμονιώτερόν τε καὶ εὐεδρότερον γένοιτο· τοῦτο τὸ στοιχεῖον ἐν μὲν ποιητικῇ δαψιλέστερόν ἐστιν, ἐν δὲ λόγοις πεζοῖς σπανιώτερον· πλὴν γίνεταί γε καὶ ἐν τούτοις ἐφ᾽ ὅσον ἂν ἐγχωρῇ· ὅ τε γὰρ λέγων 'εἰς τουτονὶ τὸν ἀγῶνα' προστέθηκέ τι τῇ ἀντωνυμίᾳ γράμμα τῆς συνθέσεως στοχαζόμενος· ἄρτιον γὰρ ἦν

19 Demosthenes or XVIII 1. 8

1 πρότερον V^1 ut 3 M^1 2 πληθυντικῶς] π suprascripto ϑ P | κρείτω P κρείττονα E κρείττο F 3 πότερα FE 4 πλαγιῶν M | καὶ τίνα F 5 ἀρρενι(κων) P, M ἀρ᾽ ἑνικῶν V ἀρρενων F, E ἀρσενικῶν s | ἀρσενικὰ V 7 τὰ om F | ἐπί τε τῶν EFMV^1 8 κρείττω EF: κρείττονα PMV | λαβόμενα ἔσται F ἔσται λαμβανόμενα EPMV 10 καλοῦσιν P 12 πέφυκεν P | δὲ PMV 14 ἓν om F 15 διακρίνειν cf p 28, 20 | δεῖται F: δεῖ PMV | μετὰ κα(τα)σκευ(ης) P, M cf p 27, 23 16 πῶς] ὡς libri 17 δαψηλέστερον F 18 δὲ om F^1 | σπανι|τερον sic M | πλὴν EF: om PMV | γίνεται om M | γε sscr F^2: τε PV om F^{1}EM 19 ὅσο*ν (ex ὅσων?) F, E: ὁπόσον PMV 20 προστέθεικε libri | ἀντ(ω)νυμία P. lege ἀντονομασίᾳ 21 συνθέσε(ως) ex -ε(ων) P

'εἰς τοῦτον τὸν ἀγῶνα' εἰπεῖν· καὶ πάλιν ὁ λέγων
'κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτήν' τῇ προθέσει
παρήυξηκεν τοὔνομα, τὸ γὰρ ἰδὼν ἀπέχρη· καὶ ὁ γρά-
φων 'μήτ' ἰδίας | ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν' ταῖς 43
συναλοιφαῖς ἠλάττωκε τὰ μόρια τοῦ λόγου κἀποκέκρουκέ
τινα τῶν γραμμάτων· καὶ ὁ ἀντὶ τοῦ ἐποίησεν 'ἐποίησε'
λέγων χωρὶς τοῦ ν̄ καὶ ['ἔγραψε' ἀντὶ τοῦ ἔγραψεν
λέγων καὶ] 'ἀφαιρήσομαι' ἀντὶ τοῦ ἀφαιρεθήσομαι καὶ
πάντα τὰ τοιαῦτα, ὅ τ' 'ἐχωροφίλησε' λέγων τὸ ἐφιλο-
χώρησε καὶ 'λελύσεται' τὸ λυθήσεται καὶ τὰ τοιουτό-
τροπα μετασκευάζει τὰς λέξεις, ἵν' αὐτῷ γένοιντο ἁρμο-
σθῆναι καλλίους καὶ ἐπιτηδειότεραι.

7 *Μία* μὲν δὴ θεωρία τῆς συνθετικῆς ἐπιστήμης ἡ περὶ
αὐτὰ τὰ πρῶτα μόρια καὶ στοιχεῖα τῆς λέξεως ἥδε· ἑτέρα
δέ, ὥςπερ καὶ κατ' ἀρχὰς ἔφην, ἡ περὶ τὰ καλούμενα
κῶλα, ποικιλωτέρας τε δεομένη πραγματείας καὶ μεί-
ζονος, ὑπὲρ ἧς αὐτίκα δὴ πειράσομαι λέγειν | ὡς ἔχω 44
γνώμης. καὶ γὰρ ταῦτα ἁρμόσαι πρὸς ἄλληλα δεῖ ὥςτ'

2 Demosthenes or V 6   4 idem or XXIII 1   10 λελύσεται idem or XIV 2   15 ἔφην 7, 20. 27, 11

2 τῇ P   3 τ' οὔννομα F | ἀπέχρη καὶ ὁ F: ἀπέχρηκεν ὅ τε P ἀπέχρη ὅ τε V ἀπ. ὁ δὲ M   4 ἔχρας F^1 | ἐμὲ post ἔχθρας add Dem | ἕνεχ' F ἕνεκ' PV | εικειν P^1, V   5 συναλειφαῖς F συναλιφαῖς P | ἠλάττοκε F ἠλάττωκεν P | τὰ om s | κἀποκέκρουκέ] καὶ π(ερι)κέκρ(ου)κέ P, EFM καὶ παρακ. V   6 ὁ ἀντὶ . . . ἐποίησε F: ὁ ἐποίησε ἀντὶ τοῦ ἐποίησεν P ὃ (τὸ V) ἐποίησεν ἀντὶ τοῦ ἐποίησε M, V   7 ν[ῦ] c lit P, M | ἔγραψε… 8 καὶ om EF, seclusi | ἔγραψεν — ἔγραψε M   8 ἀφαιρήσομαι add mg F   9 ἐχωροφίλησε E χωροφίλησε F: χωροφιλῆσαι PMV | φιλοχωρῆσαι PMV   10 τὸ F: λέγων τὸ PMV
11 μετὰσκευάζει* F | ἵνα P, MV | ἁρμοσθεῖσαι PMV
12 καλλίονες EF   13 συνθετικῆς] συνθέσεως F   14 πρῶτα om F | καὶ] καὶ τὰ EF | ἥδε EFM: om PV   15 δὲ om P | ὥπερ P | καὶ κατ'] κατ' F | ἔφην F: ἔφαμεν PMV cf Sadaeus p 173   16 ποϊκιλοτέρας MV   18 ὥστε F ὡς MV

οἰκεῖα φαίνεσθαι καὶ φίλα καὶ σχηματίσαι ὡς ἂν ἐν-
δέχηται κράτιστα προκατασκευάσαι τε, εἴ πού τι δέοι,
μειώσει καὶ πλεονασμῷ καὶ εἰ δή τιν' ἄλλην μετα-
σκευὴν δέχεται τὰ κῶλα· τούτων δ' ἕκαστον ἡ πεῖρα
αὐτὴ διδάσκει· πολλάκις γὰρ τουτὶ τὸ κῶλον τούτου
μὲν προτεθὲν ἢ ἐπὶ τούτῳ τεθὲν εὐστομίαν τινὰ ἐμ-
φαίνει καὶ σεμνότητα, ἑτέραν δέ τινα συζυγίαν λαβὸν
ἄχαρι φαίνεται καὶ ἄσεμνον. ὃ δὲ λέγω, σαφέστερον
ἔσται, εἴ τις αὐτὸ ἐπὶ παραδείγματος ἴδοι. ἔστι δή τις
παρὰ τῷ Θουκυδίδῃ λέξις ἐν τῇ Πλαταιέων δημηγορίᾳ
πάνυ χαριέντως συγκειμένη καὶ μεστὴ πάθους ἥδε·
45 'ὑμεῖς τε ὦ Λακεδαιμόνιοι ἡ μόνη ἐλπίς, δέδι|μεν, μὴ
οὐ βέβαιοι ἦτε.' φέρε δή τις λύσας τὴν συζυγίαν
ταύτην μεθαρμοσάτω τὰ κῶλα οὕτως· 'ὑμεῖς τε, ὦ
Λακεδαιμόνιοι, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε, ἡ μόνη ἐλπίς.'
ἆρ' ἔτι μένει τοῦτον τὸν τρόπον ἡρμοσμένων τῶν
κώλων ἡ αὐτὴ χάρις ἢ τὸ αὐτὸ πάθος; οὐδεὶς ἂν εἴποι.
τί δ' εἰ τὴν Δημοσθένους λέξιν ταύτην 'τὸ λαβεῖν
οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν

12 Thucydides III 57 extr   18 Demosthenes or XVIII 119

1 ἐνδέχεται Ms   2 προκατασκευάσαι E: προσκ- ceteri | τε] τε καὶ F | τι om P   3 πλεονασμ(ῷ) P πλενασμῷ M | τινα PMV τὴν F | κατασκευὴν libri: corr Schaeferus   4 καλά M | δε P, MV | ἕκαστα EF   5 αὕτη MV | διδάξει M^1 6 μὲν post τουτὶ dant PMV | ἢ ἐπὶ τούτῳ τεθὲν om F | τούτω P
7 σεμνότητα] σεμνὸν F | ἑτέραν . . . συζυγίαν om F | λαβὼν FM   8 ἄσεμνον φ. καὶ ἄχαρι F   9 ἔστι* F   12 ἡμεῖς EF | ἡ μόνη ἐλπὶς add mg F | ἡ μόνη] ἡμῶν ἡ EF^{1}M^1 | δέδιμεν] δέδιαμ(εν) P, E   13 φέρε . . . 15 ἦτε add mg F | τις ante μεθαρμ. traicit F | ταύτην τὴν συζυγίαν F | συγί(αν) sed ζυ sscr P^1
14 τὰ et 15 οὐ abscisa in F | ἡμεῖς τε E ἵνα ἡμ*σδὲ F ie ἵνα ἦ· ἡμεῖς δὲ   15 δεδίαμεν E δέδια μὲν ex δέδιμεν corr P | ἡ μόνη] ἡμῶν η pr F, E   16 et 32, 4 ἆρα F   17 ἢ ante τὸ om, sed πάθος δὲ M   18 δ' F δὲ M: δαὶ PV | ταύτην λέξιν F

τούτων ἀποδοῦναι παρανόμων γράφει;' λύσας τις καὶ
μεταθεὶς τὰ κῶλα τουτονὶ τὸν τρόπον ἐξενέγκαι· 'ὁμο-
λογῶν οὖν ἔννομον εἶναι τὸ λαβεῖν τὰ διδόμενα, παρα-
νόμων γραφῇ τὸ τούτων χάριν ἀποδοῦναι', ἆρ' ὁμοίως
ἔσται δικανικὴ καὶ στρογγύλη; ἐγὼ μὲν οὐκ οἴομαι.

8 ἡ μὲν δὴ περὶ τὴν ἁρμογὴν τῶν κώλων θεωρία
τοιαύτη, ἡ δὲ περὶ τὸν σχηματισμὸν ποδαπή; οὐκ
ἔστιν | εἷς τρόπος τῆς ἐκφορᾶς ἁπάντων τῶν νοημά- 46
των, ἀλλὰ τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν, τὰ δ'
ὡς πυνθανόμενοι, τὰ δ' ὡς εὐχόμενοι, τὰ δ' ὡς ἐπιτάτ-
τοντες, τὰ δ' ὡς διαποροῦντες, τὰ δ' ὡς ὑποτιθέμενοι,
τὰ δὲ ἄλλως πως σχηματίζοντες, οἷς ἀκολούθως καὶ
τὴν λέξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που
σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν ὥςπερ καὶ τῆς δια-
νοίας, οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν, ἴσως
δὲ καὶ ἄπειροι· περὶ ὧν καὶ πολὺς ὁ λόγος καὶ βαθεῖα
ἡ θεωρία. οὐ δὴ τὸ αὐτὸ δύναται ποιεῖν τὸ αὐτὸ
κῶλον οὕτω σχηματισθὲν ἢ οὕτως. ἐρῶ δὲ ἐπὶ παρα-
δείγματος· εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον ὁ Δημοσθέ-
νης τὴν λέξιν ταύτην 'ταῦτ' | εἴπας ἔγραψα, γράψας 47
δ' ἐπρέσβευσα, πρεσβεύσας δ' ἔπεισα Θηβαίους', ἆρ'
οὕτως ἂν συνέκειτο χαριέντως, ὡς νῦν σύγκειται; 'οὐκ

22 (20) Demosthenes or XVIII 179

1 τούτων χάριν MV | παρανόμον P παράνομον F | γράφηι· F γράφηι· εἰ P,MV: εἰ uaria lectio 2 τοῦτον PMV | ἐξενέγκοι M 3 παράνομον FP παρανόμῳ V 4 γραφῇ V | τὸ ex του corr F | ἀποδιδόναι P 5 ἐγὼ* F 6 τῶν] τ(ην) P 7 των σχηματισμῶν pr F | ποταπή PMV 8 τῆς om P | ἁπάντων EF: om PMV | τῶν om F | ὀνομάτων PMV 9 λέγοιμεν F 10 ὡς ante εὐχ. om PMV | 10 et 11 quater δὲ pro δ' PMV 11 τὰ δὲ ὡς διαπορ. post 9 λέγομεν dat h 16 ὧν καὶ FM: ὧν PV | πολ*ὺς F 17 inter ποιεῖν et τὸ tertia fere pars uersus erasa in P 18 οὕτως σχημ. FM 20 ταῦτα PMV | εἴπ(ας) F,E: εἰπ(ων) P,MV 21 δὲ ἐπρέσβησα F | δὲ FE 22 συνέκειτ(αι) P[1] | χαρίεντος F | οὐκ Dem: καὶ οὐκ libri

εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μέν,
οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα
δὲ Θηβαίους'. πολὺς δ' ἂν εἴη μοι λόγος, εἰ περὶ
πάντων βουλοίμην λέγειν τῶν σχηματισμῶν ὅσους τὰ
κῶλα ἐπιδέχεται. ἀπόχρη δὲ εἰσαγωγῆς ἕνεκα τοσαῦτα
εἰρῆσθαι.

ἀλλὰ μὴν ὅτι γε καὶ μετασκευὰς δέχεται τῶν κώ- 9
λων ἔνια τοτὲ μὲν προσθήκας λαμβάνοντα οὐκ ἀναγκαίας
ὡς πρὸς τὸν νοῦν, τοτὲ δὲ ἀφαιρέσεις ἀτελῆ ποιούσας
τὴν διάνοιαν, ἃς οὐκ ἄλλου τινὸς ἕνεκα ποιοῦσι ποιη-
ταί τε καὶ συγγραφεῖς ἢ τῆς ἁρμονίας, ἵν' ἡδεῖα καὶ
καλὴ γένηται, πάνυ ὀλίγου δεῖν οἴομαι λόγου. τίς
γὰρ οὐκ ἂν ὁμολογῆσαι τήνδε μὲν τὴν λέξιν ἣν ὁ
48 Δημοσθένης εἴρη|κε προσθήκῃ πλεονάζειν οὐκ ἀναγκαίᾳ
τῆς ἁρμονίας ἕνεκα; 'ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην,
ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πο-
λεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ.' ἐνταῦθα γὰρ
οὐχὶ τοῦ ἀναγκαίου χάριν πρόσκειται τὸ τοξεύειν,
ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον τὸ 'κἂν μήπω βάλλῃ'
τραχύτερον τοῦ δέοντος ὂν καὶ οὐχ ἡδὺ ἀκουσθῆναι
τῇ προσθήκῃ ταύτῃ γένηται χαριέστερον. καὶ ἔτι τὴν
Πλατωνικὴν ἐκείνην περίοδον, ἣν ἐν τῷ ἐπιταφίῳ ὁ
ἀνὴρ γράφει, τίς οὐκ ἂν φαίη παραπληρώματι λέξεως

15 Demosthenes or IX 17

1 et 2 οὐδὲ F 3 δὲ om F | πο*λὺς F | δ' F: om PMV 5 δὲ] γὰρ F 8 τότε FP[1] | πρ(οσ)θήβας P[1] 9 τότε FP 10 ποιοῦσ(ιν) P 11 τε om F | ἵνα F 12 γένοιτο PMV 13 ὁμολογῆσαι PV ὁμολογήσηι F | μεν F: om PMV 14 εἴρηκεν P | προσθήκη (item 21) P προσθήκας F[1] 15 οἷς] οἷος F[1] 17 βάλη M | ἐνταῦθα ... 19 βάλλῃ seruarunt FM cf E | ἐνταῦθα ... 18 τοξεύειν add mg F 18 οὐχὶ M οὐχ η F | πρό|σκεῖται τοξεύειν sine τὸ F | τὸ μηδὲ τοξεύῃ E 20 βραχύτερον V βραχυτέρα ex βραχύτερα P | ὂν P 21 γεγένηται PMV | χαριέστερα F 22 τῷ ἐπιταφι(ω) P

οὐκ ἀναγκαίῳ προσηρανίσθαι; | 49 ‘ἔργων γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάντων.’ ἐνταυθοῖ γὰρ τὸ ‘παρὰ τῶν ἀκουσάντων’ πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ’ ἵνα τὸ τελευταῖον κῶλον τὸ ‘τοῖς πράξασι’ πάρισόν τε καὶ ἐφάμιλλον τοῖς πρὸ αὐτοῦ γένηται. τί δὲ δὴ τὸ παρ’ Αἰσχίνῃ λεγόμενον τουτί ‘ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπι τὴν δημοκρατίαν καλεῖς’, τρίκωλον ἐν τοῖς πάνυ ἐπαινούμενον, οὐχὶ τῆς αὐτῆς ἰδέας ἔχεται; ὃ γὰρ οἷόν τε ἦν ἑνὶ κώλῳ περιληφθῆναι τόνδε τὸν τρόπον ‘ἐπὶ σεαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς’, τοῦτο εἰς τρία διῄρηται, τῆς αὐτῆς λέξεως οὐ τοῦ ἀναγκαίου ἕνεκα, τοῦ δὲ ἡδίω ποιῆσαι τὴν ἁρμονίαν πολλάκις τεθείσης [καὶ προσέτι πάθος τῷ λόγῳ]. τῆς μὲν δὴ προσθέσεως ἡ γίνεται τοῖς κῶ|50 λοις οὗτος ὁ τρόπος· τῆς ἀφαιρέσεως δὲ τίς; ὅταν τῶν ἀναγκαίων τι λέγεσθαι λυπεῖν μέλλῃ καὶ διοχλεῖν τὴν ἀκρόασιν, ἀφαιρεθὲν δὲ χαριεστέραν ποιῇ τὴν ἁρμονίαν· οἷά ἐστιν ἐν μὲν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί·

1 Plato Menex p 236 7 Aeschines or III 202

1 ἀν(αν)κάιω P | ἐν ἄλλω εὗρον ἔργον γὰρ εὖ πραχθὲν τῶν λόγω καλῶς ῥηθέντων, μνήμη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάντων: mg M 2 λόγω c ras supra γ P | γίγνεται ante παρὰ Plato 3 τοῖς om P^1 | πράξασ(ιν) P, item l 5 | παρὰ τῶν] πάντων M | ἐνταυθοῖ...4 ἀκουσάντων F, E: om PMV | ἐνταῦθα E 4 πρὸς] παραπλήρωμα τῆς λέξεως πρὸς E 5 τὸ ante τοῖς om EF 7 σεαυτὸν F 9 ἐπαινουμένοις F 11 [καὶ] τοὺς c lit F 12 ἐπὶ τὴν F^1 *** (καὶ sscr) τὴν F^2 14 ἠδείαν F,M | post ἁρμονίαν ad uu οἷα ἐστὶν ἐν μὲν τοῖς μέτροις (u 19) aberrauit sed expunxit F 15 προσέτι F,M πρόσεστι PV. remoui additamentum alienum 16 οὗτος ex ου corr P^2 | δὲ ἀφαιρ. PMV 17 λεχθῆναι E 19 ποιῆι P, M: ποιεῖ FPV ποιεῖν Reiskius | ἁρμονίαν F: ἑρμηνείαν P, MV | οἷα F οἷάπέρ PMV | μὲν F: om PMV

μύω τε καὶ δέδορκα κἀξανίσταμαι
πλέον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι·

ἐνταυθοῖ γὰρ ὁ δεύτερος στίχος ἐκ δυεῖν σύγκειται κώλων οὐχ ὅλων· τελεία γὰρ ἂν ἡ λέξις ἦν οὕτως ἐξενεχθεῖσα ‘πλεῖον φυλάσσων αὐτὸς ἑτέρους ἢ φυλασσόμενος ὑφ’ ἑτέρων’, τὸ δὲ μέτρον ἠδίκητο καὶ οὐκ ἂν ἔσχεν ἣν νῦν ἔχει χάριν. ἐν δὲ τοῖς πεζοῖς λόγοις τὰ τοιαῦτα· ‘ἐγὼ δ’ ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαι|51 ρεῖσθαι τὴν ἀτέλειαν τῶν ἀδίκων ἐστίν, ἐάσω.’ μεμείωται γὰρ κἀνταῦθα τῶν πρώτων δυεῖν κώλων ἑκάτερον· αὐτοτελῆ δ’ ἂν ἦν, εἴ τις αὐτὰ οὕτως ἐξήνεγκεν· ‘ἐγὼ δ’ ὅτι μὲν τινῶν κατηγοροῦντα ὡς οὐκ ἐπιτηδείων ἔχειν τὴν ἀτέλειαν πάντας ἀφαιρεῖσθαι καὶ τοὺς δικαίως αὐτῆς τυχόντας τῶν ἀδίκων ἐστίν, ἐάσω.’ ἀλλ’ οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι πρόνοιαν τῆς ἀκριβείας τῶν κώλων ἢ τῆς εὐρυθμίας.

τὰ δ’ αὐτὰ εἰρήσθω μοι καὶ περὶ τῶν καλουμένων περιόδων· καὶ γὰρ ταύτας χρὴ τάς τε προηγουμένας καὶ τὰς ἑπομένας οἰκείως συναρμόττειν, ὅταν ἐν περι-

1 Sophocles fr 706 N 8 Demosthenes or XX 2

1 καὶ ξυνίσταμαι P 2 πλέον . . . 4 ἐξενεχθεῖσα om P πλέον F: πλεῖον M^2V πλείων M^1 | αὐτὸς ἑτέρους ἢ V 3 ἐνταυθοὶ F ἐνταυθοῖ EM: ἐνταῦθα V | δυοῖν MV 4 οὐχ’ ὅλων F: om MV | ἂν om E 5 πλεῖον FP: πλέον MV | ἑτέρους om MV 6 ὑφ’ ἑτέρου P | ἠδίκῆτο sic P ἠδικεῖτο EF 7 νυνὶ χάριν ἔχει EPMV | τοῖς F^2MV om P: τοῖς αὐτοῖς F^1 9 ἀτελεί sic extremo uersu P δωρεὰν Dem 10 τῶν πρώτων PF^2: τῶν F^1 (τῶν πρω add F^2), MV | δυοῖν V 11 ἀτελῆ δὲ F | εἴ τις (ς supra τ P) αὐτὰ FPM: εἰ ταῦτα V 13 ἐπιτήδειοι EF 15 τ(ω) P | δημοσθέν[ει] c lit F | πλείωνα P | πρόνοιαν F: λόγον c ras supra γον P, MV 17 τὰ δ’ αὐτὰ F: ταῦτα δὲ MV ταῦ(τα) δι’ P | καὶ om MV 18 ταύτας E: ταῦτα F ταύταις PMV | ταῖς τε προηγουμέναις καὶ ταῖς ταύταις (pronomen om E) ἑπομέναις EPMV 19 ἐν FE: ἐν ταῖς PMV

όδοις προσήκῃ τὸν λόγον ἐκφέρειν· οὐ γὰρ δὴ πανταχῇ γε τὸ ἐμπερίοδον χρήσιμον. καὶ αὐτὸ δὲ τοῦτο τὸ θεώρημα τῆς συνθετικῆς ἐπιστήμης ἴδιον, πότε δεῖ χρῆσθαι περιόδοις καὶ μέχρι πόσου καὶ πότε μή.

10 *Διωρισμένων* δή μοι τούτων ἀκόλουθον ἂν εἴη | λέγειν, 52 τίνα ἐστὶν ὧν δεῖ στοχάζεσθαι τὸν βουλόμενον συντιθέναι τὴν λέξιν εὖ καὶ διὰ τίνων θεωρημάτων τυγχάνοι τις ἂν ὧν βούλεται. δοκεῖ δέ μοι δύο ταῦτ' εἶναι ⟨τὰ⟩ γενικώτατα, ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας μέτρα τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν· ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοή, ὅμοιόν τι πάσχουσα τῇ ὁράσει· καὶ γὰρ ἐκείνη πλάσματα καὶ γραφὰς καὶ γλυφὰς καὶ ὅσα δημιουργήματα χειρῶν ἐστιν ἀνθρωπίνων ὁρῶσα ὅταν εὑρίσκῃ τό τε ἡδὺ ἐνὸν ἐν αὐτοῖς καὶ τὸ καλόν, ἀρκεῖται καὶ οὐδὲν ἔτι ποθεῖ. καὶ μὴ παράδοξον ἡγήσηταί τις, εἰ δύο ποιῶ τέλη καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς, μηδ' ἄτοπον εἶναι νομίσῃ, εἴ τινα ἡγοῦμαι λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς δέ, ἢ καλῶς μέν, οὐ μὴν καὶ ἡδέως· φέρει γὰρ ἡ ἀλήθεια τὸ τοιοῦτον καὶ οὐδὲν ἀξιῶ καινόν· ἥ γέ τοι Θουκυδίδου λέξις καὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου καλῶς μὲν σύγκειται νὴ Δία, εἴ πέρ | τινες καὶ ἄλλαι, 53

1 *προσήκῃ*] *μη πρ(οσ)ήκηι* P at *μὴ* u 4 restitui debuit | *δὴ* EPM *ἤδη* F: om V 3 *δῆ* P¹ 4 *περιόδωι* F | *μὴ* om P cf u 1 5 *ὡρισμένων* P | *δέ μοι* M | *ἂν εἴη* in ras paullo ampliore P² | *λέγειν* F: *τὸ λέγειν* PMV 8 *τιῶν* F¹ *σᾶν* sscr F² | *δή* EPM *ταῦτα* MV 9 *τὰ* add Sauppius | *γενικώτατα* F sscr M: *τελικ(ω)τατα* P, M¹V 10 *μέτρα* FP: *εὖ μέτρα* MV | *τε* om M 13 *ὅσα* ⟨*δὴ*⟩ ci Sauppius | *ἐστιν* F *εἰσιν* M: om PV 14 *τε* F *τ'* PM: *θ'* V | *ἐν* F: om PMV cf Raderm ad Demetr p 111 16 *ἡγήσετό* F 17 *μὴ δὲ* PMV | *νομήσηι* F 19 *ἢ καλῶς μὲν* om F | *καὶ ἡδέως* EPMV: *ἡδέως γε* F 20 *τοιοῦτο* V *καινὸν* cum α sscr F | *γέ*] *δέ* V 21 *καὶ* EF: *καὶ ἡ* PMV

καὶ οὐκ ἄν τις αὐτὰς ἔχοι μέμψασθαι κατὰ τοῦτο, οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ γε τοῦ Κνιδίου συγγραφέως Κτησίου καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος ἡδέως μὲν ὡς ἔνι μάλιστα, οὐ μὴν καλῶς γ' ἐφ' ὅσον ἔδει· λέγω δὲ κοινότερον, ἀλλ' οὐχὶ καθάπαξ, ἐπεὶ καὶ παρ' ἐκείνοις ἥρμοσταί τινα ἡδέως καὶ παρὰ τούτοις καλῶς. ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει, καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

11 Ἐξ ὧν δ' οἶμαι γενήσεσθαι λέξιν ἡδεῖαν καὶ καλήν, τέτταρά ἐστι ταῦτα τὰ κυριώτατα καὶ τὰ κράτιστα, μέλος καὶ ῥυθμὸς καὶ μεταβολὴ καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις πρέπον. τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν τήν τε ὥραν καὶ τὴν χάριν καὶ τὴν εὐστομίαν καὶ τὴν γλυκύτητα καὶ τὸ πιθανὸν καὶ πάντα τὰ τοιαῦτα, ὑπὸ δὲ τὸ καλὸν τήν τε μεγαλοπρέπειαν καὶ τὸ βάρος καὶ τὴν σεμνολογίαν καὶ τὸ ἀξίωμα καὶ τὸν 54 πίνον καὶ τὰ τούτοις ὅμοια. ταυτὶ γάρ μοι δο|κεῖ κυριώτατα εἶναι καὶ ὥςπερ κεφάλαια τῶν ἄλλων [ἐν ἑκατέρῳ]. ὧν μὲν οὖν στοχάζονται πάντες οἱ σπουδῇ γράφοντες μέτρον ἢ μέλος ἢ τὴν λεγομένην πεζὴν

17 *π ῖ ν ο ς* κυρίως ὁ ῥύπος, ἀφ' οὗ πιναρὰ ῥάκη. λέγεται δὲ καὶ τὸ ἐπανθοῦν τισὶ χνοῶδες (χρο- cod) ὡς ἐπὶ μήλων καὶ ἀπίων. ἀπὸ τούτου καὶ ἐπὶ τοῦ λόγου τὸ ἐπιφαινόμενον αὐτῷ ἐν τῇ συνθήκῃ τῆς λέξεως ποιὸν πίνον ὀνομάζει. ἔστι δὲ πῖνος καὶ ὄνομα τόπου scholion M. cf t I p 137 ad Pomp p 759 R

1 *καὶ οὐκ . . . τοῦτο* F: om PMV | *αὐτὰς*] *αὐτ* sscr F 2 *κνηδίου* F 3 *κτισίου* M 4 *γ'* P: *γε* FEMV 5 *ἐπεὶ κἀκείνοις* P 6 *καὶ*] *ὡς καὶ* EF *ὡς* M 7 *ἀμφότερ(ον)* P¹ 9 *δὲ οἴομαι* PMV | *γενέσθαι* FE 10 *ταῦτα* post *κυριώτατα* dant PMV om E | *καὶ τὰ* F: *καὶ* PMV 11 *μέλλος* P 12 *πρέπον*] *τὸ πρέπον* EF cf 47, 15 13 *τήν τε* EFM: *τὴν* PV 14 *γλυκύτη* extremo uersu P | *καὶ τὸ πιθανὸν* delebat Wolfius 15 *τήν τε*] *τὴν* V 16 *τὸν πίνον*] *τοπι(θα)ν(ον)* P, EFM¹V *πῖνος* sscr M 18 *ὡσπερεὶ* MV *ὑπερι* P | *ἐν ἑκατέρῳ* inclusi 19 *σπουδὴ* F 20 *μέτρον ἡ μέλος* P, MV: *μέλος ἢ μέτρον* F

λέξιν, ταῦτ' ἐστὶ καὶ οὐκ οἶδ' εἴ τι παρὰ ταῦθ' ἕτερον· οἱ δὲ πρωτεύσαντες ἐν ἑτέρῳ τινὶ τούτων καὶ ἐν ἀμφοτέροις πολλοί τε καὶ ἀγαθοὶ ἄνδρες· παραδείγματα δὲ αὐτῶν ἑκάστου φέρειν ἐν τῷ παρόντι οὐκ ἐγχωρεῖ, ἵνα μὴ περὶ ταῦτα κατατρίψω τὸν λόγον· καὶ ἅμα εἴ τι λεχθῆναι περί τινος αὐτῶν καθήκει καὶ δεήσει που μαρτυριῶν, ἕτερος αὐτοῖς ἔσται καιρὸς ἐπιτηδειότερος, ὅταν τοὺς χαρακτῆρας τῶν ἁρμονιῶν ὑπογράφω. νῦν δὲ ταῦτ' εἰρῆσθαι περὶ αὐτῶν ἀπόχρη. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὰς διαιρέσεις, ἃς ἐποιησάμην τῆς θ' ἡδείας συνθέσεως καὶ τῆς καλῆς, ἵνα μοι καὶ καθ' ὁδόν, ὥς φασι, χωρῇ ὁ λόγος.

Ἔφην δὴ τὴν ἀκοὴν ἥδεσθαι πρώτοις μὲν τοῖς 55
μέλεσιν, ἔπειτα τοῖς ῥυθμοῖς, τρίτον ταῖς μεταβολαῖς, ἐν δὲ τούτοις ἅπασι τῷ πρέποντι. ὅτι δὲ ἀληθῆ λέγω, τὴν πεῖραν αὐτὴν παρέξομαι μάρτυρα, ἣν οὐχ οἷόν τε διαβάλλειν τοῖς κοινοῖς πάθεσιν ὁμολογουμένην· τίς γάρ ἐστιν ὃς οὐχ ὑπὸ μὲν ταύτης τῆς μελῳδίας ἄγεται καὶ γοητεύεται, ὑφ' ἑτέρας δέ τινος οὐδὲν πάσχει τοιοῦτον, καὶ ὑπὸ μὲν τούτων τῶν ῥυθμῶν οἰκειοῦται, ὑπὸ δὲ τούτων διοχλεῖται; ἤδη δ' ἔγωγε καὶ ἐν τοῖς πολυανθρωποτάτοις θεάτροις, ἃ συμπληροῖ παντοδαπὸς καὶ ἄμουσος ὄχλος, ἔδοξα καταμαθεῖν, ὡς φυσική τις

20 οἰκειοῦται ἀντὶ τοῦ εὐσταθῶς ἥδεται scholion M

1 ἐστὶν F ἔστι M | οἶδα PMV 2 ἑκατέρω F,PMV | τινὶ] τε FPV om M | τούτων om PV 3 παραδείγματι P 4 αὐτῶν FM αὐτὴν P: ἀμφοῖν V | ἑκάστου FM: καθ' ἕκαστον PV | ἐν τῷ παρόντι om P 5 εἴ τι V εἴ τινα F: καὶ εἴ τι P καὶ εἴ τινα M 7 ἐπιτήδειος F 8 νυνὶ F 9 ταῦτα P | ἄνειμι F 10 θ' c lit P² τε F 11 μοι] μὴ M¹ | καὶ ante καθ' om PMV 13 δὴ F: δὲ PMV 15 ἐν F: ἐπὶ PMV | ἅπασιν P 16 παρέξω F 19 τοιοῦτο PM 20 μὲν τῶν ῥυθμῶν τούτων EF | τούτων] τῶν τοιούτων M¹ 21 τούτων δὲ EF | ἤδη P

ἁπάντων ἐστὶν ἡμῶν οἰκειότης πρὸς ἐμμέλειάν τε καὶ εὐρυθμίαν, κιθαριστήν τε ἀγαθὸν σφόδρα εὐδοκιμοῦντα ἰδὼν θορυβηθέντα ὑπὸ τοῦ πλήθους, ὅτι μίαν χορδὴν ἀσύμφωνον ἔκρουσε καὶ διέφθειρεν τὸ μέλος, καὶ αὐλητὴν ἀπὸ τῆς ἄκρας ἕξεως χρώμενον τοῖς ὀργάνοις τὸ αὐτὸ τοῦτο παθόντα, ὅτι σομφὸν ἐμπνεύσας ἢ μὴ
56 πιέσας | τὸ στόμα θρυλιγμὸν ἢ τὴν καλουμένην ἐκμέλειαν ἤυλησε. καίτοι γ' εἴ τις κελεύσειε τὸν ἰδιώτην τούτων τι ὧν ἐνεκάλει τοῖς τεχνίταις ὡς ἡμαρτημένων, αὐτὸν ποιῆσαι λαβόντα τὰ ὄργανα, οὐκ ἂν δύναιτο. τί δή ποτε; ὅτι τοῦτο μὲν ἐπιστήμης ἐστίν, ἧς οὐ πάντες μετειλήφαμεν, ἐκεῖνο δὲ πάθος ὃ πᾶσιν ἀπέδωκεν ἡ φύσις. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ῥυθμῶν γινόμενον ἐθεασάμην, ἅμα πάντας ἀγανακτοῦντας καὶ δυσαρεστουμένους, ὅτε τις ἢ κροῦσιν ἢ κίνησιν ἢ μορφὴν ἐν ἀσυμμέτροις ποιήσαιτο χρόνοις καὶ τοὺς ῥυθμοὺς ἀφανίσειεν. καὶ οὐχὶ τὰ μὲν ἐμμελῆ καὶ εὔρυθμα ἡδονῆς ἀγωγά ἐστι καὶ πάντες ὑπ' αὐτῶν κηλούμεθα, αἱ μεταβολαὶ δὲ καὶ τὸ πρέπον οὐκ ἔχουσι τὴν αὐτὴν ὥραν καὶ χάριν οὐδ' ὑπὸ πάντων ὁμοίως |
57 διακούονται· ἀλλὰ κἀκεῖνα πάνυ κηλεῖ πάντας ἡμᾶς

1 ἐστὶν ἁπάντων PMV | εὐμέλειαν V 2 ἀγαθὸσφόδρα P¹ 3 ἴδον F | μίαν* F 4 ἀσύμφον(ον) P | ἔκρουσεν P διέφθειρεν F: ἔφθειρεν P ἔφθειρε MV 5 ἀπὸ F: κα(τὰ) P, MV μετὰ r 6 τὸ αὐτὸ F: καὶ αὐτὸ PV καὶ αὐτὸν M σομφὸν F γρ M cum scholio σομφὸν ἤγουν θρυλιγμὸν καὶ ἐκμέλειαν: ἀσύμφων(ον) P, M¹V | ἢ μὴ ⟨ὀρθῶς⟩ ci Reiskius 8 ηὔλησεν P | καίτοι (ex -τοῖς corr) γε F: καίτοι PMV | κελεύσειεν P 9 τι*ῶν F | ἐγκαλεῖ F | τεχνήταις F 10 αὐτὸν ⟨ὀρθῶς⟩ ci Reiskius, fort ⟨ἄμεινον⟩ αὐτὸν 11 οὐ om F¹ 12 πᾶθος F: πάθους PMV | ἀπέδοκεν P 13 δὲ PMV | γινόμενον fort glossema cf 28, 15 15 ὅτέ τις FM 16 μορφὴν F: φωνὴν PMV 17 ἀφανίσειε M | εὐμελῆ PMV 18 ἀγωγά F, sscr M: μεστά PM¹V | αὐτ(ω) P 19 ἔχουσιν P 21 διακούονται V: διοικοῦνται ceteri | πάνυ] πάντα P

κατορθούμενα καὶ εἰς πολλὴν ὄχλησιν ἄγει διαμαρτανόμενα· [τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν] τεκμαίρομαι δέ, ὅτι καὶ τῆς ὀργανικῆς μούσης καὶ τῆς ἐν ᾠδῇ καὶ τῆς ἐν ὀρχήσει χάριτος ⟨μὲν⟩ ἐν ἅπασι διευστοχούσης, μεταβολὰς δὲ μὴ ποιησαμένης εὐκαίρους ἢ τοῦ πρέποντος ἀποπλανηθείσης βαρὺς μὲν ὁ κόρος, ἀηδὲς δὲ τὸ μὴ τοῖς ὑποκειμένοις ἁρμόττον φαίνεται. καὶ οὐκ ἀλλοτρίᾳ κέχρημαι τοῦ πράγματος εἰκόνι. μουσικὴ γάρ τις ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιστήμη τῷ ποσῷ διαλλάττουσα τῆς ἐν ᾠδῇ καὶ ὀργάνοις, οὐχὶ τῷ ποιῷ· καὶ γὰρ ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις καὶ ῥυθμὸν καὶ μεταβολὴν καὶ πρέπον, ὥστε καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολάς, ποθεῖ δ' ἐπὶ πάντων τὸ οἰκεῖον, ἡ δὲ διαλλαγὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον.

διαλέκτου μὲν οὖν μέλος ἑνὶ μετρεῖται διαστήματι 58
τῷ λεγομένῳ διὰ πέντε ὡς ἔγγιστα, καὶ οὔτε ἐπι|τεί- 59
νεται πέρα τῶν τριῶν τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξὺ

8 μουσικὴ ... 15 οἰκεῖον adfert Syrianus in Hermog π. ἰδ. p 32, 3 Rab καὶ Διονύσιος ἐν τῷ περὶ συνθέσεως ὀνομάτων φησίν· ἤ γάρ τοι τῶν πολιτικῶν λόγων ἐπιστήμη μουσική τίς ἐστι τῷ ποσῷ κτλ., inde Maximus Planudes t V p 476, 10 W

1 ἁμαρτανόμενα PMV 2 τίς γὰρ ... δέ conponunt MVs: diuisim τίς ... ὁμολ. EF τεκμ. δὲ P 3 ᾠιδῆι F, E: ᾠιδαῖς γοητείας P, MV genetiuum interpolauit qui non senserat χάριτος a uerbo pendere 4 μὲν inserui cf E | ἅπασιν P | διευστοχούσης] μὲν εὐστοχούσης E 6 *α(πο)πλανηθείσης ex κα(τα)πλ. P^{2} | κόρος] καιρὸς F^{1} 7 φαίνεται EF: ἐφάνη PMV 8 κέχρηται F^{1} 9 π*οσῶι ex προσωι F^{2} 10 διαλλάττουσι τοῖς F | ᾠιδῆι F: ᾠιδαῖς EPMV Syr 12 ῥυθμὸν etiam Syr: ῥυθμοὺς EF 16 καὶ] καὶ τὸ EF 18 ἐπιτείνεται ... 41, 1 οὔτε omissa supplet mg P^{2} 19 πέρα] παρα F | τῶν om E | τόνων om P | ἡμιτόνιον P ἡμιτονίων M

οὔτ' ἀνίεται τοῦ χωρίου τούτου πλέον ἐπὶ τὸ βαρύ.
60 οὐ μὴν | ἅπασα λέξις ἡ καθ' ἓν μόριον λόγου ταττομένη ἐπὶ τῆς αὐτῆς λέγεται τάσεως, ἀλλ' ἣ μὲν ἐπὶ
61 τῆς ὀξείας, | ἣ δ' ἐπὶ τῆς βαρείας, ἣ δ' ἐπ' ἀμφοῖν. τῶν δὲ ἀμφοτέρας τὰς τάσεις ἐχουσῶν αἳ μὲν κατὰ
62 μίαν συλλαβὴν | συνεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρύ, ἃς δὴ περισπωμένας καλοῦμεν· αἳ δὲ ἐν ἑτέρᾳ τε καὶ ἑτέρᾳ χωρὶς ἑκάτερον ἐφ' ἑαυτοῦ τὴν οἰκείαν φυλάττον φύσιν. καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρύτητός τε καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, ἡλίκαι ποτ' ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς ταῖς ἄλλαις βαρείαις ἔνεστιν. ἡ δὲ ὀργανική τε καὶ ᾠδικὴ μοῦσα διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ διὰ πέντε μόνον, ἀλλ' ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη καὶ τὸ διὰ πέντε μελῳδεῖ καὶ τὸ διὰ τεττάρων καὶ ⟨τὸ διὰ τριῶν καὶ τὸν⟩ τόνον καὶ τὸ
63 ἡμιτόνιον, ὡς δέ τι|νες οἴονται, καὶ τὴν δίεσιν αἰσθητῶς· τάς τε λέξεις τοῖς μέλεσιν ὑποτάττειν ἀξιοῖ καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλλων τε πολλῶν δῆλον καὶ μάλιστα ἐκ τῶν Εὐριπίδου μελῶν, ἃ πεποίηκεν τὴν Ἠλέκτραν λέγουσαν ἐν Ὀρέστῃ πρὸς τὸν χορόν·

1 οὔτε EPMV | ἀνί*εται F | πλεῖον PMV 2 λέξις] γε ἡ λέξις PMV 3 ἐπὶ om PMV | τῆς ... 4 ἡ δ' om V | ἀλλὰ FE 4 δὲ bis PMV | βαρείας αἱ δ' FE 5 ἀμφοτέρως F^{1} | στάσεις F^{1} 6 συνδιεφθαρμένον FE | ἔχουσιν P 7 ἐν ἑτέρῳ τε καὶ ἑτέρῳ MV ἕτεραί τε καὶ ἕτεραι P 8 τε om E | ἐφ' om M 10 τε om V 11 πολυτρισυλλάβοις F | ἡλίκαι ποτ' ἂν] ἡλίκαι ἂν E εἰ καί ποτ' ἂν PM εἰ καί ποτ' ἡλικἂν F: οἷαί ποτ' ἂν V 12 ταῖς ἄλλαις EFM: om PV 13 διαστήμασίν P 14 οὗ F^{1} | τῷ] το P 15 πέντε] πάντων F | alterum τὸ om M^{1} | καὶ τὸ διὰ τεττάρων om F 16 τεσσάρων MV | suppl Raderm cl Plut def or 36 p 430^{a} | τόνον F cf Sextus adu math VII 47: διατόνον P διὰ τόνον M τὸ διάτονον EV 17 οἶονται F^{1} | δίεσαν M | αἰσθητῶς i e ut percipi possit 20 ἐκ τῶν] τῶν PMV 21 Electrae u p 42, 1 et 2 etiam Cleanthes Laertii VII 172 tribuit

σίγα σῖγα, λευκὸν ἴχνος ἀρβύλης
τίθετε, μὴ κτυπεῖτ'·
ἀποπρὸ βᾶτ' ἐκεῖσ', ἀποπρό μοι κοίτας.

ἐν γὰρ δὴ τούτοις τὸ 'σίγα σῖγα λευκὸν' ἐφ' ἑνὸς φθόγγου μελῳδεῖται, καίτοι τῶν τριῶν λέξεων ἑκάστη βαρείας τε τάσεις ἔχει καὶ ὀξείας. καὶ τὸ 'ἀρβύλης' τῇ μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας. καὶ τοῦ 'τίθετε' βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δ' αἱ μετ' αὐτὴν ὀξύτονοί τε καὶ | ὁμόφωνοι. τοῦ τε 'κτυπεῖτε' ὁ περισπασμὸς 64 ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει. καὶ τὸ 'ἀποπρὸ βᾶτε' οὐ λαμβάνει τὴν τῆς μέσης συλλαβῆς προσῳδίαν ὀξεῖαν, ἀλλ' ἐπὶ τὴν τετάρτην συλλαβὴν μεταβέβηκεν ἡ τάσις ἡ τῆς τρίτης. τὸ δ' αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς. ἡ μὲν γὰρ πεζὴ λέξις οὐδενὸς οὔτε ὀνόματος οὔτε ῥήματος βιάζεται τοὺς χρόνους οὐδὲ μετατίθησιν, ἀλλ' οἵας παρείληφεν τῇ φύσει τὰς συλλαβὰς τάς τε μακρὰς καὶ τὰς βραχείας, τοιαύτας φυλάττει· ἡ δὲ μουσική τε καὶ ῥυθμικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ παραύξου-

1 Euripides Orestis 140—2

1 *σίγα σίγα* libri (item 4) *σῖγα σῖγα* M[2] unus, at schol testatur *ἡ τοῦ ῥυθμοῦ ἀγωγὴ δοχμιάζουσα* | *ἀρβύλης* P etiam 6 2 *τίθετ(αι)* P[1] *τιθεῖτ(αι)* P[2] *τιθεῖτε* FEMV | *κτυπεῖτε* libri *κτυπῆτε* P[1] sed uocem disyllabon esse l 11 traditur 3 *ἄπο προβᾶτ'* PM *ἄπο πρόβατ'* FE *ἀποπρόβατ'* V | *ἐκεῖσε* libri | *ἀποπρόμοι* F, EPM: *ἀπόπροθι* Vs 5 *μελωι[δεῖ]ται* c lit P 6 *ἀρβύλλης* M 7 *τῆι* F, E: *ἐπὶ* PMV | *ὁμότον* M 8 *τίθεται* FP: *τιθεῖτε* EMV 9 *δ' αἱ*] *δὲ* libri | *μετὰ ταύτην* EF 10 *τοῦ τε*] *τοῦ* V 12 *ἄπο∗προβᾶτε* P *ἄπο πρόβατε* EF *ἀποπρόβατ'* V *ἄπο προβᾶτ' ἐκεῖσε* M 14 *καταβέβηκεν* PMV | *ἡ τῆς*] *τῆς* PMV 15 *γὰρ* om M 17 *οὐδὲ*] *οὔτε* EF | *παρείληφεν* . . . 18 *συλλαβὰς* om P | *παρείληφε* EMV 19 *ἡ δὲ ῥυθμικὴ* (*ῥυθμιτικὴ* M) *καὶ μουσικὴ* PMV 20 *καὶ αὔξουσαι* PMV

σαι, ὥστε πολλάκις εἰς τἀναντία μεταχωρεῖν· οὐ γὰρ ταῖς συλλαβαῖς ἀπευθύνουσι τοὺς χρόνους, ἀλλὰ τοῖς χρόνοις τὰς συλλαβάς.

Δεδειγμένης τῆς διαφορᾶς ᾗ διαφέρει μουσικὴ λογικῆς λοιπὸν ἂν εἴη κἀκεῖνα λέγειν, ὅτι τὸ μὲν τῆς φωνῆς μέλος, λέγω δὲ οὐ τῆς ᾠδικῆς ἀλλὰ τῆς ψιλῆς, ἐὰν ἡδέως διατιθῇ τὴν ἀκοήν, εὐμελὲς λέγοιτ' ἄν, ἀλλ' οὐκ ἐμμελές· ἡ δ' ἐν τοῖς χρόνοις τῶν μορίων 65 συμμετρία σῴ|ζουσα τὸ μελικὸν σχῆμα εὔρυθμος, ἀλλ' οὐκ ἔνρυθμος· πῇ δὲ διαφέρει ταῦτα ἀλλήλων, κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ. νυνὶ δὲ τἀκόλουθ' ἀποδοῦναι πειράσομαι, πῶς ἂν γένοιτο λέξις πολιτικὴ παρ' αὐτὴν τὴν σύνθεσιν ἡδύνουσα τὴν ἀκρόασιν κατά τε τὰ μέλη τῶν φθόγγων καὶ κατὰ τὰς συμμετρίας τῶν ῥυθμῶν καὶ κατὰ τὰς ποικιλίας τῶν μεταβολῶν καὶ κατὰ τὸ πρέπον τοῖς ὑποκειμένοις, ἐπειδὴ ταῦθ' ὑπεθέμην τὰ κεφάλαια.

Οὐχ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως 12 διατιθέναι τὴν ἀκοήν, ὥσπερ οὐδὲ τὴν ὁρατικὴν αἴσθησιν τὰ ὁρατὰ πάντα οὐδὲ τὴν γευστικὴν τὰ 66 γευ|στὰ οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην· ἀλλὰ καὶ γλυκαίνουσιν αὐτήν τινες ἦχοι καὶ πικραί-

1 *τὰ ναντία* F 2 *ἀπευθύνουσ[ι]* c lit F 4 *τῆς* F: *δὴ τῆς* PMV | ⟨*ᾠδικὴ*⟩ *μουσικὴ* ci Reiskius 5 *τὸ μὲν*] *μὲν τὸ* F 6 *δὲ*] *δὴ* M 7 *ἐὰν*] *κἂν* PV *ὃ μὲν* FM | *διατίθησι* FM | *εὐμενὲς* P 8 *δὲ* P | *συμμετρία σώζουσα* FPM ut ci Reiskius: *συμμετριάζουσα* V 9 *μελικὸν*] *γρ λογικὸν* mg M | *ἔρρυθμος* F[1] 10 *πῇ* F *τῆι* P | *διαφέ(ρει) ταῦτα* P, F: *διαφέρουσιν* MV | *ἀλλήλων* om P | *κατὰ*] *ταῦτα κατὰ* MV 11 *τἀκόλουθ'* sic F: *τὰ ἀκόλουθα* PMV | ∗*α(πο)δοῦναι* ex *κα(τα)δ-* P 12 *παρ' αὐτὴν*] *παρὰ* V 13 *κατά τε*] *κατὰ* F 15 *ποικίλ(ας)* P 16 *ἐπειδὴ δὲ ταῦθ'* F | *ταῦτα* PMV 19 *τὴν ὁρ.* . . . 20 *οὐδὲ* om E 22 *αὐτὴν τινὲς* EF: *τινες αὐτὴν* PMV | *πικραίνουσιν* — 44, 1 *τραχύνουσ(ιν)* — *λεαίνουσιν* . . . 2 *ποιοῦσιν* P

νουσι, καὶ τραχύνουσι καὶ λεαίνουσι, καὶ πολλὰ ἄλλα πάθη ποιοῦσι περὶ αὐτήν. αἰτία δὲ ἥ τε τῶν γραμμάτων φύσις ἐξ ὧν ἡ φωνὴ συνέστηκεν, πολλὰς καὶ διαφόρους ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντοδαπῶς σχηματιζομένη. τοιαύτην δὴ δύναμιν ἐχόντων τῶν τῆς λέξεως μορίων ἐπειδὴ μεταθεῖναι τὴν ἑκάστου φύσιν οὐχ οἷόν τε, λείπεται τὸ τῇ μίξει καὶ κράσει καὶ παραθέσει συγκρύψαι τὴν παρακολουθοῦσαν αὐτῶν τισιν ἀτοπίαν, τραχέσι λεῖα μίσγοντα καὶ σκληροῖς μαλακὰ καὶ κακοφώνοις εὔφωνα καὶ δυσεκφόροις εὐπρόφορα καὶ βραχέσι μακρά, καὶ τἆλλα τὸν αὐτὸν τρόπον εὐκαίρως συντιθέντα καὶ μήτ᾽ ὀλιγοσύλλαβα πολλὰ ἑξῆς λαμβάνοντα (κόπτεται γὰρ ἡ ἀκρόασις) μήτε πολυσύλλαβα πλείω τῶν ἱκανῶν, μηδὲ δὴ ὁμοιότονα παρ᾽ ὁμοιοτόνοις μηδ᾽ ὁμοιόχρονα παρ᾽ ὁμοιοχρόνοις. χρὴ δὲ καὶ τὰς πτώσεις τῶν ὀνοματικῶν ταχὺ μεταλαμβάνειν | (μηκυνόμεναι γὰρ ἔξω τοῦ μετρίου 67
πάνυ προσίστανται ταῖς ἀκοαῖς) καὶ τὴν ὁμοιότητα διαλύειν συνεχῶς ὀνομάτων τε τῶν ἑξῆς τιθεμένων πολλῶν καὶ ῥημάτων καὶ τῶν ἄλλων μερῶν τὸν κόρον

11—18 Maximus Planudes in Hermog π. ἰδ. V 420, 9 W τοῦτο γάρ φησι καὶ Διονύσιος, ὅτι δεῖ μιγνύειν βραχέσι μακρὰ καὶ πολυσυλλάβοις ὀλιγοσύλλαβα, τοῦτο γὰρ ἡδέως διατίθησι τὴν ἀκοήν

2 ἥ τε] ἡ EF 3 συνέστηκε MV 5 δὴ] ἤδη F δὲ ἤδη E 7 τὸ τῆι F, E: τῆι P, MV | καὶ τῆι κράσει F 8 συγκρύπτειν EF 9 τισί F | ἀτοπίαν om F 11 εὐπρόφορα] εὔφορα F 12 συντεθέντα F | μήτε P μήποτ᾽ M 13 πολλὰ ... 14 πολυσύλλαβα om P 14 δὴ om E | ὁμοιότωνα P^1 15 παρεξευγμένα ὁμοιοτόνοις (deleto altero παρ᾽) ci Reiskius 17 μηκυνόμενά (-ναί M) τε γὰρ F, M 18 προίστανται F 19 τε τῶν] τέ τινων F, E τινῶν PMV 20 πολλῶν καὶ] πολλῶν V | τῶν om E

φυλαττομένους, σχήμασί τε μὴ ἐπὶ τοῖς αὐτοῖς ἀεὶ μένειν ἀλλὰ θαμινὰ μεταβάλλειν καὶ τρόπους μὴ τοὺς αὐτοὺς ἐπεισφέρειν, ἀλλὰ ποικίλλειν, μηδὲ δὴ ἄρχεσθαι πολλάκις ἀπὸ τῶν αὐτῶν μηδὲ λήγειν εἰς τὰ αὐτὰ ὑπερτείνοντας τὸν ἑκατέρου καιρόν.

Καὶ μηδεὶς οἰηθῇ με καθάπαξ ταῦτα παραγγέλλειν ὡς ἡδονῆς αἴτια διὰ παντὸς ἐσόμενα ἢ τἀναντία ὀχλήσεως· οὐχ οὕτως ἀνόητός εἰμι· οἶδα γὰρ ἐξ ἀμφοῖν γινομένην πολλάκις ἡδονήν, τοτὲ μὲν ἐκ τῶν ὁμοιογενῶν, τοτὲ δὲ ἐκ τῶν ἀνομοιογενῶν· ἀλλ᾽ ἐπὶ πάντων
68 οἴομαι | δεῖν τὸν καιρὸν θηρᾶν· οὗτος γὰρ ἡδονῆς καὶ ἀηδίας κράτιστον μέτρον. καιροῦ δὲ οὔτε ῥήτωρ οὐδεὶς οὔτε φιλόσοφος εἰς τόδε γε τέχνην ὥρισεν, οὐδ᾽ ὅςπερ πρῶτος ἐπεχείρησε περὶ αὐτοῦ φράφειν Γοργίας ὁ Λεοντῖνος οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἔγραψεν· οὐδ᾽ ἔχει φύσιν τὸ πρᾶγμα εἰς καθολικὴν καὶ ἔντεχνόν τινα περίληψιν πεσεῖν, οὐδ᾽ ὅλως ἐπιστήμῃ θηρατός ἐστιν ὁ καιρὸς ἀλλὰ δόξῃ. ταύτην δ᾽ οἱ μὲν ἐπὶ πολλῶν καὶ πολλάκις γυμνάσαντες ἄμεινον τῶν ἄλλων εὑρίσκουσιν αὐτόν, οἱ δ᾽ ἀγύμναστον ἀφέντες σπανιώτερον καὶ ὥςπερ ἀπὸ τύχης.

3—5 cf scholia Hermog π. ἰδ. t VII p 1049, 19 sq W

1 φυλασσομένους EF φυλαττόμενον s | ἐπὶ FE: om PMV | ἀεὶ μένειν EF: διαμένειν PMV 3 ἐπιφέρειν E | ποικίλειν F | δὴ om E 4 ἐς FE 5 ὑπερτείνοντα libri | ἑκάστου M 6 μηθεὶς PMV | οἰηθεῖ P | παραγγέλ[ειν] c lit P 7 τἀναντία FE: τοὐναντίον PMV 9 τότε F^1P^1 ποτὲ M | ὁμοιογενῶν EM ὁμοίων γενῶν F: ἀνομοίων PV 10 τότε FP^1 ποτὲ M | ἀνομοιογενῶν EFM: ὁμογενῶν PV 11 θηρᾶν] ὁρᾶν libri 13 τόδε γε] τὸ λέγειν P τόδε χρόνου FMV 14 πρῶτον P | ἐπεχείρισε F ἐπεχείρησεν P 15 οὐδὲν F: οὐδ᾽ MV om P | [ὅ]τι c lit ampliore P | καὶ F: om PMV | οὐδε P, MV 18 ταύτη M | δὲ PMV 20 αὐτόν FM: om PV | δὲ PMV | ἀγύμναστον F, mg γρ M: ἀνάσκητον PM^1V | σπανιωτέρ(αν) P, MV edebaturque ante Sylb

Ἵνα δὲ καὶ περὶ τῶν ἄλλων εἴπω, ταῦτ' οἴομαι χρῆ-
ναι φυλάττειν ἐν τῇ συνθέσει τὸν μέλλοντα διαθήσειν
τὴν ἀκοὴν ἡδέως· ἢ τὰ εὐμελῆ καὶ εὔρυθμα καὶ εὔφωνα
ὀνόματα, ὑφ' ὧν γλυκαίνεταί τε καὶ ἐκμαλάττεται καὶ
τὸ ὅλον οἰκείως διατίθεται ἡ αἴσθησις, ταῦτα ἀλλή-
λοις | συναρμόττειν, ἢ τὰ μὴ τοιαύτην ἔχοντα φύσιν 69
ἐγκαταπλέκειν τε καὶ συνυφαίνειν τοῖς δυναμένοις
αὐτὴν γοητεύειν, ὥςτε ὑπὸ τῆς ἐκείνων χάριτος ἐπι-
σκοτεῖσθαι τὴν τούτων ἀηδίαν· οἷόν τι ποιοῦσιν οἱ
φρόνιμοι στρατηλάται κατὰ τὰς συντάξεις τῶν στρα-
τευμάτων· καὶ γὰρ ἐκεῖνοι ἐπικρύπτουσι τοῖς ἰσχυροῖς
τὰ ἀσθενῆ, καὶ γίνεται αὐτοῖς οὐδὲν τῆς δυνάμεως
ἄχρηστον. διαναπαύειν δὲ τὴν ταυτότητά φημι δεῖν
μεταβολὰς εὐκαίρους εἰσφέροντα· καὶ γὰρ ἡ μεταβολὴ
παντὸς ἔργου χρῆμα ἡδύ. τελευταῖον δὲ ὃ δὴ καὶ
πάντων κράτιστον, οἰκείαν ἀποδιδόναι τοῖς ὑποκειμέ-
νοις καὶ πρέπουσαν ἁρμονίαν. δυσωπεῖσθαι δ' οὐδὲν
οἴομαι δεῖν οὔτε ὄνομα οὔτε ῥῆμα, ὅ τι καὶ τέτριπται,
μὴ σὺν αἰσχύνῃ λέγεσθαι μέλλον· οὐδὲν γὰρ οὕτω
ταπεινὸν ἢ ῥυπαρὸν ἢ ἄλλην τινὰ δυσχέρειαν ἔχον
ἔσεσθαί φημι λόγου μόριον, ᾧ σημαίνε|ταί τι σῶμα 70

14 cf Euripides Orest 234 μεταβολὴ πάντων γλυκύ

1 ταῦτ' οἴομαι] ταῦτ' ἄγε F latet fort ταῦτα λέγω 2 συνθέσ[ει] c lit P 3 ἢ EFM: om PV 4 μαλάττεταί τε καὶ γλυκαίνεται M | τε om F | ἐκμαλάττεται F: μαλάττεται PMV 10 συντάξεις FM: τάξ[ει]ς c lit P, V 11 ἐπικρύπτουσι EF: συγκρύπτουσιν P,MV 13 ἄχρηστον FE: μέρος ἄχρηστον PMV | δὲ EFM: τε PV τε καὶ a 14 γὰρ] γίνεται M 16 κράτιστον EF: ἐστὶ κράτιστον PMV 17 καὶ πρέπουσαν om F | δὲ PMV 18 δεῖν om F | ὅτι καὶ τέτριπται EF: ὅτ' (οὔτ' V) ἐπιτέτραπται PMV 19 μέλλον EF: om PMV 20 ῥυπαρὸν EF: ῥυπαρὸν ἢ μιαρὸν PV μιαρὸν M | ἔχον om F 21 ἔσεσθαι om M

ἢ πρᾶγμα, ὃ μηδεμίαν ἕξει χώραν ἐπιτηδείαν ἐν λό-
γοις. παρακελεύομαι δὲ τῇ συνθέσει πιστεύοντας ἀν-
δρείως πάνυ καὶ τεθαρρηκότως αὐτὰ ἐκφέρειν Ὁμήρῳ
τε παραδείγματι χρώμενος, παρ' ᾧ καὶ τὰ εὐτελέστατα
κεῖται τῶν ὀνομάτων, καὶ Δημοσθένει καὶ Ἡροδότῳ
καὶ τοῖς ἄλλοις, ὧν ὀλίγον ὕστερον μνησθήσομαι καθ'
ὅ τι ἂν ἁρμόττῃ περὶ ἑκάστου. ταῦτά μοι περὶ τῆς
ἡδείας εἰρήσθω συνθέσεως, ὀλίγα μὲν ἀπὸ πολλῶν
θεωρημάτων, ἱκανὰ δὲ ὡς κεφάλαια εἶναι.
εἶέν. καλὴ δ' ἁρμονία πῶς γένοιτ' ἂν εἴ τις ἔροιτό 13
με καὶ ἐκ ποίων θεωρημάτων, οὐκ ἄλλως πως νὴ Δία 11
φαίην ἂν οὐδ' ἐξ ἄλλων τινῶν ἢ ἐξ ὧν περ ἡ ἡδεῖα·
τὰ γὰρ αὐτὰ ποιητικὰ ἀμφοῖν, μέλος εὐγενές, ῥυθμὸς
ἀξιωματικός, μεταβολὴ μεγαλοπρεπής, τὸ πᾶσι τούτοις
71 παρακολουθοῦν πρέπον. ὥςπερ γὰρ ἡδεῖά τις | γίνε-
ται λέξις, οὕτω γενναία τις ἄρα, καὶ ῥυθμὸς ὥςπερ
γλαφυρός τις, οὕτω καὶ σεμνός τις ἕτερος, καὶ τὸ
μεταβάλλειν ὥςπερ χάριν ἔχει, οὕτω καὶ τόνον· τὸ δὲ
δὴ πρέπον εἰ μὴ τοῦ καλοῦ πλεῖστον ἕξει μέρος, σχολῇ
γ' ἂν ἄλλου τινός. ἐξ ἁπάντων δή φημι τούτων ἐπι-
τηδεύεσθαι δεῖν τὸ καλὸν ἐν ἁρμονίᾳ λέξεως ἐξ ὧν
περ καὶ τὸ ἡδύ. αἰτία δὲ κἀνταῦθα ἥ τε τῶν γράμ-
μάτων φύσις καὶ ἡ τῶν συλλαβῶν δύναμις, ἐξ ὧν

1 ὃ] ᾧ F 2 δὲ EF: δὲ ἐν PMV 3 τεθαρρηκότ[ως] c lit F, ϑ in ras P 4 παραδείγματα P | χρ(ω)μεν(ος) P: χρωμένους EFMV 6 ὀλίγω PMV 8 μὲν ὑπὲρ libri: corr Reiskius 9 εἶναι· εἶέν sic P, FM: εἶεν V 10 δὲ PMV 11 με καὶ F: ἢ PMV | νὴ F: μὰ PMV 12 οὐδ'] οὐκ PV | ἡ F: om PMV 16 non λέξις sed μέλος tractatur. an latet μέλισις? cf I 238, 17 | οὕτω F: οὕτω καὶ PMV | ἄρα F: ἑτέρα PMV 17 σεμνός τις F: σεμνὸς PMV 18 ἔχει P: ἔχει (ἔχειν V) τινὰ FMV | τόνον] πόνον F: πι(ϑα)νόν P,V τὸ πῖνον M cf 37,16 τὸ πιϑανὸν ci Reiskius 21 δεῖν] δὴ F 22 καὶ ἐνταῦθα EF

πλέκεται τὰ ὀνόματα· ὑπὲρ ὧν καιρὸς ἂν εἴη λέγειν, ὥςπερ ὑπεσχόμην.

14 Ἀρχαὶ μὲν οὖν εἰσι τῆς ἀνθρωπίνης φωνῆς καὶ ἐνάρθρου μηκέτι δεχόμεναι διαίρεσιν, ἃ καλοῦμεν στοιχεῖα καὶ γράμματα· γράμματα μὲν ὅτι γραμμαῖς τισι σημαίνεται, στοιχεῖα δὲ ὅτι πᾶσα φωνὴ τὴν γένεσιν ἐκ τούτων λαμβάνει πρώτων καὶ τὴν διάλυσιν εἰς ταῦτα ποιεῖται τελευταῖα. τῶν δὴ στοιχείων τε

3 Scholiasta Hermogenis περὶ ἰδεῶν I 6 in Walzii rhet gr VII p 964, 23 (correctus ex codd Paris 1983 = R^a et 2977 = R^b) ἀλλὰ περὶ μὲν στοιχείων ἄριστα παραδίδωσιν ὁ Διονύσιος ἐν τῷ περὶ συνθήκης ὀνομάτων συγγράμματι· λέγει γὰρ τί συμβέβηκεν ἑκάστῳ τῶν στοιχείων καὶ ποίαν μὲν δύναμιν ἔχει τὰ φωνήεντα, ποίαν δὲ τὰ σύμφωνα καὶ πάλιν αὖ τὰ ἡμίφωνα· πλὴν ἵνα τι καὶ θαυμάσωμεν τὸν ἄνδρα τῆς δεξιότητος, αὐτὴν παραθώμεθα τὴν λέξιν· Ἀρχαὶ μὲν . . . . . εἶναι ἐκεῖνα (p 969, 18 W). καὶ ταῦτα μὲν ὁ Διονύσιος· οἷς προσέχων οὐκ ἂν διαμάρτοις τοῦ προσήκοντος. εἰ γὰρ σεμνὸν ποιεῖν ἐθέλεις (sic b: ἐθέλοις a Walzius) τὸν λόγον, ἐκλεξάμενος τὰ μακρὰ καὶ ὅσα τεταμένον (τεταγμένον W) λαμβάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος λάμβανε· φεῦγε δὲ τὰ βραχέως ἐξ ἀποκοπῆς τε λεγόμενα καὶ μιᾷ πληγῇ πνεύματος καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης ἐκφερόμενα· τὰ γὰρ μακρὰ τῶν φωνηέντων τῷ σεμνῷ μᾶλλον ἁρμόττει ἅτε (εἴ τε b) μηκυνόμενα κατὰ τὴν ἐκφορὰν καὶ πολὺν ἠχοῦντα χρόνον· ἀνοίκεια (Walzius: ἀνοίκειον a b) δὲ τὰ βραχέως λεγόμενα καὶ σπαδονίζοντα (σπαδωνίζοντα b σπανίζοντα Walzius) τὸν ἦχον. ἀλλ' οὐχ ἁπλῶς οὐδὲ (οὔτε libri) τὰ μακρὰ δεῖ λαμβάνειν, ἀλλὰ τὰ κατὰ τὴν ἐκφορὰν διογκοῦντα τὸ στόμα καὶ ὅσα λέγεται τοῦ στόματος ἐπὶ πλεῖστον ἀνοιγομένου καὶ τοῦ πνεύματος ἄνω φερομένου (ἀναφερομένου b) πρὸς τὸν οὐρανόν, ἢ ὅσα περιστέλλει τὰ χείλη καὶ τὸ πνεῦμα ποιεῖ περὶ τὸ ἀκροστόμιον. ὥςτε δεῖ μάλιστα χρῆσθαι ταῖς λέξεσιν ὅσαι πλεονάζουσι τῷ τε ᾱ καὶ τῷ ω̄.

1 ὀνόματα PE: ὀνόματα ταῦτα FMV 3 φωνῆς καὶ ἐνάρθρου REF: καὶ ἐνάρθρου φωνῆς αἱ PMVs 4 ἃ R: ἃς libri 6 τισιν P 7 πρώτων ex πρῶτων corr F πρῶ^τ P: πρῶτον RMVs 8 τελευταῖα P: τελευταῖον R τελευταῖαν FVs τελευταίαν M | δὴ] δὲ Vs cf E

καὶ γραμμάτων οὐ μία πάντων φύσις, διαφορὰ δὲ
72 αὐτῶν | πρώτη μέν, ὡς Ἀριστόξενος ὁ μουσικὸς ἀποφαίνεται, καθ' ἣν τὰ μὲν φωνὰς ἀποτελεῖ, τὰ δὲ ψόφους· φωνὰς μὲν τὰ λεγόμενα φωνήεντα, ψόφους δὲ τὰ λοιπὰ πάντα. δευτέρα δὲ καθ' ἣν τῶν μὴ φωνηέντων ἃ μὲν καθ' ἑαυτὰ ψόφους ὁποίους δή τινας ἀποτελεῖν πέφυκε, ῥοῖζον ἢ σιγμὸν ἢ μυγμὸν ἢ τοιούτων τινῶν ἄλλων ἤχων δηλωτικούς· ἃ δ' ἐστὶν ἁπάσης ἄμοιρα φωνῆς καὶ ψόφου καὶ οὐχ οἷά τε ἠχεῖσθαι καθ' ἑαυτά· διὸ δὴ ταῦτα μὲν ἄφωνα τινὲς ἐκάλεσαν, θάτερα δὲ ἡμίφωνα. οἱ δὲ τριχῇ νείμαντες τὰς πρώτας τε καὶ στοιχειώδεις τῆς φωνῆς δυνάμεις φωνήεντα μὲν ἐκάλεσαν, ὅσα καὶ καθ' ἑαυτὰ φωνεῖται καὶ μεθ' ἑτέρων καὶ ἔστιν αὐτοτελῆ· ἡμίφωνα δ' ὅσα μετὰ μὲν
73 φωνηέντων αὐτὰ ἑαυτῶν κρεῖττον ἐκφέρεται, καθ' | ἑαυτὰ δὲ χεῖρον καὶ οὐκ αὐτοτελῶς· ἄφωνα δ' ὅσα οὔτε τὰς τελείας οὔτε τὰς ἡμιτελεῖς φωνὰς ἔχει καθ' ἑαυτά, μεθ' ἑτέρων δ' ἐκφωνεῖται.

1 πάντων ἡ φύσις E^v | διαφοραὶ r διάφοροι R 4 [λεγό]μενα c lit F 5 δεύτερα R^b | μὴ φωνηέντων REFM: μὲν φωνηέντων PR^b φωνηέντων Vs 6 δήποτέ τινας R 7 πέφυκεν PE | ῥοῖζον ἢ μυγμὸν ἢ σιγμὸν R | σιγμὸν REF: συριγμὸν PMVs | μυγμὸν RE μιγμὸν F: ποππυσμὸν P ἀποπτυσμὸν Vs ποππυσμὸν ἢ μυγμὸν M 8 ἠχῶν R^a | δηλωτικούς RF: δηλωτικά EPMVs | δέ ἐστιν PMV δὲ R^b | ἁπάσης ἄμοιρα libri: ἄμοιρα πάσης R 9 καὶ sscr F^1 | οἷα τε F 10 ἑαυτά REPMVs: αὑτά F | διὸ δὴ REF: om PMVs 11 θάτερα] καθάπερ F | νείμαντές τε τὰς πρώτας καὶ R | πρῶτας F 12 τῆς φωνῆς RFM: φωνῆς PVs 13 ὅσα καὶ] ὅσα M | ἐκφωνεῖται R 14 ἀ^υτοτελῆ F | δὲ P | μετὰ μὲν φωνηέντων EF: μετὰ μὲν τῶν φων. RPVs μετὰ τῶν φων. M 15 αὐτὰ ἑαυτῶν REF: om PMVs | ἐκφέρηται F | καθ' αὑτὰ R 16 καὶ EF: τε καὶ RPMVs | δὲ PVs 17 ἡμιτελεῖς REF: ἡμιτελείας PMVs | καθ' αὑτὰ R 18 δὲ ἐκφωνεῖται REFMVs δὲ καὶ φωνεῖται P

ἀριθμὸς δὲ αὐτῶν ὅςτίς ἐστιν, οὐ ῥᾴδιον εἰπεῖν ἀκριβῶς, ἐπεὶ πολλὴν παρέσχε καὶ τοῖς πρὸ ἡμῶν ἀπορίαν τὸ πρᾶγμα· οἳ μὲν γὰρ ᾠήθησαν εἶναι τρισκαίδεκα τὰ πάντα τῆς φωνῆς στοιχεῖα, κατεσκευάσθαι δὲ τὰ λοιπὰ ἐκ τούτων· οἳ δὲ καὶ τῶν εἰκοσιτεσσάρων | οἷς χρώμεθα νῦν πλείω. ἡ μὲν οὖν ὑπὲρ τούτων 74 θεωρία γραμματικῆς τε καὶ μετρικῆς, εἰ δὲ βούλεταί τις, καὶ φιλοσοφίας οἰκειοτέρα· ἡμῖν δὲ ἀπόχρη μήτ' ἐλάττους τῶν κδ̄ μήτε πλείους ὑποθεμένοις εἶναι τὰς τῆς φωνῆς ἀρχὰς τὰ συμβεβηκότα αὐτοῖς λέγειν, τὴν ἀρχὴν ἀπὸ τῶν φωνηέντων ποιησαμένοις.

ἔστι δὴ ταῦτα τὸν ἀριθμὸν ζ̄, δύο μὲν βραχέα τό τε ε̄ καὶ τὸ ο̄, δύο δὲ μακρὰ τό τε η̄ καὶ τὸ ω̄, τρία δὲ δίχρονα τό τε ᾱ καὶ τὸ ῑ καὶ τὸ ῡ, καὶ γὰρ ἐκτείνεται ταῦτα καὶ συστέλλεται· καὶ αὐτὰ οἳ μὲν δίχρονα, ὥςπερ ἔφην, οἳ δὲ μεταπτωτικὰ καλοῦσιν. φωνεῖται δὲ ταῦτα πάντα παρὰ τῆς ἀρτηρίας συνηχούσης τῷ πνεύματι

1 ἀριθμὸς RFM: ὁ ἀριθμὸς PVs | δὲ om R 2 πολλὴν] πολλοῖς R[a] | παρέσχεν PV | πρω P 3 πράγμα F | εἶναι om P 4 τὰ πάντα PMs: πάντα R et qui post u τῆς φωνῆς collocat F | κδ̄ R Κ καὶ Δ F 6 οὖν om M 7 καὶ γεωμετρικῆς R[b] | εἰ δὲ RF: εἰ PMVs 8 οἰκειότερα M | δ' F 9 μήτ'] μήτε PMR[b]Vs μὴ R | κ////δ P εἴκοσι τεσσάρων M | ὑποθεμένους R | εἶναι RF: δεικνύ/////ν(αι) c ras P, Vs et cum sscr εἶναι M 10 τὰ RF: καὶ τὰ PMVs | αὐτοῖς RF: αὐτῆι P, MVs 11 φωνηέντων] συμβεβηκότων R[b] 12 δὴ] δὲ RVs | ζ̄] ἑπτά M δύο] β̄ P | μὲν βραχέα τότε (τὸ R) ἔ καὶ τὸ ό. δυὸ δὲ μακρὰ F, ER: μὲν μακρὰ PMVs. hiatum Smithio de recta linguae gr. pronuntiatione p 33 auctore Vptonus uerbis δύο δὲ βραχέα τό τ' ε καὶ τὸ ο post ω̄ insertis expleuerat 13 τό τε η̄] τὸ η R | ω] ω μέγα M | τρία] γ̄ P 14 τό τε] τὸ R | καὶ γὰρ ἐκτείνεται ταῦτα RFE: ἃ καὶ ἐκτείνεται PMVs 15 καὶ αὐτὰ RF: ἃ PMVs | μὲν] μὲν ἤδη R 16 φωνεῖται RF: ἐκφωνεῖται EPMVs | δὲ] γὰρ R | ταῦτα om E 17 παρὰ τῆς EF ἀπὸ τῆς M: τῆς RPVs | συνηχούσης R: συνεχούσης libri τῶι πνεύματι R τὸ πν̄ι F: τὸ πνεῦμα EPMVs

75 καὶ τοῦ στό|ματος ἁπλῶς σχηματισθέντος τῆς τε γλώττης οὐδὲν πραγματευομένης ἀλλ' ἠρεμούσης. πλὴν τὰ μὲν μακρὰ καὶ τῶν διχρόνων ἃ μακρῶς λέγεται τεταμένον λαμβάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος, τὰ δὲ βραχέα ἢ βραχέως λεγόμενα ἐξ ἀποκοπῆς τε καὶ μιᾷ πληγῇ πνεύματος καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης ἐκφέρεται. τούτων δὴ κράτιστα μέν ἐστι καὶ φωνὴν ἡδίστην ἀποτελεῖ τά τε μακρὰ καὶ τῶν διχρόνων ὅσα μηκύνεται κατὰ τὴν ἐκφοράν, ὅτι πολὺν ἠχεῖται χρόνον καὶ τὸν τοῦ πνεύματος οὐκ ἀποκόπτει τόνον· χείρω δὲ τὰ βραχέα ἢ βραχέως λεγόμενα, ὅτι μικρόφωνά τε ἐστὶ καὶ σπανίζει τὸν ἦχον. αὐτῶν δὲ τῶν μακρῶν πάλιν εὐφωνότατον μὲν τὸ ᾱ, 76 ὅταν | ἐκτείνηται· λέγεται γὰρ ἀνοιγομένου τε τοῦ στόματος ἐπὶ πλεῖστον καὶ τοῦ πνεύματος ἄνω φερομένου πρὸς τὸν οὐρανόν. δεύτερον δὲ τὸ η̄, διότι κάτω τε περὶ τὴν βάσιν τῆς γλώττης ἐρείδει τὸν ἦχον ἀλλ'

1 στόματος] σώματος R | γλώσσης R[a]Vs 2 τὰ μὲν PMs: καὶ τὰ μὲν R καὶ τὰ EF 3 καὶ τῶν] τῶν pr FE[m] | ἃ RE ἃ καὶ F: ὅσα PMVs | τεταμμένον F τεταγμένον R[a] cf adn p 48, 3 6 τε post ἀποκοπῆς om R[a] | πν̄ατα· R[b] 7 κινιθείσης P | ἐκφέρει R sed cf ἐκφερόμενα supra adn p 48, 3 | μέν ἐστι] μὲν P 8 μικρὰ R[a] 9 ὅσα] καὶ τῶν ὅσα ed Walzius | τὴν om R[b] 10 ἠχεῖται R[b] ἠχεῖ legisse R uidetur p 969, 26 (supra adn p 48, 3) | καὶ τὸν RFE: καὶ PMVs | οὐκ ἀποκόπτει τόνον RF οὐκ ἀποκόπτει χρόνον E: οὐ κατακόπτει τὸν τόνον PMVs 11 βαχέα F | ἢ] ἢ τὰ Vs 12 σπανίζει REF: σπαδονίζει PMVs cf adn p 48, 3 13 αὐτῶν] ***αὐτῶν (τῶν erasum) P | πάλιν REF: om PMs | μὲν τὸ EF τὸ μὲν M: τὸ RPVs 14 τε τοῦ R: τὸ F τοῦ EPMVs | στόματος] στοχάσματος R[a] 15 ἄνω φερομένου R[a]PMVs: ἀναφερομένου R[b]EF 16 [π]ρὸς c lit P | οὐρανόν] τὴν ὑπερῴαν (ὑπερώαν a ὑπερώην b) φησίν mg R | διότι REF: ὅτι PMVs | κάτω τε F τε κάτω R: κάτω EPMVs 17 γλώττης EF: γλώσσης RPMVs | ἀλλ' οὐκ REF: ἀκόλουθον ἀλλ' οὐκ PMVs

οὐκ ἄνω, καὶ μετρίως ἀνοιγομένου τοῦ στόματος. τρί-
τον δὲ τὸ ω̅· στρογγυ|λίζεται γὰρ ἐν αὐτῷ τὸ στόμα 77
καὶ περιστέλλεται τὰ χείλη τήν τε πληγὴν τὸ πνεῦμα
περὶ τὸ ἀκροστόμιον ποιεῖται. ἔτι δ' ἧττον τούτου τὸ υ̅·
περὶ γὰρ αὐτὰ τὰ χείλη συστολῆς γινομένης ἀξιολόγου
πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος. ἔσχατον δὲ πάν-
των τὸ ι̅· περὶ τοὺς ὀδόντας τε γὰρ ἡ κροῦσις τοῦ
πνεύματος γίνεται μικρὸν ἀνοιγομένου τοῦ στόματος
καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλῶν τὸν ἦχον. τῶν
δὲ βραχέων οὐδέτερον μὲν εὔμορφον, ἧττον δὲ δυσει-
δὲς τοῦ ε̅ τὸ ο̅· διίστησι γὰρ τὸ στόμα κρεῖττον θα-
τέρου καὶ τὴν πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν
μᾶλλον.

φωνηέντων μὲν οὖν γραμμάτων αὕτη φύσις· ἡμι- 78
φώνων δὲ τοιάδε· ὀκτὼ τὸν ἀριθμὸν ὄντων αὐτῶν
πέντε μέν ἐστιν ἁπλᾶ τό τε λ̅ καὶ τὸ μ̅ καὶ τὸ ν̅ καὶ

5 Scholiasta Dionysii Thracis p 691, 27 B. τὸ υ̅ τὰ χείλη συστέλλει κατὰ τὴν ἐκφώνησιν. φησὶ γὰρ Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ στοιχείων καὶ συλλαβῶν λόγῳ ὅτι περὶ αὐτὰ . . . ἦχος.

1 τοῦ στόματος REFM: om PVs. intercidit uerbum quale φωνεῖται 2 στρογγυλίζεται RE στρογγυλλίζεται F: στρογγύλλεταί τε MVs στογγύλλεταί τε P | τὸν pr F 3 περιστέλλεται REF: περιστέλλει PMVs 4 ἔτι RF: ἔστι EPMVs | δ'] δὲ RPMVs | τούτου ⟨εὔφωνον⟩ ci Reiskius | υ̅] ε̅ R 5 γινομένης REF: γενομένης PMVs, schol Dion 7 τε ante γὰρ om E | γὰρ] καὶ R | κροῦσις R: κρίσις EF κρότησις PVs et sscr ϭῖος (κροῦσις?) M 8 γ[ίν]εται cum rasura F 9 οὐκ ἐπιλαμπρυνόντων] οὐκέτι λαμπρυνόντων P | χειλῶν RFP: χειλέων EMVs 10 εὔμορφον REF: εὔηχον PMVs δυσειδὲς R (cf p 972, 2) EF: δυσηχὲς PMVs 11 τοῦ ε̅ τὸ ο| τὸ ε̅ REFMV: τὸ ο̅ Ps 12 καὶ τὴν REF: τὴν δὲ PMVs 14 αὔτη F αὕτη ἡ Reiskius 15 ὀκτὼ RF: ὀκτὼ γὰρ EPMVs 16 πέντε] ε̅ PVs | ἐστιν] εἰσιν R | λ̃ καὶ μ̃ καὶ ν̃ R^b καὶ τὸ ρ̅ καὶ τὸ ν̅ F

τὸ ρ̅ καὶ τὸ σ̅· διπλᾶ δὲ τρία τό τε ζ̅ καὶ τὸ ξ̅ καὶ
τὸ ψ̅. διπλᾶ δὲ λέγουσιν αὐτὰ ἤτοι διὰ τὸ σύνθετα
εἶναι τὸ μὲν ζ̅ διὰ τοῦ σ̅ καὶ δ̅, τὸ δὲ ξ̅ διὰ τοῦ κ̅
καὶ σ̅, τὸ δὲ ψ̅ διὰ τοῦ π̅ καὶ σ̅ συνεφθαρμένων ἀλ-
λήλοις ἰδίαν φωνὴν λαμβάνοντα, ἢ διὰ τὸ χώραν ἐπέ-
χειν δυεῖν γραμμάτων ἐν ταῖς συλλαβαῖς παραλαμβα-
νόμενον ἕκαστον. τούτων δὴ κρείττω μέν ἐστι τὰ
διπλᾶ τῶν ἁπλῶν, ἐπειδὴ μείζονά ἐστι τῶν ἑτέρων καὶ
μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις· ἥττω δὲ τὰ ἁπλᾶ
διὰ τὸ εἰς βραχυτέρους τόπους συνάγεσθαι τὸν ἦχον.
φωνεῖται δ' αὐτῶν ἕκαστον τοιόνδέ τινα τρόπον· τὸ
μὲν λ̅ τῆς γλώττης πρὸς τὸν οὐρανὸν ἱσταμένης καὶ
τῆς ἀρτηρίας συνηχούσης· τὸ δὲ μ̅ τοῦ μὲν στόματος
τοῖς χείλεσι πιεσθέντος, τοῦ δὲ πνεύματος διὰ τῶν
79 ῥωθώνων μερι|ζομένου· τὸ δὲ ν̅ τῆς γλώττης τὴν φορὰν
τοῦ πνεύματος ἀποκλειούσης καὶ μεταφερούσης ἐπὶ τοὺς

1 διπλὰ δὲ τρία F, R^bE διπλᾶ δὲ καὶ τρία R^a: τρία (γ̅ P) δὲ διπλᾶ PMVs | τό τε] τὸ R 2 ἤτοι om F | σύνθετον P σύνθετον αὐτὸν R^a 3 τοῦ δ̅ καὶ τοῦ σ̅ R^a τοῦ δ̅ καὶ σ̅ R^b | τὸ δὲ ξ διὰ τοῦ κ καὶ σ om R^b | τὸ ξ̅ R^a | κ̅ καὶ τοῦ σ̅ R^a 4 τὸ ψ̅ R^a 5 ἰδίαν RF: καὶ ἰδίαν PMVs cf E | λαμβανόντων MVs | χῶραν F | ἔχειν R^b 6 δυεῖν RFEP: δυοῖν MVs pr R^a | παραλαμβανόμενον ἕκαστον RF: παραλαμβανόμενα. ἑκάστου PMVs 7 τούτων δὴ EF τούτου δὴ R^b: δὴ τούτων PMVs τούτων R^a 9 ἧττον R^a 10 βραχυτέρους F βαρυτέρους R: βραχυτέρους αὐτῶν E, PM (qui tamen δυ supra scripto βραδυτέρους efficit), Vs | τόπους RF corr M: τόνους EP pr MVs 11 ἐκφωνεῖται MVs | δὲ PVs δι' E^d | τοιόνδέ REFM: τοιόνδε δή PVs 12 γλώττης REF: γλωσ(ης) P γλώσσης MVs | ἱσταμένης REF: ἀνισταμένης PMVs 13 συνηχούσης REF: συνηχούσης τὸ πνεῦμα M συνεχούσης τὸ πνεῦμα PVs 14 διὰ τῶν . . . . 16 πνεύματος REFM: om P. Stephanus cum V et hiatum expleuit et uerba 49 sq τοῦ δὲ πνεύματος omisit, suppleta coniectura Sylburgii 15 ν̅] π̅ R 16 [καὶ μετα]φερούσης c lit F | τοὺς ῥώθωνας RPMs: τον ῥώθωνα F, E

ῥώθωνας τὸν ἦχον· τὸ δὲ ρ̅ τῆς γλώττης ἄκρας ἀπορριπιζούσης τὸ πνεῦμα καὶ πρὸς τὸν οὐρανὸν ἐγγὺς τῶν ὀδόντων ἀνισταμένης· τὸ δὲ σ̅ τῆς μὲν γλώττης προσαγομένης ἄνω πρὸς τὸν οὐρανὸν ὅλης, τοῦ δὲ πνεύματος διὰ μέσων αὐτῶν φερομένου καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ στενὸν ἐξωθοῦντος τὸ σύριγμα. τρία δὲ τὰ λοιπὰ ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον ἐξ ἑνὸς μὲν τῶν ἡμιφώνων τοῦ σ̅, τριῶν δὲ ἀφώνων τοῦ τε δ̅ καὶ τοῦ κ̅ καὶ τοῦ π̅.

οὗτοι σχηματισμοὶ γραμμάτων ἡμιφώνων. δύναται δ' οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα· ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ̅ καὶ ἔστι τῶν ἡμιφώνων γλυκύτατον, | τραχύνει δὲ τὸ ρ̅ καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον· 80 μέσως δέ πως διατίθησι τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα τό τε μ̅ καὶ τὸ ν̅ κερατοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους. ἄχαρι δὲ καὶ ἀηδὲς τὸ σ̅ καὶ πλεονάσαν σφόδρα λυπεῖ· θηριώδους γὰρ καὶ ἀλόγου μᾶλλον ἢ λογικῆς ἐφάπτεσθαι δοκεῖ φωνῆς ὁ συριγμός· τῶν γοῦν παλαιῶν τινες σπανίως ἐχρῶντο αὐτῷ καὶ

1 γλώττης REF: γλώσσης PMVs | ἄκρως R | ἀπορριπιζούσης RF: ἀπορραπιζούσης EPVs ἀποραπιζούσης pr PM 3 σ* F | τῆς om P | μὲν om R[b] | γλώττης REF: γλώσσης PMVs 4 προσαγομένης R προαγομένης EF: προσἀναγομένης P, Vs προανοιγομένης M | ἄνω om pr R[a] | ὅλης R (sed post γλώττης traicit b), EF ὅλως δὲ M: om PVs | δὲ post τοῦ om M 5 μέσων αὐτῶν R μέσον αὐτῶν F μέσουν (ων sscr) αὐτοῦ M: μέσου αὐτοῦ EPVs 7 ψόφον] ψόφον (ψόφων a) τῶν ἡμιφώνων R 9 δ̅ καὶ τοῦ κ̅ REF: κ̅ καὶ τοῦ δ̅ PMVs 10 οὗτοι | οὗτοι οἱ Schaefer | δύνατε P[1] 11 δὲ RPMVs | τὴν ἀκοὴν extremo uersu suppleuit F 13 γεναιότατον V 14 τῶν om E[m] 15 τὸ μ̅ R 16 καὶ ἀειδὲς E[v], Walzius p 968, 9 aduersis a b | καὶ πλεονάσαν REF: καὶ εἰ πλεονάσαι PM καὶ εἰ πλεονάσειε Vs 17 ἀλόγου RPMVs: ἀλάλου EF 18 δοκεῖ φωνῆς] φωνῆς δοκεῖ R 19 τινες σπανίως ἐχρῶντο REF: σπανίως ἐχρῶντο τινὲς PMVs | αὐτό P

πεφυλαγμένως, εἰσὶ δ' οἳ καὶ ἀσίγμους ὅλας ᾠδὰς ἐποίουν· δηλοῖ δὲ τοῦτο καὶ Πίνδαρος ἐν οἷς φησι·

81 πρὶν μὲν εἷρπε | σχοινοτένειά τ' ἀοιδὰ διθυράμβω
καὶ τὸ σὰν κίβδηλον ἀνθρώποις.

82 τριῶν δὲ τῶν ἄλλων γραμμάτων ἃ δὴ δι|πλᾶ καλεῖται τὸ ξ̅ μᾶλλον ἡδύνει τὴν ἀκοὴν τῶν ἑτέρων· τὸ μὲν γὰρ ξ̅ διὰ τοῦ κ̅ καὶ τὸ ψ̅ διὰ τοῦ π̅ τὸν συριγμὸν ἀποδίδωσι ψιλῶν ὄντων ἀμφοτέρων, τοῦτο δ' ἡσυχῇ τῷ πνεύματι δασύνεται καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον. καὶ περὶ μὲν τῶν ἡμιφώνων τοσαῦτα.

τῶν δὲ καλουμένων ἀφώνων ἐννέα ὄντων τρία
83 μέν | ἐστι ψιλά, τρία δὲ δασέα, τρία δὲ μεταξὺ τούτων· ψιλὰ μὲν τὸ κ̅ καὶ τὸ π̅ καὶ τὸ τ̅, δασέα δὲ τὸ θ̅ καὶ τὸ φ̅ καὶ τὸ χ̅, κοινὰ δὲ ἀμφοῖν τὸ β̅ καὶ τὸ γ̅ καὶ τὸ δ̅. φωνεῖται δὲ αὐτῶν ἕκαστον τρόπον τόνδε·

3 Pindarus fr 79 Bergk

1 πεφυλαγμέν//// (ς sscr) P | δὲ RPMVs | καὶ REF: om PMVs | ἀσήμους M ἀσίμους V | ὅλας [ᾠιδὰ]ς c lit F, E ὅλας αὐδὰς R: ᾠιδὰς ὅλας P, MVs 2 ἐποιοῦντο R | δηλοῖ . . . 4 ἀνθρώποις om R | τοῦτο καὶ EF: τοῦτο PVs, omissum sscr M 3 ἧρπε F ἧρχε MV: ἤριπε EPs | σχοινοτενεῖ[ατα] οἶδα c ras F σχοινοτενὴς ἀδα φωνήεντα M: σχοινοτενει φωνήεντα P, V σχοινοτενῆ φωνήεντα Es | διθυράμβου F: διθυράμβων EPMVs om Athenaeus 4 κίβδηλον EF ut Athenaeus: κίβδαλον PMVs | ἀνθρώποις EFM ἄνθρωποι PVs: ἀνθρώποισιν ἀπὸ στομάτων Pindarus Athenaei ope restitutus 5 δὲ] δὴ F | δὴ om R 7 γὰρ om R | καὶ τὸ ψ RE: τὸ δὲ ψ̅ FPMVs | ψῖ διὰ τοῦ πῖ R[b] | τὸν om RE 8 τούτω R[b] | δὲ R | ἡσυχεῖ F ἡσυχὴ pr R[b] 10 τοσαῦτα om R[a] 11 καλουμένων RPMVs: om EF | θ—γ̅—γ̅—τρία P 12 ἐστι] εἰσι R (εἰσιν b) 13 τὸ κ R: τό τε κ̅ FPMVs | τὸ (post δασέα δὲ) RF: τό τε PMVs | θ̅ καὶ τὸ φ̅ καὶ τὸ χ̅ R (cf θ φ̅ χ̅ E): φ̅ καὶ χ̅ καὶ θ̅ F φ̅ καὶ τὸ χ̅ καὶ τὸ θ̅ PMVs χ καὶ τὸ φ καὶ τὸ θ uolg 14 τὸ RF: τό τε PMVs | β̅ καὶ τὸ γ̅ καὶ τὸ δ̅ R β̅ καὶ τὸ γ̅ καὶ δ̅ F cf β̅ γ̅ δ̅ E: γ̅ καὶ τὸ β̅ καὶ τὸ δ̅ PMVs 15 ἐκφωνεῖται MVs | ἕκαστ[ον] c ras F

τρία μὲν ἀπὸ τῶν χειλῶν ἄκρων, ὅταν τοῦ στόματος πιεσθέντος τότε προβαλλόμενον ἐκ τῆς ἀρτηρίας τὸ πνεῦμα λύσῃ τὸν δεσμὸν αὐτοῦ. καὶ ψιλὸν μέν ἐστιν αὐτῶν τὸ π̅, δασὺ δὲ τὸ φ̅, μέσον δὲ ἀμφοῖν τὸ β̅· τοῦ μὲν γὰρ ψιλότερόν ἐστι, τοῦ δὲ δασύτερον. μία | μὲν αὕτη συζυγία τριῶν γραμμάτων ἀφώνων ὁμοίῳ 84 σχήματι λεγομένων, ψιλότητι δὲ καὶ δασύτητι διαφερόντων. τρία δὲ ἄλλα λέγεται τῆς γλώττης ἄκρῳ τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεώρους ὀδόντας, ἔπειθ' ὑπὸ τοῦ πνεύματος ἀπορριπιζομένης καὶ τὴν διέξοδον αὐτῷ κάτω περὶ τοὺς ὀδόντας ἀποδιδούσης· διαλλάττει δὲ ταῦτα δασύτητι καὶ ψιλότητι· ψιλὸν μὲν γὰρ αὐτῶν ἐστι τὸ τ̅, δασὺ δὲ τὸ θ̅, μέσον δὲ καὶ ἐπίκοινον τὸ δ̅. αὕτη δευτέρα συζυγία τριῶν γραμμάτων ἀφώνων. τρία δὲ τὰ λοιπὰ τῶν ἀφώνων λέγεται μὲν τῆς γλώττης ἀνισταμένης πρὸς τὸν οὐρανὸν ἐγγὺς τοῦ φάρυγγος καὶ τῆς ἀρτηρίας ὑπηχούσης

1 χειλῶν RFP: χειλέων EMVs | ἄκρων RFM: ἄκρων τὸ π̅ καὶ τὸ φ̅ καὶ τὸ β̅ EPVs 2 τό τε P: τὸ ceteri. cf 103, 12 | προσβαλλόμενον P | τὸ πνεῦμα P: πνεῦμα ceteri 3 θεσμὸν R | ψιλῶν an ψιλᾶ R[b] incertum | μὲν αὐτῶν ἐστι τὸ R[a] 4 αὐτῶν] αὐτοῦ P 5 ψιλ[ό]τερον c lit F, R: ψιλώτερον PMVs 6 τριῶν ἀφώνων γραμμάτων R 7 δὲ sscr F | δυσύτητι F 8 ἄλλα λέγεται PMVs ἄλλα ἄκρα λέγεται R: λέγεται ἄλλα EF | γλώσσης PMVs 9 μετεώρους REF: μετεωροτέρους PMVs | ὀδόντας F, etiam 11 R[a] 10 ἔπειτα R | ἀποῤῥιπιζομένης RF: ἀπορραπιζομένης E ἀποραπιζομένης P ὑποραπιζομένης M ὑπορραπιζομένης Vs 11 αὐτῶν κάτω E κάτω RF: αὐτῶν PM αὐτῷ Vs | τοὺς om R[a]F | ἀποδιδούσης RF: ἀποδιδούσης τὸ τ̅ καὶ τὸ θ̅ καὶ τὸ δ̅ PMVs, cf E 12 διαλάττει R[b]M | ταῦτα RF: καὶ ταῦτα PMVs | ψιλῶν F 13 αὐτῶν ἐστι RF: ἐστιν αὐτῶν PMVs 14 καὶ om F | δευτέρα] β̅ R | τριῶν RFM: om PVs 16 μὲν] μὲν γὰρ (sed μὲν sscr) R[b] | γλώσσης P | πρὸς REF: κατὰ PMVs 17 τοῦ φάρυγγος REF: τῆς φάρυγγος PMVs | καὶ τῆς] τῆς δὲ E. cf Graf Philol 1889 t 48, 759 | ἀρτιρίας F

τῷ πνεύματι, οὐδὲν οὐδὲ ταῦτα διαφέροντα τῷ σχήματι ἀλλήλων, πλὴν ὅτι τὸ μὲν κ̅ ψιλῶς λέγεται, τὸ 85 δὲ | χ̅ δασέως, τὸ δὲ γ̅ μετρίως καὶ μεταξὺ ἀμφοῖν. τούτων κράτιστα μέν ἐστιν ὅσα τῷ πνεύματι πολλῷ λέγεται, δεύτερα δ' ὅσα μέσως, κάκιστα δὲ ὅσα ψιλῶς· ταῦτα μὲν γὰρ τὴν αὑτῶν δύναμιν ἔχει μόνην, τὰ δὲ δασέα καὶ τὴν τοῦ πνεύματος προσθήκην, ὥστ' ἐγγύς που τελειότερα εἶναι ἐκείνων.

Ἐκ δὴ τῶν γραμμάτων τοσούτων τε ὄντων καὶ 15. δυνάμεις τοιαύτας ἐχόντων αἱ καλούμεναι γίνονται συλλαβαί. τούτων δὲ εἰσὶ μακραὶ μὲν ὅσαι συνεστήκασιν ἐκ τῶν φωνηέντων τῶν μακρῶν ἢ τῶν διχρόνων ὅταν μακρῶς ἐκφέρηται, καὶ ὅσαι λήγουσιν εἰς μακρὸν ἢ μακρῶς λεγόμενον γράμμα ἢ εἴς τι τῶν ἡμιφώνων τε καὶ ἀφώνων· βραχεῖαι δὲ ὅσαι συνεστήκασιν ἐκ βραχέος φωνήεντος ἢ βραχέως λαμβανομένου, καὶ ὅσαι λήγουσιν εἰς ταῦτα. μήκους δὲ καὶ βραχύτητος συλλαβῶν οὐ μία φύσις, ἀλλὰ καὶ μακρότεραί 86 τινές εἰσι τῶν μακρῶν καὶ | βραχύτεραι τῶν βραχειῶν. ἔσται δὲ τοῦτο φανερὸν ἐπὶ τῶν παραδειγμάτων.

1 πνεύματι RF: πνεύματι τὸ κ̅ καὶ τὸ χ̅ καὶ τὸ γ̅ EPMVs οὐδὲν οὐδὲ] οὐδὲν δὲ οὐδὲ R οὐδὲν δὲ οὐ F: οὐδενὶ PMVs 3 ἀμφοῖν. τούτων κράτιστα μέν ἐστιν F cf E, ἀμφοῖν τούτοιν (τούτων b)· κράτιστα μὲν οὖν ἐστιν R: τούτων. κράτιστα μὲν οὖν ἐστιν PMVs 5 δ' F: δὲ REPMVs | μέσως] μ[έσωι] c ras F μέσω EPMV, s μέσα R | κάκιστα REF: κακίω PMVs ψιλῶς R[a] ψιλῶ F: ψιλῶι P, EMVs ψιλά R[b] 6 αὐτῶν RF: ἑαυτῶν EPMVs | μόνην om R 7 ὥστ' RF ὡς E: ὥστε PMVs | ἐγγύς που R: ἐγγὺς τοῦ libri 8 τελειότερα REF: τελειότερον P τελειότατα MVs | ἐκείνων P: ἐκεῖνα RFMs, V om E 11 εἰσὶ EFP: ἐστὶ M ἐστὶ καὶ V 13 μακρῶς c lit supra ω P | ἐκφέρ[ω]νται c lit F, M 14 ἢ εἴς τι] εἴς τι F ἤ τι EP ἤτοι MV 15 τε καὶ EF: ἢ PMV | συνεστήκασι F 16 ἢ βραχέος V 17 δὲ] τε F 20 τοῦτο ex τούτου corr F

ὁμολογεῖται δὴ βραχεῖα εἶναι συλλαβή, ἣν | ποιεῖ 87
φωνῆεν γράμμα βραχὺ τὸ ο̅, ὡς λέγεται ὁδός. ταύτῃ
τις προσθέτω γράμμα ἓν τῶν ἡμιφώνων τὸ ρ̅ καὶ
γενέσθω Ῥόδος· μένει μὲν ἔτι βραχεῖα ἡ συλλαβή,
πλὴν οὐχ ὁμοίως ἀλλ' ἕξει τινὰ παραλλαγὴν ἀκαρῆ
παρὰ τὴν προτέραν. ἔτι προσθέτω ταύτῃ τῶν ἀφώ-
νων γραμμάτων ἓν τὸ τ̅ καὶ γενέσθω τρόπος· μείζων
αὕτη τῶν προτέρων ἔσται συλλαβῶν καὶ ἔτι βραχεῖα
μένει. τρίτον ἔτι γράμμα τῇ αὐτῇ συλλαβῇ προστε-
θήτω τὸ σ̅ καὶ γενέσθω στρόφος· τρισὶν αὕτη
προσθήκαις ἀκουσταῖς μακροτέρα γενήσεται τῆς βρα-
χυτάτης μένουσα ἔτι βραχεῖα. οὐκοῦν τέτταρες αὗται
βραχείας συλλαβῆς | διαφοραὶ τὴν ἄλογον αἴσθησιν 88
ἔχουσαι τῆς παραλλαγῆς μέτρον. ὁ δ' αὐτὸς λόγος
καὶ ἐπὶ τῆς μακρᾶς. ἡ γὰρ ἐκ τοῦ η̅ γινομένη συλ-
λαβὴ μακρὰ τὴν φύσιν οὖσα τεττάρων γραμμάτων
προσθήκαις παραυξηθεῖσα τριῶν μὲν προταττομένων,
ἑνὸς δὲ ὑποταττομένου, καθ' ἣν λέγεται σπλήν, μεί-
ζων ἂν δήπου λέγοιτο εἶναι τῆς προτέρας ἐκείνης τῆς
μονογραμμάτου· μειουμένη τ' οὖν αὖθις καθ' ἓν ἕκα-

1 δὴ] δεῖ P | βραχεῖα EM βραχέα (sed post accentum uirgula conspicua) F: βραχεῖαν PV | συλλαβὴν PV 2 γράμμα βραχὺ EF βραχὺ γράμμα V: γράμμα P sscr βραχὺ M | ὡς] ὡῖ P | ταύτης P 3 τίς προσθέτω F προστιθέτω M: προστεθήτω EPV | γράμμα ἓν EF ἓν γράμμα PV τὸ ἓν γράμμα M 5 ἀκαρὴ P ἀκαρεὶ MV: om EF 6 προσθέτω F: προστεθήτω EPMV 7 ἓν EF: om PMV 8 αὐτηι F 9 ἔτι EFM γέτι V: om P | προσ[τ]εθήτω c lit F 10 αὔτη (ut saepe) προσθήκ[αι]ς c lit F 11 μακρότερα F 12 τέτταρες F: τέσσαρες EPMV 13 supra τὴν ἀ. crucem posuit P² | ἄλογον EFV: ἀνάλογον PM | αἴθησιν P | ἔχουσαι αἴσθησιν V 14 δὲ PMV 15 γινομέν[η] c lit F γενομένη MV 17 παραξηθεῖσα pr F | τριῶν iterauerat F¹ | μὲν EF: om PMV 18 καθὼς ci Sauppius | μείζονα ἂν F 20 μονογραμμάτου sic (ὑφ' ἕν) P | μειουμένης P μειουμένων M | τε οὖν (hoc sscr) αὖθις F γ' οὖν αὖθις P, M: τε αὖ πάλιν E δ' αὖ πάλιν V | ἓν PMV: om EF

στον τῶν προστεθέντων γραμμάτων τὰς ἐπὶ τοὔλαττον
παραλλαγὰς αἰσθητὰς ἂν ἔχοι. αἰτία δὲ τίς ἐστι τοῦ
μήτε τὰς μακρὰς ἐκβαίνειν τὴν αὑτῶν φύσιν μέχρι
γραμμάτων ε̅ μηκυνομένας μήτε τὰς βραχείας εἰς ἓν
89 ἀπὸ πολλῶν γραμμάτων συστελλομένας | ἐκπίπτειν τῆς
βραχύτητος, ἀλλὰ κἀκείνας ἐν διπλασίῳ λόγῳ θεωρεῖσθαι τῶν βραχειῶν καὶ ταύτας ἐν ἡμίσει τῶν μακρῶν, οὐκ ἀναγκαῖον ἐν τῷ παρόντι σκοπεῖν. ἀρκεῖ γὰρ ὅσον εἰς τὴν παροῦσαν ὑπόθεσιν ἥρμοττεν εἰρῆσθαι, ὅτι διαλλάττει καὶ βραχεῖα συλλαβὴ βραχείας καὶ μακρὰ μακρᾶς καὶ οὐ τὴν αὐτὴν ἔχει δύναμιν οὔτ' ἐν λόγοις ψιλοῖς οὔτ' ἐν ποιήμασιν ἢ μέλεσιν διὰ μέτρων ἢ ῥυθμῶν κατασκευαζομένοις πᾶσα βραχεῖα καὶ πᾶσα μακρά.

πρῶτον μὲν δὴ θεώρημα τοῦτο τῶν ἐν ταῖς συλλαβαῖς παθῶν, ἕτερον δὲ τοιόνδε· τῶν γραμμάτων πολλὰς ἐχόντων διαφορὰς οὐ μόνον περὶ τὰ μήκη καὶ τὰς βραχύτητας ἀλλὰ καὶ περὶ τοὺς ἤχους, ὑπὲρ ὧν ὀλίγῳ πρότερον εἴρηκα, πᾶσα ἀνάγκη καὶ τὰς ἐκ τούτων συνισταμένας συλλαβὰς ἢ διὰ τούτων πλεκομένας ἅμα τήν τε ἰδίαν ἑκάστου σῴζειν δύναμιν καὶ τὴν κοινὴν ἁπάντων, ἣ γίνεται διὰ τῆς κράσεώς τε καὶ

1 ἐπ[ι] c lit maiore P² | τοὔλαττον] τὸ λεῖπον PM 2 ἔχῃ M | τίς ex τί corr F: ἢ τίς PM, V 3 αὐτῶν F: ἑαυτῶν PMV 4 ε̅ μηκ.... 5 γραμμάτων om F | ε̅ conieci: ἑπτὰ PM δ̅ V 5 *ἀπὸ* ex κατὰ corr P 9 ἥρμοττεν F 10 διαλάττει M 11 οὐ F: οὔτε PMV | priore loco οὔτε PMV, altero M 13 μέτρων ἢ ῥυθμῶν F: ῥυθμῶν ἢ μέτρων PMV 14 πᾶσα supplet M² 15 δὴ ⟨τὸ⟩ ci Sauppius | ἐν om F 17 μόνον δὲ pr F | 17 et 18 περὶ EFP: παρὰ MV 19 πᾶσα om E | καὶ EF: om PMV 21 ἰδίαν in ras F | σώιζειν P σώζει M 22 ἣ] ἢ FM | γίνηται h | καὶ EF: καὶ τῆς PMV

παραθέσεως αὐτῶν· ἐξ ὧν μαλακαί τε φωναὶ γίνονται καὶ σκληραὶ | καὶ λεῖαι καὶ τραχεῖαι, γλυκαίνουσαί τε 90
τὴν ἀκοὴν καὶ πικραίνουσαι, καὶ στύφουσαι καὶ διαχέουσαι, καὶ πᾶσαν ἄλλην κατασκευάζουσαι διάθεσιν φυσικήν· αὗται δ᾽ εἰσὶ μυρίαι τὸ πλῆθος ὅσαι.

Ταῦτα δὴ καταμαθόντες οἱ χαριέστατοι ποιητῶν τε καὶ συγγραφέων τὰ μὲν αὐτοὶ κατασκευάζουσιν ὀνόματα συμπλέκοντες ἐπιτηδείως ἀλλήλοις, τὰ δὲ γράμματα καὶ τὰς συλλαβὰς οἰκείας οἷς ἂν βούλωνται παραστῆσαι πάθεσιν ποικίλως φιλοτεχνοῦσιν, ὡς ποιεῖ πολλάκις Ὅμηρος, ἐπὶ μὲν τῶν προσηνέμων αἰγιαλῶν τῇ παρεκτάσει τῶν συλλαβῶν τὸν ἄπαυστον ἐκφαίνειν βουλόμενος ἦχον

ἠιόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω·

ἐπὶ δὲ τοῦ τετυφλωμένου Κύκλωπος τό τε τῆς ἀλγη- 91
δόνος μέγεθος καὶ τὴν διὰ τῶν χειρῶν βραδεῖαν ἔρευναν τῆς τοῦ σπηλαίου θύρας

Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνησι,
χερσὶ ψηλαφόων·

14 Homerus *P* 265 18 idem *ι* 415

1 *γίνονται* om E 2 *γλυκαίνουσί* M 3 *στίφουσαι* M | *διαχέουσι* pr F 4 *πᾶσαν* EFM: *πᾶσαν τὴν* PV 5 *φυσικὴν* | *εἰσφυσικὴν* F | *αὖτε* M | *δὲ* EFM | *ὅσαι* om E in marg *λείπει* adnotat V 6 *δὴ* PMV: *ἤδη* EF 7 *αὐτοὶ* EF: *αὐτοί τε* PMV 8 *τὰ δὲ* FM: *τὰ* EPV 9 *οἰκείας* F *δὲ οἰκείας* E: *οἰκείως* PM *δὲ οἰκείως* V | *οἷς ἀεὶ βούλονται* M 10 *ὡς ὅμηρος ποιεῖ* (om *πολλάκις*) E 11 *τῶν* EF: om PMV 12 *τὸν* om P | *ἐκφαίνειν* EF: *ἐμφαίνειν* PMV 14 *βοόσιν* pr P 15 *τετυφλωμένου* E *τετυφωμένου* F: *τυφλουμένου* PMV | *τό τε*] *το* P 16 *μέγεθος καὶ τὴν διὰ* iterat V | *τὴν διὰ* EMV: *διὰ τὴν* FP *δὴ τὴν* G 18 *στεναχον* P *στονάχων* M | *ὀδύνηισιν* P 19 *ψηλαφῶν* F

καὶ ἄλλοθί που δέησιν ἐνδείξασθαι βουλόμενος πολλὴν καὶ κατεσπουδασμένην

92 οὐδ᾽ εἴ κεν μάλα πολλὰ πάθῃ ἑκάεργος Ἀπόλλων,
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.

μυρία ἔστιν εὑρεῖν παρ᾽ αὐτῷ τοιαῦτα χρόνου μῆκος ἢ σώματος μέγεθος ἢ πάθους ὑπερβολὴν ἢ στάσεως ἠρεμίαν ἢ τῶν παραπλησίων τι δηλοῦντα παρ᾽ οὐδὲν οὕτως ἕτερον ἢ τὰς τῶν συλλαβῶν κατασκευάς· καὶ ἄλλα τούτοις ἐναντίως εἰργασμένα εἰς βραχύτητα καὶ τάχος καὶ σπουδὴν καὶ τὰ τούτοις ὁμοιογενῆ, ὡς ἔχει ταυτί

ἀμβλήδην γοόωσα μετὰ δμωῇσιν ἔειπεν

καὶ

93 ἡνίοχοι δ᾽ ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ.

ἐφ᾽ ἧς μὲν γὰρ ἡ τοῦ πνεύματος δηλοῦται συγκοπὴ καὶ τὸ τῆς φωνῆς ἄτακτον, ἐφ᾽ ὧν δ᾽ ἡ τῆς διανοίας ἔκστασις καὶ τὸ τοῦ δείματος ἀπροσδόκητον· ποιεῖ δὲ τούτων ἑκάτερον ἡ τῶν συλλαβῶν τε καὶ γραμμάτων ἐλάττωσις.

Καὶ αὐτοὶ μὲν δὴ κατασκευάζουσιν οἵ ποιηταὶ καὶ 16
λογογράφοι πρὸς χρῆμα ὁρῶντες οἰκεῖα καὶ δηλωτικὰ 21

3 Homerus *X* 220 sq 12 idem *X* 476 14 idem *Σ* 225

2 *καὶ* om E | *κατασπουδασμένην* (ex -*ων* corr) P 3 *πάθη* EF: *πάθοι* PMV | *ἐκάεργος* F 4 *προκυλινδόμενος* FM | *αἰγιόχοιο* om EF 5 *εὑρεῖν* om F 6 *ὑπερ[β]ολὴν* c lit P | *στάσεων* F 7 *ἠρεμίαν*] *ὁμιλίαν* FM 8 *οὕτω* F 9 *βραδύτητα* M[1] 10 *ὁμοιογενῆ* F *ὁμο*γενῆ* P: *ὁμογενῆ* MV 12 *ἀμβλήδη* M | *γοωσα* pr P *γοῶσα* F | *δμωιῆισιν* P *Τρώῃσιν* exempla Homeri | *ἔοιπε* M 14 *ἔκπληγον* PMV | *ἀκάμαντον* F 15 *ἧς* F: *ὧν* PMV. Andromacham dicit 16 *δὲ* F 17 *ἔκστασις* FM: *ἔκτασις* PV | *δείγματος* PV 20 *μὲν* F: *τε* PMV 21 *πρὸς χρῆμα* PV cf 62, 18 et de syntaxi Dindorfius ad Arist. au. 1334 *πρὸς ἄνδρ᾽ ὁρῶν*: *πρόσχημα* FM

τῶν ὑποκειμένων τὰ ὀνόματα, ὥςπερ ἔφην· πολλὰ δὲ καὶ παρὰ τῶν ἔμπροσθεν λαμβάνουσιν ὡς ἐκεῖνοι κατεσκεύασαν, ὅσα μιμητικὰ τῶν πραγμάτων ἐστίν· ὡς ἔχει ταυτί

ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο. 94
αἰγιαλῷ μεγάλα βρέμεται, σμαραγεῖ δέ τε πόντος.
σκέπτετ' ὀιστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.

μεγάλη δὲ τούτων ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις ἡ ποιοῦσα μιμητικοὺς [καὶ θετικοὺς] ἡμᾶς τῶν ὀνομάτων, οἷς δηλοῦται τὰ πράγματα κατά τινας εὐλόγους καὶ κινητικὰς τῆς διανοίας ὁμοιότητας· ὑφ' ἧς ἐδιδάχθημεν
ταύ|ρων τε μυκήματα λέγειν καὶ χρεμετισμοὺς ἵππων 95
καὶ φριμαγμοὺς τράγων πυρός τε βρόμον καὶ πάταγον ἀνέμων καὶ συριγμὸν κάλων καὶ ἄλλα τούτοις ὅμοια παμπληθῆ τὰ μὲν φωνῆς μηνύματα, τὰ δὲ μορφῆς, τὰ δὲ ἔργου, τὰ δὲ πάθους, τὰ δὲ κινήσεως, τὰ δ' ἠρεμίας, τὰ δ' ἄλλου χρήματος ὅτου δή· περὶ ὧν εἴρηται πολλὰ τοῖς πρὸ ἡμῶν, τὰ κράτιστα δ' ὡς πρώτῳ τὸν

5 Homerus ε 402 6 idem *M* 207 7 idem *B* 210 8 idem *Π* 361

3 κατεσκευάσαντες M | μιμητικὰ EF: μιμητικώτατα PMV γραμμάτων PM 5 ῥόγχθει F ῥοχθεῖ PMV | ἠπήροιο M 6 κλάξας F | πνοῆσ F 7 μεγάλα F ut ci Bentleius: μεγάλωι P, EM cum uolg Homeri, om V 8 ὁ ἰστῶν F | ῥοίζων F | τε] τῶν τε M 9 δὲ om V 10 καὶ θετικοὺς ἡμᾶς EF ἡμᾶς καὶ θετικοὺς V καὶ θετικοὺς M: ἡμᾶς P 12 τῆς EF: om PMV | [ὑ]φ' e ras ampliore P | ἧς P: ὧν EFMV 13 τε om F, non E 14 φριμαγμοὺς EF φριγμοὺς P: φρυαγμοὺς V φρυμαγμοὺς M | τράγων] ταύρων F | πυρός] πρός V et sscr υ M 15 συριγμῶν F[1] 16 μηνύματα F: μιμήματα EPM μιμητικὰ V 17 ἔργων E ἔργα M | δ'] utroque loco et 18 δὲ PMV | ἐρημίας F 18 δή P: δή ποτε FMV 19 δ' ὡς F: δὲ νέμω (νέμων M) ὡς PMV

96 ὑπὲρ ἐτυμολογίας εἰσαγαγόντι λόγον, Πλά|τωνι τῷ Σωκρατικῷ, πολλαχῇ μὲν καὶ ἄλλῃ μάλιστα δ' ἐν τῷ Κρατύλῳ.

Τί δὴ τὸ κεφάλαιόν ἐστί μοι τούτου τοῦ λόγου; ὅτι παρὰ μὲν τὰς τῶν γραμμάτων συμπλοκὰς ἡ τῶν συλλαβῶν γίνεται δύναμις ποικίλη, παρὰ δὲ τὴν τῶν συλλαβῶν σύνθεσιν ἡ τῶν ὀνομάτων φύσις παντοδαπή, παρὰ δὲ τὰς τῶν ὀνομάτων ἁρμονίας πολύμορφος ὁ λόγος· ὥςτε πολλὴ ἀνάγκη καλὴν μὲν εἶναι λέξιν ἐν ᾗ καλά ἐστιν ὀνόματα, κάλλους δὲ ὀνομάτων συλλαβάς τε καὶ γράμματα καλὰ αἴτια εἶναι, ἡδεῖαν δὲ διάλεκτον ἐκ τῶν ἡδυνόντων τὴν ἀκοὴν γίνεσθαι κατὰ τὸ παραπλήσιον ὀνομάτων τε καὶ συλλαβῶν καὶ γραμμάτων, τάς τε κατὰ μέρος ἐν τούτοις διαφοράς, καθ' ἃς δηλοῦται τά τε ἤθη καὶ τὰ πάθη καὶ αἱ διαθέσεις καὶ τὰ ἔργα τῶν προσώπων καὶ τὰ συνεδρεύοντα τούτοις, ἀπὸ τῆς πρώτης κατασκευῆς τῶν γραμμάτων γίνεσθαι τοιαύτας.

5—11 Scholion Hermogenis π ἰδ I 12 in Walzii Rhet t VII p 1049, 9 (= R) ἐν τῷ περὶ συνθέσεως ὀνομάτων περὶ λέξεως διαλαμβάνων λέγει, ὅτι περὶ μὲν τὰς .... καλὰ αἴτια

1 εἰσάγοντι MV 2 ἄλλῃ FP: ἄλλοθι MV | δὲ ἐν PMV 4 ἔστι M | τούτου om V 5. 6. 8 παρὰ] περὶ R, 5 et 8 παρὰ sscr ερὶ M 5 παρὰ μὲν] μὲν παρὰ F | πραγμάτων F 6 δύναμις RF: σύνθεσις EPV sscr δύναμις M | τὴν EF τὰς RP: om MV 7 σύνθεσιν EF: συνθέσεις PMV θέσεις R 8 ἁρμονίας F | ὁ om R 9 λόγος REF: λόγος [γ]ίνεται e lit P, MV | πολλὴ ... εἶναι om F 10 κάλλους REF: καλῶν PV κάλῶν sic, sscr λλην M | συλλαβαί R 11 αἴτια RMV αἰτίαν F αἴτιον EP | δὲ FP: τε MV 12 κατὰ F: καὶ PMV 13 τε post ὀνομ. om F 14 fort τὰς δὲ | διαφοραῖς pr F 15 δηλοῦνται F 17 fort ἀπὸ πρώτης τῆς 18 τοιαύτας] τοιαύτα F, PMV

χρήσομαι δ' ὀλίγοις παραδείγμασι τοῦ λόγου τοῦδε 97
τῆς σαφηνείας ἕνεκα· τὰ γὰρ ἄλλα πολλὰ ὄντα ἐπὶ
σαυτοῦ συμβαλλόμενος εὑρήσεις. ὁ δὴ πολυφωνότατος
ἁπάντων ποιητῶν Ὅμηρος, ὅταν μὲν ὥραν ὄψεως
εὐμόρφου καὶ κάλλος ἡδονῆς ἐπαγωγὸν ἐπιδείξασθαι
βούληται, τῶν τε φωνηέντων τοῖς κρατίστοις χρήσεται
καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις, καὶ οὐ κατα-
πυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβὰς οὐδὲ συγκόψει
τοὺς ἤχους παρατιθεὶς ἀλλήλοις τὰ δυσέκφορα, πραεῖαν
δέ τινα ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων καὶ
ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς, ὡς ἔχει ταυτί

ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ.
Δήλῳ δήποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ 98
φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.
καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς
γῆμεν ἑὸν μετὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα.

ὅταν δ' οἰκτρὰν ἢ φοβερὰν ἢ ἀγέρωχον ὄψιν εἰσάγῃ,
τῶν τε φωνηέντων οὐ τὰ κράτιστα θήσει ἀλλὰ ⟨τὰ
δυσηχέστατα, καὶ⟩ τῶν ψοφοειδῶν ἢ ἀφώνων τὰ

12 Homerus ρ 36 s = τ 53 s 14 ζ 162 s 16 λ 281 s

1 δὲ PMV | παραδείγμασι F cf 66, 5: δείγμασιν P, MV 2 ἕνεκα F, V: εἵνεκα P, M 3 σαυτοῦ F: σεάυτοῦ P, MV | συμβαλόμενος F¹ 4 ἁπάντων FP: ἁπάντων τῶν MV | ὦραν F 5 κάλλος cf schol P ση(μείωσαι), πῶς κάλλος ἡδο(νῆς) ἐπαγωγὸν δείκνυ(σιν) Ὅμ(η)ρ(ος) | ἐπαγαγὼν F 6 χρήσεται .... 7 μαλακωτ. om F 7 καταπυκνοῖ P et (in marg καταπυκνώσει) V 8 συγκόπτει P 10 ποιεῖ P | τὴν om h 11 ῥέουσα F 12 ἡ sine accentu P | θαλάμου F | πινελόπεια F 13 εἰκέλη F ἱκέλη MV | ἠὲ] ἢ δὲ M 14 ante Δήλῳ legitur καὶ in PMV | τοιόνδε FM 15 νοησα F | extremo uersui καὶ addunt, 16 om PMV 16 χλωρὴν F | ἴδον PMV | τὴν] ἣν F 17 γῆμεν ἑὸν] τημέναιον F | μετα P, M κατα F: διὰ EV | ἔπι F | μύρια F¹ | ἕδνα P: ἔδνα ceteri 18 δ' EF: δὲ PMV | ἀγέροχον M 19 τε om EF | hiatum expleuit Sauppius, cf l 6 s

δυσεκφορώτατα λήψεται καὶ καταπυκνώσει τούτοις τὰς
συλλαβάς, οἷά ἐστι ταυτί

σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ.
τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο
δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε.

99 ποταμῶν δέ γε σύρρυσιν εἰς χωρίον ἓν καὶ πάταγον
ὑδάτων ἀναμισγομένων ἐκμιμήσασθαι τῇ λέξει βουλό-
μενος οὐκ ἐργάσεται λείας συλλαβὰς ἀλλ' ἰσχυρὰς καὶ
ἀντιτύπους

ὡς δ' ὅτε χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ.

βιαζόμενον δέ τινα πρὸς ἐναντίον ῥεῦμα ποταμοῦ μετὰ
τῶν ὅπλων καὶ τὰ μὲν ἀντέχοντα, τὰ δ' ὑποφερό-
μενον εἰσάγων ἀνακοπάς τε ποιήσει συλλαβῶν καὶ
ἀναβολὰς χρόνων καὶ ἀντιστηριγμοὺς γραμμάτων

δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
100 ὦθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι.

ἀραττομένων δὲ περὶ πέτρας ἀνθρώπων ψόφον τε καὶ
μόρον οἰκτρὸν ἐπιδεικνύμενος ἐπὶ τῶν ἀηδεστάτων τε

3 Homerus ζ 137 4 idem Λ 36 s 10 idem Δ 452 s 16 idem Φ 240 s

1 δυσεκφορώτα F | λήψεται om E | καὶ iterat F 3 κεκωμένος M¹ | ἅλμηι F 4 γοργῶι sic F: γοργὼ ceteri | βλοσυρώπις F consulto 6 γε om M | σύρρευσιν M σύρρεισιν F | χωρεῖον F | ἓν om P 7 μισγομένων P 8 ἐργάζεται F· ἔτι EPMV | ante καὶ quinque litterae erasae in F 9 ἀντιτύπους F: ἀντιτύπους θήσει EPMV 11 μισγάγγειαν MV | ὄβριμον FP: ὄμβριμον EM²V ὄμβριον M¹ 13 ἀντεχόμενα M¹ | τὰ δὲ PMV τὸ δ' F | ὑποφερόμενα M 15 ἀντιστη[ριγμοὺς γρ]αμμάτων c lit F 17 πόδεσιν V 18 στηρίξασθαι F: στηρίζεσθαι PMV 19 δραττομένων F | περι F, V: παρα P, M 20 ἐπιδεικνύμενος F: ἐνδεικν. PMV

καὶ κακοφωνοτάτων χρονιεῖ γραμμάτων οὐδαμῇ λεαί-
νων τὴν κατασκευὴν οὐδὲ ἡδύνων·

σύν τε δύω μάρψας ὥςτε σκύλακας προτὶ γαίῃ
κόπτ᾽· ἐκ δ᾽ ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.

πολὺ ἂν ἔργον εἴη λέγειν, εἰ πάντων παραδείγματα
βουλοίμην φέρειν ὧν ἄν τις ἀπαιτήσειε κατὰ τὸν τό-
πον τόνδε· ὥςτε ἀρκεσθεὶς τοῖς εἰρημένοις ἐπὶ τὰ ἑξῆς
μεταβήσομαι. φημὶ δὴ τὸν βουλόμενον ἐργάσασθαι
| λέξιν καλὴν ἐν τῷ συντιθέναι τὰς φωνάς, ὅσα καλ- 101
λιλογίαν ἢ μεγαλοπρέπειαν ἢ σεμνότητα περιείληφεν
ὀνόματα, εἰς ταὐτὸ συνάγειν. εἴρηται δέ τινα περὶ τού-
των καὶ Θεοφράστῳ τῷ φιλοσόφῳ κοινότερον ἐν τοῖς
περὶ λέξεως, ἔνθα ὁρίζει, τίνα ὀνόματα φύσει καλά
[παραδείγματος ἕνεκα], ὧν συντιθεμένων καλὴν οἴεται
καὶ μεγαλοπρεπῆ γενήσεσθαι τὴν φράσιν, καὶ αὖθις
ἕτερα μικρὰ καὶ ταπεινά, ἐξ ὧν οὔτε ποίημα χρηστὸν
ἔσεσθαί φησιν οὔτε λόγον. καὶ μὰ Δία οὐκ ἀπὸ σκο-
ποῦ ταῦτα εἴρηται τῷ ἀνδρί. εἰ μὲν οὖν ἐγχωροίη
πάντ᾽ εἶναι τὰ μόρια τῆς λέξεως ὑφ᾽ ὧν μέλλει δη-

3 Homerus ι 289 s 12 cf Max Schmidtius De Theophrasto rhetore p 39

1 χρονεῖ pr P 2 οὔτε F 3 σύν τε FM: σὺν δὲ PV cum uolg Hom | δύο M | προτὶ P: ποτι F, MV 4 κόπτε FM | ἐκ om M | χαμᾶδις F 5 ἂν ἔργον] ἔργον ἂν F 6 φέρειν in ras F | ὧν ἄν τις ἀπ. post τόνδε conlocant PV | ὧν] ὡς F | ἐπαιτήσειεν h | κατὰ τ. τ. τόνδε om M | κατὰ F: καὶ κατὰ PV 7 ἑξῆς c lit P 8 δὴ] δὲ V. fort δὴ δεῖν 10 καλλιλογίαν ἢ F: καλλ. καὶ PMV 11 το αὐτὸ F: τοῦτο PMV 13 ἔνθα] καθ᾽ ὃ F | ὁρίζεται M 14 παραδείγματος ἕνεκα olim opinor ad ὁρίζει adscripta inclusi 15 γενήσεσθαι] γίνεσθαι F | αὖθις om F. desideres τίνα 16 μικρὰ] πικρὰ h | χρηστὸν ἔσεσθαι] χρήσιμον F 17 ἄπο FPMV 18 εἴρηται τῷ ἀνδρὶ F: τ. ἀ. εἰρ. PMV 19 πάντ᾽ EF: πάντα PMV

λοῦσθαι τὸ πρᾶγμα εὔφωνά τε καὶ καλλιρήμονα, μα-
νίας ἔργον ζητεῖν τὰ χείρω· εἰ δὲ ἀδύνατον εἴη τοῦτο,
ὥςπερ ἐπὶ πολλῶν ἔχει, τῇ πλοκῇ καὶ μίξει καὶ παρα-
θέσει πειρατέον ἀφανίζειν τὴν τῶν χειρόνων φύσιν,
102 ὅπερ Ὅμηρος | εἴωθεν ἐπὶ πολλῶν ποιεῖν. εἰ γάρ τις
ἔροιτο ὅντιν᾽ οὖν ἢ ποιητῶν ἢ ῥητόρων, τίνα σεμνό-
τητα ἢ καλλιλογίαν ταῦτ᾽ ἔχει τὰ ὀνόματα ἃ ταῖς
Βοιωτίαις κεῖται πόλεσιν Ὑρία καὶ Μυκαλησσὸς καὶ
Γραῖα καὶ Ἐτεωνὸς καὶ Σκῶλος καὶ Θίσβη καὶ Ὀγχη-
στὸς καὶ Εὔτρησις καὶ τἆλλ᾽ ἐφεξῆς ὧν ὁ ποιητὴς
μέμνηται, οὐδεὶς ἂν εἰπεῖν οὐδ᾽ ἥντιν᾽ οὖν ἔχοι· ἀλλ᾽
οὕτως αὐτὰ καλῶς ἐκεῖνος συνύφαγκεν καὶ παραπληρώ-
μασιν εὐφώνοις διείληφεν ὥςτε μεγαλοπρεπέστατα φαί-
νεσθαι πάντων ὀνομάτων·

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήιτος ἦρχον
103 Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,
οἵ θ᾽ Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν
Σχοῖνόν τε Σκῶλόν τε πολύκνημόν τ᾽ Ἐτεωνόν,
Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσόν,
οἵ τ᾽ ἀμφ᾽ Ἅρμ᾽ ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρυθράς,
οἵ τ᾽ Ἐλεῶν᾽ εἶχον ἠδ᾽ Ὕλην καὶ Πετεῶνα,
Ὠκαλέην Μεδεῶνά τ᾽ ἐυκτίμενον πτολίεθρον.

15 Homerus Β 494—501

1 καλλιρρήμονα s 5 ὥσπερ M 6 ἢ ποιητῶν P: ποιητῶν FM τῶν ποιητῶν V 7 ταῦτα PMV 8 βοιωτίαις PV βοιωτικαῖς F βοιωτίας M | μυκαλ[η]σσὸς c lit P 10 εὔτρισις F | τἆλλ᾽ ἐφεξῆς F: τἄλλα ἑξῆς PM, V 12 αυτ[ὰ] c ras P | συνῦφαγκεν F, EP συνύφαγγε M: συνύφανεν V 13 μεγαλοπρεπέστερα E 14 πάντων] τούτων V | ὀνομάτων EF: ὀνόματα PMV 16 προθοή.ὼρ M¹ προθήνωρ F | κλονίοστε sic P: κλόνιός τε ceteri 17 πετριεσσαν V 19 εὐρύχωρον MV 20 ἄρμ᾽ F 21 ἐλεωνὸν M | εἶχον P | ἤδ᾽ F οἴδ᾽ M ἰδ᾽ V 22 ἐυκτῆμενον F

ἐν εἰδόσι λέγων οὐκ οἴομαι πλειόνων δεῖν παραδειγμάτων. ἅπας γάρ ἐστιν ὁ κατάλογος αὐτῷ τοιοῦτος καὶ πολ|λὰ ἄλλα, ἐν οἷς ἀναγκασθεὶς ὀνόματα λαμβά- 104
νειν οὐ καλὰ τὴν φύσιν ἑτέροις αὐτὰ κοσμεῖ καλοῖς καὶ λύει τὴν ἐκείνων δυσχέρειαν τῇ τούτων εὐμορφίᾳ. καὶ περὶ μὲν τούτων ἅλις.

17 Ἐπεὶ δὲ καὶ τοὺς ῥυθμοὺς ἔφην οὐ μικρὰν μοῖραν ἔχειν τῆς ἀξιωματικῆς καὶ μεγαλοπρεποῦς συνθέσεως, ἵνα μηδεὶς εἰκῇ με δόξῃ λέγειν ῥυθμοὺς καὶ μέτρα μουσικῆς οἰκεῖα θεωρίας εἰς οὐ ῥυθμικὴν οὐδ' ἔμμετρον εἰσάγοντα διάλεκτον, ἀποδώσω καὶ τὸν ὑπὲρ τούτων λόγον. ἔχει δ' οὕτως·

Πᾶν ὄνομα καὶ ῥῆμα καὶ ἄλλο μόριον λέξεως, ὅ τι μὴ μονοσύλλαβόν ἐστιν, ἐν ῥυθμῷ τινι λέγεται· τὸ δ' αὐτὸ καλῶ πόδα καὶ ῥυθμόν. δισυλλάβου μὲν οὖν λέξεως διαφοραὶ τρεῖς. ἢ γὰρ | ἐξ ἀμφοτέρων ἔσται 105
βραχειῶν ἢ ἐξ ἀμφοτέρων μακρῶν ἢ τῆς μὲν βραχείας, τῆς δὲ μακρᾶς. τοῦ δὲ τρίτου τούτου ῥυθμοῦ διττὸς ὁ τρόπος· ὃ μέν τις ἀπὸ βραχείας ἀρχόμενος καὶ λήγων εἰς μακράν, ὃ δ' ἀπὸ μακρᾶς καὶ λήγων εἰς βραχεῖαν. ὁ μὲν οὖν βραχυσύλλαβος ἡγεμών τε καὶ πυρ-

21 ss respicit Hermogenes π. ιδ. I 12 p 293, 7 W. cf Syrianus p 69, 3 R. et scholiasta Walzii t VII p 893, 3—11, Quintilianus IX 4, 87 sq

1 εἰδώσει P εἰοδόσι F | οἴομαι] ὀί F 2 γάρ om V | post κατάλ. uestigium erasi ἐστιν seruat P | αὐτῷ] αὐτῶν libri. μεστὸς τοιούτων ci Reiskius 3 ἀν(αν)κασθεὶς P | [ὀνο]ματα c lit M 6 ἄλις F 7 καὶ om V 8 μεγαλοπρεποὺς F θέσεως E 9 μηδεὶς EF: μή κέ (καὶ M^2) τις PM μή μέ τις V εἰκῆι FP | με om PMV 10 εἰσοῦ F εἰς οὔτε P 12 ἔχει* ex ἔχειν? P | δὲ PMV 13 καὶ ῥῆμα om P | ὃ E 14 τὼ δ' αὐτῶ καλῶι F 15 οὖν om F 16 τέσσαρες E 17 βραχέων FM 18 τούτου δὲ τοῦ τρίτου F | τριττοῦ PM | τούτου τοῦ ῥ. V 19 et 20 λῆγον F 20 δὲ PMV

ρίχιος καλεῖται, καὶ οὔτε μεγαλοπρεπής ἐστιν οὔτε σεμνός· σχῆμα δ' αὐτοῦ τοιόνδε

λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

ὁ δ' ἀμφοτέρας τὰς συλλαβὰς μακρὰς ἔχων κέκληται μὲν σπονδεῖος, ἀξίωμα δὲ ἔχει μέγα καὶ σεμνότητα πολλήν· παράδειγμα δ' αὐτοῦ τόδε

ποίαν δῆθ' ὁρμάσω, ταύταν
ἢ κείναν, κείναν ἢ ταύταν;

106 ὁ δ' ἐκ βραχείας τε καὶ μακρᾶς συγκείμενος ἐὰν μὲν τὴν ἡγουμένην λάβῃ βραχεῖαν, ἴαμβος καλεῖται, καὶ ἔστιν οὐκ ἀγεννής· ἐὰν δὲ ἀπὸ τῆς μακρᾶς ἄρχηται, τροχαῖος, καὶ ἔστι μαλακώτερος θατέρου καὶ ἀγεννέστερος· παράδειγμα δὲ τοῦ μὲν προτέρου τοιόνδε

ἐπὶ σχολῇ πάρεστι, παῖ Μενοιτίου.

τοῦ δ' ἑτέρου

θυμέ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε.

δισυλλάβων μὲν δὴ μορίων λέξεως διαφοραί τε καὶ ῥυθμοὶ καὶ σχήματα τοσαῦτα· τρισυλλάβων δ' ἕτερα

3 poetae incerti inter lyricos Bergkii fr 112 inter tragicos Nauckii fr 136 4 schol Hermog Walzii t VII p 1049, 23 τάττει δὲ τὸν σπονδεῖον μετ' αὐτῶν (sc τῶν καλῶν ῥυθμῶν) 7 Euripides Hecubae 162? cf Porso l s et Nauck fr trag inc 137 9 schol Hermog Walzii t VII p 980, 10 (cf adn 71, 5) ὁ δὲ ἴαμβος, φησίν, οὐκ ἀγεννής, ὁ δὲ τροχαῖος μαλακώτερος καὶ ἀγεννέστερος τούτων ὡς πρὸς σεμνότητα καὶ ἀξίωμα λόγου 14 poetae tragici inc fr 138 N 16 Archilochi fr 66, 1

1 καλλεῖται P 2 δὲ EF 3 νεόχυτα EF: νεόλυτα PMV 4 δὲ F 6 δε P, EMV 8 ἠκείναν ἢ ταύταν F, E integrum dant PMV. in u ταύταν P syllabae αν utrubique lineolam transuersam inponit cf p 72, 16 9 δε P, MV 10 καὶ FP(E): καὶ οὐκ MV 11 ἀγενής ut solet contra librorum fidem s 12 ἔστιν F | θατέρου] ρου suppleuit sscr θατέ P^2 13 μὲν om PMV 14 ἐπι σχολῆι FP: ἐπεὶ σχολὴ EMV 15 δὲ υτέρου ex δὲ . . . τέρου M^2 16 θῦμ' PMV | κήδεσι κεκυκώμενε sic F | κυκώμεναι M 17 μὲν EPMV: om F

πλείω τῶν εἰρημένων καὶ ποικιλωτέραν ἔχοντα θεωρίαν. ὁ μὲν γὰρ ἐξ ἁπασῶν βραχειῶν συνεστώς, καλούμενος δὲ ὑπό τινων χορεῖος [τρίβραχυς πούς], οὗ παράδειγμα τοιόνδε

Βρόμιε, δορατοφόρ', ἐνυάλιε, πολεμοκέλαδε, 107

ταπεινός τε καὶ ἄσεμνός ἐστι καὶ ἀγεννής, καὶ οὐδὲν ἂν ἐξ αὐτοῦ γένοιτο γενναῖον. ὁ δ' ἐξ ἁπασῶν μακρῶν, μολοττὸν δ' αὐτὸν οἱ μετρικοὶ καλοῦσιν, ὑψηλός τε καὶ ἀξιωματικός ἐστι καὶ διαβεβηκὼς ἐπὶ πολύ· παράδειγμα δὲ αὐτοῦ τοιόνδε

ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες.

ὁ δ' ἐκ μακρᾶς καὶ δυεῖν βραχειῶν μέσην μὲν λαβὼν τὴν μακρὰν ἀμφίβραχυς ὠνόμασται, καὶ οὐ σφόδρα τῶν εὐσχήμων ἐστὶ ῥυθμῶν ἀλλὰ διακέκλασταί τε καὶ πολὺ τὸ θῆλυ καὶ ἀηδὲς ἔχει, οἷά ἐστι ταυτί

Ἴακχε θρίαμβε, σὺ τῶνδε χοραγέ. 108

ὁ δὲ προλαμβάνων τὰς δύο βραχείας ἀνάπαιστος μὲν καλεῖται, σεμνότητα δ' ἔχει πολλήν· καὶ ἔνθα δεῖ μέ-

5 poetae lyrici incerti fr 108 B. cf Studemundi Anecd uar p 226, 21 11 poetae tragici inc fr 139 N 16 poetae tragici inc fr 140 17 s cf testimonium p 71, 5

3 δ' F | χορεῖος MV: om FP, sed testatur et E et scholion mg F ἄλλοι δὲ χορεῖον αὐτὸν καλ[οῦσι] | τρίβραχυς] τροχαῖος F | τρίβραχυς πούς glossema seclusit Sauppius 5 δορατοφόρε PMV | πολέμοιο κέλαδε EF 6 ἐστι om F | καὶ ἀγεννής om P 7 et 8 δὲ PMV 9 ἀξιωματικ(ως) P | ἐστιν F | διαβεβηκῶσ (sed ὧ sscr) P διαβέβηκεν ὡς M[1] διαβεβηκὼς ὡς M[2]V: διαβέβηκεν F | πολλὺ P 10 τοιόνδε F: τόδε PMV 11 καλλίστας Schaeferus | σρεσ P 12 δυεῖν P: δυοῖν MV β̄ F | λαβῶν F 13 μακρὰν F: μακρὰν ἑκατέρας τῶν βραχειῶν PMV 14 εὐσχήμων EF: εὐσχημόνων PMV | διακεκολασταί F κέκλασται E 15 θήλυ F | ἀηδὲς F: ἀγεννες P,M ἀγενὲς V 16 διθύραμβε libri: corr L Dindorfius | χωρᾶγὲ sic P 18 δὲ PMV | μέγεθός τι F: μέγεθος PV μεγέθη M

γεθός τι περιτιθέναι τοῖς πράγμασιν ἢ πάθος, ἐπιτήδειός ἐστι παραλαμβάνεσθαι· τούτου τὸ σχῆμα τοιόνδε

βαρύ μοι κεφαλᾶς ἐπίκρανον ἔχειν.

ὁ δὲ ἀπὸ τῆς μακρᾶς ἀρχόμενος, λήγων δὲ εἰς τὰς βραχείας δάκτυλος μὲν καλεῖται, πάνυ δ' ἐστὶ σεμνὸς καὶ εἰς τὸ κάλλος τῆς ἑρμηνείας ἀξιολογώτατος, καί τό γε ἡρωικὸν μέτρον ἀπὸ τούτου κοσμεῖται ὡς ἐπὶ τὸ πολύ· παράδειγμα δὲ αὐτοῦ τόδε

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν.

109 οἱ μέντοι ῥυθμικοὶ τούτου τοῦ ποδὸς τὴν μακρὰν βραχυτέραν εἶναί φασι τῆς τελείας, οὐκ ἔχοντες δ' εἰπεῖν ὅσῳ, καλοῦσιν αὐτὴν ἄλογον. ἕτερός ἐστιν ἀντίστροφον ἔχων τούτῳ ῥυθμόν, ὃς ἀπὸ τῶν βραχειῶν ἀρξάμενος ἐπὶ τὴν ἄλογον τελευτᾷ· τοῦτον χωρίσαντες ἀπὸ τῶν ἀναπαίστων κυκλικὸν καλοῦσι παράδειγμα αὐτοῦ φέροντες τοιόνδε

κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν.

3 Euripides Hippol 201 5 schol Hermog Walzii t VII p 980, 7 (= R) Διονύσιος μὲν ἐν τῷ περὶ συνθέσεως ὀνομάτων φησίν, ὅτι ὁ δάκτυλος πάνυ ἐστὶ σεμνός, διὸ καὶ τὸ ἡρωικὸν μέτρον ὑπὸ τούτου κοσμεῖται ὡς ἐπὶ τὸ πολύ, καὶ ὁ ἀνάπαιστος σεμνότητα ἔχει πολλήν, ὁ δὲ ἴαμβος κτλ. 9 Homerus ι 39 17 poetae tragici inc fr 141 N aut lyrici fr 111 B

1 περιτιθέναι F: περιθεῖναι PMV 2 περιλαμβάνεσθαι F 3 μοι] μενον sscr M | κεφαλᾶς E κεφαλὰς F: κεφαλῆς PMV | ἔχειν P: ἔχει EFMV 4 εἰς F: ἐς PMV 5 δάκτυλος EFM δακτ͡ P: δακτυλικὸς V | δέ ἐστι PMV 6 τὸ κάλλος τῆς ἑρμηνείας EF: κάλλος ἁρμονίας PMV 7 μέτερον P | ὑπὸ R | τὸ om F 9 ἄνεμάς τοι V 10 μέντοι] μὲν P 11 εἶναι φασὶ FM | τ(ῆς) * τελείας una littera erasa P | δὲ PMV 12 ὅσω F: πόσω PMV cf 82, 15 | ἕτερός ἐστιν F: ἕτερον δὲ PMV 13 ἔχων F: τινα PMV 14 ἐπιτὴν ἄλ. F,P[1]V: ἐπί τιν᾿ ἄλογον P[2] ἐπί τινα λόγον M | τελευτᾶι τοῦτον FM τοῦτον τελευτᾷ V: τελευτᾶι P | χωρήσαντες P 15 κυκλικὸν FM[2] κύκλον PM[1]V. κύκλιον G Hermannus elem d m 369 cf schol Hephaest c 3 p 135, 13 Westph | καλοῦσιν P 17 ὑψί*πυλος c ras F ὑψίπυλον PMV

περὶ ὧν ἂν ἕτερος εἴη λόγος· πλὴν ἀμφότεροί γε τῶν πάνυ καλῶν οἱ ῥυθμοί. ἓν ἔτι λείπεται τρισυλλάβων ῥυθμῶν γένος, ὃ συνέστηκεν ἐκ δύο μακρῶν καὶ βραχείας, τρία δὲ ποιεῖ σχήματα· μέσης μὲν γὰρ γινομέ|νης τῆς βραχείας, ἄκρων δὲ τῶν μακρῶν κρητικός 110
τε λέγεται καὶ ἔστιν οὐκ ἀγεννής. ὑπόδειγμα δὲ αὐτοῦ τοιοῦτον

οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις.

ἂν δὲ τὴν ἀρχὴν αἱ δύο μακραὶ κατάσχωσιν, τὴν δὲ τελευτὴν ἡ βραχεῖα, οἷά ἐστι ταυτί

σοὶ Φοῖβε Μοῦσαί τε σύμβωμοι,

ἀνδρῶδες πάνυ ἐστὶ τὸ σχῆμα καὶ εἰς σεμνολογίαν ἐπιτήδειον. τὸ δ' αὐτὸ συμβήσεται κἂν ἡ βραχεῖα | προ- 111
τεθῇ τῶν μακρῶν· καὶ γὰρ οὗτος ὁ ῥυθμὸς ἀξίωμα ἔχει καὶ μέγεθος· παράδειγμα δὲ αὐτοῦ τόδε

τίν' ἀκτάν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

8 poetae lyrici inc fr 117 (trag inc 142). an ex Persis Timothei? 11 poetae lyrici inc fr 110 aut tragici 143 16 poetae tragici inc fr 144 (lyr inc 116)

2 ἔτει F | τρισύλλαβον F 3 συνέστηκεν F: συνέστηκε μὲν PMV | δύο FMV: $\bar{β}$ P 4 τρία . . . . 5 βραχείας om M | δὲ ποιεῖ F: δὲ ἔχει PV | γενομένης PV 5 κριτικός PM 7 τοιοῦτον PM: τοιόνδε FV 8 ἐπήγοντο Nauckius | πρώταις FM² | ἀπήναισι EP ἀπήνεσι MV ἀπήνεσσι F: ἀπήνῃσι s | χαλκεμβόλοις EF: -λοισιν PMV 9 ἂν F: ἐὰν PMV | αἱ $\bar{β}$ P 10 τελευταίαν M¹ | ἡ F: om PMV | βραχεῖαν M 11 σοὶ EPMV: σὺ F | Μούσαις Bergkius | σύμβωμοι EFMV: συμβῶμεν Ps unde σύμβωμον Bergkius 12 πάνυ ἐστὶ τὸ EF: δὲ (ει? add M sed del) πάνυ τοῦτο PMV | εἰ(σ sscr) σεμνότητα· λογίαν P εἰς V 13 δε P,MV | κἂν βραχεία F om ἡ | προτεθῇ] πρώτη τεθῆι P,MV συντεθῆι F 15 δὲ τούτου F 16 τίν' . . ὕλαν] τίνα γᾶν τινυδᾶν F | ὕλᾱν cum lineola transuersa P ut 69, 8 | δρόμω M | post πορευθῶ in P fenestra XV litterarum capax, in qua media m I adnotat οὐδ(ὲν) λείπ(ει)

τούτοις ἀμφοτέροις ὀνόματα κεῖται τοῖς ποσὶν ὑπὸ τῶν μετρικῶν βακχεῖος μὲν τῷ προτέρῳ, θατέρῳ δὲ ὑποβάκχειος. οὗτοι δώδεκα ῥυθμοί τε καὶ πόδες εἰσὶν οἱ πρῶτοι καταμετροῦντες ἅπασαν ἔμμετρόν τε καὶ ἄμετρον λέξιν, ἐξ ὧν γίνονται στίχοι τε καὶ κῶλα· οἱ γὰρ ἄλλοι πόδες καὶ ῥυθμοὶ πάντες ἐκ τούτων εἰσὶ σύνθετοι. ἁπλοῦς δὲ ῥυθμὸς ἢ ποὺς οὔτ' ἐλάττων ἔσται δύο συλλαβῶν οὔτε μείζων τριῶν. καὶ περὶ μὲν τούτων οὐκ οἶδ' ὅ τι δεῖ τὰ πλείω λέγειν.

ὧν δ' ἕνεκα νῦν ὑπήχθην ταῦτα προειπεῖν (οὐ γὰρ 18
δὴ τὴν ἄλλως γέ μοι προὔκειτο μετρικῶν καὶ ῥυθμι- 11
112 κῶν | ἅπτεσθαι θεωρημάτων, ἀλλὰ τοῦ ἀναγκαίου ἕνεκα), ταῦτ' ἐστίν, ὅτι διὰ μὲν τῶν γενναίων καὶ ἀξιωματικῶν καὶ μέγεθος ἐχόντων ῥυθμῶν ἀξιωματικὴ γίνεται σύνθεσις καὶ γενναία καὶ μεγαλοπρεπής, διὰ δὲ τῶν ἀγεννῶν τε καὶ ταπεινῶν ἀμεγέθης τις καὶ ἄσεμνος, ἐάν τε καθ' ἑαυτοὺς ἕκαστοι τούτων λαμβάνωνται τῶν ῥυθμῶν, ἐάν τε ἀλλήλοις κατὰ τὰς ὁμοζυγίας συμπλέκωνται. [δῆλον.] εἰ μὲν οὖν ἔσται δύναμις ἐξ ἁπάντων κρατίστων ῥυθμῶν συνθεῖναι τὴν λέξιν, ἔχοι ἂν ἡμῖν κατ' εὐχήν· εἰ δ' ἀναγκαῖον εἴη μίσγειν

1 ὀνόματα iterauerat P¹ nunc prius erasum | τοῖς ποσὶν FPM: ῥυθμοῖς V 2 παλιμβάκχειος E 4 καταμεροῦντες P
6 πόδες καὶ ῥυθμοὶ EF: ῥυθμοὶ καὶ πόδες PMV | πάντες om P 7 π[ους] c lit P | ἔσται EF: ἐστὶ PMV 8 δύο EF: δυεῖν P δυοῖν MV 9 οὐκοῖδ' F: οὐκ οἶδα PMV | τὰ FM: om PV 10 δὲ PMV | ὑπείχθην F | προσειπεῖν F 11 τὴν ἄλλως sic F¹P τηνάλως V | μετρικῶν καὶ ῥυθμικῶν F: ῥυθμικῶν (sed ῥυθμῶν MV) τε καὶ μετρικῶν PMV 13 ἕνεκεν PM | ταῦτα PMV | διὰ μὲν PM: μὲν διὰ F διὰ V 15 γίνεσθαι F γίνεται ⟨ἡ⟩ Sauppius | γενναία F: βεβαία PMV 16 αγενῶν F | τε om PV | ταπινῶν P¹ | τις om V 18 ἐάν τε ἀλλ. . . . . 19 συμπλέκ. om in mg supplet F 19 συμπλέκονται F συμπλέκοντες P | δῆλον FMV: om Ps recte 20 ἁπάντων F: ἁπάντων τῶν PMV 21 δὲ PV | εἴη del Sauppius. tu cf 67, 2

τοῖς κρείττοσι τοὺς χείρονας, ὡς ἐπὶ πολλῶν γίνεται (τὰ γὰρ ὀνόματα κεῖται τοῖς πράγμασιν ὡς ἔτυχεν), οἰκονομεῖν αὐτὰ χρὴ φιλοτέχνως καὶ διακλέπτειν τῇ χάριτι τῆς συνθέσεως τὴν ἀνάγκην ἄλλως τε καὶ πολλὴν τὴν ἄδειαν ἔχοντας· οὐ γὰρ ἀπελαύνεται ῥυθμὸς οὐδεὶς ἐκ τῆς ἀμέτρου λέξεως, ὥσπερ ἐκ τῆς ἐμμέτρου.

μαρτύρια δὲ ὧν εἴρηκα παραθεῖναι λοιπόν, ἵνα μοι 113
καὶ πίστιν ὁ λόγος λάβῃ. ἔσται δ' ὀλίγα περὶ πολλῶν. φέρε δή, τίς οὐκ ἂν ὁμολογήσειεν ἀξιωματικῶς τε συγκεῖσθαι καὶ μεγαλοπρεπῶς τὴν Θουκυδίδου λέξιν τὴν ἐν τῷ ἐπιταφίῳ ταύτην· 'Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ | τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν 114
πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν'. τί οὖν ἐστιν ὃ πεποίηκε ταύτην μεγαλοπρεπῆ τὴν σύνθεσιν; τὸ ἐκ τοιούτων συγκεῖσθαι ῥυθμῶν τὰ κῶλα. τρεῖς μὲν γὰρ οἱ τοῦ πρώτου προηγούμενοι κώλου σπονδεῖοι πόδες εἰσίν, ὁ δὲ τέταρτος ἀνάπαιστος, ὁ δὲ μετὰ τοῦτον αὖθις σπονδεῖος, ἔπειτα κρητικός, ἅπαντες

11 Thucydides II 35 16—79, 1 colometrias a Lachare rhetore conpilatas esse testis est rhetor Anecd Oxon t IV p 151, 24 εἴπωμεν οὖν πρῶτον Λαχάρου τεχνολογίαν, ἣν ἐκ τοῦ Διονυσίου παρείληφεν: ubi p 151, 26—152, 14 eadem tractantur atque hic exempla

2 κεῖται F: ἔκκειται PM ἔγκειται V | πράγμασι P 5 ἔχειντας pr F | οὐ FP: οὐδὲ MV 8 ἔσται FPM: ἔστι V δὲ P | fort ὀλίγ' ἀπὸ cf 47, 8 sed uide 89, 1. 8 | περὶ sed sscr ει M 11 οἱ . . . 12 ἤδη syllabas mensurae notis F instruit ut infra 75, 2 s. 8 s. cf adn 78, 2 12 ἤδη εἰρηκότων EP ἤδη om MV: εἰρηκότων ἤδη F sed cf infra u 18 s | προθέντα MV 13 τὸν om F | τόνδε τὸν λόγον V | τῶν om MV 15 πεποίηκ(εν) P 17 κῶλοι pr F 18 τέταρτος] $\bar{\delta}$ PV | ἔπειτα κρητικὸς ante ὁ δὲ inseruit mg F, ut mensuratio cum lectione εἰρηκότων ἤδη (l 12) conspiraret; idem corrector u 19 illa uerba in rasura circ XV litterarum deleuit 19 κριτικός PM

ἀξιωματικοί. καὶ τὸ μὲν πρῶτον κῶλον διὰ ταῦτ' ἐστὶ σεμνόν· τὸ δὲ ἑξῆς τουτί 'ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε' δύο μὲν ὑποβακχείους ἔχει τοὺς πρώτους πόδας, κρητικὸν δὲ τὸν τρίτον, εἶτ' αὖθις ὑποβακχείους δύο καὶ συλλαβὴν ὑφ' ἧς τελειοῦ-
115 ται τὸ κῶλον· ὥστ' εἰκότως σε|μνόν ἐστι καὶ τοῦτο ἐκ τῶν εὐγενεστάτων τε καὶ καλλίστων ῥυθμῶν συγκείμενον. τὸ δὲ δὴ τρίτον κῶλον 'ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν' ἄρχεται μὲν ἀπὸ τοῦ κρητικοῦ ποδός, δεύτερον δὲ λαμβάνει τὸν ἀνάπαιστον καὶ τρίτον σπονδεῖον καὶ τέταρτον αὖθις ἀνάπαιστον, εἶτα δύο τοὺς ἑξῆς δακτύλους, καὶ σπονδείους δύο τοὺς τελευταίους, εἶτα κατάληξιν. εὐγενὲς δὴ καὶ τοῦτο διὰ τοὺς πόδας γέγονεν. τὰ πλεῖστα δ' ἐστὶ παρὰ Θουκυδίδῃ τοιαῦτα, μᾶλλον δὲ ὀλίγα τὰ μὴ οὕτως ἔχοντα, ὥστ' εἰκότως ὑψηλὸς εἶναι δοκεῖ καὶ καλλιεπὴς ὡς εὐγενεῖς ἐπάγων ῥυθμούς.

τὴν δὲ δὴ Πλατωνικὴν λέξιν ταυτηνὶ τίνι ποτὲ ἄλλῳ κοσμηθεῖσαν οὕτως ἀξιωματικὴν εἶναι φαίη τις ἂν καὶ καλήν, εἰ μὴ τῷ συγκεῖσθαι διὰ τῶν καλλίστων τε καὶ ἀξιολογωτάτων ῥυθμῶν; ἔστι γὰρ δὴ τῶν πάνυ

1 ἀξιωματικός M | πρῶτον FM: πρῶτον αὐτῶ PV | ταῦτα PMV 2 ἑξῆς F | τοῦτο PMV 3 δύο] ὅτι δύο V | ὑποβακχείους . . . 5 αὖθις om P | μὲν ἔχει (om ὑποβ.) MV 4 πόδας F: πόδας παλιμβακχείους (παλιβ- V) MV π. ὑποβακχείους s 5 $\bar{\beta}$ P 7 συγγενεστάτων P 8 δὴ om F 10 post αὐτὸν duo uersus erasi in F 11 $\bar{\gamma}$—$\bar{\delta}$ P | τρίτον] τρίτον τὸν M 13 $\bar{\beta}$ P 14 δὴ PV: δὲ FM 16 ὀλίγα τὰ F: ὀλίγα PMV | ὥστε PMV 17 καλλίστης P | ὡς] καὶ FMV om P | εὐγενείας P εὐγενὴς MV | ἐπάγων F: ὡς ἐκλέγων τοὺς PMV 18 ταυτηνὶ] ταύτην εἴ F: ταύτην PMV | τινί ποτε FM 19 ἄλλω P ἄλλο F | φαίην F 20 μὴ τὸ M 21 ἀξιωλογωτάτων P | ῥυθμῶν . . . πάνυ om F | ῥυ[θ]μῶν c lit P | ἔστι iterauerat P[1]

φα|νερῶν καὶ περιβοήτων, ᾗ κέχρηται ὁ ἀνὴρ κατὰ 116
τὴν τοῦ ἐπιταφίου ἀρχήν· 'ἔργῳ μὲν ἡμῖν οἵδε ἔχουσιν τὰ προσήκοντα σφίσιν αὐτοῖς· ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν'. ἐν τούτοις δύο μέν ἐστιν ἃ συμπληροῖ τὴν περίοδον κῶλα, ῥυθμοὶ δὲ οἱ ταῦτα διαλαμβάνοντες οἵδε· βακχεῖος μὲν ὁ πρῶτος· οὐ γὰρ δή γε ὡς ἰαμβικὸν ἀξιώσαιμ' ἂν ἔγωγε τὸ κῶλον τουτὶ ῥυθμίζειν ἐνθυμούμενος ὅτι οὐκ ἐπιτροχάλους καὶ ταχεῖς ἀλλ' ἀναβεβλημένους καὶ βραδεῖς τοῖς οἰκτιζομένοις προσῆκεν ἀποδίδοσθαι τοὺς χρόνους·
σπονδεῖος δ' ὁ δεύτερος· ὁ δ' ἑξῆς | δάκτυλος διαιρου- 117
μένης τῆς συναλοιφῆς· εἶθ' ὁ μετὰ τοῦτον σπονδεῖος· ὁ δ' ἑξῆς μᾶλλον κρητικὸς ἢ ἀνάπαιστος· ἔπειθ', ὡς ἐμὴ δόξα, σπονδεῖος· ὁ δὲ τελευταῖος ὑποβάκχειος, εἰ δὲ βούλεταί τις, ἀνάπαιστος· εἶτα κατάληξις. τούτων τῶν ῥυθμῶν οὐδεὶς ταπεινὸς οὐδὲ ἀγεννής. τοῦ δὲ ἑξῆς κώλου τουδί 'ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν' δύο μέν εἰσιν οἱ πρῶτοι πόδες κρητικοί, σπονδεῖοι δὲ οἱ μετὰ τούτους δύο· μεθ' οὓς αὖθις κρητικός, ἔπειτα τελευταῖος ὑποβάκχειος. ἀνάγκη δὴ τὸν ἐξ ἁπάντων συγκείμενον καλῶν ῥυθμῶν

2 Plato Menexeni 236^{d}

1 φανερὸν καὶ περιβόητον F 2 οἵδε ἔχουσιν cum Platonis T Dionysius legebat cf l 11 s: οἵδ' ἔχουσιν P οἵδ' ἔχουσι FMV 4 et 18 εἱμαρμένην F 6 διαλαμβάνοντ(αι) P^{1} | ὁ ἃ P 7 ἰαμβικὸν FP: ἴαμβον MV 8 τοῦτὶ F τοῦτο P^{1} | ῥυθμήζειν P^{1} 9 τραχεῖς M 10 προσήκει F 11 δ' ὁ δεύτερος F: δε ἕτερος P,V δ' ἕτερος M | δὲ ἑξῆς F 12 συναλειφῆς F et ex συναλιφῆς P^{2} | εἶθ' ὁ F: εἶτα PMV 13 ὡς F: ὡς ἡ PMV 14 ὑποβάκχειος mira mensura ultimae syll σφίσιν, sed cf 78, 10 εὐνοίαν et εὔνοιαν, etiam 78, 17 sq 16 οὐδὲ] οὐδεὶς V | ἀγεν(ης) P 17 τοῦδί F τοῦδε M: om PV | ὧν om P 18 et 19 $\bar{\beta}$ P 18 εἰσι (om οἱ) M 21 δὴ] δεῖ F

καλὸν εἶναι λόγον. μυρία τοιαῦτ' ἔστιν εὑρεῖν καὶ παρὰ Πλάτωνι. ὁ γὰρ ἀνὴρ ἐμμέλειάν τε καὶ εὐρυθμίαν συνιδεῖν δαιμονιώτατος, καὶ εἴ γε δεινὸς ἦν οὕτως ἐκλέξαι τὰ ὀνόματα ὡς συνθεῖναι περιττός, καί νύ κεν ἢ παρέλασσεν τὸν Δημοσθένη κάλλους ἑρμη-
118 νείας ἕνεκεν, ἢ ἀμφήριστον ἔθηκεν. νῦν | δὲ περὶ μὲν τὴν ἐκλογὴν ἔστιν ὅτε διαμαρτάνει, καὶ μάλιστα ἐν οἷς ἂν τὴν ὑψηλὴν καὶ περιττὴν καὶ ἐγκατάσκευον διώκῃ φράσιν, ὑπὲρ ὧν ἑτέρωθί μοι δηλοῦται σαφέστερον. συντίθησι δὲ τὰ ὀνόματα καὶ ἡδέως καὶ καλῶς νὴ Δία, καὶ οὐκ ἄν τις αὐτὸν ἔχοι κατὰ τοῦτο μέμψασθαι τὸ μέρος.

ἑνὸς ἔτι παραθήσομαι λέξιν, ᾧ τὰ ἀριστεῖα τῆς ἐν
119 λόγοις δεινότητος ἀποδίδωμι. ὅρος γὰρ δή τίς ἐστιν ἐκλογῆς τε ὀνομάτων καὶ κάλλους συνθέσεως ὁ Δημοσθένης. ἐν δὴ τῷ περὶ τοῦ στεφάνου λόγῳ τρία μέν

3—7 Syrianus in Hermog π. ἰδ. p 23, 5 (= S) καὶ ἀνωτέρω (u infra l 14) περὶ Πλάτωνος λέγων φησίν· εἰ δέ γε .... διαμαρτάνει cf Maximus Walzii t V p 459, 17 4—6 Homerica Ψ 382 9 ἑτέρωθι] de Demosth p 138—142. 181—192 cf ep ad Pomp c 2 14—15 Syrianus in Hermog π. ἰδ. p 23, 2 καὶ γὰρ ἐκεῖνος ἐν τῷ περὶ συνθέσεως ὀνομάτων διαρρήδην φησὶ τάδε· ὅρος ... ὁ Δημοσθένης cf Maximus Walzii t V p 459, 14

1 τοιαῦτ' F: τοιαῦτά PV ταῦτα M | ἔστιν εὑρεῖν F, E: ἐστι PMV 2 ἐμμέλειαν EFM: εὐμέλειαν PV 3 ἦν post 4 οὕτως conlocat S 4 οὕτως SEF: οὗτος PMV | περιττῶς M^{1} 5 παρέλασσεν P, S: παρήλασε MV Maximus παρήλασεν ἂν EF | δημοσθένην EPV δημοσθένεα M | κάλλους SFMV καὶ ἄλλους P κάλλος E: κάλλει Maximus | ἑρμηνεία S 6 ἕνεκεν P, M εἵνεκεν V: om SEF Maximus | ἀμφίριστον M | ἔθηκεν SF ἔθηκε EM^{2}V et conpendiose P: ἔθει M^{1} | δὲ] δὲ δὴ V 7 μὲν om P(S) | ὅτε SEF: ἃ PV ἃ καὶ M 9 διώκει V φράσειν P 10 συντίθησι δὲ EF: δὲ συντίθησιν P, MV 13 ἑνὸς] ἐν οἷς P | λέξ(εις) P 14 ἀποδίδωμι F: καταδίδωμι PMV 15 τε om S, Maximus | συνθήκης eidem

ἐστιν ἃ τὴν πρώτην περίοδον συμπληροῖ κῶλα, οἱ δὲ
ταῦτα καταμετροῦντες οἴδέ εἰσιν ῥυθμοί· πρῶτον
μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι
πᾶσι καὶ πάσαις'. ἄρχει δὲ τοῦ κώλου βακχεῖος
ῥυθμός, ἔπειθ' ἕπεται σπονδεῖος, εἶτ' ἀνάπαιστός τε
καὶ μετὰ τοῦτον ἕτερος σπονδεῖος, εἶθ' ἑξῆς κρητικοὶ
τρεῖς, σπονδεῖος δ' ὁ τελευταῖος. τοῦ δὲ δευτέρου
κώλου τοῦδε 'ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ
τε πόλει καὶ πᾶσιν ὑμῖν' πρῶτος μὲν ὑποβάκχειός
ἐστι πούς, εἶτα βακχεῖος, εἰ δὲ βούλεταί τις, δάκτυλος·
εἶτα κρητικός· μεθ' οὓς εἰσι δύο σύνθετοι πόδες οἱ
καλούμενοι παιᾶνες· οἷς ἕπεται μολοττὸς ἢ | βακχεῖος, 120
ἐγχωρεῖ γὰρ ἑκατέρως αὐτὸν διαιρεῖν· τελευταῖος δὲ
σπονδεῖος. τοῦ δὲ τρίτου κώλου τοῦδε 'τοσαύτην
ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα'
ἄρχουσι μὲν ὑποβάκχειοι δύο, ἕπεται δὲ κρητικός, ᾧ
συνῆπται σπονδεῖος· εἶτ' αὖθις βακχεῖος ἢ κρητικός,

2 ταῦτα] κατὰ ταῦτα PV | οἴδέ εἰσιν (ἐστιν M) libri. uidelicet temporum notas, quae supra 74, 11s. 75, 2s. 8s in F adscribuntur, hoc loco in libris iam non seruantur, a Dionysio huic colo adscriptas fuisse | ῥυθμοί F: οἱ ῥυθμοί PMV 3 ἄνδρες om F 4 πᾶσιν P | δὲ F: τοῦδε PM δὲ τοῦδε V 5 εἰτ' F εἶτα MV: om P | τε del V^2 7 $\bar{\gamma}$ P | δὲ PV 7 et 11 $\bar{\beta}$ P 8 τοῦδ' F | εὔνοιαν om M. εὐνοίαν scribendum erat cf Seidlerus mus Rhen 1829 t III p 203. aliter infra p 131, 1 s
9 syllabae καὶ πᾶσιν quomodo molossum efficiant (l 12), nescio, neque quo iure scriptor paeoni uoces τῇ τε πόλει aequet
10 βακχεῖος cf adn 76, 14 11 εἶτα F: ἔπειτα PMV 12 παιᾶνες F ut Arist rhet III 8 p 1409^a 6—11: παίωνες PMV παίονες s 13 ἑκατερως F: ἑκατέρους PMV | αὐτὸν PV: αὐτῶν FM | δὲ ὁ σπονδεῖος libri 14 τοῦδε F: τοῦ PMV 15 τουτονὶ ex τούτωνὶ corr P 16 ἄρχουσιν P | $\bar{\beta}$ P | ἕπεται δὲ F ἔπειτα δε P, M: ἔπειτα V 17 bacchius et proximus creticus in lectionem τουτονὶ—τὸν ἀγῶ—να non quadrant nec in proximis Dem colis est quo illos pedes referas. sed cf adn 76, 14

καὶ τελευταῖος πάλιν κρητικός, εἶτα κατάληξις. τί
οὖν ἐκώλυε καλὴν ἁρμονίαν εἶναι λέξεως, ἐν ᾗ
μήτε πυρρίχιός ἐστιποὺς μήτε ἰαμβικὸς μήτε ἀμφί-
βραχυς μήτε τῶν χορείων ἢ τροχαίων μηδείς; καὶ οὐ
λέγω τοῦτο, ὅτι τῶν ἀνδρῶν ἐκείνων ἕκαστος οὐ κέ-
χρηταί ποτε καὶ τοῖς ἀγεννεστέροις ῥυθμοῖς (κέχρηται
γάρ), ἀλλ' εὖ συγκεκρύφασιν αὐτοὺς καὶ συνυφάγκασι
διαλαβόντες τοῖς κρείττοσι τοὺς χείρονας.

οἷς δὲ μὴ ἐγένετο πρόνοια τούτου τοῦ μέρους, οἳ
121 μὲν τα|πεινάς, οἳ δὲ κατακεκλασμένας, οἳ δ' ἄλλην
τινὰ αἰσχύνην καὶ ἀμορφίαν ἐχούσας ἐξήνεγκαν τὰς
122 γραφάς. | ὧν ἐστι πρῶτός τε καὶ μέσος καὶ τελευταῖος
ὁ Μάγνης [ὁ σοφιστὴς] Ἡγησίας· ὑπὲρ οὗ μὰ τὸν Δία
καὶ τοὺς ἄλλους θεοὺς ἅπαντας οὐκ οἶδα τί χρὴ λέ-
γειν, πότερα τοσαύτη περὶ αὐτὸν ἀναισθησία καὶ
παχύτης ἦν ὥςτε μὴ συνορᾶν, οἵτινές εἰσιν ἀγεννεῖς
ἢ εὐγενεῖς ῥυθμοί, ἢ τοσαύτη θεοβλάβεια καὶ δια-
φθορὰ τῶν φρενῶν ὥςτ' εἰδότα τοὺς κρείττους ἔπειτα
αἱρεῖσθαι τοὺς χείρονας, ὃ καὶ μᾶλλον πείθομαι·
ἀγνοίας μὲν γάρ ἐστι καὶ τὸ κατορθοῦν πολλαχῇ, προ-
νοίας δὲ τὸ μηδέποτε. ἐν γοῦν ταῖς τοσαύταις γρα-
φαῖς, αἷς καταλέλοιπεν ὁ ἀνήρ, μίαν οὐκ ἂν εὕροι τις

1 καὶ F: καὶ ὁ PMV 2 ἐκώλυεν F 3 πυῤῥίχειός V | ποῦς F | ἴαμβος F 4 χωρείων P^1 | τροχαίων F: τῶν τροχαίων PMV 6 ἀγενεστέροις F^1 7 συνηφάγκασι M^1 8 κρείττοσιν P
9 τοῦ om V 10 κατακεκλεισμένας F | δε P, MV 11 καὶ F: ἢ PMV | ἐξήνεγκε M 12 ἔστι F | μέσος καὶ τελευταῖος F: τελευταῖος καὶ μέσος PMV 13 ὁ σοφιστὴς F: σοφιστὴς PMV. inclusi petitum ex p 80, 8. 19. 82, 15 14 οἶδα τί F: οἶδ' ὅ τι PMV 15 πρότερα P πρότερον MV πότερον s | τὸσαῦτα P^1 | αὐτὸν F: αὐτὸν ἦν (ἣν P) PMV 16 ἦν F: om PMV | ἀγεννεῖς F: εὐγενεῖς PMV 17 εὐγενεῖς F: ἀγενεῖς PV^1 ἀγεννεῖς MV^2 | διαφορὰ V 18 ὥστε PMV 20 ἐστιν F | πολλαχῆι FP, M: πολλαχοῦ V 22 αἷς F: ἃς PMV

σελίδα συγκειμένην εὐτυχῶς. ἔοικεν δὴ ταῦτα ὑπολαβεῖν | ἐκείνων κρείττω καὶ μετὰ σπουδῆς αὐτὰ ποιεῖν, 123 εἰς ἃ δι' ἀνάγκην ἐμπεσὼν ἄν τις ἐν λόγῳ σχεδίῳ δι' αἰσχύνης θεῖτο φρόνημα ἔχων ἀνήρ. θήσω δὲ καὶ τούτου λέξιν ἐκ τῆς ἱστορίας, ἵνα σοι γένηται δῆλον ἐκ τῆς ἀντιπαραθέσεως, ὅσην μὲν ἀξίωσιν ἔχει τὸ εὐγενὲς ἐν ῥυθμοῖς, ὅσην δ' αἰσχύνην τὸ ἀγεννές. ἔστιν δ' ὃ λαμβάνει πρᾶγμα ὁ σοφιστὴς τοιόνδε. Ἀλέξανδρος πολιορκῶν Γάζαν χωρίον τι τῆς Συρίας πάνυ ἐχυρὸν τραυματίας τε γίνεται κατὰ τὴν προσβολὴν καὶ τὸ χωρίον αἱρεῖ χρόνῳ. φερόμενος δ' ὑπ' ὀργῆς τούς τ' ἐγκαταληφθέντας ἀποσφάττει πάντας, ἐπιτρέψας τοῖς Μακεδόσι τὸν ἐντυχόντα κτείνειν, καὶ τὸν ἡγεμόνα αὐτῶν αἰχμάλωτον λαβών, ἄνδρα ἐν ἀξιώματι καὶ τύχης καὶ εἴδους, ἐξ ἁρματείου δίφρου δῆσαι κελεύσας ζῶντα καὶ τοὺς ἵππους ἐλαύνειν ἀνὰ κράτος ἐν τῇ πάντων ὄψει διαφθείρει. τούτων οὐκ ἂν ἔχοι τις εἰπεῖν δεινότερα πάθη οὐδ' ὄψει φοβερώτερα. πῶς δὴ ταῦτα ἡρμήνευκεν ὁ σοφιστής, ἄξιον ἰδεῖν, πότερα σεμνῶς | καὶ ὑψηλῶς ἢ ταπεινῶς καὶ καταγελάστως. 124

῾ὁ δὲ βασιλεὺς ἔχων τὸ σύνταγμα προηγεῖτο. καί

8 cf Curtius IV 26—28 (6, 7—30) Arrianus II 25, 4—27 21 Hegesias fr 3 p 141 s Muell

1 σελλίδα FM | δὴ F: δε P, MV 2 ἐκεῖνος Sauppius 3 ἀν(αν)κην P | ἐμπεσὼν ἄν τις F: ἄν τις ἐμπ. PMV 4 θεῖτο F: ἔθετο PMV 6 ἐκ τῆς F: ἐξ PMV 7 δὲ PMV | ἀγενές V 8 ἔστιν δ' F: τί δὲ PMV 9 γάζον F 10 ἐχυρὸν] εὐχερῶς F | γίνεται] γὰρ M 11 καὶ] γενόμενος καὶ M | αἵρει F | φερόμενος ὁ δ' PMV: ὁ om F 12 τε ἐγκαταληφθέντας PMV τε καταλειφθέντας F 13 μακεδόσιν P 14 αὐτὸν PMV 15 καὶ ante τύχης om F | εἴδους] an ἤθους? | ἐξαρματίου F 16 ἐλαύνων MV 17 διαφθείρει· τούτων F ut ci Reiskius: διαφθ. τοῦτον. PMV 18 οὐδὲ ὄψεις φοβεροτέρας (-ρωτ- M) PMV 19 ἡρμήνευκεν F ut solet | πότερα F: πότερον PMV 21 καὶ πῶς F

πως ἐβεβούλευτο τῶν πολεμίων τοῖς ἀρίστοις, ἀπαντᾶν ἐπιόντι· τοῦτο γὰρ ἔγνωστο, κρατήσασιν ἑνὸς συνεκβαλεῖν καὶ τὸ πλῆθος. ἡ μὲν οὖν ἐλπὶς αὕτη συνέδραμεν εἰς τόλμαν, ὥςτ' Ἀλέξανδρον μηδέποτε κινδυνεῦσαι πρότερον οὕτως. ἀνὴρ γὰρ τῶν πολεμίων εἰς γόνατα συγκαμφθεὶς ἔδοξεν τοῦτ' Ἀλεξάνδρῳ τῆς ἱκετείας ἕνεκα πρᾶξαι. προσέμενος δ' ἐγγὺς μικρὸν ἐκνεύει τὸ ξίφος ἐνέγκαντος ἐπὶ τὰ πτερύγια τοῦ θώρακος, ὥςτε γενέσθαι τὴν πληγὴν οὐ καιριωτάτην. ἀλλὰ τὸν μὲν αὐτὸς ἀπώλεσεν κατὰ κεφαλῆς τύπτων τῇ μαχαίρᾳ, τοὺς δ' ἄλλους ὀργὴ πρόσφατος ἐπίμπρα. οὕτως ἄρα 125 ἑκάστου τὸν ἔλεον | ἐξέστησεν ἡ τοῦ τολμήματος ἀπόνοια τῶν μὲν ἰδόντων, τῶν δ' ἀκουσάντων, ὥςθ' ἑξακισχιλίους ὑπὸ τὴν σάλπιγγα ἐκείνην τῶν βαρβάρων κατακοπῆναι. τὸν μέντοι Βαῖτιν αὐτὸν ἀνήγαγον ζῶντα Λεόνατος καὶ Φιλωτᾶς. ἰδὼν δὲ πολύσαρκον καὶ μέγαν καὶ βλοσυρωπόν (μέλας γὰρ ἦν καὶ τὸ χρῶμα),

1 ἐβεβούλευτο PMV: ἐβουλεύετο F. cf infra 82, 1 | ἀπαντᾶν om F 2 ἐπιών F εἰσιῶν P, MV: em Radermacher. interpretatio loci pendet a u κρατήσασιν quod ad Persas referendum | συνεκβαλεῖν FMV: συνεκβάλλειν Ps 4 εἰς τόλμαν] εἰς τὸ τολμᾶν PMV om F | ὥστε PMV 5 πρότερον ἢ οὕτως F. an fuerat ἢ ⟨τόθ'⟩ οὕτως? 6 συγκαμφθείς PMV: συγκαθίσας F | ἱκετείας F sine articulo τῆς, quo hiatus uitatur 7 προσέμενος F: προέμενος PMV 8 εναvκαντοσ sic P | ἐπὶ F: ὑπὸ PMV 9 τὴν F: καὶ τὴν PMV 10 τύπτω V 11 δὲ PM | ἐπίμπρα F ut Reiskius ci: ἐπίμπρατο MV ἐπὶ παλαιαῖς P | οὕτως ἄρα F: οὕτως (οὕτω V) γὰρ PMV 12 ἐξέστησεν] ἐξήτασεν F | τολμήματος F: τολμήσαντος PMV 13 δὲ M | ὥστε PMV | εξακισχιλίους F, MV τετρακισχιλίους P *circa decem milia* cecidisse Curtius IV 28, 30 auctor est 15 βαῖστ[ῐ]ν c lit ex βαΐστην corr P: βασιλέα FMV. *Betis* (immo *Baetis*) Curtio audit, Βάτις Arriano, Iosepho antiqu XI 8, 3 (320N) Βαβημάσις | αὐτῶν FM αὐτοῦ PV: emend Sylburgius 16 λεονᾱτος cum productionis nota P λεωννάτος M λεωνάτος FV | φιλωτᾶς PV φιλώτας FM 17 καὶ F: ὡς PMV | βλοσυρωπόν] βλοσυρώτατον P βδελυρώτατον FMV. cf Curtius IV

μισήσας ἐφ' οἷς ἐβεβούλευτο καὶ τὸ εἶδος ἐκέλευσεν
διὰ τῶν ποδῶν χαλκοῦν ψάλιον διείραντας ἕλκειν
κύκλῳ γυμνόν. πιλούμενος δὲ κα|κοῖς περὶ πολλὰς 126
τραχύτητας ἔκραζεν. αὐτὸ δ' ἦν, ὃ λέγω, τὸ συνάγον
ἀνθρώπους. ἐπέτεινε μὲν γὰρ ὁ πόνος, βάρβαρον δ'
ἐβόα, δεσπότην καθικετεύων· γελᾶν δὲ ὁ σολοικισμὸς
ἐποίει. τὸ δὲ στέαρ καὶ τὸ κύτος τῆς σαρκὸς ἀνέφαινε
Βαβυλώνιον ζῷον ἕτερον ἁδρόν. ὁ μὲν οὖν ὄχλος
ἐνέπαιξε, στρατιωτικὴν ὕβριν ὑβρίζων εἰδεχθῆ καὶ τῷ
τρόπῳ σκαιὸν ἐχθρόν'.

ἆρά γε ὅμοια ταῦτ' ἐστὶ τοῖς Ὁμηρικοῖς ἐκείνοις,
ἐν οἷς Ἀχιλλεύς ἐστιν αἰκιζόμενος Ἕκτορα μετὰ τὴν
τελευτήν; καίτοι τό γε πάθος ἐκεῖνο ἔλαττον· εἰς
ἀναίσθητον γὰρ σῶμα ἡ ὕβρις· ἀλλ' ὅμως ἄξιον [ἐστὶν]
ἰδεῖν, ὅσῳ διενήνοχεν ὁ ποιητὴς τοῦ σοφιστοῦ·

ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα· 127
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,

16 Homerus *X* 395—411

28, 27 *non interrito modo sed contumaci quoque uultu intuens regem* | καὶ τὸ χρῶμα PMV: τὸ σῶμα F 1 βεβούλευτο F. cf 81, 1 2 ψαλ(ιον) P ψαλλίον V: ψέλιον F ψέλλιον M 3 fort κακῶς περὶ ⟨τὰς⟩ ἐπιπολῆς τραχύτητας 4 ἔκραξεν F | ἀυτοδηνολεγω τὸ F αὐτοδηναλέγοντος (om τὸ) P | ὃ λέγω] τόδε ci Raderm | συναγαγον P 5 ἐπέτεινεν P 6 καθικετεύων Schaeferus: καὶ ἱκετεύων (ἱκετεῦον M) libri 7 κοῖτος F κῦτος MV | σαρκὸς F: γαστρὸς PMP | ἀνέφαινε F: ἐνεφαίνετο P ἐνέφαινε MV² 8 ζῶιον FP | ἁδρὸν F ἁδρόν MV ἀνδρος P. num γραπτόν? 9 ἐνέπ[αι]ζεν c lit (αι pro ε) P ἐνέπαιζε M, V: ἔπαιζε F | ὑβρίζον M | εἰδεχθῆ om V εἰς addebat Reiskius 10 τόπω corr rec F 11 ταῦτά PMV 13 καίτοι τό γε PM καὶ τό γε F καίτοι γε V | ἐκείνου V 14 ἐστιν om P 15 ἰδειν om M¹ | ὅσω F: πόσω PMV 16 ἦ F 17—18 τένοντε σφυρὸν F unde apparet τένοντε tradi | τένοντας PMV 18 ἐσφυρὸν P

ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν.
ἐς δίφρον δ' ἀναβὰς ἀνά τε κλυτὰ τεύχε' ἀείρας
μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος· ἀμφὶ δὲ χαῖται
κυάνεαι πίμπλαντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
κεῖτο πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
128 δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
τῖλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσε· κώκυσεν δὲ μάλα μέγα παῖδ' ἐσιδοῦσα.
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ.
τῷ δὲ μάλιστ' ἆρ ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.

οὕτως εὐγενὲς σῶμα καὶ δεινὰ πάθη λέγεσθαι προσῆ-
κεν ὑπ' ἀνδρῶν φρόνημα καὶ νοῦν ἐχόντων. ὡς δὲ ὁ
Μάγνης εἴρηκεν, ὑπὸ γυναικῶν ἢ κατεαγότων ἀνθρώ-
πων λέγοιτ' ἂν καὶ οὐδὲ τούτων μετὰ σπουδῆς, ἀλλ'
ἐπὶ χλευασμῷ καὶ καταγέλωτι. τί οὖν αἴτιον ἦν ἐκεί-
129 νων μὲν τῶν ποιημάτων τῆς εὐγενείας, τού|των δὲ
τῶν φλυαρημάτων τῆς ταπεινότητος; ἡ τῶν ῥυθμῶν

1 ἔδησεν F | ἕλκεσθαι F ut saepius | ἔασεν ex ἔσεν corr P ἔα M ἔδησεν F 2 δ' om F | τε] δὲ F 3 μάστιξε FV et sscr δ' ἵππους M | δ'] ῥ' uolg Hom | οὐκ' F | ἄκοντ[ε] c lit (ex -εσ) P: ἀέκοντε FMV 5 κυανέαι FV | πίπναντο s | κάρι F | ἐν om F | κονίῃσιν P 6 παρασχορεῖεν F | χάριεν MV 7 ἀεικίσασθαι F | ἑῇ om M | γαίῃ] τεῆι F 8 κεκόνιστο F 9 τῖλε] τῆλε PM τεῖλε V τίλλε F ut uolg Hom | ἐρρίψαι F ἔρριψεν P | καλύπτρην om F 10 κώ[κ]υσεν c lit P ἐκώκυσε F κώκυσε MV 11 ὤμωξε V ὤμοξε M 12 ἐμωγῆι F¹ 13 ἆρ FP: ἄρ' MV | ἔην] ἐνν' F | ἐναλίγγιον M ἐναλίγκυον V | ὡσεὶ V ὡσι F ὡς M 14 ὀφρύεσσα PMV | πύρις F | σμώχοιτο V αμυχοιτο F 15 εὐγενὲς σῶμα F: εὐγενῶς ἅμα PMV | δεινὰ FPM: δεινῶς V 17 ὑπὸ F: ὡς ὑπὸ PMV 19 ἦν F: om PMV

διαφορὰ πάντων μάλιστα, καὶ εἰ μὴ μόνη. ἐν ἐκείνοις μὲν γὰρ οὐδεὶς ἄσεμνος στίχος [ἢ ἀδόκιμος], ἐνταῦθα δὲ οὐδεμία περίοδος ἥτις οὐ λυπήσει.

εἰρηκὼς δὴ καὶ περὶ τῶν ῥυθμῶν ὅσην δύναμιν
19 ἔχουσιν, ἐπὶ τὰ λειπόμενα μεταβήσομαι. ἦν δέ μοι
6 τρίτον θεώρημα τῶν ποιούντων καλὴν ἁρμονίαν ἡ
μεταβολή. λέγω δὲ οὐ τὴν ἐκ τῶν κρειττόνων ἐπὶ τὰ χείρω (πάνυ γὰρ εὔηθες) οὐδέ γε τὴν ἐκ τῶν χειρόνων ἐπὶ τὰ κρείττω, ἀλλὰ τὴν ἐν τοῖς ὁμοειδέσι ποικιλίαν. κόρον γὰρ ἔχει καὶ τὰ καλὰ πάντα, ὥσπερ καὶ τὰ ἡδέα, ὄντα ἐν τῇ ταυτότητι· ποικιλλόμενα δὲ ταῖς μεταβολαῖς ἀεὶ καινὰ μένει. τοῖς μὲν οὖν τὰ μέτρα καὶ τὰ μέλη γράφουσιν οὐχ ἅπαντα ἔξεστι μεταβάλλειν ἢ οὐχ ἅπασιν οὐδ' ἐφ' ὅσον βού|λονται. 130
αὐτίκα τοῖς μὲν ἐποποιοῖς μέτρον οὐκ ἔξεστι μεταβάλλειν, ἀλλ' ἀνάγκη πάντας εἶναι τοὺς στίχους ἑξαμέτρους· οὐδέ γε ῥυθμόν, ἀλλὰ τοῖς ἀπὸ μακρᾶς ἀρχομένοις συλλαβῆς χρήσονται καὶ οὐδὲ τούτοις ἅπασι. τοῖς δὲ τὰ μέλη γράφουσιν τὸ μὲν τῶν στροφῶν τε καὶ ἀντιστρόφων οὐχ οἷόν τε ἀλλάξαι μέλος, ἀλλ' ἐάν

10 s cf Homerus *N* 636 s. Pindarus Nem. 7, 52 s

1 πάντων FM: om PV | καὶ εἰ FPM: εἰ καὶ V | ἐν om P 2 οὐδεὶς F: οὐδε εἷς P, MV | ἄσεμνος στίχος M: ἄσημος στίχος F στίχος ἄσεμνος PV | ἢ ἀδόκιμος F οὐδὲ (οὐδ' V) ἀδόκιμος MV: om P 3 ἥτις οὐ λυπήσει om F 4 δὴ F: δὲ PMV 5 δὲ] δὴ F 6 $\overline{γ}$ P | ποιούντων post ἁρμονίαν ponit V | καλὴν FM: τῶν καλὴν P τὴν καλὴν V 8 πάνυ . . . 9 κρείττω om FE | ὁμοειδέσιν P 10 πάντα om P sed cf *N* 636 | ὥσπερ τὰ (om καὶ) F 11 ὄντα EF: μένοντα PMV | δὲ EF: δ' ἐν PMV 12 ἀεὶ EF ὡς ἀεὶ MV: om P | τοῖς EF: ἐν τοῖς PV ἐν οἷς M 14 ἢ . . . . 15 μεταβάλλειν om F | ἢ οὐχ ἅπασιν delebat Reiskius 16 ἀν(αν)κη P 17 ταῖς— ἀρχομέναις συλλαβαῖς M 18 ἅπασιν P 19 γράφουσι EMV | τε καὶ ἀντιστρόφων om F (non E) 20 ἐᾶν τ' F ἐάν τε PMV

τ' ἐναρμονίους ἐάν τε χρωματικὰς ἐάν τε διατόνους ὑποθῶνται μελῳδίας, ἐν πάσαις δεῖ ταῖς στροφαῖς καὶ ἀντιστρόφοις τὰς αὐτὰς ἀγωγὰς φυλάττειν· οὐδέ γε τοὺς περιέχοντας ὅλας τὰς στροφὰς ῥυθμοὺς καὶ τὰς
131 ἀντιστρόφους, | ἀλλὰ δεῖ καὶ τούτους τοὺς αὐτοὺς διαμένειν· περὶ δὲ τὰς καλουμένας ἐπῳδοὺς ἀμφότερα κινεῖν ταῦτα ἔξεστι τό τε μέλος καὶ τὸν ῥυθμόν. τὰ δὲ κῶλα ἐξ ὧν συνέστηκε περίοδος ἐπὶ πολλῆς ἐξουσίας δέδοται [αὐτοῖς] ποικίλως διαιρεῖν ἄλλοτε ἄλλα μεγέθη καὶ σχήματα αὐτοῖς περιτιθέντας, ἕως ἂν ἀπαρτίσωσι τὴν στροφήν· ἔπειτα πάλιν δεῖ τὰ αὐτὰ μέτρα καὶ κῶλα ποιεῖν. οἱ μὲν οὖν ἀρχαῖοι μελοποιοί, λέγω δὲ Ἀλκαῖόν τε καὶ Σαπφώ, μικρὰς ἐποιοῦντο στροφάς, ὥστ' ἐν ὀλίγοις τοῖς κώλοις οὐ πολλὰς εἰσῆγον μεταβολάς, ἐπῳδοῖς τε πάνυ ἐχρῶντο ὀλίγοις· οἱ δὲ περὶ Στησίχορόν τε καὶ Πίνδαρον μείζους ἐργασάμενοι τὰς περιόδους εἰς πολλὰ μέτρα καὶ κῶλα διένειμαν αὐτὰς οὐκ ἄλλου τινὸς ἢ τῆς μεταβολῆς ἔρωτι. οἱ δέ γε διθυραμβοποιοὶ καὶ τοὺς τρόπους μετέβαλλον Δω-

1 ἐάν τε χρωματικὰς om F (non E) 2 ὑποθῶνται F(E): ὑπόθωνται PMV | δὴ ταῖσ F δεῖτ(αι) P | καὶ EF: τε καὶ PMV 3 τὰς αὐτὰς] τοσαύτας F[1] 4 τὰς post ὅλας om F | τὰς ἀντιστροφὰς PM τοὺς ἀντιστρόφους F: ἀντιστροφὰς V 6 ἐπῳδὰς V 7 ταῦτά ἐστιν F 8 δὲ] τε libri | συνέστηκε περίοδος F: συνέστηκε περ. ἑκάστη E ἑκάστη συνέστηκεν περ. P, MV | ἐπὶ referas ad infinitiuum 9 αὐτοῖς inclusi | ἄλλοιτε P[1]M 10 αὐτοῖς EF: αὐταῖς PMV | περιθέντας M[1] | ἂν om F 11 ἀπαρτήσωσι FV ἐπαρτίσωσι M 12 μελοποιοὶ sic (hyphen) P μελωποιοὶ P 13 δὲ om EF | σαπφῶ F[1] | μικρᾶ P[1] 14 ὥστε PMV | ὀλίγοις F ut saepe | εἰσῆγον EF: εἰσῆγον τὰς PMV 15 ἐπ' ὠιδοῖσ τε ὀλίγοισ ἐχρῶντο. F | ὀλίγ(οις) P, FVs ὀλιγίστοις M: ὀλίγαις Sylburgius, at ephymnia D dicit 16 στησίχωρον F 17 μέτρ[α καὶ] c lit ampliore P 18 αὐτοὺς F | οὐκ' F 19 διθυραμβοποιοι sic (hyphen) P | τ(ους) στρόπους P | ἑωρι(κους) P

ῥίους τε καὶ Φρυγίους καὶ Λυδίους ἐν τῷ αὐτῷ ᾄσματι ποιοῦντες, καὶ τὰς | 132 μελῳδίας ἐξήλλαττον τότε μὲν ἐναρμονίους ποιοῦντες, τότε δὲ χρωματικάς, τότε δὲ διατόνους, καὶ τοῖς ῥυθμοῖς κατὰ πολλὴν ἄδειαν ἐνεξουσιάζοντες διετέλουν, οἵ γε δὴ κατὰ Φιλόξενον καὶ Τιμόθεον καὶ Τελεστήν, ἐπεὶ παρά γε τοῖς ἀρχαίοις τεταγμένος ἦν καὶ ὁ διθύραμβος.

ἡ δὲ πεζὴ λέξις ἅπασαν ἐλευθερίαν ἔχει [καὶ ἄδειαν] ποικίλλειν ταῖς μεταβολαῖς τὴν σύνθεσιν, ὅπως βούλεται. | 133 καὶ ἔστι λέξις κρατίστη πασῶν, ἥτις ἂν ἔχῃ πλείστας ἀναπαύλας τε καὶ μεταβολὰς ἐναρμονίους, ὅταν τουτὶ μὲν ἐν περιόδῳ λέγηται, τουτὶ δ' ἔξω περιόδου καὶ ἥδε μὲν ἡ περίοδος ἐκ πλειόνων πλέκηται κώλων, ἥδε δ' ἐξ ἐλαττόνων, αὐτῶν δὲ τῶν κώλων τὸ μὲν βραχύτερον ᾖ, τὸ δὲ μακρότερον καὶ τὸ μὲν αὐτουργότερον [τὸ δὲ βραδύτερον], τὸ δὲ ἀκριβέστερον, ῥυθμοί τε ἄλλοτε ἄλλοι καὶ σχήματα παντοῖα καὶ τάσεις φωνῆς αἱ καλούμεναι προσῳδίαι διάφοροι κλέπτουσαι τῇ ποικιλίᾳ τὸν κόρον. ἔχει δέ τινα χάριν ἐν τοῖς τοιούτοις καὶ τὸ οὕτω συγκείμενον ὥςτε μὴ συγκεῖσθαι δοκεῖν. καὶ οὐ πολλῶν δεῖν

1 αὐτῶι F,P: om MV | αἴσματι P 2 ἐξήλλαττον FM | τότε tribus locis FP[1]: τοτὲ (tertio loco τότὲ) P[2], MVE | μὲν ἁρμονίους F 5 δὴ om P 6 τελεστήν libri: Τελέστην Schaefer 7 τεταγμένου F | καὶ F: om PMV 8 ἔχει E: καὶ ἄδειαν ἔχει F ἔχει καὶ ἄδειαν PMV deleui uariam lectionem 11 ἔχῃ F: ἔχει P ἔχοι EMV | ἀναπαύλεις F | ἐναρμονίους EF: ἁρμονίας PMV 12 ὅτ' ἂν τοῦτὶ F | λέγεται P 14 πλέκεται M | ἥδὲ δ' P ἡ δ' FM 15 κόλων P[1] | ᾖ] τι F 16 αὐτουργότερον F: αὐτῶν (om E) γοργότερον τὸ δὲ βραδύτερον EPMV | τὸ δὲ ἀκριβέστερον om EF 17 ἄλλοτε om V 18 διάφοροι deleuerim 20 ἐν P[2]MV ἔτι P[1]: om F | οὕτως F 21 ὥςτε μὴ] ὥστ' εἰκῇ Goellerus ed p 298 ad Demetr p 195. cf Dionys t I 16, 11 | καὶ F: om PMV | δεῖν οἶμαι F: δὲ οἴομαι δεῖν PMV

οἶμαι λόγων εἰς τουτὶ τὸ μέρος· ὅτι γὰρ ἥδιστόν τε καὶ κάλλιστον ἐν λόγοις μεταβολή, πάντας εἰδέναι πείθομαι. παράδειγμα δὲ αὐτῆς ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους· ἀμήχανον γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι καὶ ποικιλίαις εὐκαιροτέραις καὶ σχήμασι πολυειδεστέροις | 134 χρησαμένους· λέγω δὲ τὸν μὲν ὡς ἐν ἱστορίας σχήματι, τὸν δ' ὡς ἐν διαλόγων χάριτι, τὸν δ' ὡς ἐν λόγων ἐναγωνίων χρείᾳ. ἀλλ' οὐχ ἥ γε Ἰσοκράτους καὶ τῶν ἐκείνου γνωρίμων αἵρεσις ὁμοία ταύταις ἦν, ἀλλὰ καίπερ ἡδέως καὶ μεγαλοπρεπῶς πολλὰ συνθέντες οἱ ἄνδρες οὗτοι περὶ τὰς μεταβολὰς καὶ τὴν ποικιλίαν οὐ πάνυ εὐτυχοῦσιν· ἀλλ' ἔστι παρ' αὐτοῖς εἷς περιόδου κύκλος τις, ὁμοειδὴς σχημάτων τάξις, φυλακὴ συμπλοκῆς φωνηέντων ἡ αὐτή, ἄλλα πολλὰ τοιαῦτα κόπτοντα τὴν ἀκρόασιν. οὐ δὴ ἀποδέχομαι τὴν αἵρεσιν ἐκείνην κατὰ τοῦτο τὸ μέρος. καὶ αὐτῷ μὲν ἴσως τῷ Ἰσοκράτει πολλαὶ χάριτες ἐπήνθουν ἄλλαι ταύτην ἐπικρύπτουσαι τὴν ἀμορφίαν, παρὰ δὲ τοῖς μετ' ἐκεῖνον ἀπ' ἐλαττόνων τῶν ἄλλων κατορθωμάτων περιφανέστερον γίνεται τοῦτο τὸ ἁμάρτημα.

1 τουτὶ F: τοῦτο PMV 2 μεταβολή FP: ἡ μεταβολή MV 3 παράδειγμα . . . ποιοῦμαι om P 5 ἀμήχανον PMV: ἀδύνατον EF 6 ποικίλαις F | εὐκαιροτέροις EF: εὐρωστέραις PMV 8 μὲν ὡς] μὲν P | ἱστορίαις PMV | σχήματι EF: σχηματισμὸν PM σχηματισμῷ V | δὲ PMV, item 9 9 ὡς ἐναγωνίων (om ἐν λόγων) F 10 οὐχ ἥ γε PMV: οὐχ ἡ E οὐχὶ ἡ F | ἐκείνου EF ἐκείνω PM ἐκείνων V 11 ἀλλὰ καὶ περιδεῶσ P 14 εἷς περιόδου om FE | τις E: om FPMV 15 ὁμοειδὴσ (hyphen) P | φυλακὴ EF φυσικὴ M λέξις (ie φύλαξις?) P: om V | συμπλοκὴ V 16 ἀλλὰ F 17 αἵρεσιν F ut saepius: διαίρεσιν P **αἵρεσιν c ras V | τὸ om P 19 ἄλλαι EF: om PMV 20 ἀπ' EPV: οὐκ' ἀπ' F, M an latet οὖν ἀπ'? | τῶν ἄλλων om F 21 γίνεται om F

20 ἔτι τις καταλείπεταί μοι λόγος ὁ περὶ τοῦ πρέποντος. 135 καὶ γὰρ τοῖς ἄλλοις χρήμασιν ἅπασι παρεῖναι δεῖ τὸ πρέπον, καὶ εἴ τι ἄλλο ἔργον ἀτυχεῖ τούτου τοῦ μέρους, καὶ εἰ μὴ τοῦ παντός, τοῦ κρατίστου γε ἀτυχεῖ. περὶ μὲν οὖν ὅλης τῆς ἰδέας ταύτης οὐχ οὗτος ὁ καιρὸς ἀνασκοπεῖν· βαθεῖα γάρ τις αὐτοῦ καὶ πολλῶν δεομένη λόγων ἡ θεωρία. ὅσα δὲ εἰς τοῦτο συντείνει τὸ μέρος ὑπὲρ οὗ τυγχάνω ποιούμενος τὸν λόγον, εἰ μὴ καὶ πάντα μηδὲ τὰ πλεῖστα, ὅσα γε οὖν ἐγχωρεῖ, λεγέσθω.

ὁμολογουμένου δὴ παρὰ πᾶσιν ὅτι πρέπον ἐστὶ τὸ τοῖς ὑποκειμένοις ἁρμόττον προσώποις τε καὶ πράγμασιν, ὥςπερ ἐκλογὴ τῶν ὀνομάτων εἴη τις ἂν ἡ μὲν πρέπουσα τοῖς ὑποκειμένοις ἡ δὲ ἀπρεπής, οὕτω δή που | 136 καὶ σύνθεσις. παράδειγμα δὲ τούτου χρὴ λαμβάνειν τὴν ἀλήθειαν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· οὐχ ὁμοίᾳ συνθέσει χρώμεθα ὀργιζόμενοι καὶ χαίροντες, οὐδὲ ὀλοφυρόμενοι καὶ φοβούμενοι, οὐδ᾽ ἐν ἄλλῳ τινὶ πάθει ἢ κακῷ ὄντες, ὥςπερ ὅταν ἐνθυμώμεθα μηδὲν ὅλως ἡμᾶς ταράττειν μηδὲ παραλυπεῖν.

1 ἔτι τις F ἔτι E: εἷς ἔτι PMV | καταλείπεταί μοι (ἡμῖν E) FE: μοι καταλ. PMV 2 καὶ] ὡς libri. nisi forte integra intercidit apodosis | χρώμασι F σχήμασιν PMV | ἅπασι om F 3 ἄλλο om P 4 καὶ εἰ F: εἰ καὶ PMV. cf 84, 1 6 αὐτοῦ P: αὕτη FMV 7 δεομένη] δεομένη σφόδρα F πάνυ δεομένη PMV. cf 86, 8 9 μὴ om M[1] | καὶ in ras F | πάντα F: τὰ πάντα PMV | γε οὖν libri 10 λεγέσθω] γενέσθω F 12 ἁρμόττον F, E: ἁρμόζον PMV | τε om E | πράγμασι F 13 ὥσπερ F(E): ὥσπερ ἡ PMV | ἐκλογὴ νοημάτων E | εἴη F: ἡ μὲν PMV | ἡ μὲν EF: εἴη PMV 14 οὕ(τως) P[1], M 15 καὶ E: καὶ ἡ FPMV 16 λαμβάνειν F: παραλαμβάνειν PMV | λέγ[ω] c lit P 17 χαίροντ[ες] c ras F 19 ἢ κακῷ om E | ὄντες om P | εὐθυμώμεθα MV fallaci specie codicis P abducti 20 μηδὲν ὅλως ἡμᾶς F: καὶ μηδὲν ἡμᾶς ὅλως PMV | πράττειν—παραλυπεῖν F: ταράττηι—παραλυπηῖ P, MV

[δείγματος ἕνεκα ταῦτ᾽ εἴρηκα ὀλίγα περὶ πολλῶν.] μυρία ἄλλα ἐστὶν ὅσα τις ἂν εἰπεῖν ἔχοι τὰς ἰδέας ἁπάσας ἐκλογίζεσθαι βουλόμενος τοῦ πρέποντος· ἓν δὲ ὃ προχειρότατον ἔχω καὶ κοινότατον εἰπεῖν ὑπὲρ αὐτοῦ, τοῦτ᾽ ἐρῶ. οἱ αὐτοὶ ἄνθρωποι ἐν τῇ αὐτῇ καταστάσει τῆς ψυχῆς ὄντες ὅταν ἀπαγγέλλωσι πράγματα οἷς ἂν παραγενόμενοι τύχωσιν, οὐχ ὁμοίᾳ χρῶνται συνθέσει περὶ πάντων ἀλλὰ μιμητικοὶ γίνονται τῶν ἀπαγγελλομένων καὶ ἐν τῷ συντιθέναι τὰ ὀνόματα, οὐδὲν ἐπιτηδεύοντες ἀλλὰ φυσικῶς ἐπὶ τοῦτο ἀγόμενοι. ταῦτα δὴ παρατηροῦντα δεῖ τὸν ἀγαθὸν ποιητὴν καὶ 137 | ῥήτορα μιμητικὸν εἶναι τῶν πραγμάτων ὑπὲρ ὧν ἂν τοὺς λόγους ἐκφέρῃ, μὴ μόνον κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων ἀλλὰ καὶ κατὰ τὴν σύνθεσιν. ὃ ποιεῖν εἴωθεν ὁ δαιμονιώτατος Ὅμηρος καίπερ μέτρον ἔχων ἓν ὡς καὶ | 138 ῥυθμοὺς ὀλίγους, ἀλλ᾽ ὅμως ἀεί τι καινουργῶν ἐν αὐτοῖς καὶ φιλοτεχνῶν, ὥςτε μηδὲν ἡμῖν διαφέρειν γινόμενα τὰ | 139 πράγματα ἢ λεγόμενα ὁρᾶν. ἐρῶ δὲ ὀλίγα, οἷς ἄν τις δύναιτο παραδείγμασι χρῆσθαι πολλῶν. ἀπαγγέλλων δὴ πρὸς τοὺς Φαίακας Ὀδυσσεὺς τὴν ἑαυτοῦ πλάνην καὶ τὴν εἰς ᾅδου κατάβασιν

1 δείγματος F: δείγματος ἢ παραδείγματος PMV | εἵναικα P | ταῦτα PMV 2 μυρία ἄλλα ἐστὶν F: ἐπεὶ μυρία PMV. deleui superiorem sententiam | ἂν F: αἴτια PMV | ἔχει ex ἔχοι corr M 3 *πάσας ex ἁπάσας corr F 4 κοινώτατον P[1] κοινότερον F 5 τοῦτο PMV | οἱ ἀυτοὶ F 6 ὄντες om F (non E) | πράγματα] τὰ πράγματα V 7 χρῶντε P 8 ἀλλὰ PMV: ἀλλὰ καὶ EF 10 τούτω M 11 δὴ F: δὲ PMV δὲ δεῖ E | δεῖ om E | ποιητὴν EF: τε ποιητῶν P τε ποιητήν τε M ποιητήν τε V 12 ῥῆτο(ρα) P | μιμητικὸν] ποιητικῶν F | πραγμάτων] πρωτων P 13 ἐκφέροι E 15 καίπερ EF: καίτοι PMV | ἓν ὡς] ἐν(ως) P ἐν ᾧ M ἓν V om EF 16 καινουργὼν F 17 αὐτοῖς EF: τούτοις PV τούτω M 18 τὰ.. λεγόμενα om F 19 παραδειγμα P παραδείγματι V 20 πολλῶν F: ἐπὶ πολλῶν PMV | δὴ FP: οὖν MV

εἰπὼν τὰς ὄψεις τῶν ἐκεῖ κακῶν ἀποδίδωσιν. ἐν δὴ τούτοις καὶ τὰ περὶ τὸν Σίσυφον διηγεῖται πάθη, ᾧ φασι τοὺς καταχθονίους θεοὺς ὅρον πεποιῆσθαι τῆς τῶν δεινῶν ἀπαλλαγῆς, ὅταν ὑπὲρ ὄχθου τινὸς ἀνακυλίσῃ πέτρον· τοῦτο δὲ ἀμήχανον εἶναι καταπίπτοντος ὅταν εἰς ἄκρον ἔλθῃ πάλιν τοῦ πέτρου. πῶς οὖν δηλώσει ταῦτα μιμητικῶς κατ' αὐτὴν τὴν σύνθεσιν τῶν ὀνομάτων, ἄξιον ἰδεῖν·

καὶ μὴν Σίσυφον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα,
λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν·
ἤτοι ὃ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον·

ἐνταῦθα ἡ σύνθεσίς ἐστιν ἡ δηλοῦσα τῶν γινομένων ἕκαστον, τὸ βάρος τοῦ πέτρου, τὴν ἐπίπονον ἐκ τῆς γῆς κίνησιν, τὸν | διερειδόμενον τοῖς κώλοις, τὸν 140
ἀναβαίνοντα πρὸς τὸν ὄχθον, τὴν μόλις ἀνωθουμένην πέτραν· οὐδεὶς ἂν ἄλλως εἴποι. καὶ παρὰ τί γέγονε τούτων ἕκαστον; οὐ μὰ Δί' εἰκῇ γε οὐδ' ἀπὸ ταὐτομάτου. πρῶτον μὲν ἐν τοῖς δυσὶ στίχοις οἷς ἀνακυλίει τὴν πέτραν, ἔξω δυεῖν ῥημάτων τὰ λοιπὰ τῆς λέξεως μόρια

9 Homerus λ 593—596

1 *ὑποδίδωσιν* M | *δὴ* FPM: *δὲ* V 2 *ᾧ*] *ὧ* P *ὃ* F 3 *ποιεῖσθαι* F 5 *πέτρον* F: *πέτρον τινά* PMV 6 *πάλιν* om P[1] | *τοῦ πέτρου* om F 7 *κατ'*] *καὶ κατ'* libri 9 *καὶ μὴν καὶ* E | *εἶδον* EF 11 *σκ[η]ριπτόμενος* c lit P | *χερσὶ τε πόδεσσί τε* F *ποσίν τε* om M 12 *ἄνω θέσκε* F *ἄνω θε σκε* P *ἀνώθεσκε* M *ἄνωθέσκελε* V 13 *ἤ*] *γὰρ ἡ* P 14 *μέτρου* F 16 *ὄχλον* F | *μόλις* EF: *μόγις* PMV | *ἄνω θουμένην* P 17 *ἄλλος* F | *καὶ* om V | *γέγονεν* P 18 *οὐ μὰ Δί'* Radermacher cf t I 316, 15: *οὐκ ἂν* F *οὐ γὰρ* PMV | *εἰκῆι γε* F *εἰκῆι* P, MV | *οὐδὲ* PMV 19 *μὲν ἐν*] *μὲν* FMV *ἐν* P, E | *β̄* PV | *οἷς*] *ἐν οἷς* V | *ἀνακυλίει* EF: *ἀνακινεῖ* PV et sscr *κυλίει* M 20 *δυεῖν*] *δυοῖν* supra uersum supplet V

πάντ' ἐστὶν ἤτοι δισύλλαβα ἢ μονοσύλλαβα· ἔπειτα τῷ ἡμίσει πλείους εἰσὶν αἱ μακραὶ συλλαβαὶ τῶν βραχειῶν ἐν ἑκατέρῳ τῶν στίχων· ἔπειτα πᾶσαι διαβεβήκασιν αἱ τῶν ὀνομάτων ἁρμονίαι διαβάσεις εὐμεγέθεις καὶ διεστήκασι πάνυ αἰσθητῶς, ἢ τῶν φωνηέντων γραμμάτων συγκρουομένων ἢ τῶν ἡμιφώνων τε καὶ ἀφώνων συναπτομένων· ῥυθμοῖς τε δακτύλοις καὶ σπονδείοις τοῖς μηκίστοις καὶ πλείστην ἔχουσι διάβασιν ἅπαντα σύγκειται. τί δή ποτ' οὖν τούτων ἕκαστον δύναται; αἱ μὲν μονοσύλλαβοί τε καὶ δισύλλαβοι λέξεις πολλοὺς
141 *τοὺς μεταξὺ | χρόνους ἀλλήλων ἀπολείπουσαι τὸ χρόνιον ἐμιμήσαντο τοῦ ἔργου· αἱ δὲ μακραὶ συλλαβαὶ στηριγμούς τινας ἔχουσαι καὶ ἐγκαθίσματα τὴν ἀντιτυπίαν καὶ τὸ βαρὺ καὶ τὸ μόλις· τὸ δὲ μεταξὺ τῶν ὀνομάτων ψύγμα καὶ ἡ τῶν τραχυνόντων γραμμάτων παράθεσις τὰ διαλείμματα τῆς ἐνεργείας καὶ τὰς ἐποχὰς καὶ τὸ τοῦ μόχθου μέγεθος· οἱ ῥυθμοὶ δ' ἐν μήκει θεωρούμενοι τὴν ἔκτασιν τῶν μελῶν καὶ τὸν διελκυσμὸν τοῦ κυλίοντος καὶ τὴν τοῦ πέτρου ἔρεισιν. καὶ ὅτι ταῦτα οὐ φύσεώς ἐστιν αὐτοματιζούσης ἔργα ἀλλὰ τέχνης μιμήσασθαι πειρωμένης τὰ γινόμενα, τὰ τούτοις ἑξῆς λεγόμενα δηλοῖ. τὴν γὰρ ἀπὸ τῆς κορυ-*

1 *πάντα* PMV | *τῷ* om V 2 *μακραὶ* om F 3 *ἔπειτα πᾶσαι* F (*πᾶσαι* testatur etiam E): *ἔπειθ' ἅπασαι* PMV | *διαβεβλήκασιν* F 5 *γραμμάτων* FP: om EMV cf l 15 6 *συγκρ(ου)ουμένων* P 7 *τε* F: *τε καὶ* EPMV 8 *πλήστην* F 9 *ποτ' οὖν* F: om PMV 10 *τε* om EF cf l 1 | *καὶ δισύλλαβοι* om F 11 *τοὺς* EF: om PMV 14 *βαρὺ* EFM[2]V: *βραδὺ* PM[1] | *μόλις* EF: *μόγις* PMV 15 *ἀνάψυγμα* ci Reiskius 16 *καὶ τὰς ἐποχὰς* EF: *ἐποχάς τε* PMV 17 *τὸ* om V 18 *ἔκ[τα]σιν* c lit F *διέκτασιν* E | *τῶν μελῶν* om F (non E) 19 *βρίσιν* P 21 *πειρωμένης τὰ γιν.* EF: *τὰ γιν. πειρ.* PMV 22 *τὴν* . . . 92, 1 *ἐπιστρέφουσαν* . . *κατακυλιομένην πέτραν* EF: *τὸν* . . . *ἐπιστρέφοντα* . . *κατακυλιόμενον πέτρον* PMV | *τῆς* om V

φῆς ἐπιστρέφουσαν πάλιν καὶ κατακυλιομένην πέτραν οὐ τὸν αὐτὸν ἡρμήνευκε τρόπον, ἀλλ' ἐπιταχύνας τε καὶ συστρέψας τὴν σύνθεσιν· προειπὼν γὰρ ἐν τῷ αὐτῷ σχήματι

ἀλλ' ὅτε μέλλοι
ἄκρον ὑπερβαλέειν

ἐπιτίθησι τοῦτο 142

τότ' ἐπιστρέψασκε κραταιίς·
αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.

οὐχὶ συγκυλίεται τῷ βάρει τῆς πέτρας ἡ τῶν ὀνομάτων σύνθεσις, μᾶλλον δὲ ἔφθακε τὴν τοῦ λίθου φορὰν τὸ τῆς ἀπαγγελίας τάχος; ἔμοιγε δοκεῖ. καὶ τίς ἐνταῦθα πάλιν αἰτία; καὶ γὰρ ταῦτ' ἦν ἄξιον ἰδεῖν· ὁ τὴν καταφορὰν δηλῶν τοῦ πέτρου στίχος μονοσύλλαβον μὲν οὐδεμίαν, δισυλλάβους δὲ δύο μόνας ἔχει λέξεις. τοῦτ' οὖν καὶ πρῶτον οὐ διΐστησι τοὺς χρόνους ἀλλ' ἐπιταχύνει· ἔπειθ' ἑπτακαίδεκα συλλαβῶν οὐσῶν ἐν τῷ στίχῳ δέκα μέν εἰσι βραχεῖαι συλλαβαί, ἑπτὰ δὲ μακραὶ οὐδ' αὗται τέλειοι· ἀνάγκη δὴ κατα-

5 Homerus λ 596   8 ibidem 597 s

2 ἡρμίνευκε F ἡρμήνευκεν P | τε om E   3 γὰρ om F (non E)   5 ἀλλότε F   7 τοῦτο EFM[1]: τούτω PM[2]V   8 ἐπιστρέψασ κε P, E ἐπιστέψας (ρ sscr) καὶ F, MV ἀποστρέψασκε s ex Hom | κραταὶ· ἶσ P κραταις F κραταιὴ ἴς MV   9 αὖθις PMV | πέδων δὲ P[1]   10 συγκυλίεται EF: συγκατακεκύλισται PMV   11 τὴν τ. λ. φορὰν omissa addit mg F   12 ἐμοί τε PM ἐμοὶ F | τίς in ras F   13 ταῦτ' ἦν] ταύτην PMV ταύτης F | ἄξιον ἰδεῖν PV: ἰδεῖν ἄξιόν ἐστιν F ἀξ. ἰδ. ἐστιν M   14 ὁ] ὅτι M   15 β P | ἔχων MV   16 λέξις P | τοῦτο PMV | οὖν καὶ F(E): οὐκ ἐᾶι P, MV | οὐ διίστησι E οὐδ' ἵστησι F: διεστηκέναι PMV   17 ἔπειθ'] ἐπεὶ δ' F ἔπεθ' M   18 τῶ στίχο P   19 δὲ F: δὲ μόναι PMV | οὐδ' F: καὶ οὐδ' PMV | αὗται F: αὐταὶ PMV | τέλειοι FPV: τέλειαι M ut 71, 11 | ἀνάγκει P | δὴ F: οὖν PMV | κατασπᾶσθαι F: κατεσπάσθαι PM κατεσπᾶσθαι V

143 σπᾶσθαι καὶ συ|στέλλεσθαι τὴν φράσιν τῇ βραχύτητι τῶν συλλαβῶν ἐφελκομένην. ἔτι πρὸς τούτοις οὐδ' ὄνομα ἀπὸ ὀνόματος ἀξιόλογον εἴληφεν διάστασιν· οὔτε γὰρ φωνήεντι φωνῆεν οὔτε ἡμιφώνῳ ἡμίφωνον ἢ ἄφωνον, ἃ δὴ τραχύνειν πέφυκεν καὶ διϊστάναι τὰς ἁρμονίας, οὐδέν ἐστι παρακείμενον. οὐ δὴ γίνεται διάστασις αἰσθητὴ μὴ διηρτημένων τῶν λέξεων, ἀλλὰ συνολισθαίνουσιν ἀλλήλαις καὶ συγκαταφέρονται καὶ τρόπον τινὰ μία ἐξ ἁπασῶν γίνεται διὰ τὴν τῶν ἁρμονιῶν ἀκρίβειαν. ὃ δὲ μάλιστα τῶν ἄλλων θαυμάζειν ἄξιον, ῥυθμὸς οὐδεὶς τῶν μακρῶν οἵ φύσιν ἔχουσιν πίπτειν εἰς μέτρον ἡρωικόν, οὔτε σπονδεῖος οὔτε βακχεῖος ἐγκαταμέμικται τῷ στίχῳ, πλὴν ἐπὶ τῆς τελευτῆς· οἱ δ' ἄλλοι πάντες εἰσὶ δάκτυλοι, καὶ οὗτοι
144 παραμεμιγμένας ἔχοντες τὰς | ἀλόγους, ὥστε μὴ πολὺ διαφέρειν ἐνίους τῶν τροχαίων. οὐδὲν δὴ τὸ ἀντιπρᾶττον ἐστὶν εὔτροχον καὶ περιφερῆ καὶ καταρρέουσαν εἶναι τὴν φράσιν ἐκ τοιούτων συγκεκροτημένην ῥυθμῶν.

πολλά τις ἂν ἔχοι τοιαῦτα δεῖξαι παρ' Ὁμήρῳ λεγόμενα· ἐμοὶ δὲ ἀποχρῆν δοκεῖ καὶ ταῦτα, ἵν' ἐγγένηταί μοι καὶ περὶ τῶν ἄλλων εἰπεῖν. ὧν μὲν οὖν δεῖ στοχάζεσθαι τοὺς μέλλοντας ἡδεῖαν καὶ καλὴν ποιήσειν

1 συστέλεσθαι P συντελεῖσθαι F | τῆι βραχύτη P   2 οὐδὲ V οὐδεν P, M   3 ὀνόματος] ὀνοματ[α] c ras ex ὀνομάτων corr P | εἴληφεσ F εἴληφε MV   4 φωνῆεν om F   5 ἄφονον F | ἃ δὴ FPM: γίγνεται ἃ V cf 6 | πέφυκε MV | διιστάναι F: διιστάνειν PMV | τῆς F   6 ἐστιν V | [παρα]κείμενον c ras P | γίνεται FPM: om V   7 διάτασις F | διηρτημένη F   8 συνολισθένουσιν P   12 ἡρωϊκὸν F: ἡρῶιον P, MV   14 δε P, MV | οὗτοι F: οὗτοί γε PMV   15 παραδεδιωγμένας libri | τὰς om V[1]   16 χορείων ci Sauppius   17 ἐστὶν] fort ἐστὶ μὴ   21 δοκεῖ καὶ FM: ἐδόκει P εἰδοκεῖ V | ταῦθ' PMV | ἵνα V   22 ὧ μὲν P   23 ἡδεῖαν καὶ καλὴν F: καλὴν καὶ ἡδεῖαν PMV

σύνθεσιν ἔν τε ποιητικῇ καὶ λόγοις ἀμέτροις, ταῦτα κατ' ἐμὴν δόξαν ἐστὶ τὰ γοῦν κυριώτατα καὶ κράτιστα. ὅσα δὲ οὐχ οἷά τε ἦν, ἐλάττω τε ὄντα τούτων καὶ ἀμυδρότερα καὶ διὰ πλῆθος δυσπερίληπτα μιᾷ γραφῇ, ταῦτ' ἐν ταῖς καθ' ἡμέραν γυμνασίαις προςυποθήσομαι καὶ πολλῶν καὶ ἀγαθῶν ποιητῶν τε καὶ συγγραφέων καὶ ῥητόρων μαρτυρίοις χρήσομαι. νυνὶ δὲ τὰ καταλειπόμενα ὧν ὑπεσχόμην καὶ οὐδενὸς ἧττον ἀναγκαῖα εἰρῆσθαι, ταῦτ' ἔτι προσθεὶς | τῷ λόγῳ παύσομαι 145
* * * τίνες εἰσὶ διαφοραὶ τῆς συνθέσεως καὶ τίς ἑκάστης χαρακτὴρ ὡς ἐπὶ τὸ πολύ, τῶν τε πρωτευσάντων ἐν αὐταῖς μνησθῆναι καὶ δείγματα ἑκάστου παρασχεῖν, ὅταν δὲ ταῦτα λάβῃ μοι τέλος, τότε κἀκεῖνα διευκρινῆσαι τὰ παρὰ τοῖς πολλοῖς ἀπορούμενα, τί ποτ' ἐστὶν ὃ ποιεῖ τὴν μὲν πεζὴν λέξιν ὁμοίαν ποιήματι φαίνεσθαι μένουσαν ἐν τῷ τοῦ λόγου σχήματι, τὴν δὲ ποιητικὴν φράσιν ἐμφερῆ τῷ πεζῷ λόγῳ φυλάττουσαν τὴν ποιητικὴν σεμνότητα· σχεδὸν γὰρ οἱ κράτιστα διαλεχθέντες ἢ ποιήσαντες ταῦτ' ἔχουσιν ἐν τῇ λέξει τἀγαθά. πειρατέον δὴ καὶ περὶ τούτων, ἃ φρονῶ, λέγειν. ἄρξομαι δ' ἀπὸ τοῦ πρώτου.

21 Ἐγὼ τῆς συνθέσεως εἰδικὰς μὲν διαφορὰς πολλὰς

1 καὶ om sscr F | post λόγους ras duarum litterarum F 2 δόξάν ἐστιν F | τά γ' οὖν FPV 3 τε om F 4 μιᾶι F μὴ PM: om V 5 προϋποθήσομαι V 6 καὶ F: σοι καὶ PMV | ἀγαθῶν καὶ ποιητῶν τε (hoc om M) καὶ P, M 7 μαρτυρίοις F: μαρτυρι(ας) P μαρτυρίαις MV | νυνὶ F: νῦν PMV 10 hiatum indicaui. intercidit caput sententiae uelut ἀναγκαῖον γὰρ ἡγοῦμαι πρῶτον μὲν παραστῆσαι 11 τε om F 13 μοι] μι P | τέλ[ος] c ras P | κακεῖνα P, MV: καὶ ταῦτα F | διευκρινήσω V 14 τοῖς FM: om PV 15 μὲν F: om PMV 16 τὴν] τὸ P 17 λόγῳ om F 19 ἢ om P | ταῦτα PMV 20 τὰ ἀγαθὰ PMV 21 δὲ ἀπὸ MV δὲ κατὰ P 22 εἰδικὰς F(E): ἰδικὰς PMV | διαφορὰς πολλὰς F: πολλὰς διαφ. PMV

σφόδρα εἶναι τίθεμαι καὶ οὔτ' εἰς σύνοψιν ἐλθεῖν δυναμένας οὔτ' εἰς λογισμὸν ἀκριβῆ, οἴομαί τε ἴδιον ἡμῶν ἑκάστῳ χαρακτῆρα ὥςπερ ὄψεως, οὕτω καὶ συν-
146 θέσεως ὀνομάτων παρακολουθεῖν, οὐ φαύλῳ παραδείγματι χρώμενος ζῳγραφίᾳ· ὥςπερ γὰρ ἐν ἐκείνῃ τὰ αὐτὰ φάρμακα λαμβάνοντες ἅπαντες οἱ τὰ ζῷα γράφοντες οὐδὲν ἐοικότα ποιοῦσιν ἀλλήλοις τὰ μίγματα, τὸν αὐτὸν τρόπον ἐν ποιητικῇ τε διαλέκτῳ καὶ τῇ ἄλλῃ πάσῃ τοῖς αὐτοῖς ὀνόμασι χρώμενοι πάντες οὐχ ὁμοίως αὐτὰ συντίθεμεν. τὰς μέντοι γενικὰς αὐτῆς διαφορὰς ταύτας εἶναι πείθομαι μόνας τὰς τρεῖς, αἷς ὁ βουλόμενος ὀνόματα θήσεται τὰ οἰκεῖα, ἐπειδὰν τούς τε χαρακτῆρας αὐτῶν καὶ τὰς διαφορὰς ἀκούσῃ. ἐγὼ μέντοι κυρίοις ὀνόμασιν οὐκ ἔχων αὐτὰς προσαγορεῦσαι ὡς ἀκατονομάστους μεταφορικοῖς ὀνόμασι καλῶ τὴν μὲν αὐστηράν, τὴν δὲ γλαφυράν [ἢ ἀνθηράν], τὴν δὲ τρίτην εὔκρατον· ἣν ὅπως ποτὲ γίνεσθαι φαίην ἄν, ἔγωγε ἀπορῶ καὶ 'δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν',
147 εἴτε κατὰ στέρησιν τῶν | ἄκρων ἑκατέρας εἴτε κατὰ μῖξιν· οὐ γὰρ ῥᾴδιον εἰκάσαι τὸ σαφές. μή ποτ' οὖν κρεῖττον ᾖ λέγειν, ὅτι κατὰ ἄνεσίν τε καὶ ἐπίτασιν τῶν ἐσχάτων ὅρων οἱ διὰ μέσου γίνονται πολλοὶ πάνυ

18 Pindarus fr 213, 4 Bergk

1 οὔτε . . . 2 οὔτε PMV 2 εἰς συλλογισμὸν F | ἀκριβῆι P | τε ἰδιώματα ἑκάστω χαρ. F 3 χαρακτη(ρα?) P, s: χαρακτῆρι FMV 4 φαύλω F: φαύλως PMV 5 ζωγραφία F: ζωγραφιαίω PM ζωγραφαίῳ ex ζωγραφίω corr V τῇ ζωγραφίᾳ ci Reiskius 6 ζῶια P 9 ἁπάσῃ libri | ἅπαντες F 10 ss cf Raderm ad Demetr p 76 s 11 διαφορᾶς F | μόνας EF: om PMV 15 ἀκατονομάστοις PV | ὀνόμασιν P 16 ἢ ἀνθηρὰν om P ut 111, 18 cf 121, 11 17 εὔκρατον EF: κοινὴν PMV 19 κατὰ E: κατὰ τὴν FPMV | ἑτέρας F 20 μίξιν F | εἰκᾶσαι PV 21 ἧι P ἦν F | κατὰ E: κατὰ τὴν FPMV | τε καὶ F καὶ E: τε καὶ τὴν PMV

ὄντες· οὐ γὰρ ὥςπερ ἐν μουσικῇ τὸ ἴσον ἀπέχει τῆς νήτης καὶ τῆς ὑπάτης ἡ μέση, τὸν αὐτὸν τρόπον καὶ ἐν λόγοις ὁ μέσος χαρακτὴρ ἑκατέρου τῶν ἄκρων ἴσον ἀφέστηκεν, ἀλλ' ἔστι τῶν ἐν πλάτει θεωρουμένων ὡς ἀγέλη τε καὶ σωρὸς καὶ ἄλλα πολλά. ἀλλὰ γὰρ οὐχ οὗτος ὁ καιρὸς ἁρμόττων τῇ θεωρίᾳ ταύτῃ· λεκτέον δ', ὥςπερ ὑπεθέμην, καὶ περὶ τῶν χαρακτήρων οὐχ ἅπανθ' ὅσ' ἂν εἰπεῖν ἔχοιμι (μακρῶν γὰρ ἄν μοι πάνυ δεήσειε λόγων), ἀλλ' αὐτὰ τὰ φανερώτατα.

22 τῆς μὲν οὖν αὐστηρᾶς ἁρμονίας τοιόσδε | [148] ὁ χαρακτήρ· ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥςτ' ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τε ἀπ' ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενα· τραχείαις τε χρῆσθαι πολλαχῇ καὶ ἀντιτύποις ταῖς συμβολαῖς οὐδὲν αὐτῇ διαφέρει, οἷαι γίνονται τῶν λογάδην συντιθεμένων ἐν οἰκοδομίαις λίθων αἱ μὴ εὐγώνιοι καὶ μὴ συνεξεσμέναι βάσεις, ἀργαὶ δέ τινες καὶ αὐτοσχέδιοι· μεγάλοις τε καὶ διαβεβηκόσιν εἰς πλάτος ὀνόμασιν ὡς τὰ πολλὰ μηκύνεσθαι φιλεῖ· τὸ γὰρ εἰς βραχείας συλλαβὰς συνάγεσθαι πολέμιον αὐτῇ, πλὴν εἴ ποτε ἀνάγκη βιάζοιτο.

1 ἐν om P 2 νήτης F: νεάτης PMV | τῆς om V 3 χαρακτὴρ F post ἑκατ. M: om PV | ἴσως F 4 ἐν πλάτει cf 121, 2 mus Rhen 24, 311 sq 7 δ' om M[1] | ὥσπερ F: ὡς PMV | καὶ F: om PMV 8 ἄπαθ' P | ὅσα ἂν ci Schaefer: ὅσα libri | ἄν μοι F: ἂν οἶμαι PMV 9 δεήσειε F δεήσει P: δεήσειν MV | ἀλλὰ τὰ (om αὐτὰ) F 10 ὁ EFPM: καὶ ὁ V 12 ὥστε PMV | περιφερίας F 13 τε om E 14 διατάσεις F | διειργμ[ο]μέν(ας) c lit P 16 οἷαι F οἳ P: οἷον MV 17 λογάδην cf Thuc III 4. 31. VI 66 | οἰκοδομαῖς F | αἱ μη F: αἱ μήτε P, MV 18 καὶ μὴ F: μήδε P μὴ δὲ M: μήτε V | ἀργαὶ δὲ] γὰρ αἵδε F 10 αὐτοσχεδίοι F | μεγάλοις om F 20 ὀνόματος F 21 εἰς F: ἐκ PMV | συλλαβὰς F: συλλαβῆς PMV 22 fort ⟨τίς⟩ ποτε | ποτε καὶ ἡ ἀνάγκη F

ἐν μὲν δὴ τοῖς ὀνόμασι ταῦτα πειρᾶται διώκειν καὶ τούτων γλίχεται· ἐν δὲ τοῖς κώλοις ταῦτά τε ὁμοίως ἐπιτηδεύει καὶ τοὺς ῥυθμοὺς τοὺς ἀξιωματι- [149] κοὺς καὶ μεγαλοπρεπεῖς, καὶ οὔτε πάρισα βούλε|ται τὰ κῶλα ἀλλήλοις εἶναι οὔτε παρόμοια οὔτε ἀνάγκῃ δουλεύοντα, ἀκόλουθα δὲ καὶ εὐγενῆ καὶ λαμπρὰ καὶ ἐλεύθερα, φύσει τ' ἐοικέναι μᾶλλον αὐτὰ βούλεται ἢ τέχνῃ, καὶ κατὰ πάθος λέγεσθαι μᾶλλον ἢ κατ' ἦθος. περιόδους δὲ συντιθέναι συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν τὰ πολλὰ μὲν οὐδὲ βούλεται· εἰ δέ ποτ' αὐτομάτως ἐπὶ τοῦτο κατενεχθείη, τὸ ἀνεπιτήδευτον ἐμφαίνειν θέλει καὶ ἀφελές, οὔτε προσθήκαις τισὶν ὀνομάτων, ἵνα ὁ κύκλος ἐκπληρωθῇ, μηδὲν ὠφελούσαις τὸν νοῦν χρωμένη οὔτε ὅπως αἱ βάσεις αὐτῶν γένοιντο θεατρικαί τινες ἢ γλαφυραί, σπουδὴν ἔχουσα οὐδ' ἵνα τῷ πνεύματι τοῦ λέγοντος ὦσιν αὐτάρκεις συμμετρουμένη μάλα, οὐδ' ἄλλην τινὰ [πραγματείαν] τοιαύτην [150] ἔχουσα ἐπιτήδευσιν οὐδεμίαν. ἔτι | τῆς τοιαύτης ἐστὶν ἁρμονίας καὶ ταῦτα ἴδια· ἀντίρροπός ἐστι περὶ τὰς

3 ὁμοίως] ὁμοίως (solito conpendio) ἢ οὐχ ἧττον P οὐχ ἧττον ὁμοίως F οὐχ ἧττον MV 4 καὶ EF: καὶ τοὺς PMV | καὶ οὔτε EF: ἐκλέγεται καὶ οὔτε PMV 5 εἶναι om P | παρ' ὅμοια F | ἀνάγκηι F,E: ἀναγκαίαι P, M ἀναγκαῖα V 6 ἀκόλουθα δὲ καὶ EF: ἀκολουθίαι (-εία V) ἀλλ' P, MV | λαμπρὰ EF: ἁπλᾶ PMV 7 ἡ τέχνη F 8 λέγεται EF | ἢ κατὰ EF 9 περιτιθέναι F | συναπαρτιζούσας E συναπαρτιζούσαις F: συναρτιζούσας PM συναρμοζούσας V | ἑαυταῖς EF: om PMV 10 οὐδὲ EF: οὔτε PMV | ποτε PMV 11 κατενεχθῆι P 12 θέλει EFP: ἐθέλει MV 14 οὔθ' PMV 15 θε[ατ]ρικαὶ c lit F | σπουδὴν] ἢ σπουδὴν F | ἔχουσαι libri: corr Sylburgius 16 τοῦ δέοντος P | συμμετρούμεναι libri: corr Schaeferus 17 μάλα] μαδία FP, MV | οὐδε P,MV | πραγματείαν glossema inclusi 18 ἔχουσα P ἔχουσαν FM: om V | ἐπίτηδ' οὐδεμι(αν) P: ἐπιτηδεύει οὐδὲ FMV | ἔτι Reiskius: ἐπὶ libri | ἐστὶν F: om PMV 19 καὶ FP: κατὰ MV | ἴδια] δὲ MV | ἀ. ἐ. περὶ τὰς om V ἀ. ἐ. om E | ἀντίρροπός F: ἀγχίστροφός PM

πτώσεις, ποικίλη περὶ τοὺς σχηματισμούς, ὀλιγοσύνδεσμος, ἄναρθρος, ἐν πολλοῖς ὑπεροπτικὴ τῆς ἀκολουθίας, ἥκιστ' ἀνθηρά, μεγαλόφρων, αὐθέκαστος, ἀκόμψευτος, τὸν ἀρχαϊσμὸν καὶ τὸν πίνον ἔχουσα κάλλος.

ταύτης τῆς ἁρμονίας πολλοὶ μὲν ἐγένοντο ζηλωταὶ κατά τε ποίησιν καὶ ἱστορίαν καὶ λόγους πολιτικούς, διαφέροντες δὲ τῶν ἄλλων ἐν μὲν ἐπικῇ ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός, ἐν δὲ μελοποιίᾳ Πίνδαρος, ἐν τραγῳδίᾳ δ' Αἰσχύλος, ἐν ἱστορίᾳ δὲ Θουκυδίδης, ἐν δὲ πολιτικοῖς λό|γοις Ἀντι- 151
φῶν. ἐνταῦθα ἡ μὲν ὑπόθεσις ἀπῄτει πολλὰ παρασχέσθαι τῶν εἰρημένων ἑκάστου παραδείγματα, καὶ ἴσως οὐκ ἀηδὴς ἂν ὁ λόγος ἐγένετο πολλοῖς ὥσπερ ἄνθεσι διαποικιλλόμενος τοῖς ἐαρινοῖς· ἀλλ' ὑπέρμετρον ἔμελλε φανήσεσθαι τὸ σύνταγμα καὶ σχολικὸν μᾶλλον ἢ παραγγελματικόν· οὐ μὲν δὴ οὐδ' ἀνεξέλεγκτα παραλιπεῖν τὰ ῥηθέντα ἥρμοττεν, ὡς δὴ φανερὰ καὶ οὐ δεόμενα μαρτυρίας· ἔδει δέ πως τὸ μέτριον ἀμφοῖν λαβεῖν καὶ μήτε πλεονάσαι τοῦ καιροῦ μήτ' ἐλλιπεῖν

2 ἄναρθρος] ἀναίσθιος F | ὑπεροπτικὴ] ὑποδεκτικὴ F 3 ἥκιστα EPMV 4 ἀκόμψευστον F | ἀγλαϊσμὸν sscr M^2 | τὸν EF: τὸ PMV | πῖνον libri | ἔχοντα F 5 κάλλος om F 6 τῆς EF: δὲ τῆς PMV 7 ποιητικοὺς F 8 διαφερόντως ci Sauppius | ἐπικῇ Sylburgius: ἐπιεικη F ἐπιεικεῖ PMV om E 9 κωλοφώνιος P | ἐμπεδοκλῆς (hyphen) P: ἀλκμέων F fort ex scholio | ἐν μελοποιίαι δὲ P 10 τραγωιδίαι δ' (δὲ EF) P, EF τραγωδία M: δέ τραγωδία V 11 δ' ἱστορίαι P, MV | ποιητικοῖς F 12 ὑπόθεσησ ex -σεισ corr P 13 τῶν ἐν εἰρημένων sed ἐν del F 14 ἀηδὴς ἂν F: ἂν ἀηδὴς PMV | ἐγένετο τοῖς πολλοῖς sed τοῖς del F cf l 15 15 ποικιλλόμενος V | τ(οις) P: om FMV sed de F uide l 14 | ἐαρινοῖς] ἀριθμ(οις) P 16 ἔμελλεν P 17 παραγγελτικὸν V | ante δὴ II litter ras M | οὐδ' ἀνεξέλεγκτα (-λεκτα M) PM οὐδ' ἂν ἐξέλεγκτα F: ἀνέλεγκτα V 19 δέ om V^1 δὴ P | μέτριον PV: μέτρον FM 20 λαμβεῖν V | μήτε PV

τῆς πίστεως. τοῦτο δὴ πειράσομαι ποιῆσαι δείγματα λαβὼν ὀλίγα παρὰ τῶν ἐπιφανεστάτων ἀνδρῶν. ποιη-
152 τῶν μὲν οὖν Πίνδαρος ἀρ|κέσει παραληφθείς, συγγραφέων δὲ Θουκυδίδης· κράτιστοι γὰρ οὗτοι ποιηταὶ τῆς αὐστηρᾶς ἁρμονίας. ἀρχέτω δὲ Πίνδαρος, καὶ τούτου διθύραμβός τις οὗ ἐστιν ἀρχή·

Δεῦτ' ἐν χορὸν Ὀλύμπιοι
153 ἐπί τε | κλυτὰν πέμπετε χάριν θεοί,
πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν,
ἰοδέτων λαχεῖν στεφάνων τᾶν τ' ἐαριδρόπων ἀοιδᾶν·
Διόθεν τέ με σὺν ἀγλαΐᾳ
154 | ἴδετε πορευθέντ' ἀοιδᾶν δεύτερον
ἐπὶ τὸν κισσοδόταν θεόν,
τὸν Βρόμιον ἐριβόαν τε βροτοὶ καλέομεν,

6 Pindarus fr 75 Bergk

3 οὖν om M | παραλειφθεὶς M παρακληθείς V 5 δὴ F 6 τίς οὖν ἐστιν ἀρχῆι (-χήι corr) P | ἡ ἀρχὴ E: ἀρχὴ FMV 7 δεῦτ' EFM^2V: ἴδετ' P, M^1 | ἐν χορὸν EFV ἐν σχορ(ὸν) P ἐ[σ] χορὸν c lit M 8 κλυτᾶν* c lit F κλυτὰν c ras supra ν P | πέμπεται P 9 πολύβατον (hyphen) P | οἵ τ'] οἳ F | ἄστεως F non 104, 16 | ὀμφαλὸν sscr φθαλμὸν M 10 ἀθήναις libri nisi quod ἀθήναι V. sed cf 104, 17 11 τ' om F^1 12 ιοδέτ(ων) P, MV ἰαδέτων E ὅδ' ἐγὼν (prosodiam adposuit m recentior) F | λάχει F: λαχετε P, EMV | τᾶν τ' ἐαριδρόπων] ἄντε ἀριδρόπων F τ' ἀντ' ἐαριδρέπων P τάν τε ἀριδρέπτων E τ' ἀντ' ἐπαριδρέπων M τῶν ἐαριδρέπτων V | ἀοιδάν EFV: λοιβάν PM 13 Διόθεν τέ με] διατεθέντε F | αγλαϊαι P αγλαΐα F, EMV 14 εἴδετε M | πορευθέντα· οἱ δᾶν F: πορευθέντες ἀοιδαὶ (ἀοιδαῖς EV) ceteri 15 τὸν om V | κισσοδόνταν sed prius ν del P κισσοδέταν s: κισσοδαη F, EMV (latetne κισσομανῆ?) | θεὸν] θν(ας) P 16 τὸν P: ὃν reliqui | βρόμιον ὃν EFMV βρόμι(ον). τ(ον) P | ἐριβόαντε (c ras supra β) P, M: ἐριβόαν EFV

γόνον ὑπάτων νίν τε πατέρων μέλπομεν
γυναικῶν τε Καδμεϊᾶν [ἔμολον].
Ἐναργέα τελέων σάματ' οὐ λανθάνει,
φοινικοεάνων ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγησιν ἔαρ φυτὰ νεκτάρεα·
τότε βάλλεται, τότ' ἐπ' ἄμβροτον χέρσον ἐραταὶ
ἴων φόβαι ῥόδα τε κόμαισι μίγνυνται
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς
ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

ταῦθ' ὅτι μέν ἐστιν ἰσχυρὰ καὶ στιβαρὰ καὶ ἀξιωματικὰ καὶ πολὺ τὸ αὐστηρὸν ἔχει τραχύνει τε ἀλύπως καὶ πικραίνει μετρίως τὰς ἀκοὰς ἀναβέβληταί τε τοῖς χρόνοις καὶ διαβέβηκεν ἐπὶ πολὺ ταῖς ἁρμονίαις καὶ οὐ τὸ θεατρικὸν δὴ τοῦτο καὶ γλαφυρὸν ἐπιδείκνυται κάλλος ἀλλὰ | τὸ ἀρχαϊκὸν ἐκεῖνο καὶ αὐστη- 155

1 γονέων V | ὑπάτ(ω) P | νίν τε] μέν τε FM schol Pind Isthm 8, 36: μὲν P τε EV | μέλπομεν] μέλπε P μελπέμεν Boeckhius 2 τε om F | καδμίαν F καδμείαν ceteri | εμολον P σεμέλαν EV σεμέλην FM. an ἄγαλμα ut Soph Ant 1115? 3 ἐναργεα νεμέω P, E ἐν ἄλγεα τεμεῶι F ἐν ἀργέα νεμέα MV | σάματ'] τεμάντιν F μάντιν reliqui 4 φοινικοεάων F φοίνικος ἑανῶν reliqui: corr Kochius | ὁπότε F | οἰχθόντες F | ὧραν F ὦραν ceteri | θάλαμοι F. cf Aristides or III t I p 39 Dind 5 εὐόαμον F | επάγοισιν F ἐπαΐωσιν reliqui | φυτὰν (ras supra ν) εκτ[α]ρεα c ras ampliore P, M 6 τότε om F | βάλλετε EV | τότε V | ἄμβροτον χέρσον EFV: ἀμβρόταν (αμσβρόταν P) χθόν' PM 6—7 ἐραταὶ (ἐρατὰς V) ἴων φόβαι ῥόδατε EV: ἐρατέων φοβερόδατε F ἐρατὰν· ἶον φοβεράτε P, M 7 κόμισι F | μίγνυνται EFV: μίγνυται PM 8 ἀχεῖ τε F ἀχεῖται Apollon synt 224, 1: οἰχνεῖ τ' EPM οἰχνεῖτε V ὑμνεῖ τε s | ὀμφαὶ Apollon: ὀμφᾶι F ὀμφᾶ E ὀμφα V ὀμφαῖς PM 9 ἀχεῖ τε Bergkius: οἰχνεῖ τε libri ὑμνεῖτε s | σεμέλαν(αν) V | χορόν: V 11 ταχύνει V | ἀλύπ(ους) P 12 μετρίως τὰς ἀκοὰς EF: τ. ἀ. μετρ. PMV | ἀναβέβληται F: ἀνακέκληται PMV. cf 76, 9. 65, 15. 103, 5 13 ἐπὶ F: ἐπὶ τὸ PMV 14 καὶ οὐ τὸ] καὶ οὔτε PMV οὐ τὸ F 15 καὶ FM: καὶ τὸ PV

ρόν, ἅπαντες ἂν εὖ οἶδ' ὅτι μαρτυρήσειαν οἱ μετρίαν ἔχοντες αἴσθησιν περὶ λόγους. τίνι δὲ κατασκευασθέντα ἐπιτηδεύσει τοιαῦτα γέγονεν (οὐ γὰρ ἄνευ γε τέχνης καὶ λόγου τινός, αὐτοματισμῷ δὲ καὶ τύχῃ χρησάμενα τοῦτον εἴληφε τὸν χαρακτῆρα), ἐγὼ πειράσομαι δεικνύναι.

τὸ πρῶτον αὐτῷ κῶλον ἐκ τεττάρων σύγκειται λέξεως μορίων, ῥήματος καὶ συνδέσμου καὶ δυεῖν προσηγορικῶν· τὸ μὲν οὖν ῥῆμα καὶ ὁ σύνδεσμος συναλοιφῇ κερασθέντα οὐκ ἀηδῆ πεποίηκε τὴν ἁρμονίαν· τὸ δὲ προσηγορικὸν τῷ συνδέσμῳ συντιθέμενον ἀποτετράχυκεν ἀξιολόγως τὴν ἁρμογήν· τὸ γὰρ ἐν χορὸν καὶ ἀντίτυπον καὶ οὐκ εὐεπές, τοῦ μὲν συνδέσμου λήγοντος εἰς ἡμίφωνον στοιχεῖον τὸ ν̄, τοῦ δὲ προσηγορικοῦ τὴν ἀρχὴν λαμβάνοντος ἀφ' ἑνὸς τῶν ἀφώνων
156 τοῦ χ̄· ἀσύμ|μικτα δὲ τῇ φύσει ταῦτα τὰ στοιχεῖα καὶ ἀκόλλητα· οὐ γὰρ πέφυκε κατὰ μίαν συλλαβὴν τοῦ χ̄ προτάττεσθαι τὸ ν̄, ὥςτε οὐδὲ συλλαβῶν ὅρια γινόμενα συνάπτει τὸν ἦχον, ἀλλ' ἀνάγκη σιωπήν τινα γενέσθαι μέσην ἀμφοῖν τὴν διορίζουσαν ἑκατέρου τῶν γραμμάτων τὰς δυνάμεις. τὸ μὲν δὴ πρῶτον κῶλον

1 εὖ F: om PMV | μαρτυρή[σ]ειαν et μετρία[ν] c ras F 2 ἔχοντες αἴσθησιν F: αἴσθ. ἔχ. PMV | λόγους ... 4 τ. καὶ om F | τινὶ δε P 3 τοιαύτη M[1] 4 δὲ καὶ F: καὶ PMV | χρησάμενον F 5 ἐγὼ PMV: ὃν ἐγὼ F 6 δεικνῦναι F: δεικνύειν PMV 7 αὐτὸ F | τεσσάρων V 8 δυοῖν MV 9 συναληφῆι F συναλιφηῖ P 10 πεποίηκεν P 12 ἀξιολόγως (hyphen) P | ἐν sscr σ M | καὶ ἀντίτυπον EF: ἀντίτυπόν τε PMV 13 εὐεπὲς EF: εὐπετὲς PMV cf Goeller ad Demetr p 196 16 χ ex ν corr F | τῆι φύσει P, M mg F: om F[1] τῇ ῥύσει V 17 πέφυκεν P 18 προτάττεσθαι F: προτετάχθε P,MV | οὐδὲ PMV: οὔτε F | ὅρια] ὅρια F δύο (β̄ P) μόρια EPM δύο τὰ μόρια V 19 συνάπτει] τύπτει F 20 γενέσθαι EF: γίγνεσθαι P γίνεσθαι MV | μέσοιν EM | ἑκατέρων EF

οὕτω τραχύνεται τῇ συνθέσει. κῶλα δέ με δέξαι λέγειν οὐχ οἷς Ἀριστοφάνης ἢ τῶν ἄλλων τις μετρικῶν διεκόσμησε τὰς ᾠδάς, ἀλλ' οἷς ἡ φύσις ἀξιοῖ διαιρεῖν τὸν λόγον καὶ ῥητόρων παῖδες τὰς περιόδους διαιροῦσι. τὸ δέ γε τούτῳ παρακείμενον κῶλον τὸ 'ἐπί τε κλυτὰν πέμπετε χάριν θεοί' διαβέβηκεν ἀπὸ τοῦ προτέρου διάβασιν ἀξιόλογον καὶ περιείληφεν ἐν αὑτῷ πολλὰς ἁρμονίας ἀντιτύπους. ἄρχει μὲν γὰρ αὐτοῦ
στοιχεῖον ἓν τῶν | φωνηέντων τὸ ε̄ καὶ παράκειται 157
ἑτέρῳ φωνήεντι τῷ ῑ· εἰς τοῦτο γὰρ ἔληγε τὸ πρὸ αὐτοῦ. οὐ συναλείφεται δὲ οὐδὲ ταῦτ' ἀλλήλοις οὐδὲ προτάττεται κατὰ μίαν συλλαβὴν τὸ ῑ τοῦ ε̄· σιωπὴ δέ τις μεταξὺ ἀμφοῖν γίνεται διερείδουσα τῶν μορίων ἑκάτερον καὶ τὴν βάσιν αὐτοῖς ἀποδιδοῦσα ἀσφαλῆ. ἐν δὲ τῇ κατὰ μέρος συνθέσει τοῦ κώλου τοῖς μὲν ἐπί τε συνδέσμοις ἀφ' ὧν ἄρχεται τὸ κῶλον, εἴτε ἄρα πρόθεσιν αὐτῶν δεῖ τὸ ἡγούμενον καλεῖν, τὸ προσηγορικὸν ἐπικείμενον μόριον τὸ κλυτὰν ἀντίτυπον πεποίηκε καὶ τραχεῖαν τὴν σύνθεσιν· κατὰ τί ποτε; ὅτι

1 οὕτως F | τῇ θέσει V | με δέξαι PV: μ' ἔδοξε FM | λέγειν F: νυνὶ λέγειν PMV 2 οὐχ' F 3 διεκόσμησεν P διεκόσμισε F | ὁδας F | διερεῖν ut 4 διεροῦσι F 4 καὶ ⟨οἱ⟩ Sauppius | διαιροῦσιν P 5 δέ τούτω PV: δ' επι τούτων F, M | τε om F 6 κλυτᾶν F ut infra 18. 103, 2. 8 | πέμπε V | χάριν] ἁριν P | θεοὶ FM: om PV | διαβέβηκεν F: βέβηκέ τε PMV 7 ἐν om F | αὐτῷ libri 9 ἓν] εκ F 10 τὸ ῑ F | ἔληγεν ὁ F ἔληξεν τὸ P, MV 11 ταῦτα PMV | ἀλληλοσ F[1] 12 προτάττεται] παρ' οἷς τάττεται F | τοῦ ε̄] τῶι ε̄ F 13 δὲ M δ[ὴ] c ras F δή PV | τις FM: τις ἡ PV | διερίδουσα P 14 αὐτοῖς ἀποδιδοῦσα F: ἀποδοῦσα αὐτοῖς PMV | ἀσφαλῆι· ἐν δὴ P 15 μέρους? F[1] | τοῦ κώλου F: τῶν κώλων PMV | τοῖς μὲν ἐπί τε V τοῖς μὲν ἔπειτα P: τὸ ἐπ͞ιει. εἴ τε F τὸ ἐπ͞ι τοῖς μὲν ἔπειτα M 16 σύνδεσμον F: habes caussam interpolationis 17 αὐτῷ P[1] | δεῖ] δὴ F 18 τὸ ante κλυτὰν om V | πεποίηκεν P 19 κατα τί ποτε· ὅτι F: κατά τι δήποτε PMV

βούλεται μὲν εἶναι βραχεῖα ἡ πρώτη συλλαβὴ τοῦ κλυτάν, μακροτέρα δ' ἐστὶ τῆς βραχείας ἐξ ἀφώνου τε καὶ ἡμιφώνου καὶ φωνήεντος συνεστῶσα. τὸ δὲ μὴ εἰλικρινῶς αὐτῆς βραχὺ καὶ ἅμα τὸ ἐν τῇ κράσει τῶν γραμμάτων δυσεκφόρητον ἀναβολήν τε ποιεῖ καὶ ἐγκοπὴν τῆς ἁρμονίας. εἰ γοῦν τὸ κ̄ τις ἀφέλοι τῆς συλ-
158 λαβῆς καὶ | ποιήσειεν ἐπί τε λυτάν, λυθήσεται καὶ τὸ βραδὺ καὶ τὸ τραχὺ τῆς ἁρμονίας. πάλιν τῷ κλυτὰν προσηγορικῷ τὸ πέμπετε ῥηματικὸν ἐπικείμενον οὐκ ἔχει συνῳδὸν οὐδ' εὐκέραστον τὸν ἦχον, ἀλλ' ἀνάγκη στηριχθῆναι τὸ ν̄ καὶ πιεσθέντος ἱκανῶς τοῦ στόματος τότε ἀκουστὸν γενέσθαι τὸ π̄· οὐ γὰρ ὑποτακτικὸν τῷ ν̄ τὸ π̄. τούτου δ' αἴτιον ὁ τοῦ στόματος σχηματισμὸς οὔτε κατὰ τὸν αὐτὸν τόπον οὔτε τῷ αὐτῷ τρόπῳ τῶν γραμμάτων ἐκφέρων ἑκάτερον· τοῦ μὲν γὰρ ν̄ περὶ τὸν οὐρανὸν γίνεται ὁ ἦχος καὶ τῆς γλώττης ἄκροις τοῖς ὀδοῦσι προσανισταμένης καὶ τοῦ πνεύματος διὰ τῶν ῥωθώνων μεριζομένου, τοῦ δὲ π̄ μύσαντός τε τοῦ στόματος καὶ οὐδὲν τῆς γλώττης

1 μὲν εἶναι] μένειν F 2 δέ ἐστι V 3 καὶ ἡμιφώνου om P | ἑστῶσα P 5 δυσεκφόρητον F δυσεκφώνητον E δυσέκφορον PMV | ἀνακοπὴν Sauppius 6 εἴ γε οὖν F 7 ποιήσει EF | λ[υ]τᾶν c ras F | καὶ τὸ βραδὺ καὶ τὸ τραχὺ] καὶ τὸ τραχὺ E καὶ τὸ βραχὺ sed in mg καὶ τὸ ταχὺ add F 10 εὐκέ*ραστον c ras P | τὸν om EF 11 ἀνάγκηι P | τὸ ν[ῦ] c ras F | τοῦ στόματος τότε E τοῦτοτε et in mg στομ(ατος) F τοῦ π̄ τότε M τότε V: τούτου Ps 12 τὸ πῖ om F[1]M, sscr F[2] 13 το π̄ τοῦ κ̄ P | τῷ ν̄] τ[ῶ] ῦ M | πῖ F | τοῦτο F | δὲ PV | αἴτιον EF: αἴτιος PMV | στόματος] σχήματος V 14 οὔτε (ante τῷ) EF: οὐδὲ PMV 15 ἐκφέρον F | ἑκάτερον F: ἑκάτερον τὸ π̄ καὶ τὸ ν̄ PMV 16 γὰρ om M | νῦ FM: om PV | γίνεται F: τε γίνεται PMV | ὁ om V | καὶ del Sauppius 17 γλώττης F: γλώσσης PMV | ὀδοῦσιν P | προάνισταμένης F, M 18 πῖ F 19 μύσαντό σετοῦ P μύσαντός σε τοῦ M | τε τοῦ στόματος om F | γλώττης F: γλώσσης PMV

συνεργούσης τοῦ τε πνεύματος κατὰ τὴν ἄνοιξιν τῶν χειλῶν τὸν ψόφον λαμβάνοντος ἀθροῦν, ὡς καὶ πρό-|τερον εἴρηταί μοι· ἐν δὲ τῷ μεταλαμβάνειν τὸ στόμα 159
σχηματισμὸν ἕτερον ἐξ ἑτέρου μήτε συγγενῆ μήτε παρόμοιον ἐμπεριλαμβάνεταί τις χρόνος, σὺν ᾧ διίσταται τὸ λεῖόν τε καὶ εὐεπὲς τῆς ἁρμονίας. καὶ ἅμα οὐδ' ἡ προηγουμένη τοῦ πέμπετε συλλαβὴ μαλακὸν ἔχει τὸν ἦχον ἀλλ' ὑποτραχύνει τὴν ἀκοὴν ἀρχομένη τε ἐξ ἀφώνου καὶ λήγουσα εἰς ἡμίφωνον. τῷ τε χάριν τὸ θεοὶ παρακείμενον ἀνακόπτει τὸν ἦχον καὶ ποιεῖ διερεισμὸν ἀξιόλογον τῶν μορίων, τοῦ μὲν εἰς ἡμίφωνον λήγοντος τὸ ν̄, τοῦ δὲ ἄφωνον ἔχοντος ἡγούμενον τὸ θ̄· οὐδενὸς δὲ πέφυκε προτάττεσθαι τῶν ἀφώνων τὰ ἡμίφωνα.

τούτοις ἐπιφέρεται τρίτον κῶλον τουτί 'πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντα ἐν ταῖς ἱεραῖς Ἀθάναις οἰχνεῖτε'. ἐνταῦθα τῷ τε ὀμφαλὸν εἰς τὸ ν̄ λήγοντι τὸ θυόεντα παρακείμενον ἀπὸ τοῦ θ ἀρχόμενον ὁμοίαν | ἀποδίδωσιν ἀντιτυπίαν τῇ πρό- 160
τερον, καὶ τῷ θυόεντα εἰς φωνῆεν τὸ ᾱ λήγοντι ζευγνύμενον τὸ 'ἐν ταῖς ἱεραῖς' ἀπὸ φωνήεντος τοῦ

2 πρότερον p 53, 15 et 56, 1 secundum auctorem diuersum

1 συνεργούσης] μεριζομένη συνεργούσης F: ἐνεργούσης PV et sscr μεριζομένης M 2 ἄθροῦν M | ὡς F: ὡς δὴ PMV 3 δὲ F: δὴ PMV | τὸ στόμα PMV: τὸν F 5 σὺν ᾧ διίσταται] ἐν ὧι διίσταται P δι' οὗ συνίσταται FMV 6 λεῖόν τε F: λεῖον PMV | εὐεπὲς F: εὐπετὲς PV εὐτελὲς M | οὐδὲ PMV 7 ἡ om M | πέμπεται F | συλλαβ(ην) P | μακρον P 8 ἀρχομένη F: ἄρχουσά PMV 9 ἡμίφωνα M | fort τῷ δὲ | τὸ] τῶ M[1] 10 ποιεῖ F: ποιεῖ τὸν PMV | ἐρισμὸν P διορισμὸν FMV cf 106, 7 12 τοῦ ν̄ (νῦ F) FMV: om P | θῆτα F 15 οἵ τ'] οἳ F | ὀμφαλὸν] ὀφθαλμὸν sscr M 16 ἀθάναις F: ἀθήναις PMV | τῷ] τό M 17 παρακείμεν(ος) P | ἀπὸ .. 18 ἀρχόμενον om P | θῆτα F 18 δίδωσιν M | τῇ] τῶ F 19 τῷ] τὸ FM 20 ζευγνύμενον F: ἐπεζευγμένον PMV | τοῦ om P

ε̄ λαμβάνον τὴν ἀρχὴν διέσπακε τῷ μεταξὺ χρόνῳ τὸν ἦχον οὐκ ὄντι ὀλίγῳ. τούτοις ἐκεῖνα ἕπεται 'πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν'· τραχεῖα κἀνταῦθα καὶ ἀντίτυπος ἡ συζυγία· ἡμιφώνῳ γὰρ ἄφωνον συνάπτεται τῷ ν̄ τὸ τ̄ καὶ διαβέβηκεν ἀξιόλογον διάβασιν ὁ μεταξὺ τοῦ τε προσηγορικοῦ τοῦ πανδαίδαλον καὶ τῆς συναλοιφῆς τῆς συναπτομένης αὐτῷ χρόνος· μακραὶ μὲν γὰρ ἀμφότεραι, μείζων δὲ οὐκ ὀλίγῳ τῆς μετρίας ἡ συναλείφουσα τὰ δύο συλλαβή, ἐξ ἀφώνου τε καὶ δυεῖν συνεστῶσα φωνηέντων· εἰ γοῦν τις αὐτῆς ἀφέλοι τὸ τ̄ καὶ ποιήσειε πανδαίδαλον εὐκλέ' ἀγοράν, εἰς τὸ δίκαιον ἐλθοῦσα μέτρον εὐεπεστάτην ποιήσει τὴν ἁρμονίαν.

161 ὅμοια τούτοις ἐστὶ κἀκεῖνα 'ἰοδέτων λαχεῖν'. παράκειται γὰρ ἡμίφωνα δύο ἀλλήλοις τὸ ν̄ καὶ τὸ λ̄, φυσικὴν οὐκ ἔχοντα συζυγίαν τῷ μήτε κατὰ τοὺς αὐτοὺς ⟨τόπους μήτε καθ'⟩ ὁμοίους σχηματισμοὺς τοῦ στόματος ἐκφέρεσθαι. καὶ τὰ ἐπὶ τούτοις λεγόμενα μηκύνεταί τε ταῖς συλλαβαῖς καὶ διέστηκε ταῖς ἁρμο-

1 λαμβάνοντος τὴν F 2 ἦχον] χρόνον F | πανδαίδαλον-τ(ες) P 3 τραχεῖα κἀνταῦθα om F 4 συνάπτεται F: συνάπτεται γράμμα PMV 5 τὸ ν̄ (καὶ add M) τὸ τ̄ FM | διάβασιν FM[1]: διάστασιν PV sscr M[2] | ὁ libri: ἡ s 6 τε om FM | πανδαλον M 7 συναλειφῆς F συναλιφῆς P | συναπτομένης F: ἐπισυναπτομένης PMV | χρόνος F: om PMV | μακρὰ et ἀμφότερα F 8 μὲν γὰρ] μὲν P γὰρ F: γάρ εἰσιν MV | uoci ἀμφότεραι notam ·/. superposuit P[2] sed in mg non est quo referatur | μετρίας F: συμμετρίας PMV 9 τὰς δύο (β̄ P) συλλαβὰς libri 10 δυεῖν FP: δυοῖν MV | συνεστῶτα V | αὐτῆς ἀφέλοιτο F: ἀφέλοιτο αὐτῆς PMV cf 103, 6 11 καὶ ... 12 εἰς τὸ om P 12 εὐεπεστάτην F: εὐπετεστέραν PM[1]V εὐεπεστέραν sscr M[2] | ne ⟨ἂν⟩ ποιήσειε conicias, cf 103, 7. 128, 12 14 ἰωδέτων M ὃ δ' ἐγὼν F | λάχει F: λάχετε στεφάνων PMV λάβετε στεφ. s 15 γὰρ F: om PMV | ἡμίφωνα δύο F: β̄ ἡμίφωνα P, MV 16 μήτε] μὴ s 17 αὐτοὺς ὁμοίους F ὁμοίους PMV 19 διέστηκεν P

νίαις ἐπὶ πολύ ʽστεφάνων τᾶν τ᾽ ἐαριδρόπων·᾽
μακραὶ γὰρ καὶ δεῦρο συγκρούονται συλλαβαὶ τὸ δί-
καιον ὑπεραίρουσαι μέτρον, ἥ τε λήγουσα τοῦ στεφά-
νων μορίου δυσὶ περιλαμβάνουσα ἡμιφώνοις φωνῆεν
γράμμα φύσει μακρὸν καὶ ἡ συναπτομένη ταύτῃ τρισὶ
μηκυνομένη γράμμασιν ἀφώνῳ καὶ φωνήεντι μακρῶς
λεγομένῳ καὶ ἡμιφώνῳ· διερεισμός τε οὖν γέγονε τοῖς
μήκεσι τῶν συλλαβῶν καὶ ἀντιτυπία τῇ παραθέσει τῶν
γραμμάτων, οὐκ ἔχοντος τοῦ τ̄ συνῳδὸν τῷ ν̄ τὸν ἦχον,
ὃ καὶ πρότερον εἴρηκα. παράκειται δὲ καὶ τῷ ἀοιδᾶν
εἰς τὸ ν̄ λήγοντι ἀπὸ τοῦ δ̄ ἀρχόμενον ἀφώνου τὸ
Διό|θεν τε καὶ τῷ σὺν ἀγλαΐᾳ εἰς τὸ ῑ λήγοντι τὸ 162
ἴδετε πορευθέντ᾽ ἀοιδᾶν ἀρχόμενον ἀπὸ τοῦ ῑ. πολλά
τις ἂν εὕροι τοιαῦτα ὅλην τὴν ᾠδὴν σκοπῶν.

Ἵνα δὲ καὶ περὶ τῶν λοιπῶν εἰπεῖν ἐγγένηταί μοι,
Πινδάρου μὲν ἅλις ἔστω, Θουκυδίδου δὲ λαμβανέσθω
λέξις ἡ ἐκ τοῦ προοιμίου ἥδε·

Θουκυδίδης Ἀθηναῖος | ξυνέγραψε τὸν πόλεμον 163
τῶν Πελοποννησίων καὶ Ἀθηναίων ὡς ἐπολέμησαν
πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου καὶ
ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν

18 Thucydides I 1

1 *πολλὺ* P | *τᾶν τ᾽*] *τ᾽ αὖτ᾽* P *τ᾽ αὖ* M *ἄν τ᾽* F *τῶν τ᾽* V | *ἐαριδρόπων* F: *ἔαριδρέπων* PM *ἐάριδρέπτων* V 2 *δεύρο* P 3 *ὑπεραίρουσα* M 5 *ἡ*] *μὴ* F 6 *μηκυνομένη* F et sscr M[2]: *μηκυνθεῖσα* PM[1]V | *μακρῷ* F 7 *διερισμός* M *διορισμός* V | *γέγονεν* et 8 *μήκεσιν* P 10 *ὃ* F: *ὡς* PMV | *δὲ*] *τε* F | *ἀοιδὰν* libri: *λοιβὰν* s 11 *ἀρχομένου* M | *ἀφώνου* FM: *ἄφωνον* PV 12 *διατεθὲν τε* F *διόθεν τέ με* PMV | *ἀγλαΐαι* libri 13 *πορευθέντα· οἱ δε* F: *πορευθέντες ἀοιδαν* (*-δὰν* M *-δανὶ* V) PMV | *ἀρχόμενον*] *ἀρχαῖοι μόνον* F | *ἰῶτα* M 15 *λοιπῶν εἰπεῖν*] *λοιπὸν* M | *μοι* F: *μοι χρόνος* PV *μοι χρόνων* M 16 *ἅλλις* P 19 *τῶν*] *τὸν* P | *καὶ*] *τε καὶ* P

προγεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντές τε
164 *ᾖσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ | τῇ πάσῃ, καὶ*
τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκα-
τέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον.
κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο
καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δ᾽ εἰπεῖν καὶ ἐπὶ
πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι
παλαιότερα σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος
ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον
σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νο-
μίζω γενέσθαι οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς
τἆλλα. φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη οὐ
πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε
οὖσαι τὰ πρότερα καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν
ἀπολείποντες βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων.
τῆς γὰρ ἐμπορίας οὐκ οὔσης οὐδ᾽ ἐπιμιγνύντες
ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης,
νεμόμενοί τε τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν καὶ
περιουσίαν χρημάτων οὐκ ἔχοντες οὐδὲ γῆν φυτεύ-
165 *οντες, ἄδη|λον ὂν ὁπότε τις ἐπελθὼν καὶ ἀτειχίστων*
ἅμα ὄντων ἄλλος ἀφαιρήσεται, τῆς τε καθ᾽ ἡμέραν
ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρα-
τεῖν οὐ χαλεπῶς ἀνίσταντο.

1 *ὅτι*] *τε ὅτι* V | *τε* om EF 2 *ἦσαν* libri | *εἰς* EF | *εἰς αὐτὸν ἦσαν* E 3 *πρὸς* . . . 4 *διανοούμενον* om P *τὸ μὲν* . . . *διαν.* om M 6 *δὲ* PMV 7 *πλεῖστον* EF *πλεῖστων* sic P: *πλείστων* MV | *αὐτῶν* EFP: *αὐτοῦ* MV | *καὶ τὰ* EFs: *καὶ* PMV ut t I p 355, 8 8 *ἐρεῖν* P 9 *ἀδύνατον* M | *μακρότερον* F 11 *πολεμίους* P 12 *τ᾽ ἄλλα* F: *τὰ ἄλλα* PMV | *νῦν*] *συν* P *ἐν* V | *ἑλλὰσ∗* c ras F 15 *ἀπολιπόντες* F | *ἀεὶ* om F 16 *οὐδὲ* M | *ἐπιμιγνῦντες ἀλλ.* (om *ἀδεῶς*) F 19 *οὐδὲ γῆν φυτ.* om F 21 *τῆς τε*] *τῆς* V 22 [*ἀ*]*νηγόμενοι* c ras F 23 *ἀνίστατο* F *ἀπανίσταντο* Thuc

αὕτη ἡ λέξις ὅτι μὲν οὐκ ἔχει λείας οὐδὲ συνεξεσμένας ἀκριβῶς τὰς ἁρμονίας οὐδ' ἔστιν εὐεπὴς καὶ μαλακὴ καὶ λεληθότως ὀλισθάνουσα διὰ τῆς ἀκοῆς ἀλλὰ πολὺ τὸ ἀντίτυπον καὶ τραχὺ καὶ στρυφνὸν ἐμφαίνει, καὶ ὅτι πανηγυρικῆς μὲν ἢ θεατρικῆς οὐδὲ κατὰ μικρὸν ἐφάπτεται χάριτος, ἀρχαϊκὸν δέ τι καὶ αὔθαδες ἐπιδείκνυται κάλλος, ὡς πρὸς εἰδότας ὁμοίως τοὺς εὐπαιδεύτους ἅπαντας οὐδὲν δέομαι λέγειν ἄλλως τε καὶ αὐτοῦ γε τοῦ συγγραφέως ὁμολογήσαντος, ὅτι εἰς μὲν ἀκρόασιν ἧττον ἐπιτερπὴς ἡ γραφή ἐστι, 'κτῆμα δ' εἰσαεὶ μᾶλλον ἢ ἀγώνισμα εἰς τὸ παραυτίκα ἀκούειν σύγκει|ται'. τίνα δ' ἐστὶ τὰ 166
θεωρήματα οἷς χρησάμενος ἀνὴρ οὗτος ἀπηνῆ καὶ αὐστηρὰν πεποίηκε τὴν ἁρμονίαν, δι' ὀλίγων σημανῶ· ῥᾴδιον γὰρ ἔσται μικρὰ μεγάλων εἶναι δείγματα τοῖς μὴ χαλεπῶς ἐπὶ τὴν τοῦ ὁμοίου τε καὶ ἀκολούθου μεταβαίνουσιν θεωρίαν.

αὐτίκα ἐν ἀρχῇ τῷ Ἀθηναῖος προσηγορικῷ τὸ ξυνέγραψε ῥῆμα ἐφαρμοττόμενον διίστησιν ἀξιολόγως τὴν ἁρμονίαν· οὐ γὰρ προτάττεται τὸ σ̅ τοῦ ξ̅ κατὰ

11 Thucydides I 22, 4

1 αὕτη EF: αὕτη πάλιν PMV | συνεζευγμένας EV 2 οὐδὲ EFPV | ἔστιν FM | καὶ μαλακὴ EFM: om PV 3 ὀλισθάνουσα P: ὀλισθαίνουσα FMV 4 ἀ[λλὰ] c ras F | καὶ τραχὺ om EF | στριφνὸν F 5 ἐμφαίνειν. V 7 αὐθάδες F | ὡς ... ἅπαντας cf Kruegerus ad Dion historiogr p 259 8 ἀπαιδεύτους V 9 αὐτοῦ τε F αὐτοῦ E αὐτοῦ τοῦτό γε PMV 10 ἐστιν F ἔσται ci Kruegerus 11 δὲ PMV 12 ἀκούειν om F | τίνος F | δ' E δὲ ceteri 13 ἀνὴρ PMV: ὁ ἀνὴρ EF οὕτως libri: corr Sauppius | ἀπηνῆ M ἀπεινῆ F: εὐπινῆ PV om E 14 πεποίηκεν P | διαλόγων F^1 | σημανῶ EFV: σοι σημανῶ PM 15 ῥᾴδιον] ῥαιδία F ῥαῖον P, MV | ἔσται F: ἐστι PMV 17 μεταβαίνουσαι F μεταβαίνουσι MV 18 τῷ] τὸ V 19 ἐφαμαρτόμεν(ον) F ἐπαγόμενον E 20 ἁρμονίαν et ἁρμόττειν cum psilosi constanter F | τὸ] τοῦ M^1

συνεκφορὰν τὴν ἐν μιᾷ συλλαβῇ γινομένην· δεῖ δὲ τοῦ σ̅ σιωπῇ καταληφθέντος τότε ἀκουστὸν γενέσθαι τὸ ξ̅. τοῦτο δὲ τραχύτητα ἐργάζεται καὶ ἀντιτυπίαν τὸ πάθος. ἔπειθ' αἱ μετὰ τοῦτο γινόμεναι συγκοπαὶ τῶν ἤχων, τοῦ τε ν̅ ⟨καὶ τοῦ π̅⟩ καὶ τοῦ τ̅ καὶ τοῦ π̅ καὶ τοῦ κ̅ τετράκις ἑξῆς ἀλλήλοις παρακειμένων, χαράτ-
167 τουσιν εὖ μάλα τὴν ἀκοὴν καὶ | διασαλεύουσιν ἀξιολόγως τὰς ἁρμονίας, ὅταν φῇ 'τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων'· τούτων γὰρ τῶν μορίων τῆς λέξεως οὐθὲν ὅ τι οὐ ⟨σιωπῇ⟩ καταληφθῆναί τε δεῖ καὶ πιεσθῆναι πρότερον ὑπὸ τοῦ στόματος περὶ τὸ τελευταῖον γράμμα, ἵνα τὸ συναπτόμενον αὐτῷ τρανὴν καὶ καθαρὰν τὴν ἑαυτοῦ λάβῃ δύναμιν. ἔτι πρὸς τούτοις ἡ τῶν φωνηέντων παράθεσις ἡ κατὰ τὴν τελευταίαν τοῦ κώλου τοῦδε γενομένη ἐν τῷ καὶ Ἀθηναίων διακέκρουκε τὸ συνεχὲς τῆς ἁρμονίας καὶ διέστακεν πάνυ αἰσθητὸν τὸν μεταξὺ λαβοῦσα χρόνον· ἀκέραστοι γὰρ αἱ φωναὶ τοῦ τε ι̅ καὶ τοῦ α̅ καὶ ἀποκόπτουσαι τὸν ἦχον· τὸ δ' εὐεπὲς οἱ συνεχεῖς τε καὶ οἱ συλλεαινόμενοι ποιοῦσιν ἦχοι.

καὶ αὖθις ἐν τῇ δευτέρᾳ περιόδῳ τὸ προηγούμενον

1 τὴν] τῶν M | μίαι F | δὲ EFV: δὴ PM 2 σ̅ om F^1 | ληφθέντος sed sscr κατα F^2 4 μετα τούτων F | συγκοπαὶ] immo ἀνακοπαὶ cf 104, 10. 110, 8. 111, 8 5 καὶ τοῦ π̅ inserui 6 ἑξῆς F ἐξ PM | ἀλλήλας F | παρακείμεναι libri 7 τὴν] καὶ τὴν P | ἀξιολόγους M 8 τὸν πόλεμον om F | τῶν] τὸν P 10 οὐθὲν EF: οὐδὲν PMV | οὐ ⟨σιωπῇ⟩ cf l 2: οὖν F οὐχὶ EPMV | καταλειφθῆναι M 11 τε om PMV | ὑπὸ] ἐπὶ P 13 αὐτῶι ex ἀτὸ F^2 14 ἡ] ἣ F 15 τελευταῖαν F, MV om P. facilis est coniectura τελευτὴν aut τὰ τελευταῖα 17 διέστακεν P, MV: διέστηκε EF. διέσπακε fuit qui coniceret | πάνυ] πάντ' F | τὸν om F 18 γὰρ EF: τε γὰρ PMV 19 τὸ δ' ... 20 ἦχοι EFP: om MV 21 καὶ αὖτις F: αὖθις PMV | τὸ F: om PMV

κῶλον τουτί 'ἀρξάμενος εὐθὺς καθισταμένου' μετρίως ἁρμόσας ὁ ἀνὴρ ὡς ἂν εὔφωνόν τε μάλιστα φαίνοιτο καὶ μαλακόν, τὸ μετὰ τοῦτο πάλιν ἀποτραχύνει καὶ διασπᾷ | τοῖς διαχαλάσμασι τῶν ἁρμονιῶν· 168
'καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων', τρὶς γὰρ ἀλλήλοις ἑξῆς οὐ διὰ μακροῦ παράκειται φωνήεντα συγκρούσεις ἐργαζόμενα καὶ ἀνακοπὰς καὶ οὐκ ἐῶντα τὴν ἀκρόασιν ἑνὸς κώλου συνεχοῦς λαβεῖν φαντασίαν· ἥ τε περίοδος αὐτῷ λήγουσα εἰς τὸ 'τῶν προγεγενημένων' οὐκ ἔχει τὴν βάσιν εὔγραμμον καὶ περιφερῆ, ἀλλ' ἀκόρυφός τις φαίνεται καὶ ἀκατάστροφος, ὥςπερ μέρος οὖσα τῆς δευτέρας ἀλλ' οὐχὶ [τῆς πρώτης] τέλος.

τὸ δ' αὐτὸ πέπονθε καὶ ἡ τρίτη περίοδος· καὶ γὰρ ἐκείνης ἀπερίγραφός ἐστι καὶ ἀνέδραστος ἡ βάσις τελευταῖον ἐχούσης μόριον 'τὸ δὲ καὶ διανοούμενον', πολλὰς ἅμα καὶ αὐτὴ περιέχουσα φωνηέντων τε πρὸς φωνήεντα ἀντιτυπίας καὶ ἡμιφώνων πρὸς ἡμίφωνα καὶ ἄφωνα, ἅςπερ ἐργάζεται τὰ μὴ συνῳδὰ τῇ φύσει τραχύτητας. ἵνα δὲ | συνελὼν εἴπω, δώδεκά που περι- 169
όδων οὐσῶν ἃς παρεθέμην, εἴ τις αὐτὰς συμμέτρως

1 τουτί] τοῦ F 2 τε FPM: τε καὶ V | [μ]άλιστα c ras F. cf Sadaeus p 226 3 ἀποτραχύνει PV: ἐπιτραχύνει FM 4 διαχαλάσμασιν P ἀπὸχαλασμασι F 5 τε] τε καὶ F[1] | ἀξιωλογωτατων F[1] 6 τρία libri: corr Sauppius 7 ἑξῆς οὐ] ἐξ ἴσου P | μικροῦ F[1] | παράκειται] παράκειται τὰ libri | συγκρούσεις] κρούσεις F 8 ἀκρόασι P 9 λαβεῖν φαντασίαν F: φαντ. λαμβάνειν PMV 11 βάσιν om P | ἔγγραμμον F | ἀλλὰ F 12 fort καὶ ἡ καταστροφὴ 13 τῆς πρώτης glossema 15 ἀνεπίγραφος . . ἀνέραστος F | ἐ[στ]ι c ras M 16 ἐχούσης] ἔχουσα libri 17 καὶ αὐτὴ περιέχουσα F: περιέχ. καὶ αὐτὴ PMV | πρὸς φωνηέντων M 19 καὶ . . . ἐργάζεται om F | καὶ ἄφωνα P: om FMV | ἅςπερ] ἅπερ PMV | συνωιδᾶι τῆι P 20 τραχύτητας F: καὶ τραχύτητας PMV 21 εἴ τις] εἴπερ F | συμμέ[τρ]ως c ras M

μερίζοι πρὸς τὸ πνεῦμα, κώλων δὲ περιλαμβανομένων ἐν ταύταις οὐκ ἐλαττόνων ἢ τριάκοντα τὰ μὲν εὐεπῶς συγκείμενα καὶ συνεξεσμένα ταῖς ἁρμονίαις οὐκ ἂν εὕροι τις ἓξ ἢ ἑπτὰ τὰ πάντα κῶλα, φωνηέντων δὲ συμβολὰς ἐν ταῖς δώδεκα περιόδοις ὀλίγου δεῖν τριάκοντα ἡμιφώνων τε καὶ ἀφώνων ἀντιτύπων καὶ πικρῶν καὶ δυσεκφόρων παραβολάς, ἐξ ὧν αἵ τε ἀνακοπαὶ καὶ τὰ πολλὰ ἐγκαθίσματα τῇ λέξει γέγονε, τοσαύτας τὸ πλῆθος ὥςτε ὀλίγου δεῖν καθ' ἕκαστον αὐτῆς μόριον εἶναί τι τῶν τοιούτων. πολλὴ δὲ καὶ ἡ τῶν κώλων ἀσυμμετρία πρὸς ἄλληλα καὶ ἡ τῶν περιόδων ἀνωμαλία καὶ ἡ τῶν σχημάτων καινότης καὶ τὸ
170 τῆς ἀκολουθίας ὑπεροπτικὸν καὶ τἆλλα ὅσα | χαρακτηρικὰ τῆς ἀκομψεύτου τε καὶ αὐστηρᾶς ἐπελογισάμην ὄντα ἁρμονίας. ἅπαντα γὰρ διεξιέναι πάλιν ἐπὶ τῶν παραδειγμάτων καὶ καταδαπανᾶν εἰς ταῦτα τὸν χρόνον οὐκ ἀναγκαῖον ἡγοῦμαι.

Ἡ δὲ γλαφυρὰ [καὶ ἀνθηρὰ] σύνθεσις, ἣν δευτέραν 23
ἐτιθέμην τῇ τάξει, χαρακτῆρα τοιόνδε ἔχει· οὐ ζητεῖ καθ' ἓν ἕκαστον ὄνομα ἐκ περιφανείας ὁρᾶσθαι οὐδὲ

1 μερίζει M[1] | δὲ F: δὲ τῶν PMV | περιλαμβανομένων F: ἐμπεριλαμβανομένων PMV 2 ταύταις F: αὐταῖς PMV | λ̄ F | μὲν om P 4 τις ἑξῆς ἢ πάντα ταῦτα κῶλα F | ἑπτὰ] ζ̄ P 5 συλλαβὰς F | δυοκαίδεκα M β̄ P | λ̄ F 6 καὶ ἀφώνων καὶ ἀντιτύπων P 8 συγκαθίσματα et γέγονεν P 9 τοσαῦτα libri | καθ' <ἓν> Sauppius 10 καὶ ἡ F: τε ἡ P ἥ τε M ἡ V 11 πρὸς] καὶ P | καὶ ἡ . . 12 ἀνωμαλία om F 12 σχημάτων F: σχηματισμῶν PMV 13 ὑπεροπικὸν F | τἆλλα F: τὰ ἄλλα PMV | χαρακτηρικὰ F: χαρακτηριστικὰ PV χαρακτηριστικὰ καὶ M 14 ἀκομψεύστου FMV | αὐστηρᾶς] ἰσχυρᾶς F | ἀπελογησάμην PM[2] ἐπελογησάμην M[1]V 15 πάντα F | διεξιέναι F: ἐπεξιέναι PMV 18 καὶ ἀνθηρὰ om P ut 95, 16 19 ἐτιθέμην F: ἐθέμην PMV 20 ἓν EPM: om FV | οὐδ' E

ἐν ἕδρᾳ πάντα βεβηκέναι πλατείᾳ τε καὶ ἀσφαλεῖ οὐδὲ μακροὺς τοὺς μεταξὺ αὐτῶν εἶναι χρόνους, οὐδ' ὅλως τὸ βραδὺ καὶ σταθερὸν τοῦτο φίλον αὐτῇ, ἀλλὰ κεκινῆσθαι βούλεται τὴν ὀνομασίαν καὶ φέρεσθαι θάτερα κατὰ τῶν ἑτέρων ὀνομάτων καὶ ὀχεῖσθαι τὴν ἀλληλουχίαν λαμβάνοντα βάσιν ὥςπερ τὰ ῥέοντα καὶ μηδέποτε ἀτρεμοῦντα· συνηλεῖφθαί τε ἀλλήλοις ἀξιοῖ καὶ συνυ|φάνθαι τὰ μόρια ὡς μιᾶς λέξεως ὄψιν ἀποτελοῦντα [171] εἰς δύναμιν. τοῦτο δὲ ποιοῦσιν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι χρόνον αἰσθητὸν οὐδένα τὸν μεταξὺ τῶν ὀνομάτων περιλαμβάνουσαι· ἔοικέ τε κατὰ μέρος εὐητρίοις ὕφεσιν ἢ γραφαῖς συνεφθαρμένα τὰ φωτεινὰ τοῖς σκιεροῖς ἐχούσαις. εὔφωνά τε εἶναι βούλεται πάντα τὰ ὀνόματα καὶ λεῖα καὶ μαλακὰ καὶ παρθενωπά, τραχείαις δὲ συλλαβαῖς καὶ ἀντιτύποις ἀπέχθεταί που· τὸ δὲ θρασὺ πᾶν καὶ παρακεκινδυνευμένον δι' εὐλαβείας ἔχει.

οὐ μόνον δὲ τὰ ὀνόματα τοῖς ὀνόμασιν ἐπιτηδείως συνηρμόσθαι βούλεται καὶ συνεξέσθαι, ἀλλὰ καὶ τὰ

1 τε om E | ἀσφαλῆ F^1P 3 σταθηρὸν MV | κεκινῆσθαι EF κ[αὶ] κινῆσθαι c ras P: καὶ κινεῖσθαι MV 4 φέρεσθαι EFM: φέρεσθαι καὶ PV 5 τῶν ἑτέρων PMV: τῶν θατέρων F θατέρων E 5 καὶ FMV: om P | ὀχλεῖσθαι F 6 βάσιν om F | τὰ ῥέοντα EF: τὰ ῥέοντα νάματα PMV 7 συνηλεῖφθαι F: συνειλῆφθ[αι] c ras P, MV 8 ὡς E: om FPMV | μιᾶς EF: τῆς PMV | ἀποτελοῦντα PMV: διατελεῖν E διατελοῦντα F 10 οὐδένα αἰσθητὸν μεταξὺ ὀνομάτων EF 11 περιλαμβάνουσαι EFM: λαμβάνουσαι PV | κατὰ EF: κατὰ τοῦτο τὸ PMV 12 εὐκτρίοις PM | ὑφέσιν F ὑφαίσιν M ὑ[φ]αῖσιν c ras P, V ὑφαῖς Es | ἢ] ἡ F | τάφω τινα (sed super ι add ε) P 13 σκιαροις P | εἶναι βούλεται πάντα EFM^1 βούλεται εἶναι πάντα M^2V βούλεται πάντα εἶναι P 14 τὰ EF: om PMV | τραχείας M^1 15 συλλαβ(ες) P | που ....16 παρακεκινδ. om P 16 δι' EF: καὶ δι' PMV 18 τοῖς ὀνόμασι τὰ ὀνόματα F 19 καὶ συνεξέσθαι om F

κῶλα τοῖς κώλοις εὖ συνυφάνθαι καὶ πάντα εἰς περίοδον τελευτᾶν, ὁρίζουσα κώλου τε μῆκος, ὃ μὴ βραχύτερον ἔσται μηδὲ μεῖζον τοῦ μετρίου, καὶ περιόδου
[172] μέτρον, οὗ πνεῦμα τέ|λειον ἀνδρὸς κρατήσει· ἀπερίοδον δὲ λέξιν ἢ περίοδον ἀκώλιστον ἢ κῶλον ἀσύμμετρον οὐκ ἂν ὑπομείνειεν ἐργάσασθαι. χρῆται δὲ καὶ ῥυθμοῖς οὐ τοῖς μεγίστοις ἀλλὰ τοῖς μέσοις τε καὶ βραχυτέροις· καὶ τῶν περιόδων τὰς τελευτὰς εὐρύθμους εἶναι βούλεται καὶ βεβηκυίας ὡς ἂν ἀπὸ στάθμης, τἀναντία ποιοῦσα ἐν ταῖς τούτων ἁρμογαῖς ἢ ταῖς τῶν ὀνομάτων· ἐκεῖνα μὲν γὰρ συναλείφει, ταύτας δὲ διίστησι καὶ ὥςπερ ἐκ περιόπτου βούλεται φανερὰς εἶναι. σχήμασί τε οὐ τοῖς ἀρχαιοπρεπεστέροις οὐδ' ὅσοις σεμνότης τις ἢ βάρος ἢ τόνος πρόσεστιν, ἀλλὰ τοῖς τρυφεροῖς τε καὶ κολακικοῖς ὡς τὰ πολλὰ χρῆσθαι φιλεῖ, ἐν οἷς πολὺ τὸ ἀπατηλόν ἐστι καὶ θεατρικόν. ἵνα δὲ καὶ κοινότερον εἴπω, τοὐναντίον ἔχει σχῆμα τῆς προτέρας κατὰ τὰ μέγιστα καὶ κυριώτατα, ὑπὲρ ὧν οὐδὲν δέομαι πάλιν λέγειν.

ἀκόλουθον δ' ἂν εἴη καὶ τοὺς ἐν ταύτῃ πρωτεύ-

1 εὖ E: om FPMV 2 ὁρίζουσαν EFPM om V: corr Goellerus 4 μέτρον E μέτρον οὐκ ἂν ὑπομείνειεν ἐργάσασθαι sed expunctis quae ex l 6 petita erant F: χρόνον PMV | οὗ] οὐ F ὃ M | τελείου ci Reiskius cum hiatu 5 ἀκόλιστον F 6 ὑπομένειεν V | χρήσεται P | καὶ] τοῖς M^1 7 ῥυθμοῖς EFM: ῥυθμῶν PV | οὐ F | μεγίστοις EF: μηκίστοις PMV | ἀλλὰ τοῖς om P | τε] δὲ P 8 εὐρύθμους iterat P 9 καὶ om P | ἂν EF: om PMV 11 ταύτας EV: ταῦτα F τας αυτας P, M | διίστησ(ιν) P 12 φανεροὺς F 13 ἀρχαιοπρεπεστάτοις libri | ὅσοις F: ὅσοις ἢ PMV 14 βάρ(ου) P | τόνος F: πῖνος PV τὸ πῖνος M | πρόσεστιν PMV: πάρεστιν F 15 τε om EV | κολακικοῖς FPM: μαλακοῖς V θεατρικοῖς E 16 ἀσπατηλόν F 17 δὲ καὶ F: δὲ PMV | ἔχη M 18 τῆς προτέρας EFM: τῆι προτέρα P, V | τὰ om V | καὶ κυριώτατα FM: om PV 20 ταύτη F: αυτῆι P, MV | προτεύσαντας V

σαντας | καταριθμήσασθαι. ἐποποιῶν μὲν οὖν ἔμοιγε 173 κάλλιστα τουτονὶ δοκεῖ τὸν χαρακτῆρα ἐξεργάσασθαι Ἡσίοδος, μελοποιῶν δὲ Σαπφὼ καὶ μετ' αὐτὴν Ἀνακρέων τε καὶ Σιμωνίδης, τραγῳδοποιῶν δὲ μόνος Εὐριπίδης, συγγραφέων δὲ ἀκριβῶς μὲν οὐδείς, μᾶλλον δὲ τῶν πολλῶν Ἔφορός τε καὶ Θεόπομπος, ῥητόρων δὲ Ἰσοκράτης. θήσω δὲ καὶ ταύτης παραδείγματα τῆς ἁρμονίας, ποιητῶν μὲν προχειρισάμενος Σαπφώ, ῥητόρων δὲ Ἰσοκράτην. ἄρξομαι δὲ ἀπὸ τῆς μελοποιοῦ.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα, |
παῖ Δίος δολόπλοκε, λίσσομαί σε, 174
μή μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα,
πότνια θῦμον· |

ἀλλὰ τύδ' ἔλθ', αἴ ποκα κἀτέρωτα 175
τᾶς ἔμας αὔδως ἀίοισα πήλυ |
ἔκλυες, πάτρος δὲ δόμον λίποισα, 176
χρύσιον ἦλθες |

11 Sappho fr 1

1 ἐποποιῶν 3 μελοποιῶν 4 τραγωδοποιῶν uerbis hyphen adhibet P | ἔμοιγε EF: ἔγωγε PMV 2 κάλλιστα EFP: κάλλιστα νομίζω M μάλιστα νομίζω V | δοκεῖ EFP: om MV | ἐξεργάσασθαι EF: ἐπεξεργ(ων)σασθαι P et (-γάσ-) MV 3 ἡσίοδος usque ad ἰσοκράτης nominatiuos omnes accusatiuis mutauit V | μετ' αὐτὴν EF: μετὰ ταύτην PMV 4 τε om E 5 συγραφέων P^1 6 καὶ om V 7 δὲ (prius) EF: τε PMV | ταύτης EF: ταῦτα PMV 8 προχειρησάμενος F | σα[π]φῶ c ras ampliore P, F 11 in hac oda adnotationem apographorum lectione inutili nolui onerare, E suo loco inspiciatur ἀφροδίταν P 12 διὸσ δολοπλόκε FP 14 θυμὸν FP 15 τυδ' ἔλθε ποκα κατ' ἔρωτα P τὺ δ' ἐ///λ'///θε/// (ex ωληθω?) ποτὲ κατ' ἔρωτα F. de adu τύδε et 16 πήλυ cf Fleckeiseni annal 1865 p 257 16 αὐδῶσ (cum lineola ut 69, 8. 72, 16) ἀΐοισ ἀπόλυ uel potius -λ(ου) P αὔδεσαι οἶσαπηλοὶ F 17 λειποῖσα F^1 punctis supra ει positis λιποῖσα effecit F^2 18 χρύσειον FP: corr Schneidewinus

177 *ἄρμ' ὐπασδεύξαισα. κάλοι δέ σ' ἆγον*
ὤκεες στροῦθοι, περὶ γᾶς μελαίνας
πύκνα δινν ῆντες πτέρ' ἀπ' ὠράνῶθε-
ρος διὰ μέσσω.

αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτω προσώπω
ἤρε', ὄττι δῆν τὸ πέπονθα κὤττι
δηὖτε κάλημι, |

178 *κὤττ' ἔμω μάλιστα θέλω γενέσθαι*
μαινόλᾳ θύμω· τίνα δηὖτε πείθω
μαῖσ' ἄγην ἐς σὰν φιλότατα; τίς σ', ὦ
Ψάπφ', ἀδικήει; |

179 *καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·*
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισα.

1 ἀρμύ πᾶσδευξαισα F ἄρμα ὑποζεύξασα P | καλοὶ P καλοῖς F | δ' ἐσάγον F δέ σ' ἄγων P 2 ὠκέ εστρουθοὶ P | στρουθοῖ F | γ(ας) P τὰς F 3 διννῆν τεσ F δινῆντες P | πτερα· πτωρανω θερος F πτὲρ' απ' ὠρανὼ· θέρο σ P 4 διαμεσω F δ' ἄμεσ πω P 5 αἶψαδ' F ἀῖψ' ἄλλ' P | τὺ δ' ὦ μάκαιρα P: συ δῶμα καιρα F 6 μειδι άσασ P δι αι σαισ F | ἀθάνατω (-νάτω P) προσώπω FP sine ῑ ut l 9 et 10 F, cf Fleckeis ann 1865 p 262 7 ἤρε' ὄττι δ' ἦν τὸ P, E: ηρεοχι F | κωιτι F κὄττι P 8 δ' ηυτε καλημμι P: δευρο καλλημμι F 9 κωττε μω F κ' ὀττ' ἐμῶι P 10 μαινόλαθυμῶι P λαιθυμω F cf Fleck ann 1865 p 257, 24 | δήϋτε πειθω F δ' ἐυτεπεί θω P. coniunctiuum seruandum esse suasit Buecheler 11 μαι (βαι corr) σαγηνεσσαν P και σαγήνεσσαν FE: μαῖς Bergkius, μαῖσ' Buecheler | φιλότητα FE | τισ σωψαπφα δίκη· P τισ ω ψαπφα δίκησ· F: ἀδικήει Gaisfordius ex Et M 485, 41 13 αἰ] εἰ PE ἢ F, recte eidem infra 14 μηδεκέτ' ἄλλα δώσει· P μηδεκαὶ τ' αλλα δῶσε F 15 deest in F | φιλεῖ P 16 κωῢ κεθέλουσα F κ' ώυ κ' ἐθέλοισ, P. ἐθέλοισαν ci Welckerus

ἔλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τελέσσαι
θῦμος ἱμάρρει, τέλεσον, σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεχείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν· παράκειται γὰρ ἀλλήλοις τὰ ὀνόματα καὶ συνύφανται κατά τινας οἰκειότητας καὶ συζυγίας φυσικὰς τῶν γραμμάτων· τὰ γὰρ φωνήεντα τοῖς ἀφώνοις τε καὶ ἡμιφώνοις συνάπτεται μικροῦ διὰ πάσης τῆς ᾠδῆς, ὅσα προτάττεσθαί | τε καὶ ὑποτάττεσθαι πέφυκεν ἀλλήλοις κατὰ 180 μίαν συλλαβὴν συνεκφερόμενα· ἡμιφώνων δὲ πρὸς ἡμίφωνα ἢ ἄφωνα ⟨καὶ ἀφώνων⟩ καὶ φωνηέντων πρὸς ἄλληλα συμπτώσεις αἱ διασαλεύουσαι τοὺς ἤχους ὀλίγαι πάνυ ἔνεισιν· ἐγὼ γοῦν ὅλην τὴν ᾠδὴν ἀνασκοπούμενος πέντε ἢ ἓξ ἴσως ἐν τοῖς τοσούτοις ὀνόμασι καὶ ῥήμασι καὶ τοῖς ἄλλοις μορίοις ἡμιφώνων τε καὶ ἀφώνων γραμμάτων συμπλοκὰς τῶν μὴ πεφυκότων ἀλλήλοις κεράννυσθαι καὶ οὐδὲ ταύτας ἐπὶ πολὺ τραχυνούσας τὴν εὐέπειαν εὑρίσκω, φωνηέντων δὲ παρα-

1 ἐλθέμοι FP | χαλεπὰν P ἐπᾶν F 2 μεριμνᾶν F μέριμναν P | Ὄσσα F ὅ σα P | τέλεσσε F τελέσ(αι) P 3 θυμὸσ FP | ἴμαρερερει F ἴμέρει P | τελεσσον FP | αὐτὰ FP 4 ἔσο F ἔστω conpendio P 5 συνεχεία EF: συνεπεία PMV 6 λιότητι λεγ(ονε) P 9 τε καὶ ἡμιφώνους om EF 10 διὰ πάσης EF: δεῖν δι' ὅλης PMV | προτάσσεσθαι et sic ὑποτ. PMV 11 τε καὶ ὑποτ. om F | τε om E | πέφυκεν . . 12 συνεκφερ. EF: om PMV 12 συνεκφερόμενα E: συνεκφέρεσθαι F | δὲ] τε E 13 ἢ ἄφωνα PM καὶ ἀφώνων FE: om V. alteri libri alteros supplent 14 αἳ διασαλεύουσι E 15 ἔνεισιν EF εἰσίν PMV | ἔγωγ' οὖν libri 16 ε̄ F | ς̄ P | ἐν F: εὗρον ἐν PMV | τοσούτοις Sylburgius: τοιούτοις PMV om F | ὀνόμασιν F 17 καὶ ἀφώνων F: om PMV 18 αμμάτ(ων) P 20 εὑρίσκω MV εὑρίσκων F: om P

θέσεις τὰς μὲν ἐν τοῖς κώλοις αὐτοῖς γινομένας ἔτι ἐλάττους ἢ τοσαύτας, τὰς δὲ συναπτούσας ἀλλήλοις τὰ κῶλα ὀλίγῳ τινὶ τούτων πλείονας. εἰκότως δὴ γέγονεν εὔρους τις ἡ λέξις καὶ μαλακή, τῆς ἁρμονίας τῶν ὀνομάτων μηδὲν ἀποκυματιζούσης τὸν ἦχον.

ἔλεγον δ' ἂν καὶ τὰ λοιπὰ τῆς συνθέσεως ταύτης ἰδιώματα καὶ ἀπεδείκνυον ἐπὶ τῶν παραδειγμάτων
181 τοιαῦτα ὄντα οἷα | ἐγώ φημι, εἰ μὴ μακρὸς ἔμελλεν ὁ λόγος γενήσεσθαι καὶ ταυτολογίας τινὰ παρέξειν δόξαν. ἐξέσται γὰρ σοὶ καὶ παντὶ ἄλλῳ καθ' ἓν ἕκαστον τῶν ἐξηριθμημένων ὑπ' ἐμοῦ κατὰ τὴν προέκθεσιν τοῦ χαρακτῆρος ἐπιλέγεσθαί τε καὶ σκοπεῖν ἐπὶ τῶν παραδειγμάτων κατὰ πολλὴν εὐκαιρίαν καὶ σχολήν· ἐμοὶ δ' οὐκ ἐγχωρεῖ τοῦτο ποιεῖν ἀλλ' ἀπόχρη παραδεῖξαι μόνον ἀρκούντως ἃ βούλομαι τοῖς δυνησομένοις παρακολουθῆσαι.

ἑνὸς ἔτι παραθήσομαι λέξιν ἀνδρὸς εἰς τὸν αὐτὸν
182 | κατεσκευασμένου χαρακτῆρα, Ἰσοκράτους τοῦ ῥήτορος, ὃν ἐγὼ μάλιστα πάντων οἴομαι τῶν πεζῇ λέξει χρησαμένων ταύτην ἀκριβοῦν τὴν ἁρμονίαν. ἔστι δὲ ἡ λέξις ἐκ τοῦ Ἀρεοπαγιτικοῦ ἥδε·

Πολλοὺς ὑμῶν οἴομαι θαυμάζειν, ἥντινά ποτε

22 Isocrates or VII 1—5

1 ἔτι] ὅτι F 2 ἀλλήλοις supplet mg F² post κῶλα dant PMV 4 εὔνους τις F | ἡ λέξις ante εὔρους posuit V 6 [ἔλ]εγον c lit P | δὲ ἂν F 7 ἀπεδείκνυ F 8 ἐιμιμακρ(ῶς) P 9 παρέξειν δόξαν F: δ. παρέχειν PMV 10 καὶ παντὶ FPM παντὶ Vs παντί τ' Tauchn 11 τὴν] τ(ων) P | πρόθεσιν F 12 τῶν F: om PMV cf supra l 7 14 δὲ F | ποιεῖ P | παραδεῖξαι] πᾶσι δεῖξαι FM δεῖξαι PV 15 ἀρκοῦντος F 17 παραθήσομαι F παραθήσω PMV | αὐτὸν om F 18 κατεσκευασμένου P: κατεσκευασμένον FV -μένην Mh 19 ὃν] ἥ F | πεζῇ F: πεζῆι τῆι P,MV 21 ἀρεοπαγητικου ἥδε F 22—119, 9 cf Fuhr Mus Rhen 33, 351 sq | ὑμῶν] τούτων F | οἶμαι I(socratis libri)

γνώμην ἔχων περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥςπερ ἣ τῆς πόλεως ἐν κινδύνοις οὔσης ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ τὰ περὶ τὴν χώραν ἀγούσης καὶ τῶν κατὰ θάλατταν ἀρχούσης, ἔτι δὲ συμμάχους ἐχούσης πολλοὺς μὲν τοὺς ἑτοίμους ἡμῖν ἤν τι δέῃ βοηθήσοντας, πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις ὑποτελοῦντας καὶ τὸ προσταττόμενον ποιοῦντας. ὧν ὑπαρχόντων ἡμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαρρεῖν ὡς πόρρω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι | καὶ βου- 183
λεύεσθαι περὶ σωτηρίας. ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα τῇ δυνάμει ταύτῃ κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας, καὶ τὰς μάλιστα θαρρούσας εἰς πλεῖστον κίνδυνον καθισταμένας. αἴτιον δὲ τούτων ἐστίν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ

1 πρόοδον M 2 ὥςπερ ἢ] ὡς περὶ F: ὥσπερ ceteri cum I | ἢ] εἰ F 3 καθεστηκότων I 5 εἰρήνης F | τὰ EF: καὶ τὰ PMV, I | [ἐ]χούσης c lit (ex ἀ-) P, MV | τῶν] τῷ V 6 ἔτι . . . ἐχούσης om F | δὲ] δὲ καὶ M 7 τοὺς om E | ἑτοίμως I^γ commendauerat Sylburgius | ἡμῖν om M | δέοι E 8 τοὺς om PM | ἐπιτελοῦντας EF 10 ὑμᾶς EF 12 ὑμετέροις F 13 ἡμεῖς PV | περὶ τῆς αὐτῶν σωτηρίας I^γ | οἶδ'] οἵ δ' F 14 προόδου MV 15 τῆι δυνάμει ταύτη F, E: ταύτηι (ταύτην M) τῆι δυνάμει P, MVI 16 δὲ δι'] δ' M 18 συμβουλευομένας h 19 πλεῖστον κίνδυνον EF: πλείστους κινδύνους PM, I πλείους κ. V

τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς δὲ ἐνδείαις καὶ ταῖς ταπεινότησιν καὶ σωφροσύνη καὶ πολλὴ μετριότης. ὥςτε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις εὔξαιτο τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν· ἴδοι γὰρ ἂν ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δοκούσης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς
184 πράξεις ἐπιδι|δούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν.

ταῦθ' ὅτι συνήλειπταί τε καὶ συγκέχρωσται, καὶ οὐ καθ' ἓν ἕκαστον ὄνομα ἐν ἕδρᾳ περιφανεῖ καὶ πλατείᾳ βέβηκεν οὐδὲ μακροῖς τοῖς μεταξὺ χρόνοις διείργεται καὶ διαβέβηκεν ἀπ' ἀλλήλων, ἀλλ' ἐν κινήσει τε ὄντα φαίνεται καὶ φορᾷ καὶ ῥύσει συνεχεῖ, πραεῖαί τε αὐτῶν εἰσι καὶ μαλακαὶ καὶ προπετεῖς αἱ συνάπτουσαι τὴν λέξιν ἁρμονίαι, τὸ ἄλογον ἐπιμαρτυρεῖ τῆς ἀκοῆς πάθος. ὅτι δ' οὐκ ἄλλα τινὰ τούτων ἐστὶν αἴτια ἢ τὰ προειρημένα ὑπ' ἐμοῦ περὶ τῆς ἀγωγῆς ταύτης τῶν λόγων, ῥᾴδιον ἰδεῖν. φωνηέντων μὲν γὰρ ἀντιτυπίαν οὐκ ἂν εὕροι τις οὐδεμίαν ἐν γοῦν οἷς
185 παρεθέμην ἀριθμοῖς, οἴομαι δ' οὐδ' ἐν | ὅλῳ τῷ λόγῳ, πλὴν εἴ τί με διαλέληθεν· ἡμιφώνων δὲ καὶ ἀφώνων ὀλίγας καὶ οὐ σφόδρα ἐκφανεῖς οὐδὲ συνεχεῖς. ταῦτά

1 πλουσίοις F | ἄνοια . . . . 2 ἐνδείαις om F 2 ἀκολασίαι PMV | δ' M 3 καὶ (prius) F: om EPMV, I 5 εὔξαιτο EF: δέξαιτο PMV, I | τούτων τῶν μερίδων EF | αὑτοῦ libri 6 καταλιπεῖν om EF | ἴδοι EF: ἴδοιμεν PV, I ἴδοι μὲν M | ἂν om F ἄν τις E | μὲν om V 7 εἶναι δοκούσης om EF | ἐπιπολὺ F[1] 10 συνείληπταί τε EPMV συνήλειπτέται F 11 οὐ καθ' ἓν] οὐδὲν EF | περιφανῆ M 12 οὐδὲ EF: οὐδ' ἐν PMV 15 τε . . . μαλακαὶ om F | προπετεῖς PV προσφυεῖς FM γρ V. fort προσηνεῖς 19 ῥάδιον ἐξ ἐκείνων ἰδεῖν. E 20 εὕροι F: om PM post οὐδεμίαν exhibet V | ἐν τ' οὖν M 21 ῥυθμοῖς Sauppius | οὐθ' F 22 δὲ om M[1] 23 σφόδρα F: πάνυ PMV

τε δὴ τῆς εὐεπείας αἴτια τῇ λέξει γέγονε καὶ ἡ τῶν κώλων συμμετρία πρὸς ἄλληλα, τῶν τε περιόδων ὁ κύκλος ἔχων τι περιφερὲς καὶ εὔγραμμον καὶ τεταμιευμένον ἄκρως ταῖς συμμετρίαις. ὑπὲρ ἅπαντα δὲ ταῦτα οἱ σχηματισμοὶ πολὺ τὸ νεαρὸν ἔχοντες· εἰσὶ γὰρ ἀντίθετοι καὶ παρόμοιοι καὶ πάρισοι καὶ οἱ παραπλήσιοι τούτοις, ἐξ ὧν ἡ πανηγυρικὴ διάλεκτος ἀποτελεῖται. οὐκ ἀναγκαῖον εἶναι δοκῶ μηκύνειν καὶ | τὰ 186
λοιπὰ διεξιών· ἱκανῶς γὰρ εἴρηται καὶ περὶ ταύτης τῆς συνθέσεως ὅσα γε ἥρμοττεν.

24 Ἡ δὲ τρίτη καὶ μέση τῶν εἰρημένων δυεῖν ἁρμονιῶν, ἣν εὔκρατον καλῶ σπάνει κυρίου τε καὶ κρείττονος ὀνόματος, σχῆμα μὲν ἴδιον οὐδὲν ἔχει, κεκέρασται δὲ ὡς ἐξ ἐκείνων μετρίως καὶ ἔστιν ἐκλογή τις τῶν ἐν ἑκατέρᾳ κρατίστων. αὕτη δοκεῖ μοι τὰ πρωτεῖα ἐπιτηδεία εἶναι φέρεσθαι, ἐπειδὴ μεσότης μέν τίς ἐστι (μεσότης δὲ ἡ ἀρετὴ καὶ βίων καὶ ἔργων [καὶ τεχνῶν], ὡς Ἀριστοτέλει τε δοκεῖ καὶ τοῖς ἄλλοις ὅσοι κατ' ἐκείνην τὴν αἵρεσιν φιλοσοφοῦσιν), ὁρᾶται δ',

18 cf Aristoteles eth Nic. II 6 p 1106^a 26ss

1 τε δὴ] δὴ F δὲ PMV | εὐπρεπείας P | γέγονεν F 2 τε om P 3 ἔχων τι] ἔχοντι P | περιφερὲς F: περιφανὲς PMV | καὶ εὐθύγραμμον F 4 ἄκρως F: ἄκραις PMV 5 πολὺ F: οἱ πολὺ PM οἱ πολλοὶ V 6 παρὅμοι sic F 7 συ[ντε]λεῖται c ras P 8 δοκῶ FP: μοι δοκῶ MV 10 συνθέσεως FP: θέσεως MV | γε om F 11 τρίτη EF: τρίτη τε PMV | δυεῖν FPM δυοῖν V om E 12 εὔκρατον F: κοινὴν PMV | σπάνει τε PMV ἐγὼ ἀντὶ F. τε deleui | τε F: om PMV 14 δή P | ὡς EF: πως PMV | ἐκείνων] ἐκείνου F | ἀλλογή V 15 κρατίστων] κρατίστη· ὧν F κρατίστων· ὧν E | αὐτὴ PV 16 ἐπιτήδεια FE^{v}: fort ἐπιτήδειος | ἐπεὶ δὲ μεσ. F | τις ἐστὶ E: τις F ἐστι PMV 17 καὶ τεχνῶν om FE 18 τε om V | ὅσοι] οἳ F 19 αἵρεσιν FP | ὁρᾶτε M | δὲ PMVE

ὥςπερ ἔφην καὶ πρότερον, οὐ κατὰ ἀπαρτισμὸν ἀλλ' ἐν πλάτει, καὶ τὰς εἰδικὰς ἔχει διαφορὰς πολλάς· οἵ τε χρησάμενοι αὐτῇ οὐ τὰ αὐτὰ πάντες οὐδ' ὁμοίως ἐπετήδευσαν, ἀλλ' οἳ μὲν ταῦτα μᾶλλον, οἳ δ' ἐκεῖνα,
187 ἐπέτειναν τε καὶ ἀνῆκαν | ἄλλως ἄλλοι τὰ αὐτά, καὶ πάντες ἐγένοντο λόγου ἄξιοι κατὰ πάσας τὰς ἰδέας τῶν λόγων. κορυφὴ μὲν οὖν ἁπάντων καὶ σκοπός,

ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι,

δικαίως ἂν Ὅμηρος λέγοιτο. πᾶς γὰρ αὐτῷ τόπος, ὅτου τις ἂν ἅψηται, ταῖς τε αὐστηραῖς καὶ ταῖς γλαφυραῖς ἁρμονίαις εἰς ἄκρον διαπεποίκιλται. τῶν δ' ἄλλων ὅσοι τὴν αὐτὴν μεσότητα ἐπετήδευσαν, ὕστεροι μὲν Ὁμήρου μακρῷ παρ' ἐκεῖνον ἐξεταζόμενοι φαίνοιντ' ἄν, καθ' ἑαυτοὺς δὲ εἰ θεωροίη τις αὐτούς, ἀξιοθέατοι, μελοποιῶν μὲν Στησίχορός τε καὶ Ἀλκαῖος, τραγῳδοποιῶν δὲ Σοφοκλῆς, συγγραφέων δὲ Ἡρόδοτος, ῥητόρων δὲ Δημοσθένης, φιλοσόφων δὲ κατ' ἐμὴν δόξαν Δημόκριτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης· τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς
188 λόγους. καὶ | περὶ μὲν τῶν χαρακτήρων ταῦθ' ἱκανά.

1 πρότερον p 96, 1—5 8 Homerus Φ 196 s

1 ἀλλὰ EF 2 εἰδικὰς EF: ἰδίας PMV | πολλὰς ante οἵ τε EF: ante ἔχει PMV | οἵ τε] an οἱ γὰρ? 3 αὐτῇ] αὐτοὶ E 4 οἱ διἐκεῖνα P 5 ἄλλως] ἀλλ' V 8 περ FP: πως V om EM 10 ἂν om F | αὐτοῦ M αυτ(ος?) P 11 ὅτου EF ὅπου M τὸ οὗ P: οὗ V | ἅψοιτο EF | ταῖς γλαφυραῖς] ἀνθηραῖς EF. sed cf adn 95,16 12 δὲ EF 13 αὐτὴν EF: αὐτὴν ἐκείνωι P, MV | σεμνότητα M | ὕστεροι EFP: ὕστερον MV 14 μὲν] μέντοι EF | ὁμήρου μακρῶ παρ' ἐκεῖνον EF: ἐκεῖνοι (ἐκεῖνος V^{1}) μακρῶι παρ' ὅμηρον P, MV | φαίνοιτ' PV 15 εἰ] εἰσ P | θεωροῖ F 16 sub μελοποιῶν et τραγοδοποιῶν (sic) hyphen in P | Στησίχ. ... τραγ. δὲ om F 19 δημόκρητος F 21 ταῦτα V

παραδείγματα γὰρ τούτων οὐκ οἴομαι δεῖν φέρειν, φανερῶν πάνυ ὄντων καὶ οὐδὲν δεομένων λόγου.

Εἰ δέ τινι δοκεῖ καὶ πόνου πολλοῦ ταῦτα καὶ πραγματείας μεγάλης ἄξια εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ κατὰ τὸν Δημοσθένην· ἀλλ' ἐὰν λογίσηται τοὺς ἐξακολουθοῦντας αὐτοῖς κατορθουμένοις ἐπαίνους καὶ τὸν καρπὸν τὸν ἀπ' αὐτῶν ὡς γλυκύς, εὐπαθείας ἡγήσεται τοὺς πόνους. Ἐπικουρείων δὲ χορόν, οἷς οὐδὲν μέλει τούτων, παραιτοῦμαι· τὸ γὰρ 'οὐκ ἐπιπόνου τοῦ γράφειν ὄντος', ὡς αὐτὸς Ἐπίκουρος λέγει, 'τοῖς μὴ στο-
χο|ζομένοις τοῦ πυκνὰ μεταπίπτοντος κριτηρίου' πολ- 189
λῆς ἀργίας ἦν καὶ σκαιότητος ἀλεξιφάρμακον.

25 Τούτων δή μοι τέλος ἐχόντων, ἐκεῖνά σε οἴομαι ποθεῖν ἔτι ἀκοῦσαι, πῶς γίνεται λέξις ἄμετρος ὁμοία καλῷ ποιήματι ἢ μέλει, καὶ πῶς ποίημα ἢ μέλος πεζῇ λέξει καλῇ παραπλήσιον. ἄρξομαι δὲ πρῶτον ἀπὸ τῆς ψιλῆς λέξεως, ἕνα τῶν ἀνδρῶν προχειρισάμενος ὃν ἐν τοῖς μάλιστα οἶμαι τὴν ποιητικὴν ἐκμεμάχθαι φράσιν,

3—8 cf Dion de Demosth 52 p 243, 13—17 (= D) 10 Epicurus fr 230 (hinc corrigendo) 17—123, 5 Syrianus in Hermog. π. ἰδ. p 11, 5 Rab πάλιν δὲ περὶ τῆς ἄνευ μέτρου λέξεως τῆς ὁμοίας καλῷ ποιήματι λέγων ὁ αὐτὸς ὧδέ πού φησιν ἐν τῷ

1 γὰρ F: δὲ PMV | φέρειν om F 2 πάνυ] fort πᾶσιν 3 τινι MV ut τῳ D τι μοι F τις P 4 ἄξια] ἔργα corrige ex D 6 αὐτοῖς] αὖ τοῖς V | κατορθουμένους M | ἐπαίνοις P πόνους M 7 τὸν ἀπ' αὐτῶν F ut ci Reiskius: τῶν ἁπάντων PMV 8 ἐπικουρίων FP | μέλλει F 9 τοῦτο M[1] | παραιτοῦμαι FPM: παραιτούμεθα V | οὐκέπὶ πόνου P, MV: ἐπίπονον F. cf Dobraeus Aduers 1, 562 10 ὄντως ὡς F λέγει om V 11 ποικνα P 12 ἀργείας PV | ἦν om restituit F[1] 14 γίνεται] γράφεται V | λέξις ἄμετρος] πεζὴ λέξις F | ἄμετρος ... 15 πεζῇ om F 15 ποίημα E: ποίημα γε P, MV 16 παραπλήσιος F 17 ὃν ... 123, 1 βουλόμενος om P 18 οἴομαι Syr | φράσιν om V

βουλόμενος μὲν καὶ πλείους, οὐκ ἔχων δὲ χρόνον ἱκα-
νὸν ἅπασι. φέρε δὴ τίς οὐκ ἂν ὁμολογήσειεν τοῖς
190 κρα|τίστοις ἐοικέναι ποιήμασί τε καὶ μέλεσι τοὺς Δη-
μοσθένους λόγους, καὶ μάλιστα τάς τε κατὰ Φιλίππου
191 δημηγο|ρίας καὶ τοὺς δικανικοὺς ἀγῶνας τοὺς δημο-
σίους; ὧν ἐξ ἑνὸς ἀρκέσει λαβεῖν τὸ προοίμιον τουτί·
192 'Μηδεὶς | ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με
μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκρά-
193 τους κατηγορήσον|τα τουτουί, μήτε μικρὸν ὁρῶντά
τι καὶ φαῦλον ἁμάρτημα ἑτοίμως οὕτως ἐπὶ τούτῳ
194 προάγειν ἐμαυτὸν εἰς ἀπέ|χθειαν· ἀλλ' εἴπερ ἄρ'
ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, περὶ τοῦ Χερόνη-
σον ἔχειν ὑμᾶς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας
ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου ἐστί μοι
ἅπασα ἡ σπουδή'.

περὶ συνθέσεως ὀνομάτων· 'Δημοσθένη γὰρ ἐν τοῖς ... φράσιν. τίς γὰρ .... δημοσίους', ἔνθα δὴ καὶ τὸ προοίμιον τοῦ κατὰ Ἀριστοκράτους παραθεὶς ἐκ πολλῶν αὐτὸ συνεστάναι μέτρων ἀναπαιστικῶν τε καὶ ἐλεγειακῶν δείκνυσι cf Maximus Planudes Walzii t V p 445, 15 Ioannes Siculus W. VI p 103, 8 7 Demosthenes or XXIII 1

1 βουλόμενον V 2 ἅπασι F ἅπασιν P: ἐφ' ἅπασι MV | δήι P 3 ποιήμασίν et μέλεσιν P 5 καὶ τοὺς EF Syr: τούς τε PMV | ἀγῶνας om FE, tuetur Syr 6 ἀρκέσει] ἁρμόσει F | λαβεῖν ... τουτί om P | λαβεῖν FM: προλαβεῖν V 7 ἄνδρες om V | νομήσῃ F | με om P, D(emosthenis libri) 8 μήτε F sed cf 127, 9—15 | ἔχθρας] ἔχθρας ἐμὲ D sed cf 126, 19 ss | μηδεμιᾶς om F | ἕνεκα PMV sed cf 127, 9 9 κατηγορήσαν F -σαντα E | μήτε om E 10 οὕτω E ὄντως V | ἐπὶ τούτῳ om EF | τούτ(ων) P, V τοῦτον M 11 ἄρ' E ἆρα P ἄρα M οὖν V: om F. cf 129, 1—6 12 ὀρθῶς ἐγὼ EFM: ἐγὼ ὀρθῶς PV | περὶ] ὑπὲρ D. cf 129, 8 ss | τοῦ EFPM: τοῦ τὴν V | χερόνησον PV[1]: χερρόνησον FMV[2] 13 ὑμᾶς ἀσφαλῶς EF, D: ἀσφαλῶς ὑμᾶς PMV 14 πάλιν ἀποστ. V | τούτου] τούτων EF | ἔστι μοι M νῦν ἐστί μοι P τοίνυν ἔστι μοι V ἔστι μοι νῦν E ἐστὶν F: μοί ἐστιν D – 15 ἡ EPM cum D ἡ ἐμὴ F: om V

*Πειρατέον δὴ καὶ περὶ τούτων λέγειν ἃ φρονῶ.
μυστηρίοις μὲν οὖν ἔοικεν ἤδη ταῦτα καὶ οὐκ εἰς
πολλοὺς οἷά | τε ἐστὶν ἐκφέρεσθαι, ὥςτ' οὐκ ἂν εἴην 195
φορτικός, εἰ παρακαλοίην 'οἷς θέμις ἐστὶν' ἥκειν
ἐπὶ τὰς τελετὰς τοῦ λόγου, 'θύρας δ' ἐπιθέσθαι' λέγοιμι ταῖς ἀκοαῖς τοὺς 'βεβήλους'. εἰς γέλωτα γὰρ ἔνιοι λαμβάνουσι τὰ σπουδαιότατα δι' ἀπειρίαν, καὶ ἴσως οὐδὲν ἄτοπον πάσχουσιν. ἃ δ' οὖν βούλομαι λέγειν, τοιάδε ἐστί.*

*Πᾶσα λέξις ἡ δίχα μέτρου συγκειμένη ποιητικὴν μοῦσαν ἢ μελικὴν χάριν οὐ δύναται προσλαβεῖν κατά γοῦν τὴν σύνθεσιν αὐτήν· ἐπεὶ καὶ ἡ ἐκλογὴ τῶν ὀνομάτων μέγα τι δύναται, καὶ ἔστι τις ὀνομασία ποιητικὴ γλωττηματικῶν τε καὶ ξένων καὶ τροπικῶν καὶ πεποιημένων, οἷς ἡδύνεται ποίησις, εἰς κόρον
ἐγκαταμιγέντων τῇ ἀμέ|τρῳ λέξει, ὃ ποιοῦσιν ἄλλοι τε 196
πολλοὶ καὶ οὐχ ἥκιστα Πλάτων· οὐ δὴ λέγω περὶ τῆς ἐκλογῆς, ἀλλ' ἀφείσθω κατὰ τὸ παρὸν ἡ περὶ ταῦτα σκέψις. περὶ τῆς συνθέσεως αὐτῆς ἔστω ἡ θεωρία τῆς ἐν τοῖς κοινοῖς ὀνόμασι καὶ τετριμμένοις καὶ ἥκιστα ποιητικοῖς τὰς ποιητικὰς χάριτας ἐπιδεικνυμένης. ὅπερ οὖν ἔφην, οὐ δύναται ψιλὴ λέξις ὁμοία γενέσθαι τῇ*

4 Orphicorum fr 4—6 Ab

1 *δὴ*] *δὲ* EV | *τούτου* M | cum *φρονῶ* uoce deficit extremo f 40ᵛ F 3 *πολοὺς* P | *ὥςτ'* .. *εἴην* om M 4 *φορτικὸς δ' εἰ παρακαλῶν οὖσ* M 5 *ἐπίθεσθε* PM *ἐπίθεσθαι* V 6 *ταῖς*] *ἂν ταῖς* M | *μέλωτ(α)* P *γελοῖα* MV 7 *σπουδαιδιοτητα* P 8 *οὐδὲν*] *οὐδ'* P 9 *τοιάδέ ἐστι* M 10 *συγκειμένη* EP: *ἐγκειμένη* MV 11 *μοῦσαν* MV *οὖσαν* P om E | *χάριν*] *οἶμαι χάριν* E 13 *τις ὀνομασίας* P *τὴν ὀνομασίαν* MV 14 *ποιητικῆι* P 15 fort ⟨*ὀνομάτων*⟩ *οἷς* cf 137, 9 19 *περὶ* ⟨*δὲ*⟩ ci Reiskius | (*ἔστω*) noto conpendio P, unde *ὥρας* Gudianus *ὡραία* Aldus 20 *ὀνομ[ασι]* c lit P | *τετριμμένης καὶ οὐχήκιστα ποιητικῆς* M

ἐμμέτρῳ καὶ ἐμμελεῖ, ἐὰν μὴ περιέχῃ μέτρα καὶ ῥυθμούς τινας ἐγκατατεταγμένους ἀδήλως. οὐ μέντοι προσήκει γε ἔμμετρον οὐδ' ἔρρυθμον αὐτὴν εἶναι δοκεῖν (ποίημα γὰρ οὕτως ἔσται καὶ μέλος ἐκβήσεταί τε ἁπλῶς τὸν αὑτῆς χαρακτῆρα), ἀλλ' εὔρυθμον αὐτὴν ἀπόχρη καὶ εὔμετρον φαίνεσθαι μόνον· οὕτως γὰρ ἂν εἴη ποιητικὴ μέν, οὐ μὴν ποίημά γε, καὶ ἐμμελὴς μέν, οὐ μέλος δέ.

*τίς δ' ἐστὶν ἡ τούτων διαφορά, πάνυ ῥᾴδιον ἰδεῖν.
ἡ μὲν ὅμοια περιλαμβάνουσα μέτρα καὶ τεταγμένους
σῴζουσα ῥυθμοὺς καὶ κατὰ στίχον ἢ περίοδον ἢ στρο-
197 φὴν | διὰ τῶν αὐτῶν σχημάτων περαινομένη κἄπειτα
πάλιν τοῖς αὐτοῖς ῥυθμοῖς καὶ μέτροις ἐπὶ τῶν ἑξῆς στίχων ἢ περιόδων ἢ στροφῶν χρωμένη καὶ τοῦτο μέχρι πολλοῦ ποιοῦσα ἔρρυθμός ἐστι καὶ ἔμμετρος, καὶ ὀνόματα κεῖται τῇ τοιαύτῃ λέξει μέτρον καὶ μέλος· ἡ δὲ πεπλανημένα μέτρα καὶ ἀτάκτους ῥυθμοὺς ἐμπεριλαμβάνουσα καὶ μήτε ἀκολουθίαν ἐμφαίνουσα αὐτῶν μήτε ὁμοζυγίαν μήτε ἀντιστροφὴν εὔρυθμος μέν ἐστιν, ἐπειδὴ διαπεποίκιλταί τισιν ῥυθμοῖς, οὐκ ἔρρυθμος δέ, ἐπειδὴ οὐχὶ τοῖς αὐτοῖς οὐδὲ κατὰ τὸ αὐτό. τοιαύτην δή φημι πᾶσαν εἶναι λέξιν ἄμετρον, ἥτις*

5—7 Syrianus in Hermog *π. ἰδ.* p 11, 16 (cf idem 30, 10) *καὶ πάλιν* (cf 122, 17) *μετ' ὀλίγα φησίν· 'ἀπόχρη γὰρ τὴν πολιτικὴν λέξιν εὔρυθμον εἶναι καὶ εὔμετρον· οὕτω ... δέ'* cf Maximus Planudes Walzii t V p 445, 25. 473, 3 Ioannes Sic ibid VI p 165, 18—30. 351, 1. 102, 30

1 *περι ἔχει* P 2 *ἐγκατατεταγμένους* EPM: *ἐγκαταμεμιγμένους* V | *ἀδήλως* MV: *ἀδήλους* EP 5 *αὐτῆς* PV | *ἀπόχρη*] *χρὴ* E 6 *ἔμμετρον* E cum Ioanne 165, 28 Maximo 473, 4 | *οὕτω* EV 7 *γε* om Syr | *εὐμελὴς* Tauchnit 8 *ἔστιν* V 9 *μὲν*] *μὲν γὰρ* E. conicias *μέν γε* 10 *σωίζουσα* P | *καὶ* EPM: om V 19 *δὲ πεποίκιλται* M | *ἔρυθμος* P[1] 20 *οὐχὶ*] *οὐ* E 21 *πᾶσαν εἶναι* EPM: *πᾶσαν* V qui *εἶναι* ultra *δὴ* traicit | *ἄμετρον* EPM: *ἔμμετρον* (*ἔμε-* m I) V *εὔμετρον* Reiskius | *εἴ τις* M

ἐμφαίνει τὸ ποιητικὸν καὶ μελικόν· ἣ δὴ καὶ τὸν Δη-
μοσθένη κεχρῆσθαί φημι. καὶ ὅτι ἀληθῆ ταῦτ' ἐστὶ
καὶ οὐδὲν ἐγὼ καινοτομῶ, λάβοι μὲν ἄν τις καὶ ἐκ
τῆς Ἀριστοτέλους μαρτυρίας τὴν πίστιν· εἴρηται γὰρ
τῷ φιλοσόφῳ τά τε ἄλλα περὶ τῆς λέξεως τῆς πολιτι-
κῆς ἐν τῇ τρίτῃ βύβλῳ τῶν ῥητορικῶν τεχνῶν | οἵαν 198
αὐτὴν εἶναι προσῆκεν, καὶ δὴ καὶ περὶ τῆς εὐρυθμίας
ἐξ ὧν τις τοιαύτη γένοιτο· ἐν ᾗ τοὺς ἐπιτηδειοτάτους
ὀνομάζει ῥυθμοὺς καὶ πῇ χρήσιμος ἕκαστος αὐτῶν
καταφαίνεται, καὶ λέξεις παρατίθησί τινας αἷς πειρᾶ-
ται βεβαιοῦν τὸν λόγον. χωρὶς δὲ τῆς Ἀριστοτέλους
μαρτυρίας, ὅτι ἀναγκαῖόν ἐστιν ἐμπεριλαμβάνεσθαί
τινας τῇ πεζῇ λέξει ῥυθμούς, εἰ μέλλοι τὸ ποιητικὸν
ἐπανθήσειν αὐτῇ κάλλος, ἐκ τῆς πείρας τις αὐτῆς
γνώσεται.

αὐτίκα ὁ κατὰ Ἀριστοκράτους λόγος οὗ καὶ μικρῷ
πρότερον ἐμνήσθην ἄρχεται μὲν ἀπὸ κωμικοῦ στίχου
τε|τραμέτρου ἐξ ἀναπαίστων ῥυθμῶν συγκειμένου, λεί- 199
πεται δὲ ποδὶ τοῦ τελείου, παρ' ὃ καὶ λέληθεν· 'μη-
δεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με'·
τοῦτο γὰρ εἰ προσλάβοι τὸ μέτρον πόδα ἤτοι κατ'
ἀρχὰς ἢ διὰ μέσου ἢ ἐπὶ τελευτῆς, τέλειον ἔσται τε-

7ss Aristoteles rhet III 8 p 1408^b 22ss 17 πρότερον p 123, 6

1 μελιχρὸν M | δημοσθένην EM 2 [κ]εχρῆσθαι c ras P | ταῦτά MV 6 τρίτω P | βίβλω libri 7 προση-κ(εν) P: προσήκει MV 8 τίσ P: ἂν MV. cf Raderm ad Demetr p 98 12 ἀναγκαῖον V γρ M: ἂν δίκαιον PM^1
14 τ(ις) P, V τῆς M 16 καὶ om sscr P^2 18 ἐξ] δι^{ς} sic P δι' MV | ἀναπαίστων τῶν ῥυθμῶν ἐγκειμένου libri 19 ἐλη-λυθε sed γρ λέλη sscr M 20 [με· το]ῦτο c ras P | με] με παρεῖναι M 21 πρὸσλάβει V

τράμετρον ἀναπαιστικόν, ὃ καλοῦσίν τινες Ἀριστο-
φάνειον·

μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με παρεῖναι,

ἴσον δὲ τῷ

λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο.

τάχα τις ἐρεῖ πρὸς ταῦτα, ὅτι οὐκ ἐξ ἐπιτηδεύσεως
200 τοῦ|το ἀλλ' ἐκ ταὐτομάτου ἐγένετο· πολλὰ γὰρ αὐτο-
σχεδιάζει μέτρα ἡ φύσις. ἔστω τοῦτο ἀληθὲς εἶναι.
ἀλλὰ καὶ τὸ συναπτόμενον τούτῳ κῶλον, εἰ διαλύσειέ
τις αὐτοῦ τὴν δευτέραν συναλοιφὴν ἣ πεποίηκεν αὐτὸ
ἄσημον ἐπισυνάπτουσα τῷ τρίτῳ κώλῳ, πεντάμετρον
201 ἐλε|γειακὸν ἔσται συντετελεσμένον τουτί

μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκα

ὅμοιον τούτοις

κοῦραι ἐλαφρὰ ποδῶν ἴχνι' ἀειράμεναι.

καὶ τοῦτ' ἔτι κατὰ τὸν αὐτὸν ὑπολάβωμεν αὐτομα-
τισμὸν ἄνευ γνώμης γεγονέναι. ἀλλ' ἑνὸς τοῦ μεταξὺ
κώλου συγκειμένου λεκτικῶς τοῦ 'ἥκειν Ἀριστοκρά-
τους κατηγορήσοντα τουτουί' τὸ συμπλεκόμενον
τούτῳ πάλιν κῶλον ἐκ δυεῖν συνέστηκεν μέτρων·
'μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα,

5 Aristophanes nub 961 15 poetae elegiaci inc (Callimachi?) fr 14 Bergkii p 692, in Schneideri Callimacheis fr anon 391

3 μηδεὶς] μηδε P 4 δὴ Sauppius 5 [τ]οίνυν c ras P | τὴν om V 6 ἐπετηδεύσεως P 7 γέγονεν E 9 τούτω M, E: τοῦτο PV 10 συναλιφην P 12 τουτί EP: ἀκριβῶς τουτί MV 15 ἐλαφραποδῶν sic P ἐλαφροπόδων MV | ἴχνι' PM: ἴχνεα V 16 καὶ P: εἰ δὲ καὶ M ἐὰν καὶ V. caue κἂν conicias, cf 128,19 | ὑπολάβομεν M 18 συγκειμέν[ο]υ c ras P | ἥκειν P 19 κατηγορήσαντα E | τουτοΐ· P 20 δυεῖν P: δυοῖν MV | μέτρων V et sscr ρυθμῶν M: μερῶν P 21 φᾶλον P

ἑτοίμως οὕτως ἐπὶ τούτῳ'· εἰ γὰρ τὸ Σαπφικόν τις ἐπιθαλάμιον τουτί

οὐ γὰρ ἦν ἀτέρα πάις, ὦ γαμβρέ, τοιαύτα ⟨ποτα⟩

καὶ τοῦ κωμικοῦ τετραμέτρου, λεγομένου δὲ Ἀριστο- 202
φανείου τουδί

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη
'νενόμιστο

τοὺς τελευταίους πόδας τρεῖς καὶ τὴν κατάληξιν ἐκλαβὼν συνάψειε τοῦτον τὸν τρόπον

οὐ γὰρ ἦν ἀτέρα πάις, ὦ γαμβρέ, τοιαύτα ⟨ποτα⟩
καὶ σωφροσύνη 'νενόμιστο·

οὐδὲν διοίσει τοῦ 'μήτε μικρὸν δρῶντά τι καὶ φαῦλον ἁμάρτημα, ἑτοίμως οὕτως ἐπὶ τούτῳ'. τὸ δ' ἀκόλουθον ἴσον ἐστὶν ἰαμβικῷ τριμέτρῳ τὸν ἔσχατον ἀφῃρημένῳ πόδα 'προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν'· τέλειον γὰρ ἔσται πόδα προσλαβὸν καὶ γενόμενον τοιοῦτο

προάγειν ἐμαυτὸν εἰς ἀπέχθειάν τινα.

παρίδωμεν ἔτι καὶ ταῦτα ὡς | οὐκ ἐξ ἐπιτηδεύσεως 203

3 Sappho fr 106 Bergkii 6 Aristophanes nub 962

1 εἰ γὰρ τὸ Sauppius: εἰ γέ τοι P καὶ τὸ M γάρ τοι V τοιγάρτοι s 2 τις PV om M τι s 3 ἦν ἀτέρα] ἑτέρα νῦν PM ἑτέραν ὗν V: corr Blomfieldius, ἀτέρα Seidlerus | παῖς libri, in mg οὐκ ἔστιν ἑτέρως συγκείμενον adnotat M | τοιαῦτα MV τοαύτα Ahrens dial aeol p 101 | ποτα ut addatur postulant Dionysii rationes 5—6 τοῦδε τοτ' P i e τουδεί ὅτ': τοῦδε ὅτ' MV 6 ἤνθ(ουν) ex ἤνθο corr P 8 τοὺς PM: τούς τε V. τοῦ μὲν, τοὺσ προτέρουσ. τοῦ δὲ, in mg addit M | ἐκλαβὼν Sauppius: ἐκβαλῶν P ἐμβαλὼν MV 10 cf adnot l 3 | ἑτέρα νῦν PM ἑτέραν ϋν V | τοιαῦτα V 12 καὶ om V¹ 13 τούτω* c ras V 15 ἀφηρημέν(ω) sed η priori ι sscr P 16 πόδα προσλαβὸν PM: προσλ. πόδα V 17 τοιοῦτο P: τοιοῦτον MV 18 τινά PM: τινι V

ἀλλ' αὐτοματισμῷ γενόμενα; τί οὖν βούλεται πάλιν τὸ προσεχὲς τούτῳ κῶλον; ἰαμβεῖον γάρ ἐστι καὶ τοῦτο τρίμετρον ὀρθόν

ἀλλ' εἴπερ ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι,

τοῦ ἄρα συνδέσμου μακρὰν λαμβάνοντος τὴν προτέραν συλλαβήν. καὶ τί γε δὴ διὰ μέσου παρεμπεσὸν τὸ 'καὶ σκοπῶ', ὑφ' οὗ δὴ τὸ μέτρον ἐπισκοτούμενον ἠφάνισται; τὸ δ' ἐπὶ τούτῳ παραλαμβανόμενον κῶλον ἐξ ἀναπαίστων σύγκειται ῥυθμῶν καὶ προάγει μέχρι ποδῶν ὀκτὼ τὸ αὐτὸ σχῆμα διασῷζον

περὶ τοῦ Χερόνησον ἔχειν ὑμᾶς ἀσφαλῶς καὶ μὴ
παρακρουσθέντας,

ὅμοιον τῷ παρ' Εὐριπίδῃ τῷδε

βασιλεῦ χώρας τῆς πολυβώλου
Κισσεῦ, πεδίον πυρὶ μαρμαίρει.

204 | καὶ τὸ μετὰ τοῦτο πάλιν κείμενον τοῦ αὐτοῦ κώλου μέρος τουτί 'ἀποστερηθῆναι πάλιν αὐτῆς' ἰαμβικὸν τρίμετρόν ἐστι ποδὶ καὶ ἡμίσει λειπόμενον· ἐγένετο δ' ἂν τέλειον οὕτως

ἀποστερηθῆναι πάλιν αὐτῆς ἐν μέρει.

14 Euripides (Archelai) fr 229 N

1 γενόμεν(ον) P | πάλιν om M 2 ἰάμβιον P ἰάμβειον MV 4 ἄρ' P, V ἄρα M 5 ἄρα conpendio P 6 καὶ ἔτι γε νὴ δία μέσου PMV καὶ ἔτι etiam E | παρεμπεσὸν τὸ] παρεμπεσόντος τοῦ PM παρεκπεσόντος τοῦ V cf E 7 ἐπισκοπούμενον V 8 ἐπὶ] ἔτϊ V | τοῦτω P | λαμβανόμενον V 10 αὐτῶ P¹ | διασῶιζον P 11 τοῦ] τοῦ τὴν s | χερόνησον P: χερρόνησον MV | ὑμᾶς ἀσφαλῶς] ἀσφαλῶς ὑμᾶς libri, sed cf 123, 13. Dionysius nisi forte βεβαίως legit, ἀσφαλῶς aduerbio mensuram anapaesti tribuit cf Seidlerus mus Rhen 1829 t III p 203 13 τῷδε] τῶι P, M ὦ V 14 βασιλεῦ MV: βασιλεῖ P | πολυβωλου P, M πολυβόλου V 15 πεδίον MV: παιδι(ον) P 17 μέρος om P 18 τρίμετρον MV: μέτρον P | λειπόμενον] λεῖπον libri

ταῦτ' ἔτι φῶμεν αὐτοσχέδια εἶναι καὶ ἀνεπιτήδευτα οὕτω ποικίλα καὶ πολλὰ ὄντα; ἐγὼ μὲν οὐκ ἀξιῶ· καὶ γὰρ τὰ ἑξῆς τούτοις ὅμοια εὑρεῖν ἔστι πολλῶν καὶ παντοδαπῶν ἀνάμεστα μέτρων τε καὶ ῥυθμῶν.

ἀλλ' ἵνα μὴ τοῦτον ὑπολάβῃ τις μόνον οὕτως αὐτῷ κατεσκευάσθαι τὸν λόγον, ἑτέρου πάλιν ἅψομαι τοῦ πάνυ ἡρμηνεῦσθαι δαιμονίως δοκοῦντος, τοῦ ὑπὲρ Κτησιφῶντος, ὃν ἐγὼ κράτιστον ἀποφαίνομαι πάντων λόγων· ὁρῶ δὴ κἀν τούτῳ μετὰ τὴν προσαγόρευσιν τῶν Ἀθηναίων εὐθέως τὸν κρητικὸν ῥυθμόν, εἴτε ἄρα
παιᾶνά τις αὐτὸν βού|λεται καλεῖν (διοίσει γὰρ οὐδέν) 205
τὸν ἐκ πέντε συγκείμενον χρόνων οὐκ αὐτοσχεδίως μὰ Δία ἀλλ' ὡς οἷόν τε μάλιστα ἐπιτετηδευμένως δι' ὅλου τοῦ κώλου πλεκόμενον τούτου

τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις.

οὐ τοιοῦτος μέντοι κἀκεῖνός ἐστιν ὁ ῥυθμός

Κρησίοις ἐν ῥυθμοῖς παῖδα μέλψωμεν;

ἐμοὶ γοῦν δοκεῖ· ἔξω γὰρ τοῦ τελευταίου ποδὸς τά γε ἄλλα παντάπασιν ἴσα. ἔστω καὶ τοῦτο, εἰ βούλεταί τις, αὐτοσχέδιον· ἀλλὰ καὶ τὸ συναπτόμενον τούτῳ

9 Demosthenes or XVIII 1   17 poetae lyrici inc fr 118 Bergkii

1 ταῦτ' ἔτι] ταῦτα τί PMV ταυτὶ s   2 καὶ πολλὰ om P. sed in altero fonte, unde supplebantur MV, conicias πολλὰ καὶ ποικίλα scriptum fuisse   3 ὅμοια τούτοις M   4 ἀνάμεστα MV: ἀναλύεσθαι P   5 τούτων ex τοῦτον corr M² | οὕτως αὐτῷ] οὕτω MV αὐτ(ω) P   6 num τῶν ... 7 δοκούντων?
7 δαιμονίως om M   9 δὴ PM: δὲ V | κἂν P   11 βούλεται αὐτὸν PV   12 τ(ον) P, M: τῶν Vs | συγκειμένων s | χρόν[ω]ν c lit (ex ο?) P,s χρόνον MV   14 τούτου] τοῦτον libri   16 οὐ om M | μέντοι] an γέγονεν οἷος?   19 παντάπασιν] ἐν ἁπάσῃ PM ἐν πᾶσιν V | ἴσα ἔστω· PM ἴσα ὥρισται. V falsa interpretatione notae qua ἔστω P indicat   20 ἀλλὰ] μάλα P

κῶλον ἰαμβεῖόν ἐστιν ὀρθόν, συλλαβῇ τοῦ τελείου δέον, ἵνα δὴ κἀνταῦθα ἄσημον γένηται τὸ μέτρον, ἐπεὶ μιᾶς γε συλλαβῆς προστεθείσης τέλειον ἔσται

'ὅσην εὔνοιαν ἔχων ἔγωγε διατελῶ'.

κἄπειτα ὁ παιὰν ἢ ὁ κρητικὸς ἐκεῖνος ὁ πεντάχρονος ἥξει ῥυθμὸς ἐν τοῖς ἑξῆς τούτοις 'τῇ πόλει καὶ πᾶσιν ὑμῖν τοσαύτην ὑπάρξαί μοι παρ' ὑμῶν
206 εἰς τουτονὶ τὸν | ἀγῶνα'. τοῦτο γὰρ ἔοικεν, ὅ τι μὴ κατακλωμένους ἔχει δύο πόδας ἐν ἀρχαῖς, κατὰ γοῦν τὰ ἄλλα πάντα τῷ παρὰ Βακχυλίδῃ

Οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς, ἀλλὰ χρυσαιγίδος Ἰτωνίας
χρὴ παρ' εὐδαίδαλον ναὸν ἐλθόντας ἁβρόν τι δεῖξαι.

Ὑφορῶμαί τινα πρὸς ταῦτα καταδρομὴν ἀνθρώπων τῆς μὲν ἐγκυκλίου παιδείας ἀπείρων, τὸ δὲ ἀγοραῖον τῆς ῥητορικῆς μέρος ὁδοῦ τε καὶ τέχνης χωρὶς ἐπι-
207 τη|δευόντων, πρὸς οὓς ἀναγκαῖον ἀπολογήσασθαι, μὴ δόξωμεν ἔρημον ἀφηκέναι τὸν ἀγῶνα. ἐροῦσι δὴ ταῦτα·

11 Bacchylides fr 23 Bergkii 15 Blassii

1 aliter supra p 78, 16 | ἰαμβι(ον) P: ἰαμβικὸν MV   2 δὴ PM: om V | γένητε P | ἐπὶ ex ἐπεὶ corr M²   3 fort μιᾶς τῆς γε | πρ(οσ)τεθείσ, sic P   4 ἔγωγε] ἐγὼ libri. Dionysius numerorum in u εὔνοιαν uitium non sensit. aliter Seidlerus mus Rhen 1829 t III p 203   5 fort παιὰν ⟨πάλιν⟩ ἢ   6 τῇ τε πόλει Dem   7 ὑπάρξαί μοι P   8 γὰρ] γ' οὖν PV γοῦν M
9 κατ(α)κλ(ω)μεν(ως) P κατακλώμενος M κατακεκλωμένους ex -νος corr V κατακεκλασμένους Sylburgius. Dionysius pedes τῇ πόλει καὶ et (τοσαύ)την ὑπάρξαι dicit   10 τῷ V: τὸ PM | βακχυδῃ (sed λί sscr) P βακχύδῃ M   11 ἀμβολας P ἀμβολὰς V   12 ἰτωνιασ P, MV sed alteri syllabae αν uariam lectionem sscr M   17 ἀναγκαίωνον P ἀναγκαῖον μοι M   18 δόξομ(εν) P | ἀφηκέναι P ut παρηκέναι Euripides Hel 1059 et Demosthenes or VIII 34 scripsere et τεθηκέναι declinatum est: ἀφεικέναι MV | δὴ] fort δὲ

ὁ Δημοσθένης οὖν οὕτως ἄθλιος ἦν, ὥςθ' ὅτε γράφοι τοὺς λόγους, μέτρα καὶ ῥυθμοὺς ὥςπερ οἱ πλάσται παρατιθέμενος, ἐναρμόττειν ἐπειρᾶτο τούτοις τοῖς τύποις τὰ κῶλα στρέφων ἄνω καὶ κάτω τὰ ὀνόματα καὶ παραφυλάττων τὰ μήκη καὶ τοὺς χρόνους καὶ τὰς πτώσεις τῶν ὀνομάτων καὶ τὰς ἐγκλίσεις τῶν ῥημάτων καὶ πάντα τὰ συμβεβηκότα τοῖς μορίοις τοῦ λόγου πολυπραγμονῶν; ἠλίθιος μέντἂν εἴη εἰς τοσαύτην σκευωρίαν καὶ φλυαρίαν ὁ τηλικοῦτος ἀνὴρ ἑαυτὸν διδούς. ταῦτα δὴ καὶ τὰ τούτοις παραπλήσια κωμῳδοῦντας αὐτοὺς καὶ καταχλευάζοντας οὐ χαλεπῶς ἄν τις ἀποκρούσαιτο ταῦτα εἰπών· πρῶτον μὲν ὅτι οὐδὲν ἄτοπον ἦν, εἰ ⟨ὁ⟩ τοσαύτης δόξης ἠξιωμένος ἀνὴρ ὅσης οὐδεὶς τῶν πρότερον ὀνομασθέντων ἐπὶ | δεινό- 208
τητι λόγων, ἔργα συνταττόμενος αἰώνια καὶ διδοὺς ἑαυτὸν ὑπεύθυνον τῷ πάντα βασανίζοντι [φθόνῳ καὶ] χρόνῳ ἐβουλήθη μηδὲν εἰκῇ μήτε πρᾶγμα παραλαμβάνειν μήτ' ὄνομα, πολλὴν δ' ἀμφοῖν ἔχειν τούτων πρόνοιαν τῆς τε ἐν τοῖς νοήμασιν οἰκονομίας καὶ τῆς εὐμορφίας τῆς περὶ τὰ ὀνόματα, ἄλλως τε καὶ τῶν τότε ἀνθρώπων οὐ γραπτοῖς ἀλλὰ γλυπτοῖς καὶ

1—135,12 cf Dionysius de Dem 51 p 240, 4 — 52 p 243, 8 (= D)

1 ὥςθ'] ὥστ' ἔστιν M | ὅτε conpendio P: ὅταν MV | γράφη MV 2 ὡσπερεὶ πελάτης Orellius ad Isocr de antid p 457 s. deest accusatiuus 5 τὰ μήκη . . . 6 ὀνομάτων om P 6 ὀνομάτων] ῥημάτων V 10 διδουσα· P | δὲ V 12 ἀποκρούσαι τοσαῦτα s | ᾱ μὲν P 13 ὁ Sadaeus 174 restituit ex D 240, 11 | δόξησ om V 14 principio uocis οὐδεὶς notam ·/. sscr P², quae quo pertineat non liquet 15 διδοῦσ(ιν) P 16 ἑαυτὸν EM: αὐτὸν PV 17 χρόνῳ E: φθόνω καὶ χρόνω PMV cf D 240, 14 | ἠβουλήθη E: om PMV | παραλαμβάνει et 18 ἔχει Sylburgius 18 μήτε ὄν. M 20 περὶ] π(αρα) P

τορευτοῖς ἐοικότας ἐκφερόντων λόγους, λέγω δὲ Ἰσοκράτους καὶ Πλάτωνος τῶν σοφιστῶν· ὃ μέν γε τὸν πανηγυρικὸν λόγον, ὡς οἱ τὸν ἐλάχιστον χρόνον γράφοντες ἀποφαίνουσιν, ἐν ἔτεσι δέκα συνετάξατο, ὁ δὲ Πλάτων τοὺς ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων καὶ πάντα τρόπον ἀναπλέκων οὐ διέλειπεν ὀγδοήκοντα γεγονὼς ἔτη· πᾶσι γὰρ δήπου τοῖς φιλο-
209 |λόγοις γνώριμα τὰ περὶ τῆς φιλοπονίας τἀνδρὸς ἱστορούμενα τά τε ἄλλα καὶ δὴ καὶ τὰ περὶ τὴν δέλτον, ἣν τελευτήσαντος αὐτοῦ λέγουσιν εὑρεθῆναι ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς Πολιτείας ἔχουσαν τήνδε 'Κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος'. τί οὖν ἦν ἄτοπον, εἰ καὶ Δημοσθένει φροντὶς εὐφωνίας τε καὶ ἐμμελείας ἐγένετο καὶ τοῦ μηδὲν εἰκῇ καὶ ἀβασανίστως τιθέναι μήτε ὄνομα μήτε νόημα; πολύ τε γὰρ μᾶλλον ἐμοὶ δοκεῖ προσήκειν ἀνδρὶ κατασκευάζοντι λόγους πολιτικοὺς μνημεῖα τῆς ἑαυτοῦ δυνάμεως αἰώνια μηδενὸς τῶν ἐλαχίστων ὀλιγωρεῖν, ἢ ζῳγράφων τε καὶ τορευτῶν παισὶν ἐν ὕλῃ φθαρτῇ χειρῶν εὐστοχίας καὶ πόνους ἀποδεικνυμένοις περὶ τὰ φλέβια καὶ τὰ πτίλα καὶ τὸν χνοῦν καὶ τὰς τοιαύτας

2 cf Quintilianus X 4, 4 'panegyricum Isocratis, qui parcissime, decem annis dicunt elaboratum' 11 Plato rei p I p 327[a]

1 τορνευτοῖς ci Victorius 2 μέν γε EP: μὲν γὰρ MV 4 ἀποφαίνουσιν, ἐν MV: om EP | συνετάξαντο V 5 κτεν[ί]ζων c ras P 6 διέλειπεν PM: διέλιπεν EV 8 γνώριμα PV: γνώρισμα E γνωρίσματα M 10 εὐρεθῆναι P 11 ἔχουσα P 12 πειρεᾶ V | [γλα]ύκωνος c ras M | Ἀρίστωνος] κεφάλου P. an Dion uerba Platonis usque ad 327[b] Πολέμαρχος ὁ Κεφάλου adposuerat? 14 εὐμελείας M[1] 15 μήτ' (μήτε V) ἐννόημα MV: om P 16 ἔμοιγε M 17 δυνάμεως] διανοίας D 241, 17 19 ζογράφων P 20 εὐστομίας M | ὑποδεικνυμένοις libri: corr Reiskius 21 φλέβια PMV φλεβία E

*μικρολογίας κατατρίβειν τῆς τέχνης τὴν ἀκρίβειαν.
τούτοις τε δὴ τοῖς λόγοις χρώμε|νος δοκεῖ μοί τις ἂν* 210
*οὐδὲν ἔξω τοῦ εἰκότος ἀξιοῦν καὶ ἔτι ἐκεῖνα εἰπών,
ὅτι μειράκιον μὲν ὄντα καὶ νεωστὶ τοῦ μαθήματος
ἁπτόμενον αὐτὸν οὐκ ἄλογον ⟨ἦν⟩ πάντα περισκοπεῖν,
ὅσα δυνατὰ ἦν εἰς ἐπιτήδευσιν ἀνθρωπίνην πεσεῖν·
ἐπειδὴ δὲ ἡ χρόνιος ἄσκησις ἰσχὺν πολλὴν λαβοῦσα
τύπους τινὰς ἐν τῇ διανοίᾳ παντὸς τοῦ μελετωμένου
καὶ σφραγῖδας ἐνεποίησεν, ἐκ τοῦ ῥᾴστου τε καὶ ἀπὸ
τῆς ἕξεως αὐτὰ ἤδη ποιεῖν. οἷόν τι γίνεται κἀν ταῖς
ἄλλαις τέχναις, ὧν ἐνέργειά τις ἢ ποίησις τὸ τέλος·
αὐτίκα οἱ κιθαρίζειν τε καὶ ψάλλειν καὶ αὐλεῖν ἄκρως
εἰδότες ὅταν κρούσεως ἀκούσωσιν ἀσυνήθους, οὐ πολλὰ
πραγματευθέντες ἀπαριθμοῦσιν αὐτὴν εὐθὺς ἐπὶ τῶν
ὀργάνων ἅμα νοήσει· μανθάνοντες δέ γε χρόνῳ τε
πολλῷ καὶ πόνῳ τὰς δυνάμεις τῶν φθόγγων ἀνα-
λαμβάνουσιν, καὶ οὐκ εὐθὺς αἱ χεῖρες αὐτῶν ἐν ἕξει
τοῦ δρᾶν τὰ παραγγελλόμενα ἦσαν, ὀψὲ δέ ποτε καὶ
ὅτε ἡ πολ|λὴ ἄσκησις αὐταῖς εἰς φύσεως ἰσχὺν κατέ-* 211
*στησε τὸ ἔθος, τότε τῶν ἔργων ἐγένοντο ἐπιτυχεῖς.
καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν; ὃ γὰρ ἅπαντες
ἴσμεν, ἀπόχρη καὶ πᾶσαν αὐτῶν διακόψαι τὴν φλυα-
ρίαν. τί δ' ἐστὶ τοῦτο; τὰ γράμματα ὅταν παιδευώμεθα,*

1 *κατατήκειν εἰς ταῦτα τὰς τέχνας* D 241, 21 | *τῆς τέχνης τὴν*] *τὴν τῆς τ.* E 2 *τούτοις τε* PM: *τούτοις* V | *τις ἂν* PM: *τις* V 3 *εἰπῶν* P 5 *αὐτὸν* post 4 *ὄντα* ponit E, sed cf D 242, 7 | *ἦν* ex D restituit Sauppius 6 *ἦν* del idem | *πεσεῖν* EP: *ἐλθεῖν* MV 7 *ἡ* om h 8 *μελετωμένου*] *μεθεπομένου* s 9 *σφαγίδας* P *σφραγίδας* V | *τε* om E | *ἀπὸ* om D 242, 11 10 *αὐτὸ ποιεῖν* D | *κᾶν* P 11 *τις ἡ* PME 14 *εὐθὺς* del Sauppius 15 *ἅμα*] *ἀλλὰ* PMV[1] *ἀλλὰ καὶ* V[2] | *τὲ* M: om PV 16 conicias *ἀνελάμβανον* 19 *αὐταῖς* (*αὐτ[ων]ς* c lit M) *εἰς φύσεως ἰσχὺν* (hanc u om M) *κατέστησε τὸ ἔθος* P, M: *αὐτῶν τὸ ἔθος κατέστησεν εἰς φύσιν* V

*πρῶτον μὲν τὰ ὀνόματα αὐτῶν ἐκμανθάνομεν, ἔπειτα
τοὺς τύπους καὶ τὰς δυνάμεις, εἶθ' οὕτω τὰς συλλα-
βὰς καὶ τὰ ἐν ταύταις πάθη, καὶ μετὰ τοῦτο ἤδη τὰς
λέξεις καὶ τὰ συμβεβηκότα αὐταῖς, ἐκτάσεις τε λέγω
καὶ συστολὰς καὶ προσῳδίας καὶ τὰ παραπλήσια τού-
τοις· ὅταν δὲ τὴν τούτων ἐπιστήμην λάβωμεν, τότε
ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν, κατὰ συλλα-
βὴν ⟨μὲν⟩ καὶ βραδέως τὸ πρῶτον· ἐπειδὰν δὲ ὁ
χρόνος ἀξιόλογος προσελθὼν τύπους ἰσχυροὺς αὐτῶν
ἐν ταῖς ψυχαῖς ἡμῶν ἐμποιήσῃ, τότε ἀπὸ τοῦ ῥᾴστου
δρῶμεν αὐτὰ καὶ πᾶν ὅ τι ἂν ἐπιδῷ τις βυβλίον
ἀπταίστῳ διερχόμεθα ἕξει τε καὶ τάχει [ἀπίστῳ]. τοι-*
212 *οῦτο δὴ καὶ περὶ τὴν σύνθε|σιν τῶν ὀνομάτων καὶ
περὶ τὴν εὐέπειαν τῶν κώλων ὑποληπτέον γίνεσθαι
παρὰ τοῖς ἀθληταῖς τοῦ ἔργου. τοὺς δὲ τούτου ἀπεί-
ρους ἢ ἀτριβεῖς [ἔργου ὁτουοῦν] θαυμάζειν καὶ ἀπι-
στεῖν, εἴ τι κεκρατημένως ὑφ' ἑτέρου γίνεται διὰ τέχνης,
οὐκ ἄλογον. πρὸς μὲν οὖν τοὺς εἰωθότας χλευάζειν τὰ
παραγγέλματα τῶν τεχνῶν ταῦτα εἰρήσθω.*

περὶ δὲ τῆς ἐμμελοῦς τε καὶ ἐμμέτρου συνθέσεως 26
τῆς ἐχούσης πολλὴν ὁμοιότητα πρὸς τὴν πεζὴν λέξιν 21
τοιαῦτά τινα λέγειν ἔχω, ὡς πρώτη μέν ἐστιν αἰτία

1 *πρῶτα* E | *ἐκμανθάνωμεν* M 4 *τὰ*] *τὰς* V 5 *καὶ συστολὰς* om M 6 *δὲ* EM: *τε* PV | *τὴν τούτων*] *τούτων τὴν* E sed cf D 242, 24 | *λάβομεν* et 7 *ἀναγινόσκειν* V 7 *συλλαβὰς* E 8 *μὲν* ex D Sadaeus | *ἐπειδὰν* E: *ἐπεὶ* PV *ἔπειτα* M 10 *ποιήσῃ* EM[1] *ποιήσει* PM[2]V: corr Sauppius 11 fort *αὐτὸ* | *βιβλίον* libri 12 *ἀπταίστῳ*] *ἀπταίστως* libri | *ἀπίστω* libri. inclusi | *τοιοῦτο* EM *τοιούτω* P: *τοιοῦτον* V 15 *τοὺς . . . ἀπείρους* E ut ci Reiskius: *τοῖς . . . ἀπείροις* PMV | *τούτοις* V 16 *ἀτριβέσιν* libri: corr Reiskius 17 *κεκρατημένως* PM *κεκροτημένως* V 18 *εὔλογον* M[1] 20 *δὲ* om P | *τε* PM: om EV | *συνθήκης* M: conpendium quo P utitur (*συν* cum sscr *θ*) in utramque partem interpretari licet

κἀνταῦθα τὸν αὐτὸν τρόπον ὅνπερ ἐπὶ τῆς ἀμέτρου ποιητικῆς ἡ τῶν ὀνομάτων αὐτῶν ἁρμογή, δευτέρα δὲ ἡ τῶν κώλων σύνθεσις, τρίτη δὲ ἡ τῶν περιόδων συμμετρία. τὸν δὴ βουλόμενον ἐν τούτῳ τῷ μέρει κατορθοῦν τὰ τῆς λέξεως μόρια δεῖ πολυειδῶς στρέφειν τε καὶ συναρμόττειν καὶ τὰ κῶλα ἐν διαστήμασι ποιεῖν συμμέτρως, μὴ συνα|παρτίζοντα τοῖς στίχοις 213 ἀλλὰ διατέμνοντα τὸ μέτρον, ἄνισά τε ποιεῖν αὐτὰ καὶ ἀνόμοια, πολλάκις δὲ καὶ εἰς κόμματα συνάγειν βραχύτερα κώλων, τάς τε περιόδους μήτε ἰσομεγέθεις μήτε ὁμοιοσχήμονας τὰς γοῦν παρακειμένας ἀλλήλαις ἐργάζεσθαι· ἔγγιστα γὰρ φαίνεται λόγοις τὸ περὶ τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα πεπλανημένον. τοῖς μὲν οὖν τὰ ἔπη καὶ τοὺς ἰάμβους καὶ τὰ ἄλλα τὰ ὁμοειδῆ μέτρα κατασκευάζουσιν οὐκ ἔξεστι πολλοῖς διαλαμβάνειν μέτροις ἢ ῥυθμοῖς τὰς ποιήσεις, ἀλλ᾽ ἀνάγκη μένειν ἀεὶ ἐπὶ τοῦ αὐτοῦ σχήματος· τοῖς δὲ μελοποιοῖς ἔξεστι πολλὰ μέτρα καὶ ῥυθμοὺς εἰς μίαν ἐμβαλεῖν περίοδον· ὥσθ᾽ οἱ μὲν τὰ μονόμετρα συντιθέντες ὅταν διαλύσωσι τοὺς στίχους τοῖς κώλοις διαλαμβάνοντες ἄλλοτε ἄλλως, διαχέουσι καὶ ἀφανίζουσι τὴν ἀκρίβειαν τοῦ | μέτρου, καὶ ὅταν τὰς περιόδους μεγέθει 214 τε καὶ σχήματι ποικίλας ποιῶσιν, εἰς λήθην ἐμβάλ-

1 ἐμμέτρου M 2 fort πολιτικῆς, sed cf 94,15. 122,14. 123,3 4 συμ- μετρία M: ἐμμετρία EPV | δὴ] δὲ V | τῷ om P 5 δεῖ ante τὰ τῆς exhibet E | στρέφην P 7 συμμέτροις ci Schaeferus | συναρπατίζοντα V¹ | τοῖστίχοις P 9 πολλάκ[η]ς c lit (ex -εις) P 10 ἰσομεγέθοις V 11 ἀλλήλαις EM: ἀλλήλοις PV 12 ἔγγϋστα V | λόγον M | π(ερὶ) P, EM: παρὰ V 14 ϊάμουσ P | ὁμοειδῆ (hyphen adhibetur) P, M: ὁμοιοειδῆ V 15 ἔξεστι] ἔνεστι h 16 ἢ] fort καὶ 19 μονόμετρα (hyphen) P ut 137, 1 μελοποιοῖ 20 διαλύσωσι P: διαλείπωσι M διαλίπωσϊ V 21 ἀφανίζου sic P 22 μεγέθη P 23 ποικιλίας V

λουσιν ἡμᾶς τοῦ μέτρου· οἱ δὲ μελοποιοὶ πολυμέτρους τὰς στροφὰς ἐργαζόμενοι καὶ τῶν κώλων ἑκάστοτε πάλιν ἀνίσων τε ὄντων καὶ ἀνομοίων ἀλλήλοις ἀνομοίους τε καὶ ἀνίσους ποιούμενοι τὰς διαιρέσεις, δι᾽ ἄμφω δὲ ταῦτα οὐκ ἐῶντες ἡμᾶς ὁμοειδοῦς ἀντίληψιν λαβεῖν ῥυθμοῦ πολλὴν τὴν πρὸς τοὺς λόγους ὁμοιότητα κατασκευάζουσιν ἐν τοῖς μέλεσιν, ἔνεστί τε καὶ τροπικῶν καὶ ξένων καὶ γλωττηματικῶν καὶ τῶν ἄλλων ποιητικῶν ὀνομάτων μενόντων ἐν τοῖς ποιήμασιν μηδὲν ἧττον αὐτὰ φαίνεσθαι λόγῳ παραπλήσια.

μηδεὶς δὲ ὑπολαμβανέτω με ἀγνοεῖν ὅτι κακία ποιήματος ἡ καλουμένη λογοείδεια δοκεῖ τις εἶναι, μηδὲ καταγιγνωσκέτω μου ταύτην τὴν ἀμαθίαν, ὡς ἄρα ἐγὼ κακίαν τινὰ ἐν ἀρεταῖς τάττω ποιημάτων ἢ λόγων· ὡς δὲ ἀξιῶ διαιρεῖν κἂν τούτοις τὰ σπουδαῖα 215 ἀπὸ τῶν | μηδενὸς ἀξίων, ἀκούσας μαθέτω. ἐγὼ τοὺς λόγους τὸν μὲν ἰδιώτην ἐπιστάμενος ὄντα, τὸν ἀδολέσχην τοῦτον λέγω καὶ φλύαρον, τὸν δὲ πολιτικόν, ἐν ᾧ τὸ πολὺ κατεσκευασμένον ἐστὶ καὶ ἔντεχνον, ὅ τι μὲν ἂν τῶν ποιημάτων ὅμοιον εὑρίσκω τῷ φλυάρῳ καὶ ἀδολέσχῃ, γέλωτος ἄξιον τίθεμαι, ὅ τι δ᾽ ἂν τῷ κατεσκευασμένῳ καὶ ἐντέχνῳ, ζήλου καὶ σπουδῆς ἐπιτήδειον τυγχάνειν οἴομαι. εἰ μὲν οὖν διαφόρου προσηγορίας τῶν λόγων ἑκάτερος ἐτύγχανεν, ἀκόλουθον ἦν

1 ἡμᾶς] ἥμεν P om MV | πολυμέτρους] συμμέτρους s 2 τὰσ τροφὰς P | ἑκάστου libri ἑκάστης ci Upton 3 τε ὄντων M: ὄντων PV 4 ἀνίσοις P | ἄμφω δὲ M: ἄμφω PV 5 ὁμοδους (hyphen) P ὁμοειδῆ MV 8 ἄλλων] ἄλλων τῶν libri 12 καλουμένη om M | λογοείδεια (hyphen add) P, V λογοειδεία M | τις] τησ P 13 καταγιγνωσκέτω P: καταγινMV 15 κ᾽ ἂν P 16 τοῦ λόγου libri: corr Schaeferus 17 ἀδολέσχην ut 21 ἀδολέσχηι P 19 τὸ πολὺ PM: πολὺ τὸ V 20 ποιημάτων] ποιητῶν V 21 ἄξιον P: ἄξιον αὐτὸ MV

ἂν καὶ τῶν ποιημάτων ἃ τούτοις ἔοικεν διαφόροις ὀνόμασι καλεῖν ἑκάτερον· ἐπειδὴ δὲ ὅ τε σπουδαῖος καὶ ὁ τοῦ μηδενὸς ἄξιος ὁμοίως καλεῖται λόγος, οὐκ ἂν ἁμαρτάνοι τις τὰ μὲν ἐοικότα τῷ καλῷ λόγῳ ποιήματα καλὰ ἡγούμενος, τὰ δὲ τῷ μοχθηρῷ πονηρὰ οὐδὲν ὑπὸ τῆς τοῦ λόγου ὁμοειδείας ταραττόμενος. κωλύσει γὰρ οὐδὲν ἡ τῆς ὀνομασίας ὁμοιότης κατὰ
δια|φόρων ταττομένης πραγμάτων τὴν ἑκατέρου φύ- 216
σιν ὁρᾶν.

εἰρηκὼς δὴ καὶ περὶ τούτων παραδείγματά σοι τῶν
εἰρημένων ὀλίγα θεὶς αὐ|τοῦ κατακλείσω τὸν λόγον. 217
ἐκ μὲν οὖν τῆς ἐπικῆς ποιήσεως ταῦτα ἀπόχρη·

αὐτὰρ ὅ γ' ἐγ λιμένος προσέβη τρηχεῖαν ἀταρπόν·

ἓν μὲν δὴ τοῦτο κῶλον. ἕτερον δὲ

χῶρον ἀν' ὑλήεντα

ἔλαττόν τε τοῦ προτέρου καὶ δίχα τέμνον τὸν στίχον. τρίτον δὲ τουτί

δι' ἄκριας

ἔλαττον κώλου κομμάτιον. τέταρτον δὲ

οἷ οἱ Ἀθήνη
πέφραδε δῖον ὑφορβόν

13—139, 18 Homerus ξ 1—7

3 ὁ τοῦ PM: ὁ V | ὁμοίως conpendio P: om MV 4 ἁμαρτάνοι PM: ἁμάρτοι V 6 οὐδὲν . . . ταραττόμενος MV: om P 8 ταττομένη libri: corr Sauppius 10 εἰρηκὼς . . . . 11 ὀλίγα θεὶς αὐτοῦ. καὶ περὶ μὲν τούτων ἅλις. ὧν δὲ προυθέμην τὰ παραδείγματα θεὶς M: καὶ περὶ τούτων (μὲν hoc loco addit V) ἅλις (ἅλλις P). ὧν δὲ προυθέμην τὰ παραδείγματα θεὶς PV. apparet in M genuinam transitus formam ex altero fonte seruari, olim tamquam uariam lectionem in mg adnotatam 11 alibi καταπαύσω Dionysius 12 οὖν om M 13 ὅ γ'] ὃ Hom | ἐγκλίμενος M, latet ἐγ seruatum in E^v: ἐκ λ. PV | προέβη MV 16 τέμνον EV: τέμνοντος PM 17 ταυτί M om E 19 τέταρτον δὲ E: om PMV 20 οἷ οἱ PM, E: ᾗ οἱ V Hom | ἀθήνηι P 21 συφορβόν. M

ἐξ ἡμιστιχίων δύο συγκείμενον καὶ τοῖς προτέροις οὐδὲν ἐοικός. ἔπειτα τὸ τελευταῖον

ὅ οἱ βιότοιο μάλιστα
κήδετο οἰκήων οὓς κτήσατο δῖος Ὀδυσσεύς

ἐντελῆ μὲν τὸν τρίτον ποιοῦν στίχον, τοῦ δὲ τετάρτου τῇ προσθήκῃ τὴν ἀκρίβειαν ἀφῃρημένον. ἔπειτ' αὖθις

τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον

218 οὐ συνεκτρέχον οὐδὲ τοῦτο τῷ στίχῳ.

ἔνθά οἱ αὐλὴ
ὑψηλὴ δέδμητο

ἄνισον καὶ τοῦτο τῷ προτέρῳ. κἄπειτα ὁ ἑξῆς νοῦς ἀπερίοδος ἐν κώλοις τε καὶ κόμμασι λεγόμενος· ἐπιθεὶς γὰρ

περισκέπτῳ ἐνὶ χώρῳ,

πάλιν ἐποίσει

καλή τε μεγάλη τε

βραχύτερον κώλου κομμάτιον, εἶτα

περίδρομος

ὄνομα καθ' ἑαυτὸ νοῦν τινα ἔχον. εἶθ' ἑξῆς τὰ ἄλλα τὸν αὐτὸν κατασκευάσει τρόπον· τί γὰρ δεῖ μηκύνειν;

ἐκ δὲ τῆς ποιήσεως τῆς ἰαμβικῆς τὰ παρ' Εὐριπίδου ταυτί

219 Ὦ γαῖα πατρὶς ἣν Πέλοψ ὁρίζεται,
χαῖρε,

22—140, 16 Euripides Telephi fr 696 N

1 ἡμιστίχων V | β̄ P | συγκείμενος M 3 ὅ οἱ EPV: ὅς οἱ Mh | β[ι]ότοιο c lit (ex βρό) P 5 ἀτελῆ libri | τὸν τρίτον ποιοῦν EPM: ποιοῦν τ. τρ. V 6 ἔπειτ' . . . 7 ἥμενον om P 7 εὑρημένον M 8 τούτ(ω) P, M 9 ἔνθά οἱ sic PM | αὐ[λὴ] c ras P 11 καὶ V: κατὰ PM 13 ἐνὶ V 14 ἐποίει P 15 καλήν τε μεγάλην τε PM 19 τὸν αὐτὸν] τοῦτον s | κατασκευάσει PM: κατασκευάζει V | μηκύνειν; P: μηκύνειν τὸν λόγον. MV

20 παρ' εὐριπῖ (superscript δ) sic P, ut aequo iure genetiuum eruas ac datiuum: εὐριπίδου MV 23 χαῖρε libri: χαῖρ' s

τὸ πρῶτον ἄχρι τούτου κῶλον.

ὅς τε πέτραν Ἀρκάδων δυσχείμερον
* ἐμβατεύεις

τὸ δεύτερον μέχρι τοῦδε.

ἔνθεν εὔχομαι γένος.

τοῦτο τρίτον. τὰ μὲν πρότερα μείζονα στίχου, τοῦτο δὲ ἔλαττον.

Αὔγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ 220
τίκτει λαθραίως Ἡρακλεῖ·

μετὰ τοῦτο

ξύνοιδε ὄρος
Παρθένιον,

οὐθέτερον αὐτῶν στίχῳ συμμετρούμενον. εἶτ' αὖθις ἕτερον στίχου τε ἔλαττον καὶ στίχου μεῖζον

ἔνθα μητέρ' ὠδίνων ἐμὴν
ἔλυσεν Εἰλείθυια

καὶ τὰ ἑξῆς τούτοις παραπλήσια.

ἐκ δὲ τῆς μελικῆς τὰ Σιμωνίδεια ταῦτα· γέ|γραπται 221 δὲ κατὰ διαστολὰς οὐχ ὧν Ἀριστοφάνης ἢ ἄλλός τις κατεσκεύασε κώλων ἀλλ' ὧν ὁ πεζὸς λόγος ἀπαιτεῖ. πρόσεχε δὴ τῷ μέλει καὶ ἀναγίνωσκε κατὰ διαστολάς,

1 τὸ ᾱ P 2 ὅςτε s: ὥστε PMV | πέτραν PM: πέτρον V | δυσχείμερον ἀρκάδων PMV: transposuit Sylburgius 3 deficientem syllabam inserto uocatiuo *Πάν* restituit Musgrauius 5 ἔχομαι M | γεγώς ci Schaeferus 6 μείζονα om P | στίχου MV: στί^χ (ie στίχος?) P στίχον s 8 αὐγὴ M: αὐτὴ PV. cf Leopardus emend III 24 | αἰλέου M² 11 ξυνοῖδὲ MV | ὄρος V 13 οὔθ' ἕτερον PM: οὐδέτερον V 14 στίχου τε ἔλαττον καὶ relegauit Nauckius. nec sane ut nunc leguntur ferri possunt. nisi forte D scripsit συμμ., ⟨ἀλλὰ μεῖζον στίχου στίχου τε ἔλαττον⟩. εἶτ' αὖθις ἕτερον στίχου μεῖζον· 15 μητέρα MV | ὠδίνων ... 16 εἰλείθυια (-θυία V) MV: ἐμὴν ὠδίνων σε επυθυῖαν P 18 τὰ om P 19 ἄλλός τις P 20 κατεστεύασε P | ἀπετεῖ P 21 δὴ PM: δὲ V | κατὰ P: ταῦτα κατὰ MV

καὶ εὖ ἴσθ' ὅτι λήσεταί σε ὁ ῥυθμὸς τῆς ᾠδῆς καὶ οὐχ ἕξεις συμβαλεῖν οὔτε στροφὴν οὔτε ἀντίστροφον οὔτ' ἐπῳδόν, ἀλλὰ φανήσεταί σοι λόγος εἷς εἰρόμενος. ἔστι δὲ ἡ διὰ πελάγους φερομένη Δανάη τὰς ἑαυτῆς ἀποδυρομένη τύχας·

Ὅτε λάρνακι ἐν δαιδαλέᾳ
222 ἄνεμός | τε μιν πνέων ⟨ἐφόρει⟩
κινηθεῖσά τε λίμνα,
δείματι φρίττεν οὔτ' ἀδιάντοισι παρειαῖς
ἀμφί τε Περσέι βάλλε φίλαν χέρα
εἶπέν τε· Ὦ τέκος,
οἷον ἔχω πόνον, οὐ δανιᾷ σε·
γαλαθηνῷ δ' ἤθεϊ κνοώσσεις
223 ἐν ἀτερπέι δούρατι | χαλκεογόμφῳ δίχα νυκτὸς ἀλαμπεῖ
κυανέῳ τε δνόφῳ σταλείς.

6 Simonides fr 37 Bergk

2 ἀντίστροφον PM: ἀντιστροφὴν V 3 λόγος εἰσειρόμενος P: λ. οὑτωσὶ διειρόμενος MV 4 ἔστη M ἔστ[ι] c lit V | Δανάη] δ' ἂν ἡ P 6 ὅτι M | δαιδαλαίαι P, M 7 τέ μιν Schneidewinus: τε μὴν PM τ' ἐμῇ V βρέμῃ s 8 τε Brunckius: δὲ PMV | ἐφόρει Bergkius ante μιν inseruit 9 δεῖ ματι P δείματι V δεῖμα M | φρίττεν] ἔριπεν P: ἔρειπεν MV | οὔτ' P οὔτ' MV οὐκ certatim correxere | ἀδίαν τοῖσι P: ἀδιάνταῖσι V ἀδειαντ[ῆ]σι c lit (ex οι?) M 10 πέρσει PV | βάλε M | φίλα V 11 εἶπέν τε sic libri | τέκος Gudianus, Athenaeus IX p 396ᵉ: τεκν(ος) P τέκνον MV 12 οὐδ' PMV σὺ δ' s, Athen. δ' ie δὴ crasin patitur | αυταισ ἐγαλαθηνωδει θει P, V αὐταῖς ἀγα[λ]αθηνώ (λ corr ex ν) δει (θει κνώσσεις syllabis spatium circ IV litt relictum) M: αὖτε εἰς γαλαθηνῷ δ' ἤτορι Athen | in αυται σε latet ἀνιᾶι σε, cuius glossema λυπεῖ σ(ε) Athen legebat | ἤθει dispexit Bergkius, ἤτορι glossema Athen 13 κνοώσσεισ P, V quod seruandum erat: κνώσσεις Athen 14 ἀτερπεῖ libri | δούρατι Gudianus: δούνατι PM δούναντι V δώματι s | δίχα νυκτὸς ἀλαμπεῖ] δενυκτι λαμπεῖ P, MV. ἀλαμπεῖ praeiuit Ilgenus 15 κυαναίῳ V | σταλείς Bergkius: ταδ' εἰσ P, MV τὺ δ' s ταθεὶς Schneidewinus

ἅλμαν δ' ὕπερθεν τεᾶν κομᾶν βαθεῖαν
παριόντος κύματος οὐκ ἀλέγεις
οὐδ' ἀνέμου φθόγγον, πορφυρέᾳ
κείμενος ἐν χλανίδι πρὸς κόλπῳ καλὸν πρόσωπον.
εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων λεπτὸν ὑπεῖχες οὖας.
κέλομαι· εὗδε βρέφος,
εὑδέτω δὲ πόντος, εὑδέτω ἄμετρον κακόν.
μεταβουλία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέο·
ὅ τι δὴ θαρσαλέον ἔπος εὔχομαι
νόσφι δίκας, σύγγνωθί μοι.

Τοιαῦτά ἐστι τὰ ὅμοια τοῖς καλοῖς λόγοις μέτρα καὶ μέλη, διὰ ταύτας γινόμενα τὰς αἰτίας ἃς προεῖπά σοι.

Τοῦθ' ἕξεις δῶρον ἡμέτερον, ὦ Ῥοῦφε, 'πολλῶν 224 *ἀντάξιον ἄλλων', εἰ βουληθείης ἐν ταῖς χερσί τε αὐτὸ συνεχῶς ὥσπέρ τι καὶ ἄλλο τῶν πάνυ χρησίμων ἔχειν καὶ συνασκεῖν αὐτὸν ταῖς καθ' ἡμέραν γυμνασίαις.*

16 ex Homero *Λ* 514

1 *ἅλμαν δ'* Bergkius: *ἀνλεαν δ'* P, V *αὐλαίαν δ'* M *αὐαλέαν* (om *δ'*) s | *ὑπερθεντε αν κο μαν* P, MV | *βαθείαν* P 3 *φθόγγων* s | *πυρφυρέα* P 4 *ἐχλανιδ(ι)* P | *πρόσωπον καλον πρόσωπον* P: *πρόσωπον καλὸν* MV 5 *δέ τι* M | *ἦν* Sylburgius: *ἦι* P *ἦ* M *ἢ* V 6 *καί* M *κἀί* V *κε* P | *λεπτὸν* s: *λεπτῶν* PMV 8 *εὕδετῶι* utroque loco P, MV 9 *μαιτ(α)βουλία* (ie *μεταβουλία*) P *μαιτ(α)βουλίου* M *ματαιοβουλία* V 11 *ὅτι δὴ* libri: *ὅττι δὲ* Bergkius *εἴ τι δὲ* Schaeferus 12 *νόσφι δίκας* Victorius: *ηνοφι δίκασ* P *ἧν ὀφειδίασ* MV, *κνοφι δίκας* Gudianus unde *τεκνόφι δίκας* s explanatum a Dobraeo Aduers 1, 562 | *σύγγνωθί* PM: om V 13 *ἐστι*] *δ' ἐστὶ* E 17 *αὐτὰ* PMV: corr Sylburgius 19 *αὐτὸν ταῖσ* P *αὐτὸ ταῖς* M: *αὐταῖς* V

οὐ γὰρ αὐτάρκη τὰ παραγγέλματα τῶν τεχνῶν ἐστι δεινοὺς ἀγωνιστὰς ποιῆσαι τοὺς βουλομένους γε δίχα μελέτης τε καὶ γυμνασίας· ἀλλ' ἐπὶ τοῖς πονεῖν καὶ κακοπαθεῖν βουλομένοις κεῖται σπουδαῖ' ἂν εἶναι τὰ παραγγέλματα καὶ λόγου ἄξια ἢ φαῦλα καὶ ἄχρηστα.

2 *δεινοῦσ αν ταγωνιστασ* sic P: *ἀνταγωνιστὰς* etiam MV. correxi conl Isocr or 13, 15 | *γε*] *τε* P om MV 4 *βουλομένοις* PM: om V | *σπουδαῖαν εἶναι* sic P: *ἢ σπουδαῖα εἶναι* MV 5 *Διονυσίου αλικαρνα(σεως) πε(ρὶ) συνθέσεως ὀνομάτων*: ~ litteris maiusculis subscribit P

Epitomae adhibentur

D codex Darmstadiensis
M codex Monacensis gr. 327
R codex Rehdigeranus 146
V codex Vaticanus Vrbinas 47

ΔΙΟΝΥΣΙΟΥ
ΑΛΙΚΑΡΝΑΣΕΩΣ
ΤΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΟΝΟΜΑΤΩΝ
ΕΠΙΤΟΜΗ

huius edit p

3 *Δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε Ῥοῦφε Μελίτιε, τοῦτο δίδωμι, καθάπερ ἡ παρ' Ὁμήρῳ φησὶν Ἑλένη ξενίζουσα τὸν Τηλέμαχον, πρώτην ἡμέραν ἄγοντι ταύτην γενέθλιον, ἀφ' οὗ παραγέγονας εἰς ἀνδρὸς ἡλικίαν. πέμπω δὲ κτῆμα τὸ αὐτὸ καὶ χρῆμα πρὸς πάσας τὰς ἐν τῷ βίῳ χρείας, ὁπόσαι γίνονται διὰ λόγων ὠφελίμων.*

4 *Διττῆς γὰρ οὔσης ἀσκήσεως περὶ πάντας ὡς εἰπεῖν τοὺς λόγους, τῆς περὶ τὰ νοήματα καὶ τὴν λέξιν, ὧν ἣ μὲν τοῦ πραγματικοῦ τόπου μᾶλλον ἐφάπτεσθαι δόξειεν ἄν, ἣ δὲ τοῦ λεκτικοῦ, καὶ πάντων ὅσοι τοῦ λέγειν εὖ στοχάζονται περὶ ἀμφοτέρας τὰς θεωρίας τοῦ λόγου ταύτας σπουδαζόντων ἐξ ἴσου, ἡ μὲν ἐπὶ τὰ πράγματα καὶ τὴν ἐν τούτοις φρόνησιν ἄγουσα ἡμᾶς ἐπιστήμη βραδεῖα ἐστὶ καὶ χαλεπὴ νέοις, μᾶλλον*

1—4 om MR 3 τοῦ om V 5 ὦρόν M | σοι V | καὶ om R | φίλε τέκνον D | φίλον V 8 οὗ] οὗπερ M | ἐς V | ἡλικίαν ταύτην D 9 κτῆμα σοι τὸ R 10 ἐν τῷ] ἐν D | γένωνται M | ὠφέλιμον M 16 τὰς om V 17 τοῦ λόγου ταύτας om M 18 ἄγουσαν R

δὲ ἀδύνατος εἰς ἀγενείων καὶ μειρακίων πεσεῖν ἡλι-
κίαν· ἀκμαζούσης γὰρ ἤδη συνέσεως ἐστὶν ἡ τούτων
κατάληψις πολλῇ μὲν ἱστορίᾳ λόγων τε καὶ ἔργων,
πολλῇ δὲ πείρᾳ καὶ συμφορᾷ παθῶν οἰκείων τε καὶ
ἀλλοτρίων συναυξομένη. τὸ δὲ περὶ τὰς λέξεις φιλό-
καλον καὶ ταῖς νεαραῖς συνανθεῖν εἴωθεν οὐχ ἧττον
ἡλικίαις· ἐπτόηται γὰρ ἅπασα νέου ψυχὴ περὶ τὸν τῆς
ἑρμηνείας ὡραϊσμόν, ἀλόγους τινὰς καὶ ὥςπερ ἐνθου- 5
σιώδεις ἐπὶ τοῦτο λαμβάνουσα τὰς ὁρμάς· οἷς πολλῆς
πάνυ καὶ ἔμφρονος δεῖ τῆς πρώτης ἐπιστάσεώς τε καὶ
ἀγωγῆς, εἰ μέλλουσι μὴ πᾶν, ὅ τι κεν ἐπ' ἀκαιρίμαν
γλῶσσαν ἔπος ἔλθοι, λέγειν μηδ' εἰκῇ συνθήσειν τὰ
προστυχόντα ἀλλήλοις, ἀλλ' ἐκλογῇ κεχρῆσθαι καθαρῶν
ἅμα καὶ γενναίων ὀνομάτων, καὶ συνθέσει ταῦτα κοσμή-
σειν μεμιγμένον ἐχούσῃ τῷ σεμνῷ τὸ ἡδύ.

2 Ἡ δὲ σύνθεσις ἔστι μὲν ὥςπερ καὶ αὐτὸ δηλοῖ 6
τοὔνομα, ποιά τις θέσις παράλληλος τῶν τοῦ λόγου
μορίων· ἃ δὴ καὶ στοιχεῖά τινες τῆς λέξεως καλοῦσιν.
ἡ δὲ τῶν τοιούτων μερῶν πλοκὴ καὶ παράθεσις τὰ 7
λεγόμενα ποιεῖ κῶλα· ἔπειθ' ἡ τούτων ἁρμονία τὰς
καλουμένας συμπληροῖ περιόδους· αὗται δὲ τὸν σύμ-
παντα τελειοῦσι λόγον.

Ἔστι δὴ τῆς συνθέσεως ἔργα τά τε ὀνόματα οἰκείως θεῖναι παρ' ἄλληλα καὶ τοῖς κώλοις ἀποδοῦναι τὴν προσήκουσαν ἁρμονίαν καὶ ταῖς περιόδοις διαλαβεῖν εὖ τὸν λόγον. δευτέρα δ' οὖσα μοῖρα τῶν περὶ τὸν λεκτικὸν τόπον θεωρημάτων κατανοοῦντι τὴν τάξιν

3 κατάληψις] κατάληψις δήπουθεν D 5 συναυξανομένη M 7 τὸν τῆς] τὸν D 10 εὔφρονος V 11 ἀκαιρίαν R 12 γλῶτταν D | ἔπος om D 13 χρῆσθαι R 17 ποιά τις σύνθεσις M 18 δή] δεῖ D 24 παράλληλα DRV

8 (ἡγεῖται γὰρ ἡ τῶν ὀνομάτων ἐκλογὴ καὶ προὐφίστα-
ται ταύτης κατὰ φύσιν) ἡδονὴν καὶ πειθὼ καὶ κράτος
ἐν τοῖς λόγοις οὐκ ὀλίγῳ κρεῖττον ἐκείνης ἔχει. καὶ
γὰρ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, ὅσαι διαφόρους ὕλας
λαμβάνουσαι συμφορητὸν ἐκ τούτων ποιοῦσι τὸ τέλος,
ὡς οἰκοδομικὴ καὶ τεκτονικὴ καὶ πολιτική, τὸ αὐτὸ
συμβαίνει· αἱ γὰρ συνθετικαὶ δυνάμεις τῇ μὲν τάξει
δεύτεραι τῶν λεκτικῶν εἰσι, τῇ δὲ δυνάμει πρότεραι.

Ἔστι τοίνυν πᾶσα λέξις, ᾗ σημαίνομεν τὰς νοήσεις, 3
ἡ μὲν ἄμετρος, ἡ δ' ἔμμετρος· ὧν ἑκατέρα καλῆς μὲν
ἁρμονίας τυχοῦσα καλὸν οἷά τε ἐστὶ ποιεῖν καὶ τὸ
μέτρον καὶ τὸν λόγον· ἀνεπιστάτως δὲ καὶ ὡς ἔτυχε
9 ῥιπτομένη προσαπόλλυσι καὶ τὸ ἐν τῇ διανοίᾳ χρήσι-
μον. πολλοὶ γοῦν καὶ ποιηταὶ καὶ συγγραφεῖς, φιλόσοφοί τε καὶ ῥήτορες λέξεις πάνυ καλὰς καὶ πρεπούσας τοῖς ὑποκειμένοις ἐκλέξαντες ἐπιμελῶς, ἁρμονίαν δὲ αὐταῖς ἀποδόντες εἰκαίαν τινὰ καὶ ἄμουσον, οὐδὲν χρηστὸν ἀπέλαυσαν ἐκείνου τοῦ πόνου· ἕτεροι δ' εὐκαταφρόνητα καὶ ταπεινὰ λαβόντες ὀνόματα, συνθέντες δ' αὐτὰ ἰδίως καὶ περιττῶς, πολλὴν τὴν ἀφροδίτην τῷ λόγῳ περιέθηκαν. καὶ σχεδὸν ἀνάλογόν τι πεπονθέναι δόξειεν ἂν ἡ σύνθεσις πρὸς τὴν ἐκλογήν, ὃ πάσχει τὰ ὀνόματα πρὸς τὰ νοήματα. ὥςπερ γὰρ οὐδὲν ὄφελός ἐστι διανοίας χρηστῆς, εἰ μή τις αὐτῇ κόσμον ἀποδώσει καλῆς ὀνομασίας, οὕτω καὶ ἐνταῦθα οὐδέν ἐστι προὔργου λέξιν εὑρεῖν καθαρὰν καὶ καλλιρήμονα, εἰ μὴ

2 φύσιν ἡδονὴ V 5 λαμβάνουσι V cf F 6 πολιτικῇ V tribus his nominibus circumflexum dat R 8 ἐλεγκτικῶν V | τῇ δυνάμει δὲ δεύτεραι V 10 ὡς ἑτέρα V 11 οἷά τε ἐστὶ M 12 καὶ ὡς] ὡς V 14 καὶ ante ποιηταὶ om M 17 αὐτοῖς DR 20 δ' αὐτὰ] δὲ R | ἰδίως MV: ἡδέως DR 22 ἂν om R 25 προὔργου] πανούργου M 26 καλλιρρήμονα V καλιρρήμονα R

καὶ κόσμον αὐτῇ τις ἁρμονίας τὸν προσήκοντα περι-
θήσει.
Ὅτι δὲ κρεῖττον ἄσκημα καὶ τελειότερον τῆς ἐκλογῆς
ἡ σύνθεσις, Ὅμηρος καὶ Ἡρόδοτος μαρτυρήσει· Ὅμηρος
μὲν ἐν οἷς φησί· 10

Τὼ δ' αὖτ' ἐν κλισίῃσ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
ἐντύνοντ' ἄριστον ἅμ' ἠοῖ κηαμένω πῦρ,
ἐκπέμψαντε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσαινον κύνες ὑλακόμωροι
οὐδ' ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
σαίνοντάς τε κύνας· ὑπὸ δὲ κτύπος ἦλθε ποδοῖιν·
αἶψα δ' ἄρ' Εὔμαιον προσεφώνεεν ἐγγὺς ἐόντα·
Εὔμαι', ἦ μάλα τίς σοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος,
ἢ καὶ γνώριμος ἄλλος· ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
ἀλλὰ περισαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτέ οἱ φίλος υἱὸς
ἔστη ἐπὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης·
ἐκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο 11
κιρνὰς αἴθοπα οἶνον. ὃ δ' ἀντίος ἔδραμ' ἄνακτος·
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

ταῦτα γὰρ οὐ διὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων τὴν τῆς ἑρμηνείας ἀρετὴν ἔχει· διὰ γὰρ τῶν εὐτελεστάτων καὶ ταπεινοτάτων πέπλεκται, καὶ οἷς ἂν καὶ γεωργὸς καὶ θαλαττουργὸς ἐξ ἑτοίμου ἐχρήσατο. ὅθεν καὶ λυθέντος τοῦ μέτρου φαῦλα φανήσεται καὶ ἄζηλα. οὔτε γὰρ

6—21 continuatos exhibet M 6 δ' αὖ D | κλυσίησ' R κλισί V 7 ἐντύνοντο DR 8 ἐκπέμψαντες V ἐκπέμψοντε D ἀγρομένησι D 10 ὕλακον V 11 ἀπὸ δὲ D | ἤλυθε D 16 ἤρειτο V[1] | ὅτε οἱ M 17 ἀνώρουσε V ἀνούρησε R 18 ἄρά οἱ DR 19 κιρνᾶν V | ἔδραμ(εν) M 20 κύσε M | τε om D 21 χεῖρας τε R 25 λυθέντα V

μεταφοραί τινές εἰσιν εὐγενεῖς ἐν αὐτοῖς οὔτε ὑπαλ-
λαγαὶ οὔτε καταχρήσεις οὔτέ τινα τοιαῦτα. ὁ δὲ
12 Ἡρόδοτος, ἔνθα τὰ περὶ τοῦ Κανδαύλου καὶ τῆς αὐτοῦ
γυναικὸς διέξεισι· πρᾶγμα οὐχ ὅτι σεμνὸν ἢ καλλιλο-
γεῖσθαι δυνάμενον, ἀλλὰ καὶ ταπεινὸν καὶ ἐπικίνδυ-
νον καὶ τοῦ αἰσχροῦ μᾶλλον ἢ τοῦ καλοῦ ἐγγυτέρω·
ἀλλ' εἴρηται σφόδρα δεξιῶς, καὶ κρεῖττον γέγονεν
14 ἀκουσθῆναι λεγόμενον ἢ ὀφθῆναι γινόμενον. καλὴν
δὲ κἀνταῦθα πεποίηκε τὴν φράσιν ἡ συνθήκη, ἀλλ'
οὐχ ἡ σεμνότης τῶν ὀνομάτων· ἀνεπιτήδευτα γάρ ἐστι
καὶ ἀνέκλεκτα, οἷα ἡ φύσις τέθεικε σύμβολα τοῖς
18 πράγμασι. τὸ δὲ αὐτὸ δύναται καὶ ἡ πεζὴ λέξις πα- 4
θεῖν τῇ ἐμμέτρῳ· μενόντων γὰρ τῶν αὐτῶν ὀνομάτων,
ἀλλαττομένης δὲ τῆς συνθέσεως, καταφανὲς τὸ ἐν αὐτῇ
ἄμουσόν τε καὶ ἀκαλλώπιστον· οἷον Κροῖσος ἦν Λυδὸς
μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνῶν τῶν
ἐντὸς Ἅλυος ποταμοῦ'· εἰ γὰρ ὑπαλλάξεις, ἔφθαρται ἡ
σύνθεσις· οἷον Κροῖσος ἦν Ἀλυάττου μὲν παῖς, γένος
δὲ Λυδός, τύραννος δὲ τῶν ἐντὸς Ἅλυος ποταμοῦ
19 ἐθνῶν'. ὅτι τοίνυν μείζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ
σύνθεσις, φανερόν. καί μοι οὐ δοκεῖ τις ἁμαρτεῖν
εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ· ἐκείνη τε γὰρ τὸν
Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἀλλοῖον ἐποίει φαί-
20 νεσθαι· τοτὲ μὲν μικρὸν καὶ ῥυσὸν καὶ αἰσχρὸν

πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,

τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη

1 ἑαυτοῖς R | οὔτε ὑπαγωγαὶ V 3 τὰ περὶ] περὶ R 8 γενόμενον R 9 κἀνταῦθα om D 11 ἀνάλεκτα M 12 δὲ om R 16 μὲν DR: μὲν τὸ MV | ἀλυάττεω DV: ἀλυάττου R ἀλυάτου ut 18 M 19 δὲ post γένος om V 24 μὲν om R | μικρὸν καὶ ῥυσσὸν DR, V[2]: ῥυσὸν καὶ μικρὸν MV[1]

μείζονά τ' εἰσιδέειν καὶ πάσσονα θῆκεν ἰδέσθαι,
καδ δὲ κάρητος
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὐτή τε τὰ αὐτὰ λαμβάνουσα ὀνόματα τοτὲ μὲν ἄμορφα καὶ ταπεινὰ καὶ πτωχὰ ποιεῖ φαίνεσθαι τὰ νοήματα, τοτὲ δ' ὑψηλὰ καὶ πλούσια καὶ ἁδρὰ καὶ καλά. καὶ τοῦτ' ἦν σχεδὸν ᾧ μάλιστα διαλλάττει ποιητής τε ποιητοῦ καὶ ῥήτωρ ῥήτορος, τὸ συντιθέναι δεξιῶς τὰ ὀνό-
5 *ματα. καὶ δὴ καὶ τοῖς ἀρχαίοις πολλὴ πρόνοια τῆς* 27
ἰδέας ἦν ταύτης· καὶ οὔτε τὰ ὀνόματα τοῖς ὀνόμασιν οὔτε τὰ κῶλα τοῖς κώλοις οὔτε τὰς περιόδους ἀλλήλαις εἰκῇ συνάπτειν ᾤοντο δεῖν· τέχνη δέ τις ἦν παρ' αὐτοῖς καὶ θεωρήματα, οἷς χρώμενοι συνετίθεσαν εὖ.

6 *Δοκεῖ δέ μοι τῆς συνθετικῆς ταύτης ἐπιστήμης τρία εἶναι τὰ ἔργα· ἓν μὲν ἰδεῖν, τί μετὰ τίνος ἁρμοζόμενον πέφυκε καλὴν καὶ ἡδεῖαν λήψεσθαι συζυγίαν· ἕτερον δὲ γνῶναι τῶν ἁρμόττεσθαι μελλόντων πρὸς ἄλληλα πῶς ἂν ἕκαστον σχηματισθὲν κρείττονα ποιήσειε φαίνεσθαι τὴν ἁρμονίαν· τρίτον δέ, τί δεῖται μετασκευῆς τῶν λαμβανομένων· ἀφαιρέσεως λέγω καὶ προσθέσεως καὶ ἀλλοιώσεως· ὥςπέρ που καὶ οἰκοδόμος* 28
ὕλην παραλαβὼν τρία πραγματεύεται ταῦτα· ποίῳ δεῖ λίθῳ τε καὶ ξύλῳ καὶ πλίνθῳ ποῖον ἁρμόσαι λίθον ἢ ξύλον ἢ πλίνθον· ἔπειτα πῶς τῶν ἁρμοζομένων ἕκαστον καὶ ἐπὶ ποίας πλευρᾶς ἑδράσαι· καὶ τρίτον, εἴ τι δύσεδρόν ἐστιν, ἀποκροῦσαι καὶ περικόψαι, καὶ τὸ αὐτὸ τοῦτο εὔεδρον ποιῆσαι. δεῖ τοίνυν πρῶτον μὲν σκοπεῖν, ποῖον ὄνομα ἢ ῥῆμα ἢ τῶν ἄλλων τι μορίων

4 αὐτή τε R | τὰ ὀνόματα R 6 πότε D | δὲ R 8 τὸ] τῷ D 11 οὔτε γὰρ τὰ κῶλα D 22 δὴ V 23 λίθον ἢ om D 24 πῶς] πρὸς MV | ἁρμοζόντων V

ποίῳ συνταχθὲν ἐπιτηδείως ἔσται κείμενον, καὶ πῶς οὐκ ἄμεινον· οὐ γὰρ δὴ πάντά γε μετὰ πάντων τιθέμενα πέφυκεν ὁμοίως διατιθέναι τὰς ἀκοάς· ἔπειτα διακρίνειν, πῶς σχηματισθὲν τοὔνομα ἢ τὸ ῥῆμα ἢ τῶν ἄλλων ὁτιδήποτε χαριέστερον ἱδρυνθήσεται καὶ
29 *πρὸς τὰ ὑποκείμενα πρεπωδέστερον· λέγω δὲ ἐπὶ μὲν τῶν ὀνομάτων, πότερον ἑνικῶς ἢ πληθυντικῶς λαμβανόμενα κρείττονα λήψεται συζυγίαν· καὶ πότερα κατὰ τὴν ὀρθὴν ἐκφερόμενα πτῶσιν ἢ κατὰ τῶν πλαγίων τινά· καὶ εἴ τινα πέφυκεν ἐξ ἀρρένων γίνεσθαι θηλυκὰ ἢ ἐκ θηλυκῶν ἀρρενικὰ ἢ οὐδέτερα ἐκ τούτων, πῶς ἂν ἄμεινον σχηματισθείη· καὶ πάντα τὰ τοιαῦτα. ἐπί τε τῶν ῥημάτων, πότερα κρείττω ἔσται λαμβανόμενα, τὰ ὀρθὰ ἢ τὰ ὕπτια· καὶ κατὰ ποίας ἐγκλίσεις ἐκφερόμενα κρατίστην ἕδραν λήψεται· καὶ ποίας παρεμφαίνοντα διαφορὰς χρόνων, καὶ εἴ τινα τοῖς ῥήμασιν ἄλλα παρακολουθεῖ. τὰ δ' αὐτὰ λέγω καὶ ἐπὶ τῶν ἄλλων τοῦ λόγου μερῶν. ἐπὶ δὲ τούτοις τὰ ληφθέντα διακρίνειν, εἴ τι δεῖται μετασκευῆς ὄνομα ἢ ῥῆμα, ὡς ἂν ἐναρμονιώτερόν τε καὶ εὐεδρότερον γένοιτο. τοῦτο τὸ στοιχεῖον ἐν μὲν ποιητικῇ δαψιλέστερόν ἐστιν, ἐν δὲ λόγοις πεζοῖς σπανιώτερον· πλὴν γίνεται καὶ ἐν τούτοις, ἐφ' ὅσον ἂν ἐγχωρῇ. ὅ τε γὰρ λέγων 'εἰς τουτονὶ τὸν ἀγῶνα' προστέθεικέ τι τῇ ἀντωνυμίᾳ γράμμα, τῆς συνθέσεως στοχαζόμενος· ἄρτιον γὰρ ἦν*
30 *'εἰς τοῦτον τὸν ἀγῶνα' εἰπεῖν. καὶ πάλιν ὁ λέγων 'κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτήν' τῇ προθέσει*

1 ποίῳ] ποῖον R 2 πάντά γε MV: πάντα DR 4 ἀνακρίνειν D 7 πότερον ἢ ἑνικῶς ἢ V 16 χρόνων· ἢ τίνα R 20 ἐναρμόνιόν τε καὶ ἁδρότατον D 24 προστέθηκέ sic V προτέθεικε R

παρηύξηκε τοὔνομα· τὸ γὰρ Ἰδὼν ἀπέχρη. καὶ ὁ γρά-
φων 'μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν' ταῖς
συναλοιφαῖς ἠλάττωκε τὰ μόρια τοῦ λόγου καὶ περι-
κέκρουκε τινὰ τῶν γραμμάτων· καὶ ὁ ἀντὶ τοῦ Ἐποί-
ησεν Ἐποίησε λέγων χωρὶς τοῦ ν̄, καὶ Ἀφαιρήσομαι
ἀντὶ τοῦ Ἀφαιρεθήσομαι, καὶ πάντα τὰ τοιαῦτα· ὅ τ'
Ἐχωροφίλησε λέγων τὸ Ἐφιλοχώρησε καὶ Λελύσεται
τὸ Λυθήσεται καὶ τὰ τοιουτότροπα μετασκευάζει τὰς
λέξεις, ἵν' αὐτῷ γένοιντο ἁρμοσθῆναι καλλίονες καὶ
ἐπιτηδειότεραι.

7 Μία μὲν δὴ θεωρία τῆς συνθετικῆς ἐπιστήμης ἡ
περὶ αὐτὰ τὰ πρῶτα μόρια καὶ τὰ στοιχεῖα τῆς λέξεως
ἥδε· ἑτέρα δὲ ἡ περὶ τὰ κῶλα, ποικιλωτέρας δεομένη
πραγματείας καὶ μείζονος· καὶ γὰρ ταῦτα ἁρμόσαι πρὸς
ἄλληλα δεῖ, ὥςτε οἰκεῖα φαίνεσθαι καὶ φίλα· καὶ σχη- 31
ματίσαι ὡς ἂν ἐνδέχηται κράτιστα, προκατασκευάσαι
τε εἴ πού τι δέοι μειώσει καὶ πλεονασμῷ καὶ εἰ δή
τινι ἄλλῃ κατασκευῇ. τούτων δ' ἕκαστα ἡ πεῖρα αὐτὴ
διδάσκει· πολλάκις γὰρ τουτὶ τὸ κῶλον τούτου μὲν
προτεθὲν ἢ ἐπὶ τούτῳ τεθὲν εὐστομίαν τινὰ ἐμφαίνει
καὶ σεμνότητα, ἑτέραν δέ τινα συζυγίαν λαβὸν ἄχαρι
φαίνεται καὶ ἄσεμνον· οἷον τὸ τοῦ Θουκυδίδου 'ἡμεῖς
τε, ὦ Λακεδαιμόνιοι, ἡμῶν ἡ ἐλπίς, δεδίαμεν, μὴ οὐ
βέβαιοι ἦτε' εἴ τις μεθαρμόσας οὕτως ἐρεῖ 'ἡμεῖς τε,

1 παρηύξηκε DV: παρηύξησε MR | τοὔνομα] τὸ ῥῆμα R 3 ἠλάττωκε DMR²: ἠλάττωσε R¹V | μόρια] μέρη D | παρακέκρουκε D 4 γραμμά[τ]ων c lit II litterarum V | ἐποίησεν om R 5 τοῦ νῦ D 6 ὅ τ'] καὶ ὅ τε D 7 λέγων τὸ] λ. ἀντὶ τοῦ D 11 θεωρία om M 13 ποικιλοτέρας R | δεομ. καὶ μείζονος πραγματείας M 15 δεῖ ante πρὸς D | φανῆναι R 17 τι δεῖ M | σημειώσει D 18 αὐτὴ] αὐτῶν D 19 πολλάκι D | γὰρ] μὲν γὰρ R 20 ἢ . . . τεθὲν om D 21 δέ τινα] δὲ R 22 τὸ τοῦ] τὸ DR 22 et 24 ὑμεῖς D

ὦ Λακεδαιμόνιοι, δεδίαμεν, μὴ οὐ βέβαιοι ἦτε, ἡμῶν
ἡ ἐλπίς', οὐ τὴν αὐτὴν χάριν ἢ τὸ αὐτὸ πάθος φυ-
λάξει· καὶ τὸ τοῦ Δημοσθένους 'τὸ λαβεῖν οὖν τὰ
διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων
32 ἀποδοῦναι παρανόμων γράφῃ' εἴ τις μεταθεὶς ἐρεῖ
'ὁμολογῶν οὖν ἔννομον εἶναι τὸ λαβεῖν τὰ διδόμενα,
παρανόμων γράφῃ τὸ τούτων χάριν ἀποδοῦναι', οὐχ
ὁμοίως ἔσται δικανικὴ καὶ στρογγύλη ἡ περίοδος.

Ἡ μὲν δὴ περὶ τὴν ἁρμογὴν τῶν κώλων θεωρία 8
τοιαύτη· ἡ δὲ περὶ τὸν σχηματισμὸν ποταπή; οὐκ ἔστιν
εἷς τρόπος τῆς ἐκφορᾶς ἁπάντων τῶν νοημάτων, ἀλλὰ
τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν, τὰ δ' ὡς πυνθανό-
μενοι, τὰ δ' ὡς εὐχόμενοι, τὰ δ' ὡς ἐπιτάττοντες, τὰ
δ' ὡς διαποροῦντες, τὰ δ' ὡς ὑποτιθέμενοι, τὰ δὲ
ἄλλως πως σχηματίζοντες· οἷς ἀκολούθως καὶ τὴν λέ-
ξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που σχημα-
τισμοὶ καὶ τῆς λέξεως εἰσίν, ὥςπερ καὶ τῆς διανοίας·
οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν. οὐ γὰρ δὴ
τὸ αὐτὸ δύναται ποιεῖν τὸ αὐτὸ κῶλον οὕτω σχημα-
τισθὲν ἢ οὕτως. ἐρῶ δὲ ἐπὶ παραδείγματος· εἰ τοῦτον
ἐξήνεγκε τὸν τρόπον ὁ Δημοσθένης τὴν λέξιν ταύτην
'ταῦτ' εἴπας ἔγραψα· γράψας δὲ ἐπρέσβευσα· πρεσβεύ-
σας δὲ ἔπεισα Θηβαίους', ἆρ' οὕτως ἂν συνέκειτο
33 χαριέντως, ὡς νῦν σύγκειται 'καὶ οὐκ εἶπον μὲν ταῦτα,
οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ·
οὐδὲ ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους';

9 περὶ] πρὸς M 10 τῶν σχηματισμῶν V | ποδαπὴ V 11 ἐκφορᾶς] προφορᾶς M 14 ἀποροῦντες R 21 ἐξήνεγκεν post τρόπον traicit M | ὁ om MV 22 εἴπας V: εἰπὼν ceteri 23 δ' ἔπεισα D 24 ταῦτα] οὕτως V 25 οὐδὲ . . . ἐπρέσβευσα δέ om D

9 Ἀλλὰ μὴν ὅτι γε καὶ μετασκευὰς δέχεται τῶν κώλων ἔνια, τοτὲ μὲν προσθήκας λαμβάνοντα οὐκ ἀναγκαίας ὡς πρὸς τὸν νοῦν, τοτὲ δὲ ἀφαιρέσεις ἀτελῆ ποιούσας τὴν διάνοιαν ἕνεκα τοῦ τὴν ἁρμονίαν ἡδεῖαν καὶ καλὴν γενέσθαι, φανερόν. τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν ἐν τῷ τοῦ Δημοσθένους τῷ 'ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ' οὐχὶ τοῦ ἀναγκαίου χάριν προσκεῖσθαι τὸ 'μηδὲ τοξεύῃ', ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον τὸ 'κἂν μήπω βάλλῃ' τραχύτερον τοῦ δέοντος ὂν καὶ οὐχ ἡδὺ ἀκουσθῆναι τῇ προσθήκῃ ταύτῃ γένηται χαριέστερον; καὶ ἔτι ἐν τῷ ἐπιταφίῳ τοῦ Πλάτωνος, ἔνθα φησίν· 'ἔργων 34 γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάντων'· ἐνταῦθα γὰρ τὸ 'παρὰ τῶν ἀκουσάντων' παραπλήρωμα τῆς λέξεως πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον 'τοῖς πράξασι' πάρισόν τε καὶ ἐφάμιλλον τοῖς πρὸ αὐτοῦ γένηται. καὶ δὴ καὶ τὸ τοῦ Αἰσχίνου 'ἐπὶ σεαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς', τρίκωλον πάνυ ἐπαινούμενον, τῆς αὐτῆς ἰδέας ἔχεται· ὃ γὰρ οἷόν τε ἦν ἑνὶ κώλῳ περιληφθῆναι τόνδε τὸν τρόπον 'ἐπὶ σεαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς', τοῦτο εἰς τρία διῄρηται. τῆς μὲν δὴ προσθέσεως ἐν τοῖς κώλοις οὗτος ὁ τρόπος· τῆς δὲ ἀφαιρέσεως, ὅταν τῶν ἀναγκαίων τι λεχθῆναι λυπεῖν μέλλῃ καὶ διοχλεῖν τὴν

9 τὸ μηδὲ] τὸ μὴ V 14 γὰρ] μὲν γὰρ R 16 ἐνταῦθα . . . ἀκουσάντων om DR 18 πράγμασι D 25 διῄρηται ex διεῖλεν corr R | προθέσεως RV

ἀκρόασιν, ἀφαιρεθὲν χαριεστέραν ποιεῖ τὴν ἁρμονίαν· οἷα ἐστὶν ἐν μὲν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί·

35 Μύω τε καὶ δέδορκα κἀξανίσταμαι,
πλέον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι·

ἐνταυθοῖ γὰρ ὁ δεύτερος στίχος ἐκ δυεῖν σύγκειται κώλων οὐχ ὅλων· τελεία γὰρ ἡ λέξις ἦν οὕτως ἐξενεχθεῖσα· 'πλεῖον φυλάσσων αὐτὸς ἑτέρους ἢ φυλασσόμενος ὑφ' ἑτέρων'· τὸ δὲ μέτρον ἠδικεῖτο, καὶ οὐκ ἂν ἔσχεν ἣν νυνὶ χάριν ἔχει. ἐν δὲ τοῖς πεζοῖς λόγοις τὰ τοιαῦτα· 'ἐγὼ δ' ὅτι μέν τινων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν ἀτέλειαν τῶν ἀδίκων ἐστίν, ἐάσω'· μεμείωται γὰρ κἀνταῦθα τῶν πρώτων δυεῖν κώλων ἑκάτερον· αὐτοτελῆ δὲ ἂν ἦν, εἴ τις αὐτὰ οὕτως ἐξήνεγκεν· 'ἐγὼ δ' ὅτι μέν τινων κατηγοροῦντα ὡς οὐκ ἐπιτήδειοι ἔχειν τὴν ἀτέλειαν, πάντας ἀφαιρεῖσθαι καὶ τοὺς δικαίως αὐτῆς τυχόντας τῶν ἀδίκων ἐστίν, ἐάσω'· ἀλλ' οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι πρόνοιαν τῆς ἀκριβείας τῶν κώλων ἢ τῆς εὐρυθμίας.

Τὰ δ' αὐτὰ εἰρήσθω μοι καὶ περὶ τῶν καλουμένων περιόδων· καὶ γὰρ ταύτας χρὴ ταῖς τε προηγουμέναις καὶ ταῖς ἑπομέναις οἰκείως συναρμόττειν, ὅταν ἐν 36 περιόδοις προσήκῃ τὸν λόγον ἐκφέρειν. οὐ γὰρ δὴ πανταχῇ γε τὸ ἐμπερίοδον χρήσιμον.

Διωρισμένων δὴ τούτων, ἀκόλουθον ἂν εἴη λέγειν, 10 τίνα ἐστὶν ὧν δεῖ στοχάζεσθαι τὸν βουλόμενον συντιθέναι τὴν λέξιν εὖ, καὶ διὰ τίνων θεωρημάτων τυγχά-

1 ποιῆ V 2 οἷον R | μὲν om R 4 πλεῖον D 5 γὰρ] δὲ V | δυοῖν RV 9 νῦν D 11 ἀτέλειαν] δωρεὰν M 12 δυοῖν RV 17 ἐδόκει] ἔδωκε M 20 τε om R 21 περιόδοις] ἐπιλόγοις D 22 δὴ] δεῖ R om D 24 δὴ] δὲ M 26 τυγχανει V[1]

νοι τις ὧν ἂν βούληται. δοκεῖ δή μοι δύο ταῦτ' εἶναι γενικώτατα ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας μέτρα τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν· ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοή, ὅμοιόν τι πάσχουσα τῇ ὁράσει· καὶ γὰρ ἐκείνη πλάσματα καὶ γραφὰς καὶ γλυφὰς ὁρῶσα, ὅταν εὑρίσκῃ ταῦτα ἐν αὐτοῖς, ἀρκεῖται καὶ οὐδὲν ἔτι ποθεῖ. καὶ παράδοξον οὐδέν, εἰ δύο ποιῶ τέλη καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς, καὶ ἡγοῦμαί τινα λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς δέ, ἢ καλῶς μέν, οὐ μὴν καὶ ἡδέως. ἡ γάρ τοι Θουκυδίδου λέξις καὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου καλῶς μὲν σύγκειται νὴ Δία· οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ 37
γε τοῦ Κνιδίου Κτησίου καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος ἡδέως μέν, οὐ μὴν καλῶς γε ἐφ' ὅσον ἔδει· λέγω δὲ κοινότερον, ἀλλ' οὐχὶ καθάπαξ· ἐπεὶ καὶ παρ' ἐκείνοις ἥρμοσταί τινα ἡδέως, ὡς καὶ παρὰ τούτοις καλῶς. ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει· καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

11 Ἐξ ὧν δ' οἶμαι γενέσθαι λέξιν ἡδεῖαν καὶ καλήν, τέτταρά ἐστι τὰ κυριώτατα· μέλος καὶ ῥυθμὸς καὶ μεταβολὴ καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις, τὸ πρέπον. τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν τήν τε ὥραν καὶ τὴν χάριν καὶ τὴν εὐστομίαν καὶ τὴν γλυκύτητα καὶ τὸ πιθανὸν καὶ πάντα τὰ τοιαῦτα· ὑπὸ δὲ τὸ καλὸν τήν τε μεγαλοπρέπειαν καὶ τὸ βάρος καὶ τὴν σεμνολογίαν καὶ τὸ ἀξίωμα καὶ τὸ πιθανὸν καὶ τὰ τούτοις ὅμοια.

1 ἂν om V | δή] δέ D om R 4 ταῦτα ἐπιζητεῖ R 6 ἑαυτοῖς R 10 τοι] τοι τοῦ R 13 κτησία R 14 οὐ καλῶς δὲ ἐφ' D 20s καὶ μεταβολὴ om R 25 τήν τε] τὴν R 26 καὶ τὸ πιθανόν om M

38 Ἥδεται δὲ ἡ ἀκοὴ τοῖς τέτρασι τούτοις· τίς γάρ ἐστιν, ὃς οὐχ ὑπὸ μὲν ταύτης τῆς μελῳδίας ἄγεται καὶ γοητεύεται, ὑφ' ἑτέρας δέ τινος οὐδὲν πάσχει τοιοῦτον; καὶ ὑπὸ μὲν τῶν ῥυθμῶν τούτων οἰκειοῦται, ὑπὸ τού-
39 των δὲ διοχλεῖται; τὸ δ' αὐτὸ συμβαίνει καὶ ἐν μετα-
40 βολαῖς καὶ τῷ πρέποντι· τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν ὅτι καὶ τῆς ὀργανικῆς μούσης καὶ τῆς ἐν ᾠδῇ καὶ τῆς ἐν ὀρχήσει χάριτος ἐν ἅπασι μὲν εὐστοχούσης, μεταβολὰς δὲ μὴ ποιησαμένης εὐκαίρους ἢ τοῦ πρέποντος ἀποπλανηθείσης βαρὺς μὲν ὁ κόρος, ἀηδὲς δὲ τὸ μὴ τοῖς ὑποκειμένοις ἁρμόττον φαίνεται; καὶ οὐκ ἀλλοτρίᾳ κέχρημαι τοῦ πράγματος εἰκόνι· μουσικὴ γάρ τις ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιστήμη, τῷ ποσῷ διαλλάττουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις· καὶ γὰρ ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις καὶ ῥυθμοὺς καὶ μεταβολὴν καὶ πρέπον· ὥστε καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολάς, ποθεῖ δ' ἐπὶ πάντων τὸ οἰκεῖον· ἡ δὲ διαλλαγὴ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον.

Διαλέκτου μὲν οὖν μέλος ἑνὶ μετρεῖται διαστήματι τῷ λεγομένῳ διὰ πέντε ὡς ἔγγιστα· καὶ οὔτε ἐπιτείνεται πέρα τριῶν τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξύ, οὔτε
41 ἀνίεται τοῦ χωρίου τούτου πλέον ἐπὶ τὸ βαρύ. οὐ μὴν ἅπασα λέξις ἡ καθ' ἓν μόριον λόγου ταττομένη ἐπὶ τῆς αὐτῆς λέγεται τάσεως, ἀλλὰ ἣ μὲν ἐπὶ τῆς ὀξείας, ἣ δ' ἐπὶ τῆς βαρείας, αἳ δ' ἐπ' ἀμφοῖν. τῶν δὲ ἀμφοτέρας τὰς τάσεις ἐχουσῶν αἳ μὲν κατὰ μίαν συλλαβὴν

1 δὲ] δὴ V 5 ἐν] ἐν ταῖς V 10 ἀηδὲς V: ἀηδὴς DMR | τὸ] τῶ M 11 ἁρμόττων φαίνεσθαι M 14 δὲ ἀλλάττουσα R 15 ῥυθμοὺς] ῥυθμὸν M 18 δὲ ἐπὶ M 19 δὲ ἀλλαγὴ R | τὸ post καὶ om R[1]V 20 οὖν om MR 22 τριῶν] τῶν τριῶν D 24 ἥ] ἣ R 25 ἀλλ' V

συνδιεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρύ, ἃς δὴ περισπωμένας καλοῦμεν· αἳ δὲ ἐν ἑτέρᾳ καὶ ἑτέρᾳ χωρὶς ἑκάτερον ἐφ' ἑαυτοῦ τὴν οἰκείαν φυλάττον φύσιν· καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρυτητός τε καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, ἡλίκαι ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς ταῖς ἄλλαις βαρείαις ἔνεστιν. ἡ δὲ ὀργανική τε καὶ ᾠδικὴ μοῦσα διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ διὰ πέντε μόνον, ἀλλ' ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη καὶ τὸ διὰ πέντε μελῳδεῖ καὶ τὸ διὰ τεττάρων καὶ τὸ διάτονον καὶ τὸ ἡμιτόνιον, ὡς δέ τινες οἴονται, καὶ τὴν δίεσιν αἰσθητῶς· τάς τε λέξεις τοῖς μέλεσιν ὑποτάττειν ἀξιοῖ, καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλλων τε πολλῶν δῆλον καὶ μάλιστα ἐκ τῶν Εὐριπίδου μελῶν, ἃ πεποίηκε τὴν Ἠλέκτραν λέγουσαν ἐν Ὀρέστῃ πρὸς τὸν χορόν·

Σῖγα, σῖγα· λευκὸν ἴχνος ἀρβύλης 42
τιθεῖτε, μὴ κτυπεῖτε·
ἄπο πρόβατ' ἐκεῖσε· ἄπο πρό μοι κοίτας·

ἐν γὰρ δὴ τούτοις τὸ 'σῖγα, σῖγα· λευκὸν' ἐφ' ἑνὸς φθόγγου μελῳδεῖται, καίτοι τῶν τριῶν λέξεων ἑκάστη βαρείας τε τάσεις ἔχει καὶ ὀξείας· καὶ τὸ 'ἀρβύλης' τῇ μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας· καὶ τοῦ 'τιθεῖτε' βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετὰ ταύτην

1 συνδιεφθαρμένον] συνυφασμένον mg D 3 ἐφ' ἑαυτοῦ om M | τὴν] τὸ D 4 χωρίου V 5 τε om D 6 τὸν ὀξύτονον DV 8 τε χρῆται] χρῆται M | οὐ] ἐν D 9 μόνον . . . 10 πέντε om D | ἀλλὰ R 12 τὴν δίεσιν DV: τὴν δέησιν M δίεσιν R 15 ἄγουσαν R 17 σῖγα· σῖγα DR ut l 20 19 ἄπο] ἀλλὰ D | προβάτ' M | ἀπόπρο μοι D 20 ἐν] καὶ M | ἐφ'] ὑφ' M 22 στάσεις R 23 ἀμηχάνου D[1] 24 λαμβάνειν R

ὀξύτονοί τε καὶ ὁμόφωνοι· τοῦ τε 'κτυπεῖτε' ὁ περισπασμὸς ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει· καὶ τὸ 'ἄπο πρόβατε' οὐ λαμβάνει τὴν τῆς μέσης συλλαβῆς προσῳδίαν ὀξεῖαν, ἀλλ' ἐπὶ τὴν τετάρτην συλλαβὴν μεταβέβηκεν ἡ τάσις ἡ τῆς τρίτης. τὸ δ' αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς· ἡ μὲν γὰρ πεζὴ λέξις οὐδενὸς οὔτε ὀνόματος οὔτε ῥήματος βιάζεται τοὺς χρόνους οὔτε μετατίθησιν, ἀλλ' οἵας παρείληφε τῇ φύσει τὰς συλλαβὰς τάς τε μακρὰς καὶ τὰς βραχείας, τοιαύτας φυλάττει· ἡ δὲ μουσική τε καὶ ῥυθμικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ παραύξουσαι,
43 ὥςτε πολλάκις εἰς τἀναντία μεταχωρεῖν· οὐ γὰρ ταῖς συλλαβαῖς ἀπευθύνουσι τοὺς χρόνους, ἀλλὰ τοῖς χρόνοις τὰς συλλαβάς. καὶ ταῦτα μὲν οὕτως· πῶς δ' ἂν γένοιτο λέξις πολιτικὴ παρ' αὐτὴν τὴν σύνθεσιν ἡδύνουσα τὴν ἀκρόασιν κατὰ τὰ ποῤῥηθέντα τέτταρα κεφάλαια, γνοίημεν ἂν οὕτως.

Οὐχ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως 12
διατιθέναι τὴν ἀκοήν, ὥςπερ οὐδὲ τὴν γευστικὴν τὰ γευστὰ οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην· ἀλλὰ καὶ γλυκαίνουσιν αὐτὴν τινὲς ἦχοι καὶ πικραί-
44 νουσι, καὶ τραχύνουσι καὶ λεαίνουσι, καὶ πολλὰ ἄλλα πάθη ποιοῦσι περὶ αὐτήν· αἰτία δὲ ἡ τῶν γραμμάτων φύσις, ἐξ ὧν ἡ φωνὴ συνέστηκε, πολλὰς καὶ διαφόρους ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντοδαπῶς σχηματιζομένη. τοιαύτην δὲ ἤδη δύναμιν ἐχόντων τῶν τῆς λέξεως μορίων, ἐπειδὴ μεταθεῖναι τὴν

1 τοῦ τ' ἐκτυπεῖτε V 4 ὀξείαν D 16 τέτταρα om R 19 τὴν γεῦσιν M | τὰ γευστικὰ D 21 τινὲς αὐτὴν D τὴν αὐτὴν τινὲς R 23 γραμμάτων] πραγμάτων M 26 ἐσχηματισμένη mg D 27 μορίων] χωρίων D

συνδιεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρύ, ἃς δὴ περι-
σπωμένας καλοῦμεν· αἳ δὲ ἐν ἑτέρᾳ καὶ ἑτέρᾳ χωρὶς
ἑκάτερον ἐφ᾽ ἑαυτοῦ τὴν οἰκείαν φυλάττον φύσιν· καὶ
ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρύ-
τητός τε καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, ἡλίκαι
ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς
ταῖς ἄλλαις βαρείαις ἔνεστιν. ἡ δὲ ὀργανική τε καὶ
ᾠδικὴ μοῦσα διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ
διὰ πέντε μόνον, ἀλλ᾽ ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη
καὶ τὸ διὰ πέντε μελῳδεῖ καὶ τὸ διὰ τεττάρων καὶ τὸ
διάτονον καὶ τὸ ἡμιτόνιον, ὡς δέ τινες οἴονται, καὶ
τὴν δίεσιν αἰσθητῶς· τάς τε λέξεις τοῖς μέλεσιν ὑπο-
τάττειν ἀξιοῖ, καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλ-
λων τε πολλῶν δῆλον καὶ μάλιστα ἐκ τῶν Εὐριπίδου
μελῶν, ἃ πεποίηκε τὴν Ἠλέκτραν λέγουσαν ἐν Ὀρέστῃ
πρὸς τὸν χορόν·

Σίγα, σίγα· λευκὸν ἴχνος ἀρβύλης 42
τιθεῖτε, μὴ κτυπεῖτε·
ἄπο πρόβατ᾽ ἐκεῖσε· ἄπο πρό μοι κοίτας·

ἐν γὰρ δὴ τούτοις τὸ 'σίγα, σίγα· λευκὸν' ἐφ᾽ ἑνὸς
φθόγγου μελῳδεῖται, καίτοι τῶν τριῶν λέξεων ἑκάστη
βαρείας τε τάσεις ἔχει καὶ ὀξείας· καὶ τὸ 'ἀρβύλης' τῇ
μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου
ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας· καὶ τοῦ 'τιθεῖτε'
βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετὰ ταύτην

1 συνδιεφθαρμένον] συνυφασμένον mg D 3 ἐφ᾽ ἑαυτοῦ om M | τὴν] τὸ D 4 χωρίου V 5 τε om D 6 τὸν ὀξύτονον DV 8 τε χρῆται] χρῆται M | οὐ] ἐν D 9 μόνον . . . 10 πέντε om D | ἀλλὰ R 12 τὴν δίεσιν DV: τὴν δέησιν M δίεσιν R 15 ἄγουσαν R 17 σῖγα· σῖγα DR ut l 20 19 ἄπο] ἀλλὰ D | προβάτ᾽ M | ἀπόπρο μοι D 20 ἐν] καὶ M | ἐφ᾽] ὑφ᾽ M 22 στάσεις R 23 ἀμηχάνον D[1] 24 λαμβάνειν R

ὀξύτονοί τε καὶ ὁμόφωνοι· τοῦ τε 'κτυπεῖτε' ὁ περι-
σπασμὸς ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγον-
ται τάσει· καὶ τὸ 'ἄπο πρόβατε' οὐ λαμβάνει τὴν τῆς
μέσης συλλαβῆς προσῳδίαν ὀξεῖαν, ἀλλ᾽ ἐπὶ τὴν τε-
τάρτην συλλαβὴν μεταβέβηκεν ἡ τάσις ἡ τῆς τρίτης.
τὸ δ᾽ αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς· ἡ μὲν γὰρ
πεζὴ λέξις οὐδενὸς οὔτε ὀνόματος οὔτε ῥήματος βιά-
ζεται τοὺς χρόνους οὔτε μετατίθησιν, ἀλλ᾽ οἵας παρεί-
ληφε τῇ φύσει τὰς συλλαβὰς τάς τε μακρὰς καὶ τὰς
βραχείας, τοιαύτας φυλάττει· ἡ δὲ μουσική τε καὶ
ῥυθμικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ παραύξου-
43 σαι, ὥστε πολλάκις εἰς τἀναντία μεταχωρεῖν· οὐ γὰρ
ταῖς συλλαβαῖς ἀπευθύνουσι τοὺς χρόνους, ἀλλὰ τοῖς
χρόνοις τὰς συλλαβάς. καὶ ταῦτα μὲν οὕτως· πῶς δ᾽
ἂν γένοιτο λέξις πολιτικὴ παρ᾽ αὐτὴν τὴν σύνθεσιν
ἡδύνουσα τὴν ἀκρόασιν κατὰ τὰ πορρηθέντα τέτταρα
κεφάλαια, γνοίημεν ἂν οὕτως.

Οὐχ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως 12
διατιθέναι τὴν ἀκοήν, ὥσπερ οὐδὲ τὴν γευστικὴν τὰ
γευστὰ οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην·
ἀλλὰ καὶ γλυκαίνουσιν αὐτὴν τινὲς ἦχοι καὶ πικραί-
44 νουσι, καὶ τραχύνουσι καὶ λεαίνουσι, καὶ πολλὰ ἄλλα
πάθη ποιοῦσι περὶ αὐτήν· αἰτία δὲ ἡ τῶν γραμμάτων
φύσις, ἐξ ὧν ἡ φωνὴ συνέστηκε, πολλὰς καὶ διαφόρους
ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντο-
δαπῶς σχηματιζομένη. τοιαύτην δὲ ἤδη δύναμιν ἐχόν-
των τῶν τῆς λέξεως μορίων, ἐπειδὴ μεταθεῖναι τὴν

1 τοῦ τ᾽ ἐκτυπεῖτε V 4 ὀξείαν D 16 τέτταρα om R 19 τὴν γεῦσιν M | τὰ γευστικὰ D 21 τινὲς αὐτὴν D τὴν αὐτὴν τινὲς R 23 γραμμάτων] πραγμάτων M 26 ἐσχηματισμένη mg D 27 μορίων] χωρίων D

ἑκάστου φύσιν οὐχ οἷόν τε, λείπεται τὸ τῇ μίξει καὶ κράσει καὶ παραθέσει συγκρύπτειν τὴν παρακολουθοῦσαν αὐτῶν τισιν ἀτοπίαν, τραχέσι λεῖα μίσγοντα καὶ σκληροῖς μαλακὰ καὶ κακοφώνοις εὔφωνα καὶ δυσεκφόροις εὐπρόφορα καὶ βραχέσι μακρὰ καὶ τἆλλα τὸν αὐτὸν τρόπον εὐκαίρως συντιθέντα, καὶ μήτ' ὀλιγοσύλλαβα πολλὰ ἑξῆς λαμβάνοντα (κόπτεται γὰρ ἡ ἀκρόασις), μήτε πολυσύλλαβα πλείω τῶν ἱκανῶν, μηδὲ ὁμοιότονα παρ' ὁμοιοτόνοις, μηδὲ ὁμοιόχρονα παρ' ὁμοιοχρόνοις. χρὴ δὲ καὶ τὰς πτώσεις τῶν ὀνοματικῶν ταχὺ μεταλαμβάνειν· καὶ τὴν ὁμοιότητα διαλύειν συνεχῶς, ὀνομάτων τε τινῶν ἑξῆς τιθεμένων πολλῶν καὶ ῥημάτων καὶ ἄλλων μερῶν τὸν κόρον φυλασσομένους· σχήμασί τε μὴ ἐπὶ τοῖς αὐτοῖς ἀεὶ μένειν, μηδὲ 45
τρόπους τοὺς αὐτοὺς ἐπιφέρειν, μηδὲ ἄρχεσθαι πολλάκις ἀπὸ τῶν αὐτῶν μηδὲ λήγειν ἐς τὰ αὐτά.

Καὶ μηδεὶς οἰηθῇ με καθάπαξ ταῦτα παραγγέλλειν, ὡς ἡδονῆς αἴτια διαπαντὸς ἐσόμενα ἢ τἀναντία ὀχλήσεως· οὐχ οὕτως ἀνόητός εἰμι. οἶδα γὰρ ἐξ ἀμφοῖν γινομένην πολλάκις ἡδονήν, τοτὲ μὲν ἐκ τῶν ὁμοιογενῶν, τοτὲ δὲ ἐκ τῶν ἀνομοιογενῶν. ἀλλ' ἐπὶ πάντων οἴομαι δεῖν τὸν καιρὸν ὁρᾶν· οὗτος γὰρ ἡδονῆς καὶ ἀηδίας κράτιστον μέτρον· ὃς οὐκ ἔστι θηρατὸς ἐπιστήμῃ, ἀλλὰ δόξῃ.

Φημὶ δὴ τὸν μέλλοντα διαθήσειν τὴν ἀκοὴν ἡδέως 46
ἢ τὰ ἐμμελῆ καὶ εὔρυθμα καὶ εὔφωνα ὀνόματα, ὑφ' ὧν γλυκαίνεται ἡ αἴσθησις, ἀλλήλοις συναρμόττειν, ἢ τὰ μὴ τοιαῦτα ἐγκαταπλέκειν αὐτοῖς· ὥσπερ καὶ στρατηγοὶ τὰ ἀσθενῆ τοῖς ἰσχυροῖς ἐπικρύπτουσι καὶ γίνεται αὐτοῖς οὐδὲν τῆς δυνάμεως ἄχρηστον. διαναπαύειν δὲ τὴν ταὐτότητα φημὶ δεῖν, μεταβολὰς εὐκαίρους εἰσφέροντα· μεταβολὴ γὰρ πάντων ἡδύ. τελευταῖον δὲ ὃ καὶ πάντων κράτιστον, οἰκείαν ἀποδιδόναι τοῖς ὑποκειμένοις καὶ πρέπουσαν ἁρμονίαν· δυσωπεῖσθαι δ' οὐδὲν οἴομαι δεῖν οὔτε ὄνομα οὔτε ῥῆμα ὅ τι καὶ τέτριπται, μὴ σὺν αἰσχύνῃ λέγεσθαι μέλλον· οὐδὲν γὰρ οὕτω ταπεινὸν ἢ ῥυπαρὸν ἢ ἄλλην τινὰ δυσχέρειαν ἔχον ἔσεσθαι φημὶ λόγου μόριον, ᾧ σημαίνεταί τι
47 σῶμα ἢ πρᾶγμα, ὃ μηδεμίαν ἕξει χώραν ἐπιτηδείαν ἐν λόγοις. παρακελεύομαι δὲ τῇ συνθέσει πιστεύοντας ἀνδρείως πάνυ καὶ τεθαρρηκότως αὐτὰ ἐκφέρειν, Ὁμήρῳ τε παραδείγματι χρωμένους, παρ' ᾧ καὶ τὰ εὐτελέστατα κεῖται τῶν ὀνομάτων, καὶ Δημοσθένει καὶ Ἡροδότῳ καὶ τοῖς ἄλλοις. καὶ περὶ μὲν ἡδείας συνθέσεως ταῦτα.

Καλὴ δ' ἐκ τίνων γίνεται εἴ τις ἔροιτο, ἐκ τῶν 13
αὐτῶν ἂν φαίην καὶ οὐχ ἑτέρων· τὰ γὰρ αὐτὰ ποιητικὰ ἀμφοῖν· μέλος εὐγενές, ῥυθμὸς ἀξιωματικός, μεταβολὴ μεγαλοπρεπής, τὸ πᾶσι τούτοις παρακολουθοῦν πρέπον· αἰτία δὲ καὶ ἐνταῦθα ἥ τε τῶν γραμμάτων φύσις καὶ ἡ τῶν συλλαβῶν δύναμις, ἐξ ὧν πλέκεται
48 τὰ ὀνόματα· ὑπὲρ ὧν καιρὸς ἂν εἴη λέγειν.

Ἀρχαὶ μὲν οὖν εἰσι τῆς ἀνθρωπίνης φωνῆς καὶ 14
ἐνάρθρου μηκέτι δεχόμεναι διαίρεσιν, ἃς καλοῦμεν
49 στοιχεῖα καὶ γράμματα· τούτων δὲ οὐ μία πάντων

1 τὸ om D 3 σμίγοντα D 4 μαλακὰς V[1] 5 εὐπρόφορα sscr σιτα (εὐπρόσιτα) D 10 ὀνομαστικῶν MV ὀνομάτων D 11 μεταβάλλειν DR 12 τε RV: om DM 16 ἀπὸ] ἐπὶ V | λέγειν R | εἰς D 25 δὴ] δὲ V 26 εὐμελῆ RV

5 πάντων] πάνυ D 10 οὕτω] τοῦτο D | ῥυπαρὸν ἢ ταπεινὸν M 12 μηδεμίαν ἔχει ἐπιτηδείαν R 14 καὶ] τε καὶ M om R 20 φαίηι V 28 δὲ οὐδεμία R | πάντων ἡ φ. V

φύσις· διαφορὰ δὲ αὐτῶν πρώτη μέν, ὡς Ἀριστόξενος
ὁ μουσικὸς ἀποφαίνεται, καθ' ἣν τὰ μὲν φωνὰς ἀπο-
τελεῖ ὡς τὰ φωνήεντα, τὰ δὲ ψόφους ὡς τὰ λοιπὰ
πάντα· δευτέρα δέ, καθ' ἣν τῶν μὴ φωνηέντων ἃ μὲν
καθ' ἑαυτὰ ψόφους ὁποίους δή τινας ἀποτελεῖν πέ-
φυκεν, ῥοῖζον ἢ σιγμὸν ἢ μυγμὸν ἢ τοιούτων τινῶν
ἄλλων ἤχων δηλωτικά· ἃ δ' ἐστὶν ἁπάσης ἄμοιρα φω-
νῆς καὶ ψόφου, καὶ οὐχ οἷά τε ἠχεῖσθαι καθ' ἑαυτά·
διὸ δὴ ταῦτα μὲν ἄφωνα τινὲς ἐκάλεσαν, θάτερα δὲ
ἡμίφωνα. οἱ δὲ τριχῇ νείμαντες τὰ πάντα, φωνήεντα
μὲν ἐκάλεσαν ὅσα καὶ καθ' ἑαυτὰ φωνεῖται καὶ μεθ'
ἑτέρων, καὶ ἔστιν αὐτοτελῆ· ἡμίφωνα δ' ὅσα μετὰ μὲν
φωνηέντων αὐτὰ ἑαυτῶν κρεῖττον ἐκφέρεται, καθ'
ἑαυτὰ δὲ χεῖρον καὶ οὐκ αὐτοτελῶς· ἄφωνα δ' ὅσα
οὔτε τὰς τελείας οὔτε τὰς ἡμιτελεῖς φωνὰς ἔχει καθ'
ἑαυτά, μεθ' ἑτέρων δὲ ἐκφωνεῖται. ἀρκτέον τοίνυν 50
ἀπὸ τῶν φωνηέντων.

Ἔστι δὴ ταῦτα τὸν ἀριθμὸν ἑπτά· δύο μὲν βραχέα
τό τε ε̄ καὶ τὸ ο̄· δύο δὲ μακρὰ τό τε η̄ καὶ τὸ ω̄·
τρία δὲ δίχρονα τό τε ᾱ καὶ τὸ ῑ καὶ τὸ ῡ· καὶ γὰρ
ἐκτείνεται ταῦτα καὶ συστέλλεται. ἐκφωνεῖται δὲ πάντα
παρὰ τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα, καὶ τοῦ στό- 51
ματος ἁπλῶς σχηματισθέντος, τῆς τε γλώττης οὐδὲν
πραγματευομένης ἀλλ' ἠρεμούσης. πλὴν καὶ τὰ μακρὰ
καὶ τῶν διχρόνων ἃ μακρῶς λέγεται, τεταμένον λαμ-

1 διαφορὰν D | πρῶτα D | ὡς] ὁ (sed del) D 4 μὴ] μὲν R 5 ποιοὺς δή τινας mg D 6 ῥοίζων ἢ σιγμῶν ἢ μυγμῶν M 7 ἄλλων om M | ἤχων] ἔχοντα D | ἃ δέ ἐστιν D 8 αὐτὰ D 12 μὲν post φων. M 14 αὐτοτελῆ V | δὲ ὅσα R 15 ἡμιτελείας M 16 ἐκφωνεῖται ex ἐκφέρεται corr R 19 τὸ ε̄ DM | τὸ η̄ DM 20 τὸ ᾱ· τὸ ῑ M 23 ἐσχηματισθέντος R . 25 καὶ ante τῶν om M

βάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος· τὰ δὲ
βραχέα ἢ βραχέως λεγόμενα ἐξ ἀποκοπῆς τε καὶ μιᾷ
πληγῇ πνεύματος καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινη-
θείσης ἐκφέρεται. τούτων δὴ κράτιστα μέν ἐστι καὶ
φωνὴν ἡδίστην ἀποτελεῖ τά τε μακρὰ καὶ τῶν διχρό-
νων ὅσα μηκύνεται, ὅτι πολὺν ἠχεῖται χρόνον καὶ τὸν
τοῦ πνεύματος οὐκ ἀποκόπτει χρόνον· χείρω δὲ τὰ
βραχέα ἢ βραχέως λεγόμενα, ὅτι μικρόφωνά τε ἐστὶ
καὶ σπανίζει τὸν ἦχον. αὐτῶν δὲ τῶν μακρῶν πάλιν
εὐφωνότατον μὲν τὸ ᾱ, ὅταν ἐκτείνηται· λέγεται γὰρ
ἀνοιγομένου τοῦ στόματος ἐπὶ πλεῖστον καὶ τοῦ πνεύ-
ματος ἀναφερομένου πρὸς τὸν οὐρανόν· δεύτερον δὲ
τὸ η̄, διότι κάτω περὶ τὴν βάσιν τῆς γλώττης ἐρείδει
52 τὸν ἦχον, ἀλλ' οὐκ ἄνω, καὶ μετρίως ἀνοιγομένου τοῦ
στόματος· τρίτον δὲ τὸ ω̄· στρογγυλίζεται γὰρ ἐν αὐτῷ
τὸ στόμα καὶ περιστέλλεται τὰ χείλη, τήν τε πληγὴν τὸ
πνεῦμα περὶ τὸ ἀκροστόμιον ποιεῖται. ἔστι δ' ἧττον τού-
του τὸ ῡ· περὶ γὰρ αὐτὰ τὰ χείλη συστολῆς γινομένης
ἀξιολόγου πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος. ἔσχατον
δὲ πάντων τὸ ῑ· περὶ τοὺς ὀδόντας γὰρ ἡ κρίσις τοῦ
πνεύματος γίνεται μικρὸν ἀνοιγομένου τοῦ στόματος
καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλέων τὸν ἦχον. τῶν
δὲ βραχέων οὐδέτερον μὲν εὔμορφον, ἧττον δὲ δυσει-
δὲς τὸ ε̄· διίστησι γὰρ τὸ στόμα κρεῖττον θατέρου,
καὶ τὴν πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν μᾶλλον.

2 ἢ βραχέα λεγ. R, item 8 5 ἀποκλεῖ V 7 οὐκ om R | χρόνον] φθόγγον mg D 8 τε om V 9 πάλιν ante τῶν μ. D¹ 10 ἐκτείνεται D¹ | γὰρ] δὲ V 11 στόματος] πνεύματος D 17 πεῦμα] στόμα M 18 γενομένης D 20 πάντων pro uoce erasa restituit mg D | κρίσις] ἔκκρισις D² 22 οὐκ ἔτι λαμπρυνόντων V | τὸν] τῶν R 25 καὶ πληγὴν sine articulo D

Φωνηέντων μὲν οὖν γραμμάτων αὕτη φύσις· ἡμιφώνων δὲ τοιάδε· ὀκτὼ γὰρ τὸν ἀριθμὸν ὄντων αὐτῶν, πέντε μὲν ἐστὶν ἁπλᾶ λ μ ν ρ σ, διπλᾶ δὲ τρία ζ ξ ψ. 53 διπλᾶ δὲ λέγονται διὰ τὸ ἕκαστον αὐτῶν ἐκ δυοῖν ἁπλῶν συνεφθαρμένων ἀλλήλοις συγκεῖσθαι καὶ ἰδίαν φωνὴν λαμβάνειν, ἢ διὰ τὸ χώραν ἐπέχειν δυεῖν γραμμάτων ἐν ταῖς συλλαβαῖς· τούτων δὴ κρείττω μέν ἐστι τὰ διπλᾶ τῶν ἁπλῶν, ἐπειδὴ μείζονά ἐστι τῶν ἑτέρων καὶ μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις· ἥττω δὲ τὰ ἁπλᾶ διὰ τὸ εἰς βραχυτέρους αὐτῶν τόνους συνάγεσθαι τὸν ἦχον. φωνεῖται δὲ αὐτῶν ἕκαστον τοιόνδέ τινα τρόπον· τὸ μὲν λ τῆς γλώττης πρὸς τὸν οὐρανὸν ἱσταμένης καὶ τῆς ἀρτηρίας συνηχούσης· τὸ δὲ μ τοῦ μὲν στόματος τοῖς χείλεσι πιεσθέντος, τοῦ δὲ πνεύματος διὰ τῶν ῥωθώνων μεριζομένου· τὸ δὲ ν τῆς γλώττης τὴν φορὰν τοῦ πνεύματος ἀποκλειούσης καὶ μεταφερούσης ἐπὶ τὸν ῥώθωνα τὸν ἦχον· τὸ δὲ ρ τῆς 54 γλώττης ἄκρας ἀπορραπιζούσης τὸ πνεῦμα καὶ πρὸς τὸν οὐρανὸν ἐγγὺς τῶν ὀδόντων ἀνισταμένης· τὸ δὲ σ τῆς μὲν γλώττης προαγομένης ἄνω πρὸς τὸν οὐρανὸν ὅλης, τοῦ δὲ πνεύματος διὰ μέσου αὐτοῦ φερομένου καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ στενὸν ἐξωθοῦντος τὸ σύριγμα. τρία δὲ τὰ λοιπὰ ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον, ἐξ ἑνὸς μὲν τῶν ἡμιφώνων τοῦ σ, τριῶν δὲ ἀφώνων τοῦ τε δ καὶ τοῦ κ καὶ τοῦ π.

Δύναται δ' οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα·

1 ἡμίφωνα D 2 γὰρ ὄντων τῶν ἀριθμῶν αὐτῶν D 3 πέντε ... 4 αὐτῶν om M 3 μὲν om D | εἰσιν V 4 λέγονται DV: λέγεται R | δυεῖν M 6 δυοῖν DR 10 αὐτὸν D 11 δὲ V δι' D: δ' MR 12 τὸν om D 13 συνεχούσης M 18 πρὸς iterat V 22 ἐξωθοῦν M 24 τὸ σ R 26 δ' om R

ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ, καὶ ἔστι τῶν ἡμιφώνων γλυκύτατον· τραχύνει δὲ τὸ ρ, καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον· μέσως δέ πως διατίθησι τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα, τό τε μ καὶ τὸ ν, κερατοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους· ἄχαρι δὲ καὶ ἀηδὲς τὸ σ, καὶ πλεονάσαν σφόδρα λυπεῖ· θηριώδους γὰρ καὶ ἀλάλου μᾶλλον ἢ λογικῆς ἐφάπτεσθαι δοκεῖ φωνῆς ὁ συριγμός· τῶν γοῦν παλαιῶν τινὲς σπανίως ἐχρῶντο 55 αὐτῷ καὶ πεφυλαγμένως· εἰσὶ δ' οἳ καὶ ἀσίγμους ὅλας ᾠδὰς ἐποίουν· δηλοῖ δὲ τοῦτο καὶ Πίνδαρος ἐν οἷς φησι· 'πρὶν μὲν ἤριπε σχοινοτενῆ φωνήεντα διθυράμβων· καὶ τὸ σᾶν κίβδηλον ἀνθρώποις'. τῶν δὲ διπλῶν μᾶλλον ἡδύνει τὴν ἀκοὴν τὸ ζ ἡσυχῇ τῷ πνεύματι δασυνόμενον· τὸ γάρ τοι ξ διὰ τοῦ κ καὶ τὸ ψ διὰ τοῦ π, ψιλῶν ὄντων ἀμφοτέρων, συριγμὸν ἀποδίδωσι.

Τῶν δὲ ἀφώνων ἐννέα ὄντων τρία μέν ἐστι ψιλά κ π τ, τρία δὲ δασέα θ φ χ, τρία δὲ μεταξὺ τούτων 56 καὶ κοινὰ ἀμφοῖν β γ δ· φωνεῖται δὲ αὐτῶν τρία μὲν ἀπὸ τῶν χειλέων ἄκρων, τὸ π καὶ τὸ φ καὶ τὸ β, ὅταν τοῦ στόματος πιεσθέντος τὸ προβαλλόμενον ἐκ τῆς ἀρτηρίας πνεῦμα λύσῃ τὸν δεσμὸν αὐτοῦ· ὁμοίῳ δὲ σχήματι ταῦτα λεγόμενα ψιλότητι καὶ δασύτητι διαφέρουσιν, ὥςπερ καὶ τὰ ῥηθησόμενα. τρία δὲ λέγεται ἄλλα τῆς γλώττης ἄκρῳ τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεώρους ὀδόντας, ἔπειθ' ὑπὸ τοῦ πνεύματος ἀπορραπιζομένης καὶ τὴν διέξοδον αὐτῶν κάτω

3 διὰ τῶν] διὰ M 5 ἀειδὲς V 6 θηριάδους et ἐλάλου D 8 τινὲς] τινῶν τινὲς R 12 σᾶν D σαν R | κίβδον R 13 ἡσυχεῖ V 14 γάρ τοι] γὰρ R 15 ψιλῶν] ψιλῶν δὲ V 19 ἀπὸ] ἐπὶ D | π] τ D 21 ἀρτηρίας] εὐετηρίας R | ὁμοίως M 24 τῆς γλώττης om D | ἄκρας M

περὶ τοὺς ὀδόντας ἀποδιδούσης, τὸ τ̅ καὶ τὸ ϑ̅ καὶ τὸ δ̅. τρία δὲ τὰ λοιπὰ λέγεται μὲν τῆς γλώττης ἀνισταμένης πρὸς τὸν οὐρανὸν ἐγγὺς τοῦ φάρυγγος, τῆς δὲ ἀρτηρίας ὑπηχούσης τῷ πνεύματι, τὸ κ̅ καὶ τὸ 57 χ̅ καὶ τὸ γ̅. τούτων κράτιστα μέν ἐστιν, ὅσα τῷ πνεύματι πολλῷ λέγεται· δεύτερα δὲ ὅσα μέσῳ· κάκιστα δὲ ὅσα ψιλῷ· ταῦτα μὲν γὰρ τὴν ἑαυτῶν δύναμιν ἔχει μόνην, τὰ δὲ δασέα καὶ τὴν τοῦ πνεύματος προσθήκην, ὡς ἐγγὺς τοῦ τελειότερα εἶναι.

15 Ἐκ δὴ τῶν γραμμάτων τούτων αἱ καλούμεναι γίνονται συλλαβαί. τούτων δὲ εἰσὶ μακραὶ μὲν ὅσαι συνεστήκασιν ἐκ φωνηέντων μακρῶν ἢ διχρόνων μακρῶς ἐκφερομένων, καὶ ὅσαι λήγουσιν εἰς μακρὸν ἢ μακρῶς λεγόμενον γράμμα ἤ τι τῶν ἡμιφώνων τε καὶ ἀφώνων· βραχεῖαι δὲ αἱ ἐκ βραχέος φωνήεντος ἢ βραχέως λαμβανομένου. μήκους δὲ καὶ βραχύτητος συλλαβῶν οὐ μία φύσις, ἀλλὰ καὶ μακρότεραί τινές εἰσι τῶν μακρῶν καὶ βραχύτεραι τῶν βραχειῶν. ἔσται δὲ τοῦτο φανερὸν ἐπὶ τῶν παραδειγμάτων.

Ὁμολογεῖται δὴ βραχεῖα εἶναι συλλαβή, ἣν ποιεῖ 58 φωνῆεν γράμμα βραχὺ τὸ ο̅, ὡς λέγεται Ὁδός. ταύτῃ προστεθήτω γράμμα ἓν τῶν ἡμιφώνων τὸ ρ̅, καὶ γενέσθω Ῥόδος· μένει μὲν ἔτι βραχεῖα ἡ συλλαβή, πλὴν οὐχ ὁμοίως, ἀλλ' ἕξει τινὰ παραλλαγὴν παρὰ τὴν προτέραν· ἔτι προστεθήτω ταύτῃ τῶν ἀφώνων γραμμάτων ἓν τὸ τ̅, καὶ γενέσθω Τρόπος· μείζων αὕτη τῶν προτέρων ἔσται συλλαβῶν, καὶ ἔτι βραχεῖα μένει· τρίτον

1 και ϑ̅ R 5 χ̅] λ̅ R | τούτων ... 6 λέγεται om M | τῷ om D 7 ἔχει δύναμιν M¹ 10 δὴ] δὲ D 18 βραχέων R 20 ἣν ποιῇ V 21 βραχὺ om D 22 προστεθείτω V 23 μὲν] γὰρ V 25 προστέθειται V 26 ἓν ante γραμμάτων traiecit V 27 ἔσται om D

ἔτι γράμμα τῇ αὐτῇ συλλαβῇ προστεθήτω τὸ σ̅, καὶ γενέσθω Στρόφος· τρισὶν αὕτη προσθήκαις ἀκουσταῖς μακροτέρα γενήσεται τῆς βραχυτάτης μένουσα ἔτι βραχεῖα. οὐκοῦν τέσσαρες αὗται βραχείας συλλαβῆς διαφοραὶ τὴν ἄλογον αἴσθησιν ἔχουσαι τῆς παραλλαγῆς μέτρον. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς μακρᾶς· ἡ γὰρ ἐκ τοῦ η̅ γινομένη συλλαβὴ μακρὰ τὴν φύσιν οὖσα, τεττάρων γραμμάτων προσθήκαις παραυξηθεῖσα, τριῶν μὲν προταττομένων, ἑνὸς δὲ ὑποταττομένου, καθ' ἣν λέγεται Σπλήν, μείζων ἂν δήπου λέγοιτο εἶναι τῆς προτέρας ἐκείνης τῆς μονογραμμάτου· μειουμένη τε αὖ
59 πάλιν καθ' ἕκαστον τῶν προστεθέντων γραμμάτων τὰς ἐπὶ τοὔλαττον παραλλαγὰς αἰσθητὰς ἂν ἔχοι.

Πρῶτον μὲν δὴ θεώρημα τοῦτο τῶν ἐν ταῖς συλλαβαῖς παθῶν· ἕτερον δὲ τοιόνδε. τῶν γραμμάτων πολλὰς ἐχόντων διαφορὰς οὐ μόνον περὶ τὰ μήκη καὶ τὰς βραχύτητας, ἀλλὰ καὶ περὶ τοὺς ἤχους, ὑπὲρ ὧν ὀλίγῳ πρότερον εἴρηκα, ἀνάγκη καὶ τὰς ἐκ τούτων συνισταμένας συλλαβὰς ἅμα τήν τε ἰδίαν ἑκάστου σώζειν δύναμιν καὶ τὴν κοινὴν ἁπάντων, ἣ γίνεται διὰ
60 τῆς κράσεώς τε καὶ παραθέσεως αὐτῶν· ἐξ ὧν μαλακαί τε φωναὶ καὶ σκληραί, καὶ λεῖαι καὶ τραχεῖαι, γλυκαίνουσαί τε τὴν ἀκοὴν καὶ πικραίνουσαι, καὶ στύφουσαι καὶ διαχέουσαι, καὶ πᾶσαν ἄλλην κατασκευάζουσαι διάθεσιν φυσικήν· αὗται δέ εἰσι μυρίαι τὸ πλῆθος.

Ταῦτα ἤδη καταμαθόντες οἱ χαριέστατοι ποιητῶν

1 προστεθείσθω V 6 λόγος om D 7 συλλαβῆ γενομένη D 10 πλὴν D | μεῖζον δ' ἂν R ἂν μεῖζον ἂν D 12 προτεθέντων R 13 τὰς ἐπὶ ... 15 γραμμάτων om D 14 δὴ RV: δὴ τὸ M 15 ἕτερον] δεύτερον M 19 ἅμα om D | σώζει R 21 αὐτῶν om M 27 ἤδη] δὲ ἤδη R om D

τε καὶ συγγραφέων τὰ μὲν αὐτοὶ κατασκευάζουσιν ὀνόματα, συμπλέκοντες ἐπιτηδείως ἀλλήλοις τὰ γράμματα, καὶ τὰς συλλαβὰς δὲ οἰκείας οἷς ἂν βούλωνται παραστῆσαι πάθεσι ποικίλως φιλοτεχνοῦσιν· ὡς Ὅμηρος ποιεῖ, ἐπὶ μὲν τῶν προσηνέμων αἰγιαλῶν τῇ παρεκτάσει τῶν συλλαβῶν τὸν ἄπαυστον ἐκφαίνειν βουλόμενος ἦχον·

Ἠιόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω·

ἐπὶ δὲ τοῦ τετυφλωμένου Κύκλωπος τό τε τῆς ἀλγηδόνος μέγεθος καὶ τὴν διὰ τῶν χειρῶν βραδεῖαν ἔρευναν τῆς τοῦ σπηλαίου θύρας·

Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσι
χερσὶ ψηλαφόων·

καὶ ἄλλοθί που δέησιν ἐνδείξασθαι βουλόμενος πολ- 61
λὴν καὶ κατεσπουδασμένην·

Οὐδ' εἴ κεν μάλα πολλὰ πάθῃ ἑκάεργος Ἀπόλλων,
προπροκυλινδόμενος πατρὸς Διός·

καὶ μυρία τοιαῦτα.

16 Πολλὰ δὲ καὶ παρὰ τῶν ἔμπροσθεν λαμβάνουσιν 62
ὡς ἐκεῖνοι κατεσκεύασαν, ὅσα μιμητικὰ τῶν πραγμάτων ἐστίν, ὡς ἔχει ταυτί·

Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
Αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
Αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
Σκέπτετ' ὀιστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.

2 ἀλλήλοις om D 3 οἰκείως M | βούλονται R 6 βουλόμενος ἐκφαίνειν D ἐκφαίνει β. R 8 ἐτρευγομένης R 12 ὠδύνων D | ὀδίνησε V 13 χερσὶ δὲ ψ. R | ψηλαφάων M 14 δέησιν om D | δείξασθαι D 15 καὶ DV: om MR 17 προκυλινδόμενος R προκυλινδούμενος V 19 δὲ om D 20 ὡς ἐκ. . . . 21 ἐστίν om D 22 ποτὲ D 23 πνοιῇ DR 24 μέγα V | τε om R

μεγάλη δὲ τούτων ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις, ἡ ποιοῦσα μιμητικοὺς καὶ θετικοὺς ἡμᾶς τῶν ὀνομάτων, οἷς δηλοῦται τὰ πράγματα κατά τινας εὐλόγους καὶ κινητικὰς τῆς διανοίας ὁμοιότητας· ὑφ' ὧν ἐδιδάχθημεν ταύρων τε μυκήματα λέγειν καὶ χρεμετισμοὺς ἵππων καὶ φριμαγμοὺς τράγων, πυρός τε βρόμον καὶ πάταγον ἀνέμων καὶ συριγμὸν κάλων καὶ ἄλλα τούτοις ὅμοια, τὰ μὲν φωνῆς μιμήματα, τὰ δὲ μορφῆς, τὰ δὲ ἔργων, τὰ δὲ πάθους, τὰ δὲ κινήσεως, τὰ δ' ἠρεμίας, τὰ δ' ἄλλου τινός.

63 Τί δὴ τὸ κεφάλαιον τοῦ λόγου; ὅτι παρὰ μὲν τὰς τῶν γραμμάτων συμπλοκὰς ἡ τῶν συλλαβῶν γίνεται σύνθεσις ποικίλη, παρὰ δὲ τὴν τῶν συλλαβῶν σύνθεσιν ἡ τῶν ὀνομάτων φύσις παντοδαπή, παρὰ δὲ τὰς τῶν ὀνομάτων ἁρμονίας πολύμορφος ὁ λόγος· ὥστε πολλὴ ἀνάγκη καλὴν μὲν εἶναι λέξιν ἐν ᾗ καλά ἐστιν ὀνόματα· κάλλους δὲ ὀνομάτων συλλαβάς τε καὶ γράμματα καλὰ αἴτιον εἶναι· ὁμοίως δὲ καὶ ἡδεῖαν διά-
64 λεκτον ἐκ τούτων ἡδυνόντων γίνεσθαι. Ὅμηρος γοῦν ὅταν μὲν ὥραν ὄψεως εὐμόρφου ἐπιδείξασθαι βούληται, τῶν τε φωνηέντων τοῖς κρατίστοις χρήσεται καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις· καὶ οὐ καταπυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβὰς οὐδὲ συγκόψει τοὺς ἤχους παρατιθεὶς ἀλλήλοις τὰ δυσέκφορα· πραεῖαν δέ τινα

2 π. μιμητικὰς θέσεις ἡμᾶς D 3 εὐλόγους] λόγους D 4 τῆς διαθέσεως V 5 μηκύματα V 6 in mg φριαγμὸς τράγων D 7 συριγμῶν D συρμὸν M 9 ἐρημίας τὰ δ' ἄλλα τινὸς D 11 δὴ] δὲ D | τὰς post γραμμάτων dant DR cf 14 12 τῶν πραγμάτων M 13 σύνθεσις] θέσις V 14 φύσις] σύνθεσις D | τὰς] τῆς R post ὀνομάτων traicit D 15 ὥστε . . . 16 λέξιν] καλὴν δὲ λέξιν D 17 ὀνόματα om D 18 ἡδεῖαν ex ἰδίαν corr V[1] 20 μὲν om M | εὐμόρφην R | βούλεται fort D[1] 22 μαλακωτέροις D

ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων καὶ ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς, ὡς ἔχει· ταυτί·

Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ.

Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ
φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

Καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς
γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα.

ὅταν δ' οἰκτρὰν ἢ φοβερὰν ἢ ἀγέρωχον ὄψιν εἰσάγῃ,
τῶν φωνηέντων οὐ τὰ κράτιστα θήσει, ἀλλὰ τῶν ψο-
φοειδῶν ἢ ἀφώνων τὰ δυσεκφορώτατα· καὶ κατα- 65
πυκνώσει τούτοις τὰς συλλαβάς·

Σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ.

Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο
δεινὸν δερκομένη· περὶ δὲ Δεῖμός τε Φόβος τε.

ποταμῶν δέ γε σύρρυσιν εἰς χωρίον ἓν καὶ πάταγον ὑδάτων ἀναμισγομένων ἐκμιμήσασθαι τῇ λέξει βουλόμενος οὐκέτι λείας συλλαβάς, ἀλλ' ἰσχυρὰς καὶ ἀντιτύπους θήσει·

Ὡς δ' ὅτε χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ·

καὶ μυρία τοιαῦτα. εἰ μὲν οὖν ἐγχωροίη πάντ' εἶναι 66
τὰ μόρια τῆς λέξεως, ὑφ' ὧν μέλλει δηλοῦσθαι τὸ
πρᾶγμα, εὔφωνά τε καὶ καλλιρρήμονα, μανίας ἔργον 67
ζητεῖν τὰ χείρω· εἰ δὲ ἀδύνατον εἴη τοῦτο, ὥςπερ ἐπὶ πολλῶν ἔχει, τῇ πλοκῇ καὶ μίξει καὶ παραθέσει πειρα-

4 ἢ δι' ἀφροδίτη D 5 τοῖο R 6 ἔρνος νέον V[1] 7 ἴδον M 9 ἀγέτρωχον R 11 ἢ τῶν ἀσήμων τὰ δυσφορώτατα D 13 αὐτοῖσι DV 14 βλοσυνῶπει D 15 δεῖμος sine τε DV 16 δέ γε] δὲ RV | σύρρευσιν DM σύρροιαν R 18 λείας] τελείας R 21 μισγάγγειαν M | συμβάλλεται D[1] 22 οὖν om R | πάντη καὶ τὰ μόρια V 23 τὰ πράγματα D

τέον ἀφανίζειν τὴν τῶν χειρόνων φύσιν· καὶ γὰρ καὶ τὰ ἐν τῇ Βοιωτίᾳ ὀνόματα Ὑρία καὶ Μυκαλησσὸς καὶ Γραία καὶ Ἐτεωνὸς καὶ τὰ τοιαῦτα οὐδεμίαν ἔχει καλλιλογίαν· ἀλλ' οὕτως αὐτὰ καλῶς Ὅμηρος συνύφαγκε καὶ παραπληρώμασιν εὐφώνοις διείληφεν, ὥςτε μεγαλοπρεπέστερα φαίνεσθαι πάντων ὀνομάτων.

68 *Ἵνα δὲ μηδεὶς εἰκῇ με δόξῃ λέγειν ῥυθμοὺς καὶ* 17
μέτρα μουσικῆς οἰκεῖα θεωρίας εἰς οὐ ῥυθμικὴν οὐδ' ἔμμετρον εἰσάγοντα διάλεκτον (ἔφην γὰρ τοὺς ῥυθμοὺς οὐ μικρὰν μοῖραν ἔχειν τῆς ἀξιωματικῆς θέσεως), ἀποδώσω καὶ τὸν ὑπὲρ τούτων λόγον. ἔχει δ' οὕτως. πᾶν μέρος λόγου, ὃ μὴ μονοσύλλαβόν ἐστιν, ἐν ῥυθμῷ τινι λέγεται· τὸ δ' αὐτὸ καλῶ πόδα καὶ ῥυθμόν. Δισυλλάβου μὲν οὖν λέξεως διαφοραὶ τέσσαρες, σπον-
69 *δεῖος, πυρρίχιος, ἴαμβος, τροχαῖος. ὁ μὲν οὖν πυρρίχιος οὔτε μεγαλοπρεπής ἐστιν οὔτε σεμνός· σχῆμα δὲ αὐτοῦ τοιόνδε*

Λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

ὁ δὲ σπονδεῖος ἀξίωμα ἔχει καὶ σεμνότητα πολλήν· παράδειγμα δὲ αὐτοῦ τόδε

Ποίαν δῆθ' ὁρμάσω· ταύταν, ἢ κείναν· ἢ ταύταν;

ὁ δ' ἴαμβος οὐκ ἀγεννής, οἷον

Ἐπεὶ σχολὴ πάρεστι, παῖ Μενοιτίου.

ὁ δὲ τροχαῖος μαλακώτερος τούτου καὶ ἀγεννέστερος, οἷον

Θυμὲ θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε.

Δισυλλάβων μὲν δὴ ῥυθμοὶ καὶ σχήματα τοσαῦτα.

3 γραῖα D 4 αὐτὰ ὅμηρος καλῶς D | συνύφανε V 5 παρείληφεν ὡς μεγ. D 6 φαίνεσθαι om D | πάντων τῶν ὀν. D 9 εἰσαγόντα M | τοὺς om D 11 τούτου D 14 οὖν om R 15 ἴαμβος τροχαῖος om D 22 ἀγενὴς R ut 24 ἀγενέστερος et p 172, 2 ἀγενὴς RV 25 ἀμηχάνοισιν D | κήδεσι MR | κυκώμεναι V 26 δὴ σχήματα καὶ ῥυθμοὶ D

τρισυλλάβων δὲ σχήματα ὀκτώ· ὁ μὲν γὰρ ἐξ ἁπασῶν 70
βραχειῶν χορεῖος ταπεινός τε καὶ ἄσεμνος καὶ ἀγεν-
νής, οἷον

Βρόμιε δορατοφόρ' ἐνυάλιε πολέμοιο κέλαδε·

ὁ δ' ἐξ ἁπασῶν μακρῶν μολοττὸς ὑψηλὸς καὶ ἀξιωμα-
τικός, οἷον

Ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες.

ὁ δὲ ἀμφίμακρος καὶ οὗτος τῶν εὖ ἐχόντων, οἷον

Οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις.

ὁ δὲ ἀμφίβραχυς οὐ σφόδρα τῶν εὐσχήμων ἐστίν, ἀλλὰ 72
κέκλασται πρὸς τὸ θῆλυ, οἷον

Ἴακχε διθύραμβε· σὺ τῶνδε χοραγέ.

ὁ δὲ ἀνάπαιστος σεμνότητα ἔχει πολλήν, ἐπιτήδειος 70
μεγέθει ἢ πάθει, οἷον 71

Βαρύ μοι κεφαλᾶς ἐπίκρανον ἔχει·

ὁ δὲ δάκτυλος πάνυ σεμνὸς καὶ εἰς τὸ κάλλος τῆς
ἑρμηνείας ἀξιολογώτατος· καὶ τό γε ἡρωϊκὸν μέτρον
τούτῳ κοσμεῖται, οἷον

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν.

ὁ δὲ βακχεῖος ἀνδρώδης πάνυ καὶ εἰς σεμνολογίαν 72
ἐπιτήδειος, οἷον

Σοὶ Φοῖβε Μοῦσαί τε σύμβωμοι.

ὁ δὲ παλιμβάκχειος καὶ οὗτος ὅμοιος τῷ βακχείῳ, οἷον

Τίν' ἀκτάν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

οὗτοι δώδεκα ῥυθμοί τε καὶ πόδες εἰσὶν οἱ πρῶτοι 73
καταμετροῦντες ἅπασαν ἔμμετρόν τε καὶ ἄμετρον λέξιν·
ἐξ ὧν γίνονται στίχοι τε καὶ κῶλα. οἱ γὰρ ἄλλοι

5 μακρὸς μολωττὸς D | καὶ] τε καὶ R 8 δ' R 9 χαλ-
κεμφρόλοις R 10 εὐσχημόνων M 11 κέκασται D 14 ἢ
πάθει om M 16 τῆς] (πάνυ σεμνὸς) τῆς sic D 19 κόνεσσι
V 25 ῥυθμοὶ καὶ R | εἰσὶ πρῶτοι καταμεροῦντες ἔμμετρον
ἅπασαν καὶ D 27 στίχοι καὶ V

πόδες καὶ ῥυθμοὶ πάντες ἐκ τούτων εἰσὶ σύνθετοι.
ἁπλοῦς δὲ ῥυθμὸς ἢ ποὺς οὔτ' ἐλάττων ἔσται δύο
74 συλλαβῶν οὔτε μείζων τριῶν. ἔνθέν τοι καὶ Θουκυ- 18
δίδης ἀξιωματικῶς συγκεῖσθαι τὴν ἐν τῷ ἐπιταφίῳ
λέξιν βουλόμενος οὕτω φησίν· 'Οἱ μὲν πολλοὶ τῶν
ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ
νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πο-
λέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν'· διόλου γὰρ
ταυτὶ τὰ κῶλα ἐκ σπονδείων καὶ ἀναπαίστων καὶ κρη-
75 τικῶν εἴτ' οὖν ἀμφιμάκρων καὶ δακτύλων καὶ τῶν
77 τοιούτων ἃ τὴν σεμνότητα ποιεῖ σύγκειται. καὶ μυρία
τοιαῦτα καὶ παρὰ Πλάτωνι ἔστιν εὑρεῖν. ὁ γὰρ ἀνὴρ
ἐμμέλειάν τε καὶ εὐρυθμίαν συνιδεῖν δαιμονιώτατος·
καὶ εἴ γε δεινὸς ἦν οὕτως ἐκλέξαι τὰ ὀνόματα, ὡς
συνθεῖναι περιττός, καὶ νύ κεν ἢ παρήλασεν ἂν τὸν
Δημοσθένην κάλλος ἑρμηνείας ἢ ἀμφήριστον ἔθηκε.
νῦν δὲ περὶ μὲν τὴν ἐκλογὴν ἔστιν ὅτε διαμαρτάνει,
καὶ μάλιστα ἐν οἷς ἂν τὴν ὑψηλὴν καὶ περιττὴν καὶ
ἐγκατάσκευον διώκῃ φράσιν· συντίθησι δὲ τὰ ὀνόματα
καὶ ἡδέως καὶ καλῶς νὴ Δία, καὶ οὐκ ἄν τις αὐτὸν
ἔχοι κατὰ τοῦτο μέμψασθαι τὸ μέρος. ὁ δὲ Δημοσθέ-
νης ὅρος τίς ἐστιν ἐκλογῆς τε ὀνομάτων καὶ κάλλους
συνθέσεως.

84 Εἰρηκὼς δὴ καὶ περὶ τῶν ῥυθμῶν, ἐπὶ τὸ τρίτον 19
θεώρημα τὴν μεταβολὴν μεταβήσομαι. Λέγω δ' οὐ
τὴν ἐκ τῶν κρειττόνων ἐπὶ τὰ χείρω, ἀλλὰ τὴν ἐν τοῖς
ὁμοειδέσι ποικιλίαν. κόρον γὰρ ἔχει καὶ τὰ καλὰ πάντα

2 ἐλάττων ἔσται] ἐλάττονές τε V tribus punctis supra po-
sitis 4 ἀξιωματικὸς D | ἐν] ἐπὶ R 7 τοιόνδε D 9 σπο-
δείων R 10 ἤτουν R¹ 15 περιττ[ὸ]ς c lit V | ἂν om MR
sed παρήλασεν seruat R 16 κάλλει DR | ἀμφίρηστον R
19 διώκει R 21 ἔχει D 22 κάλλος V 25 μεταβήσομε V

ὥςπερ καὶ τὰ ἡδέα ὄντα ἐν τῇ ταὐτότητι, ποικιλλόμενα δὲ ταῖς μεταβολαῖς ἀεὶ καινὰ μένει. τοῖς μὲν οὖν τὰ μέτρα καὶ τὰ μέλη γράφουσιν οὐχ ἅπαντα ἔξεστι μεταβάλλειν οὐδ᾽ ἐφ᾽ ὅσον βούλονται. αὐτίκα τοῖς μὲν ἐποποιοῖς μέτρον οὐκ ἔξεστι μεταβάλλειν, ἀλλ᾽ ἀνάγκη πάντας εἶναι τοὺς στίχους ἑξαμέτρους· οὐδέ γε ῥυθμόν, ἀλλὰ τοῖς ἀπὸ μακρᾶς ἀρχομένοις συλλαβῆς χρήσονται. τοῖς δὲ τὰ μέλη γράφουσι τὸ μὲν τῶν στροφῶν τε καὶ ἀντιστρόφων οὐχ οἷόν τε ἀλλάξαι μέλος· ἀλλ᾽ ἐάν τ᾽ ἐναρμονίους ἐάν τε χρωματικὰς ἐάν τε 85 διατόνους ὑποθῶνται μελῳδίας, ἐν πάσαις δεῖ ταῖς στροφαῖς καὶ ἀντιστρόφοις τὰς αὐτὰς ἀγωγὰς φυλάττειν· περὶ δὲ τὰς καλουμένας ἐπῳδοὺς ἀμφότερα κινεῖν ταῦτα ἔξεστι, τό τε μέλος καὶ τὸν ῥυθμὸν τά τε κῶλα ἐξ ὧν συνέστηκε περίοδος ἑκάστη, ἄλλοτε ἄλλα μεγέθη καὶ σχήματα αὐτοῖς περιτιθέντας.

Οἱ μὲν οὖν ἀρχαῖοι μελοποιοί, λέγω Ἀλκαῖόν τε καὶ Σαπφώ, μικρὰς ἐποιοῦντο στροφάς, ὥςτ᾽ ἐν ὀλίγοις τοῖς κώλοις οὐ πολλὰς εἰσῆγον μεταβολάς· οἱ δὲ περὶ Στησίχορόν τε καὶ Πίνδαρον μείζους ἐργασάμενοι τὰς περιόδους εἰς πολλὰ μέτρα καὶ κῶλα διένειμαν αὐτὰς μεταβολῆς ἔρωτι. οἱ δέ γε διθυραμβοποιοὶ καὶ τοὺς τρόπους μετέβαλλον, Δωρίους τε καὶ Φρυγίους 86 καὶ Λυδίους ἐν τῷ αὐτῷ ᾄσματι ποιοῦντες· καὶ τὰς

1 ἐν τῇ] ἐν M 2 κοινὰ V 4 οὐδ᾽ ἐφ᾽ . . . 5 μεταβάλλειν om DM 7 ἀλλὰ] ἀλλ᾽ ἐν D | ἀρχομένης D 10 χρωματικοὺς DV 11 πω θῶνται V: ποιῶνται MR ποιοῦνται D 13 δὲ post καλουμένας traicit D 14 ταῦτ᾽ V 15 μεγέθη τε καὶ D 16 περιθέντας R 17 μελωποιοὶ V | ἀναγκαῖον sed mg ἀλκαῖον D | τε om R 18 ὀλίγοις] λόγοις R 20 μείζους ante τὰς posuit D 21 εἰς om D | κῶλα καὶ μέτρα R 22 αὐταῖς ex αὐτὰς corr D 23 μετέβαλον DMR, non V | Δωρίους] δολίους D[1] 24 καὶ τὰς . . . 175, 1 ποιοῦντες om D

μελῳδίας ἐξήλλαττον, τοτὲ μὲν ἐναρμονίους ποιοῦντες, τοτὲ δὲ χρωματικάς, τοτὲ δὲ διατόνους. ἡ δὲ πεζὴ λέξις ἅπασαν ἐλευθερίαν ἔχει ποικίλλειν ταῖς μεταβολαῖς τὴν σύνθεσιν ὅπως βούλεται.

Καὶ ἔστι λέξις κρατίστη πασῶν, ἥ τις ἂν ἔχοι πλείστας ἀναπαύλας τε καὶ μεταβολὰς ἐναρμονίους, ὅταν τουτὶ μὲν ἐν περιόδῳ λέγηται, τουτὶ δ᾽ ἔξω περιόδου, καὶ ἥδε μὲν ἡ περίοδος ἐκ πλειόνων πλέκηται κώλων, ἥδε δ᾽ ἐξ ἐλαττόνων, αὐτῶν δὲ τῶν κώλων τὸ μὲν βραχύτερον ᾖ, τὸ δὲ μακρότερον, καὶ τὸ μὲν γοργότερον, τὸ δὲ βραδύτερον, ῥυθμοί τε ἄλλοτε ἄλλοι, καὶ σχήματα παντοῖα, καὶ τάσεις φωνῆς αἱ καλούμεναι προσῳδίαι διάφοροι, κλέπτουσαι τῇ ποικιλίᾳ τὸν κόρον. ἔχει δὲ χάριν τὸ οὕτω συγκείμενον, ὥςτε μὴ συγκεῖ- 87 σθαι δοκεῖν. παράδειγμα δὲ τῆς τοιαύτης μεταβολῆς ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους· ἀδύνατον γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι καὶ ποικιλίαις εὐκαιροτέροις καὶ σχήμασι πολυειδεστέροις χρησαμένους· λέγω δὲ τὸν μὲν ὡς ἐν ἱστορίας σχήματι, τὸν δ᾽ ὡς ἐν διαλόγων χάριτι, τὸν δ᾽ ὡς ἐν λόγων ἐναγωνίων χρείᾳ. ἀλλ᾽ οὐχ ἡ Ἰσοκράτους καὶ τῶν ἐκείνου γνωρίμων αἵρεσις ὁμοία ταύταις ἦν· ἀλλὰ καίπερ ἡδέως καὶ μεγαλοπρεπῶς πολλὰ συνθέντες οἱ ἄνδρες οὗτοι περὶ τὰς μεταβολὰς καὶ τὴν ποικιλίαν οὐ πάνυ εὐτυχοῦσιν· ἀλλ᾽ ἔστι παρ᾽ αὐτοῖς κύκλος τις, ὁμοειδὴς σχημάτων τάξις, φυλακὴ συμπλοκῆς φωνηέν-

2 δὲ ante διατ. om D 8 πλέκεται M 9 κώλων om D | δὲ ἐξ DR 11 βραδύτερον DM: βραχύτερον RV 13 κλέπτουσι R 14 τὸ συγκ. οὕτω D 16 μὲν om R 19 εὐκαιροτέραις V 20 σχήμασι R 21 χάριτι . . . λόγων om D 23 ἐκείνου] αὐτοῦ R 24 συντιθέντες M 27 συμπλοκῆς V: συμπλοκὴ DMR

των ἡ αὐτή, ἄλλα πολλὰ τοιαῦτα κόπτοντα τὴν ἀκρόασιν. καὶ αὐτῷ μὲν ἴσως τῷ Ἰσοκράτει πολλαὶ χάριτες ἐπήνθουν ἄλλαι ταύτην ἐπικρύπτουσαι τὴν ἀμορφίαν, παρὰ δὲ τοῖς μετ' ἐκεῖνον ἀπ' ἐλαττόνων τῶν ἄλλων κατορθωμάτων περιφανέστερον γίνεται τοῦτο τὸ ἁμάρτημα.

20 Ἔτι καταλείπεται ἡμῖν ὁ περὶ τοῦ πρέποντος λόγος. 88 πρέπον δέ ἐστι τὸ τοῖς ὑποκειμένοις ἁρμόττον προσώποις καὶ πράγμασιν. ὥςπερ γὰρ ἔστι τις ἐκλογὴ νοημάτων ἣ μὲν πρέπουσα τοῖς ὑποκειμένοις, ἣ δὲ ἀπρεπής, οὕτω δή που καὶ σύνθεσις· οὐ γὰρ ὁμοίᾳ συνθέσει χρώμεθα ὀργιζόμενοι καὶ χαίροντες, οὐδὲ ὀλοφυρόμενοι καὶ φοβούμενοι, οὐδ' ἐν ἄλλῳ τινὶ πάθει ὄντες· καὶ μὴν καὶ οἱ αὐτοὶ ἄνθρωποι ἐν τῇ αὐτῇ καταστάσει 89 τῆς ψυχῆς ὄντες, ὅταν ἀπαγγέλλωσι πράγματα οἷς ἂν παραγενόμενοι τύχωσιν, οὐχ ὁμοίᾳ χρῶνται συνθέσει περὶ πάντων· ἀλλὰ καὶ μιμητικοὶ γίνονται τῶν ἀπαγγελλομένων, οὐδὲν ἐπιτηδεύοντες, ἀλλὰ φυσικῶς ἐπὶ τοῦτο ἀγόμενοι. ταῦτα δὲ δεῖ παρατηροῦντα τὸν ἀγαθὸν ποιητὴν καὶ ῥήτορα μιμητικὸν εἶναι τῶν πραγμάτων ὑπὲρ ὧν ἂν τοὺς λόγους ἐκφέροι, μὴ μόνον κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, ἀλλὰ καὶ κατὰ τὴν σύνθεσιν. ὃ ποιεῖν εἴωθεν Ὅμηρος, καίπερ μέτρον ἔχων καὶ ῥυθμοὺς ὀλίγους, ἀλλ' ὅμως ἀεί τι καινουργῶν ἐν αὐτοῖς καὶ φιλοτεχνῶν, ὥςτε μηδὲν ἡμῖν διαφέρειν γινόμενα τὰ πράγματα ἢ λεγόμενα ὁρᾶν. οἷον

1 ἄλλα τε D² 2 καὶ om D | ἰσοκράτη M 4 τοῖς] ταῖς D¹ 5 λέγεται D¹ 8 προσώποις ἁρμόττον R 13 οὐδὲ ἐν V οὐδὲ sine ἐν M | οὐδὲ ὀλοφυρόμενον post ὄντες iterata secludit D 15 τῆς om M | ὅταν] ὅτε D | ἀπαγγέλωσι DRV 17 τῶν om M 19 δὲ] δὴ D 20 ποιητὴν om D¹ 25 ἑαυτοῖς R

90 *Καὶ μὴν καὶ Σίσυφον εἶδον κρατέρ' ἄλγε' ἔχοντα,*
λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν·
ἤτοι ὃ μὲν σκηριπτόμενος χερσί τε ποσίν τε
λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον·

ἐνταῦθα γὰρ ἡ σύνθεσίς ἐστιν ἡ δηλοῦσα τῶν γινομένων ἕκαστον· τὸ βάρος τοῦ πέτρου, τὴν ἐπίπονον ἐκ τῆς γῆς κίνησιν, τὸν διερειδόμενον τοῖς κώλοις, τὸν ἀναβαίνοντα πρὸς τὸν ὄχθον, τὴν μόλις ἀνωθουμένην πέτραν· γέγονε δὲ παρὰ τὸ ἐν τοῖς δυσὶ στίχοις οἷς ἀνακυλίει τὴν πέτραν, ἔξω δυεῖν ῥημάτων τὰ λοιπὰ
91 τῆς λέξεως μόριά πάντ' ἐστὶν ἤτοι δισύλλαβα ἢ μονοσύλλαβα· ἔπειτα τῷ ἡμίσει πλείους εἰσὶν αἱ μακραὶ συλλαβαὶ τῶν βραχειῶν, καὶ διαβεβήκασι πᾶσαι αἱ τῶν ὀνομάτων ἁρμονίαι καὶ διεστήκασιν αἰσθητῶς, ἢ τῶν φωνηέντων συγκρουομένων ἢ τῶν ἡμιφώνων τε καὶ ἀφώνων· ῥυθμοῖς τε καὶ δακτύλοις καὶ σπονδείοις σύγκειται. αἱ μὲν οὖν μονοσύλλαβοι καὶ δισύλλαβοι λέξεις, πολλοὺς τοὺς μεταξὺ χρόνους ἀλλήλων ἀπολείπουσαι, τὸ χρόνιον ἐμιμήσαντο τοῦ ἔργου· αἱ δὲ μακραὶ συλλαβαὶ στηριγμούς τινας ἔχουσαι καὶ ἐγκαθίσματα τὴν ἀντιτυπίαν καὶ τὸ βαρὺ καὶ τὸ μόλις· τὸ δὲ μεταξὺ τῶν ὀνομάτων ψύγμα καὶ ἡ τῶν τραχυνόντων γραμμάτων παράθεσις τὰ διαλείμματα τῆς ἐνεργείας καὶ τὰς ἐποχὰς καὶ τὸ τοῦ μόχθου μέγεθος· οἱ ῥυθμοὶ δ' ἐν μήκει θεωρούμενοι τὴν διέκτασιν τῶν μελῶν καὶ τὸν διελκυσμὸν τοῦ κυλίοντος καὶ τὴν τοῦ πέτρου

1 alterum καὶ om R | ἴδον DR 2 et 4 λάαν DR | ἀμφοτέροισιν D 3 χερσίν D | ποσί R 7 τῆς om R 9 δὲ] γὰρ δὴ D 10 ἀνακυλίῃ R | δυοῖν DR 13 πᾶσαι om D 16 ῥυθμοῖς καὶ R 17 σύγκεινται R 19 ἔργου] χρόνου M 20 στηρισμοὺς V 23 τὸ διάλειμμά τε τῆς V 24 τὸ post μόχθου traicit R

ἔρεισιν. καὶ ὅτι ταῦτα οὐ φύσεώς ἐστιν αὐτοματιζούσης ἔργα, ἀλλὰ τέχνης μιμήσασθαι πειρωμένης τὰ γινόμενα, τὰ ἑξῆς δηλοῖ· τὴν γὰρ ἀπὸ τῆς κορυφῆς ἐπιστρέφουσαν πάλιν καὶ κατακυλιομένην πέτραν οὐ 92
τὸν αὐτὸν ἡρμήνευκε τρόπον, ἀλλ' ἐπιταχύνας καὶ συστρέψας τὴν σύνθεσιν· προειπὼν γὰρ ἐν τῷ αὐτῷ σχήματι

ἀλλ' ὅτε μέλλοι
ἄκρον ὑπερβαλέειν,

ἐπιτίθησι τοῦτο

τότ' ἐπιστρέψασκε κραταιὶς
αὖτις· ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής·

οὐχὶ συγκυλίεται τῷ βάρει τῆς πέτρας ἡ τῶν ὀνομάτων σύνθεσις, μᾶλλον δὲ ἔφθακε τὴν τοῦ λίθου φορὰν τὸ τῆς ἀπαγγελίας τάχος; μονοσύλλαβον μὲν γὰρ οὐδεμίαν, δισυλλάβους δὲ δύο μόνας ἔχει λέξεις· καὶ οὐ διίστησι τοὺς χρόνους ἀλλ' ἐπιταχύνει· καὶ πλείους τῶν μακρῶν αἱ βραχεῖαι· καὶ οὔτε φωνήεντα διιστῶσιν 93
ἀλλήλων τὰ ὀνόματα οὔτε ἡμιφώνῳ ἡμίφωνον ἢ ἄφωνον παράκειται, ἃ τραχύνει τὸν λόγον· ἀλλὰ συνολισθαίνουσιν ἀλλήλαις καὶ συγκαταφέρονται, καὶ τρόπον τινὰ μία ἐξ ἁπασῶν γίνεται διὰ τὴν τῶν ἁρμονιῶν ἀκρίβειαν· καὶ ῥυθμὸς οὐδεὶς σπονδεῖος ἐν αὐτοῖς.

21 Διαφοραὶ δὲ συνθέσεως εἰδικαὶ μὲν σφόδρα πολλαὶ 94
καὶ εἰς σύνοψιν ἐλθεῖν οὐ δυνάμεναι· οὐ γὰρ ὁμοίως 95
τὰ αὐτὰ ὀνόματα συντίθεμεν ἅπαντες. τὰς μέντοι

2 πειρωμένοις V 5 ἡρμήνευκε V: ἡρμήνευσε DMR 8 μέλλει R μέλλ** c ras D 10 τοῦτο MV: τούτῳ DR 11 κραταιὲς D κραταιὸς R 12 αὖθις MV | πέδον R | λάας DRV 13 τῆς πέτρας om D 14 ἔφθακε] ἔφασκε M 19 οὔτε τῷ ἡμιφ. D 20 παράκεινται DR 21 ἀλλήλοις D 24 εἰδικαὶ V: [ἰ]δικαὶ c ras M, DR 25 οὐ δύναμαι R

γενικὰς αὐτῆς διαφορὰς μόνας τρεῖς εἶναι πείθομαι, ἃς οὐκ ἔχων ὀνομάζειν μεταφορικοῖς ὀνόμασι καλῶ, τὴν μὲν αὐστηράν, τὴν δὲ γλαφυρὰν ἢ ἀνθηράν, τὴν δὲ τρίτην εὔκρατον εἴ τε κατὰ στέρησιν τῶν ἄκρων εἴ τε κατὰ μῖξιν εἴ τε κατὰ ἄνεσιν καὶ ἐπίτασιν τῶν ἐσχάτων ὅρων.

96 Τῆς μὲν οὖν αὐστηρᾶς ἁρμονίας τοιόσδε ὁ χαρακτήρ· 22
ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥστ' ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τε ἀπ' ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενα· τραχείαις τε χρῆσθαι πολλαχῇ καὶ ἀντιτύποις ταῖς συμβολαῖς·
97 ῥυθμοὺς δὲ ἐπιτηδεύει τοὺς ἀξιωματικοὺς καὶ μεγαλοπρεπεῖς, καὶ οὔτε πάρισα βούλεται τὰ κῶλα ἀλλήλοις εἶναι οὔτε παρόμοια οὔτε ἀνάγκῃ δουλεύοντα, ἀκόλουθα δὲ καὶ εὐγενῆ καὶ λαμπρὰ καὶ ἐλεύθερα· φύσει τ' ἐοικέναι μᾶλλον αὐτὰ βούλεται ἢ τέχνῃ, καὶ κατὰ πάθος λέγεται μᾶλλον ἢ κατὰ ἦθος· περιόδους δὲ συντιθέναι συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν τὰ πολλὰ μὲν οὐδὲ βούλεται· εἰ δέ ποτ' αὐτομάτως ἐπὶ τοῦτο κατενεχθείη, τὸ ἀνεπιτήδευτον ἐμφαίνειν θέλει καὶ ἀφελές, οὔτε προσθήκαις τισὶν ὀνομάτων, ἵνα ὁ κύκλος ἐκπληρωθῇ, μηδὲν ὠφελούσαις τὸν νοῦν χρωμένη, οὔτε

2 ὁ δὲ Πλούταρχος τὸ μὲν τῆς συνθέσεως ἁδρόν, τὸ δὲ ἰσχνόν, τὸ δὲ μέσον καλεῖ. D mg. cf Sadaeus p 26. 28

1 αὐτῆς DV: αὐτοῖς MR 4 ἄκρατον D[1] | ἄκρων] ἀνῶν ie ἀνθρώπων V 5 κατ' ἄνεσιν M 10 τε post ἀπέχειν om D | διὰ στάσεις M 11 διειργόμενος M 12 τε ante χρῆσθαι om R 13 δὲ] τὲ M | ἐπιτηδεύειν R 14 οὔτε βούλεται πάρισα V | ἀλλήλοις om V 18 λέγεσθαι D | δὲ] τε DR 19 συναρπαζούσας V 21 ἐθέλει M 22 ἀφελὲς DV: ἀσφαλὲς MR 23 ὠφελήσας M

ὅπως αἱ βάσεις αὐτῶν γένοιντο θεατρικαί τινες ἢ γλα-
φυραί, οὐδ᾽ ἵνα τῷ πνεύματι τοῦ λέγοντος ὦσιν αὐτάρ-
κεις· οὐδέ τι τοιοῦτον· ἀλλὰ περὶ τὰς πτώσεις ποικίλη, 98
περὶ τοὺς σχηματισμοὺς ὀλιγοσύνδεσμος, ἄναρθρος, ἐν
πολλοῖς ὑπεροπτικὴ τῆς ἀκολουθίας, ἥκιστα ἀνθηρά,
μεγαλόφρων, αὐθέκαστος, ἀκόμψευτος, τὸν ἀρχαϊσμὸν
καὶ τὸν πῖνον ἔχουσα κάλλος. Ταύτης τῆς ἁρμονίας
πολλοὶ μὲν ἐγένοντο ζηλωταί, διαφέροντες δὲ τῶν ἄλ-
λων ἐν μὲν ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ
Ἐμπεδοκλῆς ὁ φυσικός, ἐν δὲ μελοποιίᾳ Πίνδαρος, ἐν
τραγῳδίᾳ δὲ Αἰσχύλος, ἐν ἱστορίᾳ δὲ Θουκυδίδης, ἐν
δὲ πολιτικοῖς λόγοις Ἀντιφῶν. προκείσθω δὴ καὶ 99
παραδείγματα· Πινδάρου μὲν διθύραμβός τις οὗ ἐστιν
ἡ ἀρχή·

'Δεῦτ᾽ ἐν χορὸν Ὀλύμπιοι· ἐπί τε κλυτὰν πέμπετε
χάριν θεοί, πολύβατον οἵ τ᾽ ἄστεος ὀμφαλὸν θυό-
εντα ἐν ταῖς ἱεραῖς Ἀθήναις οἰχνεῖτε πανδαίδαλόν
τ᾽ εὐκλέ᾽ ἀγοράν. ἰαδέτων λάχετε στεφάνων τάν τε
ἀριδρέπτων ἀοιδάν· Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε
πορευθέντες ἀοιδαῖς δεύτερον ἐπὶ τὸν κισσοδαῆ
θεόν, ὃν Βρόμιον, ὃν Ἐριβόαν βροτοὶ καλέομεν·
γόνον ὑπάτων τε πατέρων μέλπομεν γυναικῶν τε 100
Καδμείαν Σεμέλαν. ἐναργέα νεμέω μάντιν οὐ λαν-
θάνει, φοίνικος ἑανῶν ὁπότ᾽ οἰχθέντος Ὡρᾶν θαλά-
μου εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα· τότε

3 fort οὐδέν τι 6 ἀκόμψευστος D 7 ταύτης τῆς et 8 μὲν om D 11 ἐν δὲ τραγ. D | ἐν δὲ ἱστ. D ἐν ἱστ. R 12 προσκείσθω M 13 τις om M | ἐστιν om M 14 ἡ om D 18 εὐκλεαγόραν una uoce libri | στέφανον DR 19 ἀγρι-δρέπτων R | διόθεν τί με V 22 γόνων V | τε post πρῶν traicit D | τε post γυν. om V 23 σεμέλαν RV μέλαν D σεμέλην M | νεμέω] νεμέα R

βάλλετε, τότ᾽ ἐπ᾽ ἄμβροτον χέρσον ἐραταὶ ἴων φόβαι,
ῥόδα τε κόμαισι μίγνυνται· οἰχνεῖ τ᾽ ὀμφᾶ μελέων
σὺν αὐλοῖς, οἰχνεῖτε Σεμέλαν ἑλικάμπυκα χοροί'.

Ταῦθ᾽ ὅτι μέν ἐστιν ἰσχυρὰ καὶ στιβαρὰ καὶ ἀξιω-
ματικὰ καὶ πολὺ τὸ αὐστηρὸν ἔχει, τραχύνει τε ἀλύ-
πως καὶ πικραίνει μετρίως τὰς ἀκοάς, πάντες ἂν
101 εἴποιεν. γέγονε δὲ τοῦτο κατὰ τέχνην· τὸ γὰρ 'ἐν
χορόν' καὶ ἀντίτυπον καὶ οὐκ εὐεπές, τοῦ μὲν συν-
δέσμου λήγοντος εἰς τὸ ν̄, τοῦ δὲ προσηγορικοῦ ἀρχο-
μένου ἐξ ἀφώνου τοῦ χ̄· ἀσύμμικτα δὲ κατὰ μίαν συλ-
λαβὴν προηγουμένου τοῦ ν̄ φύσει ταῦτα τὰ στοιχεῖα
καὶ ἀκόλλητα· ὥςτε τὰ τῶν συλλαβῶν δύο μόρια οὐ
συνάπτει τὸν ἦχον, ἀλλ᾽ ἀνάγκη σιωπήν τινα γενέσθαι
μέσοιν ἀμφοῖν τὴν διορίζουσαν ἑκατέρων τῶν γραμμά-
102 των τὰς δυνάμεις. ἔτι καὶ τὸ 'κλυτάν' ἀντίτυπον
103 πεποίηκε καὶ τραχεῖαν τὴν σύνθεσιν καὶ δυσεκφώνη-
τον ἀναβολὴν καὶ ἐγκοπὴν τῆς ἁρμονίας. εἰ γοῦν τὸ
κ̄ τὶς ἀφέλοι τῆς συλλαβῆς καὶ ποιήσει 'ἐπί τε λυτάν',
λυθήσεται καὶ τὸ τραχὺ τῆς ἁρμονίας. τοιοῦτον δὲ
καὶ τὸ 'πέμπετε' τῷ 'κλυτάν' ἐπικείμενον οὐκ εὐκέρα-
στον ἦχον ἔχει, ἀλλ᾽ ἀνάγκη στηριχθῆναι τὸ ν̄, καὶ
πιεσθέντος ἱκανῶς τοῦ στόματος τότε ἀκουστὸν γενέ-
σθαι τὸ π̄· οὐ γὰρ ὑποτακτικὸν τῷ ν̄ τὸ π̄· τούτου δ᾽
αἴτιον ὁ τοῦ στόματος σχηματισμός, οὔτε κατὰ τὸν

1 ἄμβρωτον V | ἐραταὶ om D | φόβαι] φόριαι V 2 ὀμφα-λέων R | ἀμφᾶ V ὀμφὰ D 4 μέν ἐστιν om D 6 μετρίως] μετρίας μετρίως D om M | πάντες om D | ἂν ἔποιεν D 7 δὲ] δὴ D 8 εὔεπες V 9 λήγοντος et ἀρχομένου om V 14 μέσον R 16 καὶ ταχεῖαν M 17 ἀναβολὴν] τὴν ἀναβ. R | εἰ γοῦν . . . 19 ἁρμονίας om M 18 ποιήσει DV: ποιήσοι R 19 ταχὺ D | τοιοῦτο DR 20 τῷ] τὸ M | εὐέραστον M εὐάρεστον R 22 στόμαχος R 23 τῷ ν̄] τῶν V

*αὐτὸν τόπον οὔτε τῷ αὐτῷ τρόπῳ τῶν γραμμάτων τού-
των ἐκφερομένων ὡς προδεδήλωταί μοι. καὶ πολλά τις* 106
ἂν εὕροι τοιαῦτα, ὅλην τὴν ᾠδὴν σκοπῶν.

*Πινδάρου μὲν οὖν ἅλις ἔστω· Θουκυδίδου δὲ λαμ-
βανέσθω λέξις ἡ ἐκ τοῦ προοιμίου ἥδε·*

*'Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον
τῶν Πελοποννησίων καὶ Ἀθηναίων ὡς ἐπολέμησαν
πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ
ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προ-* 107
*γεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντες εἰς αὐτὸν
ἦσαν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο
Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ
μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον· κίνησις γὰρ
αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει
τινὶ τῶν βαρβάρων, ὡς δ' εἰπεῖν, καὶ ἐπὶ πλεῖστον
ἀνθρώπων· τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιό-
τερα σαφῶς εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν'.*

Αὕτη ἡ λέξις ὅτι μὲν οὐκ ἔχει λείας οὐδὲ συν- 108
*εξευγμένας ἀκριβῶς τὰς ἁρμονίας, οὐδὲ ἔστιν εὐεπὴς
καὶ μαλακή, ἀλλὰ πολὺ τὸ ἀντίτυπον καὶ στρυφνὸν
ἐμφαίνει, οὐδὲν δέομαι λέγειν, ἄλλως τε καὶ αὐτοῦ τοῦ
συγγραφέως ὁμολογήσαντος, ὅτι εἰς μὲν ἀκρόασιν ἧττον
ἐπιτερπὴς ἡ γραφή ἐστι, 'κτῆμα δ' εἰς ἀεὶ μᾶλλον ἢ
ἀγώνισμα εἰς τὸ παραυτίκα ἀκούειν σύγκειται'. τίνα
δ' ἐστὶ τὰ θεωρήματα, οἷς χρησάμενος ὁ ἀνὴρ οὕτως
αὐστηρὰν πεποίηκε τὴν ἁρμονίαν, δι' ὀλίγων σημανῶ.*

1 *τόπον*] *τρόπον* M 6 *συνέγραψε* V 12 *τὸ* — 13 *τὸ* RV: *τὸν* — *τὸν* DM 14 *αὕτη* DRV²: *αὕτη δὴ* V¹ (tribus punctis del), *αὕτη δὲ* M 17 *χρόνον* D 19 *οὐδέν ἐστιν* M | *εὐεπής ἐστι* D 20 *μαλακὸς* V 21 *τοῦ* om R 24 *εἰς τὸ*] *οἷς τὸ* D *ὥστο* M | *σύγχειται* V 25 *οἷς* DR: *τίσι* V *τί* M 26 *ὀλίγου* V

*Αὐτίκα ἐν ἀρχῇ τῷ 'Ἀθηναῖος τὸ 'ξυνέγραψεν'
ἐπαγόμενον διίστησιν ἀξιολόγως τὴν ἁρμονίαν· οὐ γὰρ*
109 *προτάττεται τὸ σ̅ τοῦ ξ̅ κατὰ συνεκφοράν, δεῖ δὲ τοῦ σ̅
σιωπῇ καταληφθέντος τότε ἀκουστὸν γενέσθαι τὸ ξ̅·
τοῦτο δὲ τραχύτητα ἐργάζεται καὶ ἀντιτυπίαν τὸ πά-
θος. ἔπειθ' αἱ μετὰ τοῦτο γινόμεναι συγκοπαὶ τῶν
ἤχων, τοῦ τε ν̅ καὶ τοῦ τ̅ καὶ τοῦ π̅ καὶ τοῦ κ̅, τε-
τράκις ἑξῆς ἀλλήλαις παρακείμεναι, χαράττουσιν εὖ
μάλα τὴν ἀκοὴν καὶ διασαλεύουσιν ἀξιολόγως τὰς ἁρμο-
νίας, ὅταν φῇ 'τὸν πόλεμον τῶν Πελοποννησίων καὶ
Ἀθηναίων'· τούτων γὰρ τῶν μορίων τῆς λέξεως οὐθὲν
ὅ τι οὐχὶ καταληφθῆναί τε δεῖ καὶ πιεσθῆναι πρό-
τερον ὑπὸ τοῦ στόματος περὶ τὸ τελευταῖον γράμμα,
ἵνα τὸ συναπτόμενον αὐτῷ τρανὴν καὶ καθαρὰν τὴν
ἑαυτοῦ λάβῃ δύναμιν· ἔτι πρὸς τούτοις ἡ τῶν φωνη-
έντων παράθεσις ἐν τῷ 'καὶ Ἀθηναίων' διακέκρουκε
τὸ συνεχὲς τῆς ἁρμονίας καὶ διέστηκε πάνυ αἰσθητὸν
τὸν μεταξὺ λαβοῦσα χρόνον· ἀκέραστοι γὰρ αἱ φωναὶ
τοῦ τε ι̅ καὶ τοῦ α̅ καὶ ἀποκόπτουσαι τὸν ἦχον· τὸ δ'
εὐεπὲς οἱ συνεχεῖς τε καὶ οἱ συλλεαινόμενοι ποιοῦσιν
ἦχοι. καὶ πολλὰ τοιαῦτα ἂν εὕροι τις.*

111 *Ἡ δὲ γλαφυρὰ καὶ ἀνθηρὰ σύνθεσις χαρακτῆρα* 23
τοιόνδε ἔχει· οὐ ζητεῖ καθ' ἓν ἕκαστον ὄνομα ἐκ περι-
112 *φανείας ὁρᾶσθαι, οὐδ' ἐν ἕδρᾳ πάντα βεβηκέναι πλα-
τείᾳ καὶ ἀσφαλεῖ, οὐδὲ μακροὺς τοὺς μεταξὺ αὐτῶν*

1 *συνέγραψεν* DV 4 *καταλειφθέντος* V | *τό[τ]ε* c lit V 6 *γενόμεναι* R 7 *τε ν̅*] *ψ̅ε̅* V | *καὶ τοῦ κ̅* om D 8 *εὖ μάλιστα* D 11 *ἀθηναίων*] *ἀθηναίων ὡς ἐπολέμησαν . . . εὑρεῖν* (iterantur p 182, 7—17). *τῶν πελοποννησίων καὶ ἀθηναίων·* D | *οὐθὲν*] *ὅθεν* D 12 *οὐχὶ*] *οὐ* D | *καλαλειφθῆναι* R¹ | *τε* om V | *δεῖ* post *πιεσθῆναι* traicit D 19 *τοῦ* post *καὶ* om D | *τὸ δὲ* D 22 *γραφυρὰ* V 24 *πλατεῖα καὶ ἀσφαλῆ* D 25 *μικροὺς* M

εἶναι χρόνους, οὐδὲ τὸ βραδὺ καὶ σταθερὸν φίλον αὐτῇ, ἀλλὰ κεκινῆσθαι βούλεται τὴν ὀνομασίαν καὶ φέρεσθαι θάτερα κατὰ θατέρων ὀνομάτων ὥςπερ τὰ ῥέοντα, καὶ συνυφάνθαι τὰ μόρια, ὡς μιᾶς λέξεως ὄρεξιν διατελεῖν εἰς δύναμιν· τοῦτο δὲ ποιοῦσιν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι· χρόνον οὐδένα αἰσθητὸν μεταξὺ ὀνομάτων περιλαμβάνουσαι· ἔοικέ τε κατὰ μέρος εὐητρίοις ὑφαῖς ἢ γραφαῖς συνεφθαρμένα τὰ φωτεινὰ τοῖς σκιεροῖς ἐχούσαις· εὔφωνά τε εἶναι βούλεται πάντα τὰ ὀνόματα καὶ λεῖα καὶ μαλακὰ καὶ παρθενωπά. τραχείαις δὲ συλλαβαῖς καὶ ἀντιτύποις ἀπέχθειαί που· τὸ δὲ θρασὺ πᾶν καὶ παρακεκινδυνευμένον δι' εὐλάβειας ἔχει· καὶ τὰ κῶλα δὲ τοῖς κώλοις εὖ συν- 113
υφάνθαι βούλεται καὶ πάντα εἰς περίοδον τελευτᾶν ὁρίζουσαν κώλου τε μῆκος ὃ μὴ βραχύτερον ἔσται μηδὲ μεῖζον τοῦ μετρίου, καὶ περιόδου μέτρον οὗ πνεῦμα τέλειον ἀνδρὸς κρατήσει. χρῆται δὲ καὶ ῥυθμοῖς οὐ τοῖς μεγίστοις, ἀλλὰ τοῖς μέσοις τε καὶ βραχυτέροις· καὶ τῶν περιόδων τὰς τελευτὰς εὐρύθμους εἶναι βούλεται καὶ βεβηκυίας ὡς ἂν ἀπὸ στάθμης, τἀναντία ποιοῦσα ἐν ταῖς τούτων ἁρμογαῖς ἢ ταῖς τῶν ὀνομάτων· ἐκεῖνα μὲν γὰρ συναλείφει, ταύτας δὲ διίστησι καὶ ὥςπερ ἐκ περιόπτου βούλεται φανερὰς εἶναι. σχήμασί τε οὐ τοῖς ἀρχαιοπρεπεστάτοις, ἀλλὰ τοῖς τρυφεροῖς καὶ θεατρικοῖς χρῆται· καὶ ὅλως τοὐ-

1 καὶ τὸ σταθερὸν M 2 κεκινεῖσθαι R, fort D^1 5 ὄρεξιν (i e ὄψιν)] λῆξιν V | διατελεῖν iterat V 7 περιλαμβάνουσαί. τ'ἐοκέ τε D 9 σκιδροῖς D | εἶναι om V 10 ὀνόματα ὡς λεῖα V 11 ἀντιτύποισιν D | ἀπέχθειαί (i e ἀπέχθεταί) DR: ἀπέχεσθαί MV 15 μὴ ante βραχ. om R 18 βραχυτέραις D 20 ἀποστάθμης DR 22 ταύτας DR: ταῦτα MV 23 καὶ διίστησι R 24 οὐ] οὐχὶ R | ἀρχαιοπρεπεστέροις D

114 ναντίον ἔχει σχῆμα τῆς προτέρας. ἐποποιῶν μὲν οὖν ἔμοιγε κάλλιστα τουτονὶ δοκεῖ τὸν χαρακτῆρα ἐξεργάσασθαι Ἡσίοδος· μελοποιῶν δὲ Σαπφὼ καὶ μετ' αὐτὴν Ἀνακρέων καὶ Σιμωνίδης· τραγῳδοποιῶν δὲ μόνος Εὐριπίδης· συγγραφέων δὲ ἀκριβῶς μὲν οὐδείς, μᾶλλον δὲ τῶν πολλῶν Ἔφορός τε καὶ Θεόπομπος· ῥητόρων δὲ Ἰσοκράτης. θήσω δὲ καὶ ταύτης παραδείγματα τῆς ἁρμονίας, ποιητῶν μὲν προχειρισάμενος Σαπφώ, ῥητόρων δὲ Ἰσοκράτην. ἄρξομαι δὲ ἀπὸ τῆς μελοποιοῦ.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς δολοπλόκε, λίσσομαί σε,
μή μ' ἄσαισι μηδ' ἀνίαισι δάμνα
πότνια θυμόν·

ἀλλὰ τύ δελφὲ πόκα τ' ἔρωτα
τὰς ἐμὰς αὐδὰς ἀίοις· ἀπόλυ
ἔκλυες· πατρὸς δὲ δόμον λιποῖσα,
χρύσειον ἦλθες

115 ἅρμ' ὑποζεύξασα· καλοὶ δέ σ' ἄγον
ὠκέες στρουθοὶ περὶ γᾶς μελαίνας
πυκνὰ δινεῦντες πτέρ' ἀπ' ὠρανῶθερος διὰ μέσω.

αἶψα δ' ἐξίκοντο· τὺ δ' ὦ μάκαιρα
μειδιάσασ' ἀθανάτω προσώπω

1 μὲν om R 4 τραγωδιοποιῶν M 5 δὲ ἀκριβῶς om R 6 εὔφορός D 7 καὶ τούτοις V 9 τῆς] τοῦ D 11 ποικιλόφρων D ποικιλόφρον MR 12 δουλοπλόκε V 13 ἄσαισι DRV^2: ἄταισι MV^1 15 τύ] τῡ D τὸ V | πόκατ' D 16 ἀπόλι M 17 λιποῦσα DR, fort M 20 γῆς R 21 ἀπωρανώθερος D,V^1 -θέρος R: ἀπ' ὠρανῶ αἰθέρος M αἰ supra θ add V^2 22 μέσων R 23 ἐξίκοντο V: ἐξήκοντο DMR | τὺ] τί D

ἤρε' ὅ τι δ' ἦν τὸ πέπονθα, κὤτι
 δεῦρο κάλημι·

κὤτι γ' ἐμῷ μάλιστα θέλω γενέσθω
μαινόλᾳ θυμῷ· τίνα δηὖτε πειθὼ
καὶ σαγήνεσσαν φιλότητα· τίς ὦ
 Σαπφὼ δίκη·

καὶ γὰρ εἰ φεύγει ταχέως διώξει·
αἰ δὲ δῶρα μὴ δὲ καὶ τ' ἄλλα δώσει·
αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει·
 κὤ εἰ καὶ θέλεις.

ἔλθέ μοι καὶ νῦν· χαλεπᾶν δὲ λῦσον 116
ἐκ μεριμνᾶν· ὅσα δέ μοι τελέσαι
θυμὸς ἱμέρει τέλεσον, σὺ δ' αὐτᾶ
 σύμμαχος ἔσο.

ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεχείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν· παράκειται γὰρ ἀλλήλοις τὰ ὀνόματα καὶ συνύφανται κατά τινας οἰκειότητας καὶ συζυγίας φυσικὰς τῶν γραμμάτων· τὰ γὰρ φωνήεντα τοῖς ἀφώνοις συνάπτεται μικροῦ διὰ πάσης τῆς ᾠδῆς, ὅσα προτάττεσθαι καὶ ὑποτάττεσθαι πέφυκεν ἀλλήλοις κατὰ μίαν συλλαβὴν συνεκφερόμενα· ἡμιφώνων τε πρὸς ἡμίφωνα καὶ ἀφώνων καὶ φωνηέντων πρὸς ἄλληλα συμπτώσεις, αἳ διασαλεύουσι τοὺς ἤχους, ὀλίγαι πάνυ ἔνεισιν. εἰκότως δὴ γέγονεν εὔρους 117

1 κὤτε V κὤτι κα D 2 κάλλημι RV κάλλημην D 3 γενέσθαι R 4 δ' ἠὖτε D δὴὖτε MV 6 σε ante σαπφὼ inseruit V[1] 7 φάγοι D 8 αἰ] οἱ D | καὶ om D 9 αἴ R αἶ D 10 κὤ] κὤ τ' M 11 ἐλθή D | χαλεπὰν D χαλεπὸν R 12 ὅσσα V 13 ἱμέρα D ἱμείρει R | αὐτῇ R 14 ἔσσο D 15 εὐεπῖα M[2] | χάρισιν τῇ V 17 γὰρ] δε R 24 ὀλίγαι] πολλ γαι sic V | ἔνεισιν DR: εἰσὶν MV | δὴ] δὲ D

τις ἡ λέξις καὶ μαλακή, τῆς ἁρμονίας τῶν ὀνομάτων μηδὲν ἀποκυματιζούσης τὸν ἦχον.

Καὶ Σαπφοῦς μὲν ταῦτα· Ἰσοκράτους δὲ ἐκ τοῦ Ἀρεοπαγιτικοῦ τάδε·

Πολλοὺς ὑμῶν οἴομαι θαυμάζειν, ἥντινα ποτὲ
118 γνώμην ἔχων περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥςπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ τὰ περὶ τὴν χώραν ἀγούσης καὶ τῶν κατὰ θάλατταν ἀρχούσης, ἔτι δὲ συμμάχους ἐχούσης πολλοὺς μὲν ἑτοίμους ἡμῖν ἤν τι δέοι βοηθήσοντας, πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις ἐπιτελοῦντας καὶ τὸ προσταττόμενον ποιοῦντας· ὧν ὑπαρχόντων ὑμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαρρεῖν ὡς πόρρω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ σωτηρίας. ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα τῇ δυνάμει ταύτῃ κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας, καὶ τὰς μάλιστα θαρρούσας εἰς πλεῖστον κίνδυνον καθισταμένας. αἴτιον δὲ τούτων ἐστίν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς

3 ἰσοκράτης V 4 ἀρεοπαγικοῦ R 7 ἢ] οἳ MV 11 πολλοὺς μὲν om D 12 ἡμῖν om R 13 πολὺ R πολλοὶ DV: πολλῶ M | τὰς τάξεις D 14 καὶ τὸ προστ. ποι. om V 15 ἡμᾶς DR | εἶναι] ἦν R 16 δ'] δὲ R 17 βούλεσθε D 18 χρησάμενοι M 23 βουλομένας V

μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ 119
ταύτης ἀκολασία, ταῖς δὲ ἐνδείαις καὶ ταῖς ταπεινό-
τησι σωφροσύνη καὶ πολλὴ μετριότης. ὥςτε χαλε-
πὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις εὔξαιτο τού-
των τῶν μερίδων τοῖς παισὶ τοῖς αὑτοῦ· ἴδοι γὰρ
ἄν τις ἐκ μὲν τῆς φαυλοτέρας ἐπὶ τὸ βέλτιον ὡς
ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς
κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας
μεταπίπτειν.'

Ταῦθ' ὅτι συνείληπταί τε καὶ συγκέχρωσται, καὶ
οὐδὲν ἕκαστον ὄνομα ἐν ἕδρᾳ περιφανεῖ καὶ πλατείᾳ
βέβηκεν οὐδὲ μακροῖς τοῖς μεταξὺ χρόνοις διείργεται
καὶ διαβέβηκεν ἀπ' ἀλλήλων, ἀλλ' ἐν κινήσει φαίνεται
καὶ ῥύσει συνεχεῖ, πραεῖαί τέ εἰσι καὶ συνάπτουσαι
τὴν λέξιν ἁρμονίαι, τὸ ἄλογον ἐπιμαρτυρεῖ τῆς ἀκοῆς
πάθος. ὅτι δ' οὐκ ἄλλα τινὰ τούτων ἐστὶν αἴτια ἢ
τὰ προειρημένα ὑπ' ἐμοῦ περὶ τῆς ἀγωγῆς ταύτης τῶν
λόγων, ῥᾴδιον ἐξ ἐκείνων ἰδεῖν.

24 Ἡ δὲ τρίτη καὶ μέση τῶν εἰρημένων ἁρμονιῶν 120
σχῆμα μὲν ἴδιον οὐδὲν ἔχει, κεκέρασται δὲ ὡς ἐξ ἐκεί-
νων μετρίως. καὶ ἔστιν ἐκλογή τις τῶν ἐν ἑκατέρᾳ
κρατίστων. ὧν αὕτη δοκεῖ μοι τὰ πρωτεῖα ἐπιτηδεία
εἶναι φέρεσθαι, ἐπειδὴ μεσότης μέν τις ἐστί· μεσότης
δὲ ἡ ἀρετὴ καὶ βίων καὶ ἔργων. ὁρᾶται δὲ οὐ κατὰ
ἀπαρτισμόν, ἀλλὰ ἐν πλάτει, καὶ τὰς εἰδικὰς ἔχει δια- 121

2 ταπεινόστ[η]σι c lit V ταπεινότητι D 4 προτέραν D 5 παισὶν (om altero τοῖς) V | αὐτοῦ DR | ἴδοι γὰρ M ηδει γὰρ V uterque sine ἄν τις 6 ἐκ μὲν] μὲν ἐκ D 7 δὲ post κρείττονος ponit D 11 ὄνομα om R 12 χρόνον D 16 αἴτια ἐστὶν ἢ D 17 τὰ om R 18 ἰδεῖν . . . 20 ἐκείνων iterat V 19 εἰρημένων om D 20 οὐδὲν ἴδιον D 22 ἐπι-τήδεια V cf 120, 16 23 μεσότητος μέν D 24 οὐ κατ' M οὐκ D 25 καὶ] ἀλλὰ R | ἰδικὰς R

φορὰς πολλάς· οἵ τε χρησάμενοι αὐτῇ οὐ τὰ αὐτὰ
πάντες οὐδ' ὁμοίως ἐπετήδευσαν.

Κορυφὴ μὲν οὖν ἁπάντων καὶ σκοπός,
ἐξ οὗ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι,

δικαίως ἂν Ὅμηρος λέγοιτο· πᾶς γὰρ αὐτῷ τόπος,
ὅτου τις ἂν ἅψοιτο, ταῖς τε αὐστηραῖς καὶ ἀνθηραῖς
ἁρμονίαις εἰς ἄκρον διαπεποίκιλται. τῶν δὲ ἄλλων
ὅσοι τὴν αὐτὴν μεσότητα ἐπετήδευσαν, ὕστεροι μέντοι
Ὁμήρου μακρῷ παρ' ἐκεῖνον ἐξεταζόμενοι φαίνοιντ'
ἄν· καθ' ἑαυτοὺς δὲ εἰ θεωροίη τις αὐτούς, ἀξιοθέα-
τοι· μελοποιῶν μὲν Στησίχορός τε καὶ Ἀλκαῖος, τρα-
γῳδοποιῶν δὲ Σοφοκλῆς, συγγραφέων δὲ Ἡρόδοτος,
ῥητόρων δὲ Δημοσθένης, φιλοσόφων δὲ κατ' ἐμὴν
δόξαν Δημόκριτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης.
τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κερά-
σαντας τοὺς λόγους.

122 Ἐπὶ τούτοις ῥητέον, πῶς γίνεται λέξις ἄμετρος 25
ὁμοία καλῷ ποιήματι ἢ μέλει, καὶ πῶς ποίημα ἢ μέ-
λος πεζῇ λέξει καλῇ παραπλήσιον. ἔστω δὲ παρά-
δειγμα Δημοσθένης, ὃν ἐν τοῖς μάλιστα οἶμαι τὴν
123 ποιητικὴν ἐκμεμάχθαι φράσιν· τίς γὰρ οὐκ ἂν ὁμολο-
γήσειε, τοῖς κρατίστοις ἐοικέναι ποιήμασί τε καὶ μέ-
λεσι τοὺς Δημοσθένους λόγους, καὶ μάλιστα τοὺς
φιλιππικοὺς καὶ τοὺς δικανικοὺς τοὺς δημοσίους; ὧν
ἑνὸς τὸ προοίμιον τουτί·

'Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με

1 αὐτῇ R: αὐτοὶ DMV 2 ἐπιτήδευσαν R, item 9 3 οὖν om DR[1] 7 τις om D | τε om R 9 ὕστερον V 11 θεωρείη D | αὐτοὺς DV: om MR 19 ὁμοία] ὁποῖα D[1] | ποίημα iterat R 20 καλῇ] καλεῖν V 22 ἐκμεμάχθαι] ἐκμά-χεσθαι M 23 μελέσι D

μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκρά-
τους κατηγορήσαντα τουτουί· μικρὸν ὁρῶντά τι καὶ
φαῦλον ἁμάρτημα ἑτοίμως οὕτω προάγειν ἐμαυτὸν
εἰς ἀπέχθειαν· ἀλλ' εἴπερ ἆρ' ὀρθῶς ἐγὼ λογίζομαι
καὶ σκοπῶ περὶ τοῦ Χερόνησον ἔχειν ὑμᾶς ἀσφαλῶς
καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς,
περὶ τούτων ἔστι μοι νῦν ἅπασα ἡ σπουδή'.

Πειρατέον δὲ καὶ περὶ τούτων λέγειν, ἃ φρονῶ. 124
Πᾶσα λέξις ἡ δίχα μέτρου συγκειμένη ποιητικὴν ἢ
μελικὴν οἶμαι χάριν οὐ δύναται προσλαβεῖν κατὰ γοῦν
τὴν σύνθεσιν αὐτήν, ἐὰν μὴ περιέχῃ μέτρα καὶ ῥυθ- 125
μούς τινας ἐγκατατεταγμένους ἀδήλους. οὐ μέντοι
προσήκει γε ἔμμετρον οὐδ' ἔρρυθμον αὐτὴν εἶναι δο-
κεῖν· ποίημα γὰρ οὕτως ἔσται καὶ μέλος, ἀλλ' εὔρυθμον
αὐτὴν χρὴ καὶ ἔμμετρον φαίνεσθαι μόνον. οὕτω γὰρ
ἂν εἴη ποιητικὴ μέν, οὐ μὴν ποίημά γε· καὶ ἐμμελὴς
μέν, οὐ μέλος δέ. ἡ μὲν γὰρ ὅμοια παραλαμβάνουσα
μέτρα καὶ τεταγμένους σῴζουσα ῥυθμοὺς καὶ κατὰ
στίχον ἢ περίοδον ἢ στροφὴν διὰ τῶν αὐτῶν σχημά-
των περαινομένη κἄπειτα πάλιν τοῖς αὐτοῖς ῥυθμοῖς
καὶ μέτροις ἐπὶ τῶν ἑξῆς χρωμένη καὶ τοῦτο μέχρι
πολλοῦ ποιοῦσα ἔρρυθμός ἐστι καὶ ἔμμετρος, καὶ ὀνό-
ματα αὐτῇ μέτρον καὶ μέλος· ἡ δὲ πεπλανημένα μέτρα
καὶ ἀτάκτους ῥυθμοὺς ἐμπεριλαμβάνουσα εὔρυθμος
μὲν ἐστιν, ἐπειδὴ διαπεποίκιλται τισὶ ῥυθμοῖς, οὐκ

2 κατηγορήσαντα D¹R: κατηγορήσοντα D²MV 4 εἴπερ ἆρ' D εἴπερ ἄρ' R: εἴπερ MV 5 χερόννησον D χερρόνησον V 6 πάλιν] καὶ πάλιν D 7 πᾶσα R | ἡ om M 10 μελιτικὴν M | οὐ om D 12 τινας om V | ἀδήλους] ἀλλήλους D 13 γε προσήκει R | ἔρυθμον D εὔρυθμον V 14 οὕτως om D | εὔρυθμον — 15 ἔμμετρον V εὔμετρον — ἔρρυθμον D ἔρρυθμον — ἔμμετρον MR 16 γε] τε D 21 τοῦτο] τοῦ M 22 et 191, 1 εὔρυθμος V 25 μέν om V

ἔρρυθμος δέ, ἐπειδὴ οὐ τοῖς αὐτοῖς οὐδὲ κατὰ τὸ αὐτό.
τοιαύτην δή φημι πᾶσαν εἶναι λέξιν ἄμετρον, ἥτις
126 ἐμφαίνει τὸ ποιητικὸν καὶ μελικόν· ᾗ δὴ καὶ τὸν Δη-
μοσθένην κεχρῆσθαι φημί. αὐτίκα ἐπὶ τοῦ προτεθέν-
τος παραδείγματος ἄρχεται μὲν ἀπὸ ἀναπαιστικοῦ
στίχου τετραμέτρου· λείπεται δὲ ποδὶ τοῦ τελείου,
παρ' ὃ καὶ λέληθε· 'Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι,
νομίσῃ με'· τοῦτο γὰρ εἰ προσλάβοι πόδα, τέλειον
127 ἀναπαιστικὸν ἔσται, ὃ καλοῦσι τινὲς Ἀριστοφάνειον·
'Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με παρεῖναι'.
τοῦτο δὲ οὐκ ἐκ ταὐτομάτου γέγονεν, ἀλλ' ἐξ ἐπιτη-
δεύσεως· καὶ γὰρ καὶ τὸ συναπτόμενον τούτῳ κῶλον,
εἰ διαλύσειέ τις αὐτοῦ τὴν δευτέραν συναλοιφήν, ἣ
πεποίηκεν αὐτὸ ἄσημον ἐπισυνάπτουσα τῷ τρίτῳ κώλῳ,
πεντάμετρον ἐλεγειακὸν ἔσται συντετελεσμένον τουτί·
'μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκα'. καὶ ἑνὸς δὲ τοῦ
μεταξὺ κώλου συγκειμένου λεκτικῶς τοῦ 'ἥκειν Ἀρι-
στοκράτους κατηγορήσαντα τουτουί', τὸ συμπλεκόμενον
τούτῳ πάλιν κῶλον Ἀριστοφάνειον ἐστί· 'μήτε μικρὸν
128 ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα ἑτοίμως οὕτως' τὸ
δ' ἀκόλουθον ἴσον ἐστὶν ἰαμβικῷ τριμέτρῳ τὸν ἔσχα-
τον ἀφῃρημένῳ πόδα· 'προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν'.
129 καὶ τὸ προσεχὲς πάλιν ἰαμβεῖόν ἐστι, καὶ τοῦτο τρί-
μετρον ὀρθόν· 'ἀλλ' εἴπερ ἆρ' ὀρθῶς ἐγὼ λογίζομαι',
τοῦ ἄρα συνδέσμου μακρὰν λαμβάνοντος τὴν προτέραν

1 οὐ τῆς αὐτῆς MV 7 παρὸ καὶ λέληθεν D 8 τοῦτο . . . 10 νομίσῃ με om M 12 καὶ τὸ] τὸ D 13 εἰ διαλύσει ἔστιν αὐτοῦ D | συναλειφὴν D | ἣ] ἢ DR 14 τὸ τρίτον κῶλον τετράμετρον D 15 τετελεσμένον V om M 16 δὲ] δὴ D 17 λεκτικῶς τὸ D 18 κατηγορήσοντα MV 19 πάλιν om M | ἔστι D | μήτε] μὴ D 21 ἰάμβῳ R 23 τὸ om R 24 ἆρα D ἄρα ceteri 25 τοῦ ἄρα DR | μακρὸν D

συλλαβήν· καὶ ἔτι τὸ ʽκαὶ σκοπῶ’ παρεμπεσὸν ἐπισκο-
τούμενον τὸ μέτρον ἠφάνισε. καὶ μηδεὶς ἄτοπον λο- 132
γίσαιτο, εἰ τοσαύτης δόξης ἀνὴρ ἐπὶ δεινότητι λόγων,
ἔργα συνταττόμενος αἰώνια καὶ διδοὺς ἑαυτὸν ὑπεύ-
θυνον τῷ πάντα βασανίζοντι χρόνῳ ἠβουλήθη μηδὲν
εἰκῇ μήτε πρᾶγμα παραλαμβάνειν μήτ’ ὄνομα, ἄλλως
τε καὶ τῶν τότε ἀνθρώπων οὐ γραπτοῖς ἀλλὰ γλυπτοῖς
καὶ τορευτοῖς ἐοικότας ἐκφερόντων λόγους, λέγω δὲ 133
Ἰσοκράτους καὶ Πλάτωνος τῶν σοφιστῶν· ὃ μέν γε
τὸν πανηγυρικὸν λόγον, ὥς οἱ τὸν ἐλάχιστον χρόνον
γράφοντες, ἔτεσι δέκα συνετάξατο· ὁ δὲ Πλάτων τοὺς
ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων καὶ πάντα
τρόπον ἀναπλέκων οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς
ἔτη· γνώρισμα δὲ τούτου τά τε ἄλλα, καὶ δὴ καὶ τὰ
περὶ τὴν δέλτον, ἣν τελευτήσαντος αὐτοῦ λέγουσιν
εὑρεθῆναι ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς Πο-
λιτείας ἔχουσαν τήνδε· ʽΚατέβην χθὲς εἰς Πειραιᾶ
μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος’. πολὺ γὰρ μᾶλλον
προσήκει τούτοις μηδενὸς τῶν ἐλαχίστων ὀλιγωρεῖν ἢ
ζωγράφοις καὶ τορευταῖς περὶ τὰ φλεβία καὶ τὰ πτίλα
καὶ τὸν χνοῦν καὶ τὰς τοιαύτας μικρολογίας κατατρί- 134
βειν τὴν τῆς τέχνης ἀκρίβειαν. μειράκιον μὲν οὖν
ὄντα αὐτὸν καὶ νεωστὶ τοῦ μαθήματος ἁπτόμενον οὐκ
ἄλογον πάντα περισκοπεῖν, ὅσα δυνατὰ ἦν εἰς ἐπιτή-
δευσιν ἀνθρωπίνην πεσεῖν· ἐπειδὴ δὲ ἡ χρόνιος ἄσκη-
σις ἰσχὺν πολλὴν λαβοῦσα τύπους τινὰς ἐν τῇ διανοίᾳ

1 τὸ σκοπῶ R 3 δόξης om M 4 συναπτόμενος M | ἑαυτὸν om R 8 ἐκφερόντων om D 9 ὃ] οἱ D 11 συνετάξετο R 12 βοστρυχίδων D[1] 17 πειρεᾶ RV 20 καὶ τορευταῖς] κατατορ. R | φλεβεῖα R βλεμμία V 21 διατρίβειν D 22 οὖν om R 24 δυνατὰ . . . 25 ἀνθρ.] εἰς ἀνθρ. ἣν ἐπιτήδευσιν δυνατὰ D 25 ἡ V: οἱ DMR | χρόνιος] χρόνοι ὡς libri 26 πολλὴν ἰσχὺν λαμβάνουσα M | πολὺν D

παντὸς τοῦ μελετωμένου καὶ σφραγῖδας ἐνεποίησεν,
ἐκ τοῦ ῥᾴστου καὶ ἀπὸ τῆς ἕξεως αὐτὰ ᾔδει ποιεῖν.
οἷόν τι γίνεται κἀν ταῖς ἄλλαις τέχναις, ὧν ἐνέργειά
τις ἡ ποίησις τὸ τέλος· καὶ ἡμεῖς δὲ τὰ γράμματα
135 παιδευόμενοι πρῶτα μὲν τὰ ὀνόματα αὐτῶν ἐκμανθά-
νομεν, ἔπειτα τοὺς τύπους καὶ τὰς δυνάμεις, εἶθ’
οὕτω τὰς συλλαβὰς καὶ τὰ ἐν ταύταις πάθη, καὶ μετὰ
τοῦτο ἤδη τὰς λέξεις καὶ τὰ συμβεβηκότα αὐταῖς,
ἐκτάσεις τε καὶ συστολὰς καὶ προσῳδίας καὶ τὰ παρα-
πλήσια· ὅταν δὲ τούτων τὴν ἐπιστήμην λάβωμεν, τότε
ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν κατὰ συλλαβάς·
καὶ βραδέως τὸ πρῶτον, ἐπειδὰν δὲ ὁ χρόνος ἀξιόλο-
γος προσελθὼν τύπους ἰσχυροὺς αὐτῶν ἐν ταῖς ψυ-
χαῖς ἡμῶν ποιήσῃ, τότε ἀπὸ τοῦ ῥᾴστου δρῶμεν αὐτά,
καὶ πᾶν ὅ τι ἂν ἐπιδῷ τις βιβλίον, ἀπταίστως διερχό-
μεθα ἕξει τε καὶ τάχει ἀπίστῳ. τοιοῦτο δὴ καὶ περὶ τὴν
σύνθεσιν τῶν ὀνομάτων γίνεται παρὰ τοῖς ἀθληταῖς
τοῦ ἔργου· τοὺς δὲ τούτου ἀπείρους θαυμάζειν καὶ
ἀπιστεῖν οὐκ ἄλογον.

Περὶ δὲ τῆς ἐμμελοῦς καὶ ἐμμέτρου συνθέσεως τῆς 26
ἐχούσης πολλὴν ὁμοιότητα πρὸς τὴν πεζὴν λέξιν, πρώτη
136 μέν ἐστιν αἰτία κἀνταῦθα ἡ τῶν ὀνομάτων ἁρμογή·
δευτέρα δὲ ἡ τῶν κώλων σύνθεσις· τρίτη δὲ ἡ τῶν
περιόδων ἐμμετρία. τὸν δὴ βουλόμενον ἐν τούτῳ τῷ
μέρει κατορθοῦν δεῖ τὰ τῆς λέξεως μόρια * * * συμμέτρως
μὴ συναπαρτίζοντα τοῖς στίχοις, ἀλλὰ διατέμνοντα τὸ

1 σφραγίδας MRV 2 ᾔδει] ἤδη M 3 οἷόν τε M | κἂν] καὶ M | ἐνάργειά M 4 ἡ libri pro ἢ | τὰ πράγματα V 7 οὕτως R 9 ἐκστάσεις D 11 κατὰ τὰς συλλ. V 13 προελθὼν D[2] 14 δράμωμεν R 16 τε καὶ] τε D 18 τοὺς—ἀπείρους DR: τοῖς—ἀπείροις MV 20 s τῆς ἐχούσης π. ὁμοιότητα om D 25 hiatum indicaui cf 136, 5

μέτρον, ἄνισά τε ποιεῖν αὐτὰ καὶ ἀνόμοια· πολλάκις δὲ καὶ εἰς κόμματα συνάγειν βραχύτερα κώλων· τάς τε περιόδους μήτε ἰσομεγέθεις μήτε ὁμοιοσχήμονας τὰς γοῦν παρακειμένας ἀλλήλαις ἐργάζεσθαι· ἔγγιστα γὰρ φαίνεται λόγοις τὸ περὶ τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα πεπλανημένον· παράδειγμα τούτων 138

Αὐτὰρ ὅ γ' ἐγ λιμένος προσέβη τρηχεῖαν ἀταρπόν·

ἓν μὲν δὴ τοῦτο κῶλον. ἕτερον δέ

χῶρον ἀν' ὑλήεντα

ἔλαττόν τε τοῦ προτέρου, καὶ δίχα τέμνον τὸν στίχον· τρίτον δέ

δι' ἄκριας

κομμάτιον· τέταρτον δέ

οἷ οἱ Ἀθήνη
πέφραδε δῖον ὑφορβόν

ἐξ ἡμιστιχίων δύο· ἔπειτα τὸ τελευταῖον 139

ὅ οἱ βιότοιο μάλιστα
κήδετο οἰκήων· οὓς κτήσατο δῖος Ὀδυσσεύς

ἀτελῆ μὲν τὸν τρίτον ποιοῦν στίχον, τοῦ δὲ τετάρτου τῇ προσθήκῃ τὴν ἀκρίβειαν ἀφῃρημένον. τὰ δ' αὐτὰ νοητέον κἀν τοῖς ἰαμβικοῖς καὶ τοῖς ἄλλοις μέτροις· ὧν παρὰ τοῖς τραγικοῖς μυρία τὰ παραδείγματα.

Τοιαῦτα δ' ἐστὶ τὰ ὅμοια τοῖς καλοῖς λόγοις μέτρα 142
καὶ μέλη, διὰ ταύτας γινόμενα τὰς αἰτίας.

2 καὶ εἰς om D   3 περιόδους μήτε om D   6 παράδειγμα δὲ τ. D   7 ἐγ V: ἐκ DMR | τραχεῖαν R | ἀτραπὸν D   9 ὑλήοεντα R   12 ἄκρας DR ἄκρ spatio relicto V   14 οἷ DR: ὅν M om V | ἀθήνα MV   16 ἡμιστίχων R   19 μὲν] μὲν γὰρ D μὲν οὖν R | ποιοῦντα D   20 ἀφηρημένου MV   24 μιχαῆλος ἀποστόλιος βυζάντιος, καὶ τόδε μισθῷ ἐξέγραψε πενίᾳ συζῶν· subscribit V

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΤΩΝ ΠΕΡΙ ΜΙΜΗΣΕΩΣ

ΤΑ ΣΩΙΖΟΜΕΝΑ

Epitomae (fr. VI p. 202—214)

exempla

P codex Parisiensis 1741
M codex Venetus Marcianus 508
V codex Monacensis n. 170 ex libris P. Victorii
s editio princeps H. Stephani 1554

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΕΡΙ ΜΙΜΗΣΕΩΣ

Α

τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφε τὴν περὶ τῆς μιμήσεως ζήτησιν Dionysius

I

Ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν. 26

Doxopater in Walzii rhetoribus t VI p 17, 9 (cf proleg in Aphthonium in Montefalconii Bibliotheca Coislin p 593 et proleg in Hermogenem t IV p 25, 31) *ὕστερον δ' ἐπὶ Καίσαρος Αὐγούστου Διονύσιος ὁ μέγας ὁ τῆς ἡμετέρας τέχνης καθηγητὴς καὶ πατὴρ ἀγαθὸς γενόμενος, ἀπὸ Ἁλικαρνασοῦ τὸ γένος καταφέρων, ὡρίσατο τὴν ῥητορικὴν νουνεχῶς καὶ προσηκόντως εἰρηκώς· Ῥητορική . . . λέγειν. οὗτος τοίνυν ὁ ὅρος ἐκρίθη καλῶς τε ἔχειν καὶ μάλα σοφῶς· οὔτε γὰρ ἐλλείπει οὔτε πλεονάζει, ἀλλὰ καὶ τὰ ἰδιώματα τῶν ὁρισμῶν ἔχει, λέγω δὴ τὸ ἐκ γένους καὶ συστατικῶν διαφορῶν καὶ ἰδιοτήτων συνεστάναι. διὰ γὰρ τοῦ εἰπεῖν δύναμις ἐσήμανε τὸ γένος, ἔστι γὰρ δύναμις καὶ ἔντεχνος καὶ ἄτεχνος· διὰ δὲ τοῦ τεχνική τὴν διαφοράν. ἑτέραν*

2 cf Spengelius in mus Rhen t XVIII p 524 3 discrepat unus Maximus Planudes infra p 199, 2 9 *συνεχῶς* C(oislinianus 387) | *προσηκόντως* C *προσεχόντως* W(alzius t VI p 17) 11 *τε* om C | *καὶ ἐδοκιμάσθη μάλα σοφῶς* W om C: expunxi glossema uerbi *ἐκρίθη* 13 *διὰ*] hinc accedunt P(rolegomena t IV p 25, 31) 14 *δύναμις* post 15 *ἄτεχνος* traicit C | *καὶ* om P

δὲ διαφορὰν ἐπιτίθησιν εἰρηκὼς πιθανοῦ λόγου. εἶτα ἐπειδὴ οὐ μόνον ὁ ῥήτωρ ἔχει τὸ πιθανόν, ἀλλὰ καὶ ἰατρικὴ καὶ γεωμετρική (καὶ γὰρ καὶ ἐπὶ τούτων τὰς ἀποδείξεις οὐκ ἀπιθάνους δεῖ προφέρειν ἀλλὰ πιθανάς), προσέθηκεν ἰδικώτατόν τι τῆς ῥητορικῆς, ὃ ἄλλη τέχνη ἔχειν οὐ δύναται· τί δὴ τοῦτο; ἐν πράγματι πολιτικῷ. πρόσκειται δὲ τῷ ὅρῳ τὸ τέλος ἔχουσα τὸ εὖ λέγειν· πᾶν γὰρ ὃ μὴ τέλος ἔχει ⟨τὸ⟩ εὖ καὶ καλῶς ἢ κακοτεχνία ἐστὶν ἢ ψευδοτεχνία ἢ ματαιοτεχνία.

prolegomena statuum Hermog t VII p 15, 3 (et apud Spengelium Art script p 218, 7) καὶ οὗτοι μὲν οὕτως πρὸς ἀπέχθειαν καὶ ἡδονὴν ὁρίζονται. Διονύσιος δὲ ἐπιγενόμενος ὁ Ἁλικαρνασεὺς καὶ τῶν μὲν τὴν χάριν οὐκ ἀποδεξάμενος, τῶν δὲ τὴν λοιδορίαν μισήσας ὅρον αὐτῇ τὸν οἰκεῖον ἀπέδωκεν εἰπών· Ῥητορική . . . λέγειν.

epitome artis in Walzii corpore t III p 611 Ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. ἢ κατὰ τὸν Διονύσιον ῥητορική . . . λέγειν.

Doxopater in Aphthonium ibid t II p 104, 7 ὁρίζεται δὲ πάλιν αὐτὴν Διονύσιος ὁ Θρᾷξ οὕτω· ῥητορική . . . λέγειν. ἀλλὰ καὶ οὗτος ⟨ὁ ὅρος⟩ κακίζεται, διότι τέλος ἐν αὐτῷ ἀποδέδοται τῆς ῥητορικῆς ὅπερ οὐκ αὐτῆς μόνης ἀλλὰ καὶ τῶν ἄλλων τινῶν, δέον ὂν μήτε ἑνὸς πράγματος πολλὰ τέλη ἀποδίδοσθαι μήτε πολλῶν ἕν.

Maximus Planudes proleg rhet ibid t V p 213, 22 (in Spengelii Art script p 223, 29) Διονύσιος δὲ ὁ Ἁλικαρνασσεὺς οὕτως·

2 μόνος P | καὶ ἰατρικὴ καὶ γεωμετρική CP: articulos adicit W 3 καὶ ἐπὶ τούτων C καὶ P: om W | τὰς ἀποδείξεις post 4 προφέρειν collocat C | ἀπιθάνως P 4 προσφέρειν P | ἀλλὰ πιθανάς W: om CP | προσέθηκεν P: ἐπεὶ (1 ἐπὶ) γοῦν τῷ πιθανῷ προσέθηκεν W 6 δὲ om P | τὸ] καὶ τὸ C 7 τὸ inserui | εὖ καὶ καλῶς WP: καλὸν C 8 ordinem C seruauit: ἢ ματαιοτεχνία ἐστὶν ἢ κακοτ. ἢ ψευδοτ. WP 13 ἀποδέδωκεν cod Monacensis Spengelii 19—p 199, 6 haec duo testimonia minus accurata 20 Θρᾷξ] hic error Spengelium l s p 523 mouere non debebat, ut Doxopatri testimonium a ceteris separaret, nec magis πιθανοῦ (p 197, 2) in διὰ corruptum

δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. ἀλλὰ δοκεῖ τῶν λοιπῶν ἄμεινον ὁρίσασθαι τὴν ῥητορικὴν ὁ οὕτως ὁρισάμενος· ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον.

Sopater proleg in Hermog t V p 17, 17 Λολλιανὸς δὲ κάλλιστον ὅρον τοῦτον ῥητορικῆς τίθησιν· δύναμις τεχνικὴ . . . λέγειν. ἔστι γὰρ δύναμις τὸ γένος, διὸ προσέθηκε λόγου· εἶτα ἐπειδὴ καὶ οἱ φιλόσοφοι ἔχουσι λόγους, προσέθηκε πιθανοῦ· ἐκεῖνοι γὰρ οὐ πιθανοὺς ἔχουσιν ἀλλ᾽ ἀληθεῖς. ἐπειδὴ δὲ καὶ οἱ ἰατροὶ πολλάκις ἔχουσι λόγου πιθανοῦ δύναμιν, προσέθηκεν ἐν πράγματι πολιτικῷ. πρὸς δὲ τὸν κοινὸν λόγον, ὃν ⟨οὐ⟩ μαθόντες ἔχουσι λόγον πιθανὸν ἐνίοτε, προσέθηκε τὸ τεχνική· τέχνῃ γὰρ οἱ ῥήτορες λέγουσιν.

prolegomena rhet ibid t IV p 25, 6 εἴπωμεν δὲ τὸν ὅρον τῶν λεγόντων αὐτὴν τέχνην. ἔστι δὲ οὗτος· ῥητορική . . . λέγειν.

scholia in Aphthonium ibid t II p 2, 1 Τί ἐστι ῥητορική; δύναμις . . . λέγειν.

synopsis rhet ibid t III p 461, 19 Ὅρος ῥητορικῆς ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου διὰ τὴν τεκτονικὴν καὶ τὰς ἄλλας. πραγματείας καὶ βαναύσους τέχνας· ἐν πράγματι πολιτικῷ διὰ τὴν γραμματικὴν καὶ διαλεκτικήν, ὧν ἡ μὲν περὶ τόν τε χρόνον ⟨καὶ τόνον καὶ⟩ πνεύματα καὶ πάθη λόγων, ἡ δὲ περὶ πάντα· τέλος ἔχουσα τὸ εὖ λέγειν κατὰ τὸ ἐνδεχόμενον τοῦτο ἐκ τοῦ τέλους παρείληπται· οὐ

2 discrepantia extremae definitionis ex proxima definitione tracta est cf u 5 et supra p 198, 17 | πιθανῶς] καλῶς duo codices Veneti 3—6 a Spengelio non adferuntur 7 quanta auctoritate definitio Dionysii fuerit, hinc uideas quod Lollianus ea ut sua usus est. etiam Sopatri ipsius definitionem apparet illinc refictam esse l s p 17, 5 cf t VII p 34, 7 δύναμις λογικὴ ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν 12 λόγους πιθανούς, δύναμιν edebatur 14 negationem praecedente uocula absumptam restitui 17 prolixam et ineptam definitionis interpretationem p 25, 9—31 non referebat exscribi 25 τε] γε edebatur | καὶ τόνον καὶ inserui

γὰρ πανταχοῦ πείθει ὁ ῥήτωρ, ἀλλ' ἔσθ' ὅτε καὶ ἀποτυγχάνει· δεῖ μέντοι τοῦτον τὰ πείθειν πεφυκότα διεξιέναι.

II

27 **τρία ταῦτα τὴν ἀρίστην ἡμῖν ἔν τε τοῖς πολιτικοῖς λόγοις ἕξιν καὶ ἐν πάσῃ τέχνῃ τε καὶ ἐπιστήμῃ χορηγήσει· φύσις δεξιά, μάθησις ἀκριβής, ἄσκησις ἐπίπονος· ἅ περ καὶ τὸν Παιανιέα τοιοῦτον ἀπειργάσατο.**

Syrianus in Hermogenis status p 4, 19 Rab (t IV p 40 adn 6 Walzii cf Morellii bibliothecae manuscriptae t I p 299) *ἀκολούθως δὲ τῷ θείῳ Πλάτωνι καὶ Διονύσιος ὁ πρεσβύτερος ἐν τῷ πρώτῳ τῶν Περὶ μιμήσεως φησίν, ὅτι τρία ταῦτα . . . ἀπειργάσατο. πῶς οὖν ἥ τε τῶν ἀληθῶν καὶ δικαίων γνῶσις, ἔτι δὲ ἐπιστήμη τε καὶ μελέτη γενήσεται τῶν καλῶν ἀνδρὶ τὸ λαλεῖν ἐκ τοῦ λαλεῖν ἐπιτηδεύοντι κτλ.*

scholia mixta Aldi et Walzii t IV p 41, 1 *ἀλλὰ δὴ καὶ Διονυσίου τοῦ Ἁλικαρνασσέως τρία ταῦτα διατεινομένου τὴν ἀρίστην ἕξιν ἐν πολιτικοῖς λόγοις ἐμποιεῖν καὶ πάσῃ τέχνῃ τε καὶ ἐπιστήμῃ· μάθησιν ἀκριβῆ, φύσιν δεξιάν, ἄσκησιν ἐπίπονον· διὸ καὶ Δημοσθένης ἐν μὲν δικανικῷ καὶ συμβουλευτικῷ εὐδοκίμει, ἧττον δ' ἐν τῷ πανηγυρικῷ διὰ τὸ ἀτρεκὲς καὶ ἀμελέτητον.*

III

28 **μίμησίς ἐστιν ἐνέργεια διὰ τῶν θεωρημάτων ἐκματτομένη τὸ παράδειγμα.**

ζῆλος δέ ἐστιν ἐνέργεια ψυχῆς πρὸς θαῦμα τοῦ δοκοῦντος εἶναι καλοῦ κινουμένη.

Syrianus in Hermog de formis p 3, 16 Rab (t VII p 865, 8 Walzii cf Morellii bibl manuscr p 303) *Διονύσιος μὲν ἐν τῷ πρώτῳ Περὶ μιμήσεως ὁρίζεται τὴν μίμησιν οὕτως· μίμη-*

10 *Πλάτωνι* Phaedri p 269d   11 *τῶν* Messanensis: *τίτλῳ* Venetus   14 *τὸ* ex *τῷ* corr Venetus   20 *δ' ἐν*] *δὲ* libri   24 *ζήλου* definitionem ad eundem auctorem referendam esse res ipsa clamat

σίς . . . παράδειγμα. ὡς δὲ οἱ μεταγενέστεροι λέγουσιν, λόγος ἢ πρᾶξις ὁμοίωσιν εὖ ἔχουσαν τοῦ παραδείγματος περιέχουσα. ζῆλος δέ . . . κινουμένη.

Maximus Planudes ibid t V p 440, 5 *Διονύσιος μὲν τὴν μίμησιν οὕτως ὁρίζεται· μίμησίς . . . παράδειγμα· οἱ δὲ μεταγενέστεροι οὕτω· λόγος . . . . κινουμένη.*

cf [Dionysius] art rhet X 19 p 394 *ἔτι δὲ καὶ τὴν παλαιότητα μὴ ἐν τῇ θέσει τῶν βυβλίων νομίζωμεν εἶναι, ἀλλ' ἐν τῇ χρήσει τῆς ὁμοιότητος. μίμησις γὰρ οὐ χρῆσίς ἐστι τῶν διανοημάτων, ἀλλ' ἡ ὁμοία τῶν παλαιῶν ἔντεχνος μεταχείρισις· καὶ μιμεῖται τὸν Δημοσθένην οὐχ ὁ τὸ ⟨Δημοσθένους λέγων ἀλλ' ὁ⟩ Δημοσθενικῶς, καὶ τὸν Πλάτωνα ὁμοίως καὶ τὸν Ὅμηρον. καὶ πᾶσα μίμησις ὧδε ἔχει· τέχνης ζῆλος ἐκμάττων ἐνθυμημάτων ὁμοιότητα. μακρότερος ὁ περὶ μιμήσεως λόγος, ὃν ἀλλαχῇ μεταχειριούμεθα.*

IV

Vita Epiphanii p 336c Petauii (t I 25, 20 Dind) *ἔλεγεν γὰρ* 29 *Διονύσιος ὁ Ἁλικαρνασσεύς, ὅτι πρόσωπα προσώποις ἀλλήλως θεωρούμενα ἢ καλλιστεύειν δύνανται ἢ * * *. κακοὶ καλοῖς συμφυρέντες ἐν ἑνὶ ξύλῳ τανυσθήσονται. οὐδεὶς γὰρ ἀνθρώπων ἕνα χιτῶνα φορῶν ἀνάξαντον τὸ σῶμα διαφυλάξει. ἡ γὰρ πλείστη συντυχία πλείστους λόγους παρέχει· ὅπου δὲ πλεῖστοι λόγοι, πολυπειρία πραγμάτων διαφόρων.*

V

Syrianus in Hermog de formis p 5, 25 Rab (t VII 2 p 868, 8 30 Walzii cf Morellii bibl manuscr p 303) *ἔτι γε μὴν καὶ Διονύσιος πρὸς τῷ τέλει τοῦ ᾱ βυβλίου τῶν Περὶ μιμήσεως περὶ προαιρέσεώς τε καὶ δυνάμεως τῆς περὶ λόγους διεξιὼν ἔφη*

1 *μεταγενέστεροι*] philosophos nescio quos dicit   6 reliqua ad uerbum cum Syriano consentiunt   7 librorum lectio infra suo loco proponetur   17 cumulantur sententiae ex Dionysio excerptae, particulis male coniunctae   18 s de sententia cf infra p 221, 15 s | *ἀλλήλοις* traditur   19 *ἢ κακοὶ* traditur | fort *καλοὶ κακοῖς*   27 *ᾱ*] *Δ'* Venetus *τετάρτου* Messanensis, scholia. caecutiebat Walzius t V p 444 s | *βιβλίου* traditur | *τῶν*] *τῷ* Monacensis   28 *λόγους* Messanensis: *λόγον* Venetus

τῆς μὲν δυνάμεως τὴν κυριωτάτην εἶναι μοῖραν ἐν τῇ φύσει, ἣν οὐκ ἐφ' ἡμῖν ἔστιν οἵαν ἀξιοῦμεν ἔχειν· τῆς δὲ προαιρέσεως οὐδὲν μέρος ἐστὶν οὗ μὴ τὴν ἐξουσίαν ἡμεῖς ἔχομεν.

καὶ ἔοικεν ὁ τεχνογράφος ἐπιμελῶς ἐκείνοις ἐντετυχηκὼς καὶ αὐτὸς οὐκ ἐφ' ἡμῖν ὠνομακέναι τὴν φύσιν.

scholia mixta ibid *ἔτι γε μὴν καὶ Διονύσιος πρὸς τῷ τέλει τοῦ τετάρτου βυβλίου τῶν Περὶ μιμήσεως προαιρέσεώς τε καὶ δυνάμεώς φησι τὴν κυριωτάτην κτλ.*

In [Syriani] i e Phoebammonis ad Hermogenem *περὶ ἰδεῶν* prolegomenis quae p 98, 20—108, 2 Rab disputantur, pleraque ex hoc primo Dionysii libro petita esse facile tibi persuadeas.

B

ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ ποιητάς τε καὶ φιλοσόφους, ἱστοριογράφους ⟨τε⟩ καὶ ῥήτορας Dionysius

VI

31 I *Ὅτι δεῖ τοῖς τῶν ἀρχαίων ἐντυγχάνειν συγγράμ-* 415
μασιν, ἵν' ἐντεῦθεν μὴ μόνον τῆς ὑποθέσεως τὴν ὕλην
ἀλλὰ καὶ τὸν τῶν ἰδιωμάτων ζῆλον χορηγηθῶμεν. | ἡ 416
γὰρ ψυχὴ τοῦ ἀναγινώσκοντος ὑπὸ τῆς συνεχοῦς παρατηρήσεως τὴν ὁμοιότητα τοῦ χαρακτῆρος ἐφέλκεται. ὁποῖόν τι καὶ γυναῖκα ἀγροίκου παθεῖν ὁ μῦθος λέγει·

2 *ἣ* Messanensis | *ἔστιν*] *εἶναι* uolgabatur | *οἷον* Messanensis 5 *ὁ τεχνογράφος*] Hermogenes de formis I 1 t III p 190 Walz *κράτιστον μὲν γὰρ εἰ καὶ τὰ τῆς φύσεως συλλαμβάνοιτο (πλεῖον γὰρ ἂν οὕτως ἀγαθόν τις ἐργάσαιτο)· εἰ δὲ μή, ἀλλ' ὅ γε μαθητόν ἐστι καὶ διδακτόν, οὐκ ἐν ἄλλοις ἐφ' ἡμῖν δὲ ὄν, πειρατέον κτᾶσθαι· τάχα γὰρ ἂν οὕτω καὶ τοὺς εὖ πεφυκότας οἱ μὴ τοιοῦτοι μελέτῃ καὶ τῇ κατ' ὀρθὸν ἀσκήσει παρέλθοιεν* 18 *Ἔτι* s | *τῶν παλαιῶν* s 20 fort *καὶ τῶν ἰδιωμάτων τὸν ζῆλον* | *ἢ καὶ* V 21 *τοῦ γινώσκοντος* libri: corr s 23 *λέγειν* V

ἀνδρί, φασί, γεωργῷ τὴν ὄψιν αἰσχρῷ παρέστη δέος, μὴ τέκνων ὁμοίων γένηται πατήρ· ὁ φόβος δὲ αὐτὸν οὗτος εὐπαιδίας ἐδίδαξε τέχνην. καὶ εἰκόνας παραδείξας εὐπρεπεῖς εἰς αὐτὰς βλέπειν εἴθισε τὴν γυναῖκα· καὶ μετὰ ταῦτα συγγενόμενος αὐτῇ τὸ κάλλος εὐτύχησε τῶν εἰκόνων. οὕτω καὶ λόγων μιμήσεσιν ὁμοιό-
417 *της τί|κτεται, ἐπὰν ζηλώσῃ τις τὸ παρ' ἑκάστῳ τῶν παλαιῶν βέλτιον εἶναι δοκοῦν καὶ καθά περ ἐκ πολλῶν ναμάτων ἕν τι συγκομίσας ῥεῦμα τοῦτ' εἰς τὴν ψυχὴν μετοχετεύσῃ. καί μοι παρίσταται πιστώσασθαι τὸν λόγον τοῦτον ἔργῳ· Ζεῦξις ἦν ζωγράφος, καὶ παρὰ Κροτωνιατῶν ἐθαυμάζετο· καὶ αὐτῷ τὴν Ἑλένην γράφοντι γυμνὴν γυμνὰς ἰδεῖν τὰς παρ' αὐτοῖς ἐπέτρεψαν παρθένους· οὐκ ἐπειδή περ ἦσαν ἅπασαι καλαί, ἀλλ' οὐκ εἰκὸς ἦν ὡς παντάπασιν ἦσαν αἰσχραί· ὃ δ' ἦν ἄξιον παρ' ἑκάστῃ γραφῆς, ἐς μίαν ἠθροίσθη σώματος εἰκόνα, κἀκ πολλῶν μερῶν συλλογῆς ἕν τι συνέθηκεν ἡ τέχνη τέλειον [καλὸν] εἶδος. τοιγαροῦν*

1 *φησὶ* PMVs. cf Bochartus Hierozoicon II 49 p 545 s Heusdeni 2 *δ'* edunt 3 *εὐπαιδείας* PM *εὐπαιδεῖας* V: corr s | *παραδείξας*] *πλέξας* PM, *πλάσας οἶμαι* ut coniecturam supra *πλέξας* scripsit M: *πλάσας οἶμαι* s *πλάσας* V 4 *εἰς* P: *ὡς* MVs | *ἤθ[ι]σε* cum litura (ex *ἤθησε*?) P 6 *ἐκγόνων* ci Sylburgius | *μιμήσεων* libri, cf mus Rhen XXIII 161. *μιμήσεως* ci Sylburgius *μιμήσει· ὧν* Rutgersius uar lect II 10 p 120 glossema putabat Holwellus 7 *τὸ* P: *ὃ* MVs | *ἑκάστω* iota non adscripto P 8 *παλαιῶν . . . καθά περ ἐκ* om V | *παλ(αιῶν)* cum conpendio P: *πολλῶν* Ms | *δοκοῦν* P: *δοκεῖ* Ms | *καὶ* P: om Ms 9 *ἕν τι* P: *εἴ τις* MVs | *συγκομίσας* P: *κομίσας* MVs. cf Plut ad principem ineruditum 1 p 779f *Θεόπομπος εἰς ἑτέρους τὸ τῆς ἀρχῆς ὥσπερ ῥεύματος μεγάλου ῥεῖθρον παροχετευσάμενος, ὅσον ἄλλοις ἔδωκεν, ἑαυτοῦ περιέκοψεν* | *τοῦτ'* P: *τοὺς* MV *τι* s 10 *μετοχετεύσει* MVs 11 cf infra p 214, 4 13 *ἔπεμψαν* PMVs: corr Kiesslingius mus Rhen XXIII 252 14 *οὐκ . . . 17 εἰκόνα* om s 17 *συλλογῆς ἕν τι*] *συλλογίσαντι* libri 18 *καλόν. ἰδοὺ* PMs *καλόν. εἰδὸν* V: corr Kiesslingius, cf

πάρεστι καὶ σοὶ καθά περ ἐν θεάτρῳ παλαιῶν σωμά-
των ἰδέας ἐξιστορεῖν καὶ τῆς ἐκείνων ψυχῆς ἀπανθί-
ζεσθαι τὸ κρεῖττον, καὶ τὸν τῆς πολυμαθείας ἔρανον
συλλέγοντι οὐκ ἐξίτηλον χρόνῳ γενησομένην εἰκόνα
τυποῦν ἀλλ' ἀθάνατον τέχνης κάλλος.
* * ἐάν τ' ἐκδήλους καὶ σαφεῖς τοῖς ἀκροωμένοις 418
τὰς ἐκλογὰς ἔχῃ τὸ μίμημα.

II Τῆς μὲν οὖν Ὁμηρικῆς ποιήσεως οὐ μίαν τινὰ
τοῦ σώματος μοῖραν, ἀλλ' ἐκτύπωσαι τὸ σύμπαν, καὶ
λάβε ζῆλον ἠθῶν τε τῶν ἐκεῖ καὶ παθῶν καὶ | μεγέ- 419
θους, καὶ τῆς οἰκονομίας καὶ τῶν ἄλλων ἀρετῶν ἁπα-
σῶν εἰς ἀληθῆ τὴν παρὰ σοὶ μίμησιν ἠλλαγμένων.
τοὺς δ' ἄλλους, ἐν οἷς ⟨ἂν⟩ ἀλλήλων πλέον ἔχωσι,
2 χρὴ μιμεῖσθαι. Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς
3 δι' ὀνομάτων λειότητος καὶ συνθέσεως ἐμμελοῦς. Ἀντί-
16 μαχος δὲ εὐτονίας καὶ ἀγωνιστικῆς τραχύτητος καὶ
4 τοῦ συνήθους τῆς ἐξαλλαγῆς. Πανύασις δὲ τάς τε
ἀμφοῖν ἀρετὰς εἰσηνέγκατο, | καὶ αὐτὸς πραγματείᾳ 420
5 καὶ τῇ κατ' αὐτὸν οἰκονομίᾳ διήνεγκεν. Ζηλωτὸς δὲ

Poemandres 14 τῆς καλλίστης μορφῆς τοῦ ἀνθρώπου τὸ εἶδος | τοιγαροῦν PMV: om s 1 παλαιῶν] καλῶν libri 2 ἰδέαν V 3 πολυμαθίας V 6 ἐάν τ'] ἵνα τ' libri. hiatum notaui. sententia Dionysii non potuit nisi contraria esse | σαφεὶς P 7 ἐκλογίας PMVs: corr Sylburgius 8 in margine περὶ ὁμήρου PM | οὖν P: om MVs 10 ἐκεῖ] ἐκείνου aut ἐκείνης fuit qui coniceret 12 παρασοὶ P παρὰ σοῦ ci Kiesslingius | ἠλλαγμένων libri. nil profecerit qui ἠλλαγμένος aut ἐκμεμαγμένος coniecerit. uitium temporis epitomator admisit. accedunt excerptis quae Dionysius supra 121, 7—15 et Quintilianus X 1, 51 significant 13 δ' P: δὲ MVs | ἐν οὗ V | ἂν inserui | ἔχωσι P: ἔχουσι MVs 14 ἡσιοδ(ου) mg P 15 δι'] καὶ libri | ἀντ(ι)-μαχ(ου) mg P 16 δὲ PMs: δ' V? | τραχήτητος V 17 πα-νυασιδ(ος) mg P | Πανύασις ... 19 διήνεγκεν om V spatio uacuo trium uersuum et partis relicto 18 εἰσηνέγκατο Bonnetus sent controu V: ἠνέγκατο PMs tuebatur Kaibelius | αὐτὸς] αὐτὰς P αὐτῶν Ms 19 κατ' cf adn ad acta Pelagiae p 32 s

καὶ Πίνδαρος ὀνομάτων καὶ νοημάτων εἵνεκα, καὶ
μεγαλοπρεπείας καὶ τόνου καὶ περιουσίας κατασκευῆς
καὶ δυνάμεως, καὶ πικρίας μετὰ ἡδονῆς· καὶ πυκνό-
τητος καὶ σεμνότητος, καὶ γνωμολογίας καὶ ἐναργείας,
καὶ σχηματισμῶν καὶ ἠθοποιίας καὶ αὐξήσεως καὶ δει-
νώσεως· μάλιστα δὲ τῶν εἰς σωφροσύνην καὶ εὐσέ-
βειαν καὶ μεγαλοπρέπειαν ἠθῶν. Σιμωνίδου δὲ παρα- 6
τήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν
ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται
καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς ἀλλὰ
421 παθητικῶς. Ὅρα δὲ καὶ Στησίχορον ἔν τε τοῖς ἑκα- 7
τέρων τῶν προειρημένων πλεονεκτήμασι κατορθοῦντα,
οὐ μὴν ἀλλὰ καὶ ὧν ἐκεῖνοι λείπονται κρατοῦντα·
λέγω δὲ τῇ μεγαλοπρεπείᾳ τῶν κατὰ τὰς ὑποθέσεις
πραγμάτων, ἐν οἷς τὰ ἤθη καὶ τὰ ἀξιώματα τῶν
προσώπων τετήρηκεν. Ἀλκαίου δὲ σκόπει τὸ μεγαλο- 8
φυὲς καὶ βραχὺ καὶ ἡδὺ μετὰ δεινότητος, ἔτι δὲ καὶ
τοὺς σχηματισμοὺς καὶ τὴν σαφήνειαν, ὅσον αὐτῆς μὴ
422 τῇ διαλέκτῳ τι κεκάκωται· καὶ πρὸ ἁπάντων τὸ τῶν
πολιτικῶν ποιημάτων ἦθος· πολλαχοῦ γοῦν τὸ μέτρον
τις εἰ περιέλοι, ῥητορείαν ἂν εὕροι πολιτικήν. —
Ἴωμεν ἐπὶ τοὺς τραγῳδούς, οὐκ ἐπειδὴ μὴ προσήκει 9
πᾶσιν τοῖς ποιηταῖς ἐντυγχάνειν, ἀλλ' ἐπεὶ μὴ πάντων

1 πινδάρ(ου) mg P sed hoc ultimum adponit argumentum 2 κατασκευῆς] καὶ κατασκευῆς libri 4 ἐνεργείας libri 6 εὐσέβειαν uocis alterum ἐ euanuit in P 9 καθὸ PMV | βελτίον εὑρίσκεται V 10 ἀλλὰ] αλλ' ὡς εκεῖνος P, Ms ἀλλ' ὡς ἐκεῖ V 11 στησίχωρον P | εκατερον P ἑκάτερον MV ἑκατέρου s 14 τῆι μεγαλοπρεπείαι P, MV: τῆς μεγαλοπρεπείας s 18 καὶ τὴν σαφήνειαν] καὶ τὰς σαφηνείας PV μετὰ σαφηνείας (σα- ex τα- corr) M, s 19 τῆι διαλέκτω τι P: conicias τι ex iota adscripto natum esse 20 ποιημάτων] πραγμάτων libri 21 ῥητορείαν — πολιτικήν] ῥητορικὴν — πολιτείαν libri 23 πᾶσιν P: πᾶσι MVs

καιρὸς ἐν τῷ παρόντι μεμνῆσθαι· τὸ δὲ τῶν ἐξαιρέ-
10 των, ἱκανόν ἐστιν. Ὁ δ' οὖν Αἰσχύλος πρῶτος ὑψη-
λός τε καὶ τῆς μεγαλοπρεπείας ἐχόμενος, καὶ ἠθῶν
καὶ παθῶν τὸ πρέπον εἰδώς, καὶ τῇ τροπικῇ καὶ τῇ
κυρίᾳ λέξει διαφερόντως κεκοσμημένος, πολλαχοῦ δὲ
καὶ αὐτὸς δημιουργὸς καὶ ποιητὴς ἰδίων ὀνομάτων καὶ
πραγμάτων, Εὐριπίδου δὲ καὶ Σοφοκλέους καὶ ποικι-
11 λώτερος ταῖς τῶν προσώπων ἐπεισαγωγαῖς. | Σοφο- 423
κλῆς δὲ ἔν τε τοῖς ⟨ἤθεσι καὶ τοῖς⟩ πάθεσι διήνεγκεν
τὸ τῶν προσώπων ἀξίωμα τηρῶν· Εὐριπίδῃ μέντοι τὸ
ὅλον ἀληθὲς καὶ προσεχὲς τῷ βίῳ τῷ νῦν ἤρεσεν·
ὅθεν τὸ πρέπον αὐτὸν καὶ κόσμιον πολλαχοῦ διέφυγεν,
καὶ οὐχὶ τὰ γεννικὰ καὶ μεγαλοφυῆ τῶν προσώπων
ἤθη καὶ πάθη καθά περ Σοφοκλῆς κατώρθωσεν· εἰ δέ
τι ἄσεμνον καὶ ἄνανδρον καὶ ταπεινόν, σφόδρα ἰδεῖν
ἔστιν αὐτὸν ἠκριβωκότα. καὶ Σοφοκλῆς μὲν οὐ περιτ-
τὸς ἐν τοῖς λόγοις, ἀλλ' ἀναγκαῖος· ὁ δὲ Εὐριπίδης
πολὺς ἐν ταῖς ῥητορικαῖς εἰσαγωγαῖς. καὶ ὃ μὲν ποιη-
τικός ἐστιν ἐν τοῖς ὀνόμασι, καὶ πολλάκις ἐκ πολλοῦ
τοῦ μεγέθους εἰς διάκενον κόμπον ἐκπίπτων οἷον εἰς
ἰδιωτικὴν παντάπασι ταπεινότητα κατέρχεται· ὃ δὲ οὔτε
ὑψηλός ἐστιν οὔτε μὴν λιτός, ἀλλὰ κεκραμένῃ μεσό-
τητι τῆς λέξεως κέχρηται.

2 ἱκανῶν M | ὑψηλός τε PMV: om s 9 ἐν τε (ἕν τε M) τοῖς πάθεσι PMV ἐν τοῖς s. suppleui uerba duce particula τε | διήνεγκεν P: διήνεγκε MVs 10 εὐριπίδης PMV, s: corr Holwellus et Reiskius | μέντοι] μέν γε οὐ libri 12 διέφυγεν P: διέφυγε MVs 13 γενικὰ PMs γενηκὰ V 14 κατ[β]ωρθωσεν κ[α]αθαπερ σοφοκλησ ordine numeris α β mutato P: καθάπερ σοφοκλῆς κατώρθωσεν (κατάρθωσεν V) MVs 15 τις V 16 ἔστιν om V 17 εὐριπίδης rubro ante ὁ δὲ M 18 πολὺσ Ps: πολλαῖς MV | ὃ μὲν Euripides 21 ὃ δὲ] ὁ δὲ εὐριπίδης libri 22 κεκραμμένηι P | μεσότητι τῆς λέξεως P, MV: τῆς λέξεως μεσότητι s

424 Τῶν δὲ κωμῳδῶν μιμητέον τὰς | λεκτικὰς ἀρετὰς
ἁπάσας· εἰσὶ γὰρ καὶ τοῖς ὀνόμασι καθαροὶ καὶ σα-
φεῖς, καὶ βραχεῖς καὶ μεγαλοπρεπεῖς καὶ δεινοὶ καὶ
ἠθικοί. Μενάνδρου δὲ καὶ τὸ πραγματικὸν θεωρητέον.

III Τῶν μέντοι συγγραφέων Ἡρόδοτος μὲν ἐξείρ-
γασται βέλτιον τὸ πραγματικὸν εἶδος· τῷ δὲ λεκτικῷ
ποτὲ μὲν πλεονεκτεῖ Θουκυδίδης, ποτὲ δὲ ἔμπαλιν·
ἔστιν δ' ἐν οἷς ἐξισοῦνται. τῇ μὲν γὰρ ἀκριβείᾳ τῶν
425 ὀνομάτων, | ἧς ἑκάτεροι προῄρηνται διαλέκτου ἀπο-
σῴζουσι τὸ ἴδιον· τῆς σαφηνείας δὲ ἀναμφισβητήτως
Ἡροδότῳ τὸ κατόρθωμα δέδοται. καὶ τὸ μὲν σύντο-
μον ἔστι παρὰ Θουκυδίδῃ, τὸ δὲ ἐναργὲς παρὰ ἀμφο-
τέροις. ἐν μέντοι τοῖς ἠθικοῖς κρατεῖ ὁ Ἡρόδοτος, ἐν
δὲ τοῖς παθητικοῖς ὁ Θουκυδίδης. πάλιν καλλιλογίᾳ
καὶ μεγαλοπρεπείᾳ διαφέρουσιν οὐδὲν ἀλλήλων, ἀλλ'
ἑκάτεροι τούτων τε καὶ τῶν τοιούτων ἀρετῶν κρατοῦσι.
ῥώμῃ δὲ καὶ ἰσχύι καὶ τόνῳ καὶ τῷ περιττῷ καὶ πολυ-
σχηματίστῳ παρηυδοκίμησε Θουκυδίδης· ἡδονῇ δὲ καὶ
πειθοῖ καὶ χάριτι καὶ τῷ [ἀφελεῖ] αὐτοφυεῖ [ἀβασα-
νίστῳ] μακρῷ διενεγκόντα τὸν Ἡρόδοτον εὑρίσκομεν·
ὃς καὶ μετὰ τούτων τὸ πρέπον ⟨περὶ⟩ πραγματείαν
καὶ προσωποποιίαν μᾶλλον συντετήρηκεν.

1 μιμητέον] μιμεῖται libri. cf etiam Vlietius stud crit p 3 2 γὰρ] δὲ V | ὀνόμασι] νοήμασι libri: corr etiam Vlietius p 3 s | σοφεῖς V 4 Μένανδρος rubro ante Μενάνδρου M | δὲ supra uersum addit M | πραγματικὸν PMV: πρακτικὸν s 5 ἐξείργασται PMV: ἐξείργασται τὸ s 6 δὲ om V 8 εστιν P: ἔστι MVs | μὲν γὰρ P: μὲν MVs 9 ἧς ... διαλέκτου Kruegerus ad historiogr p 42 cl t I 360, 4 s: ἐν οἷς — διαλόγοις libri | [δια]λόγοις cum litura P 10 τῆς δὲ σαφηνείας s 11 κατώρθωμα P 12 εστι P ἔστι M | παρα P: παρ' MVs 13 κρατεῖ ὁ PMV: κρατεῖ s 19 glossemata hiatu arguuntur 20 εὑρίσκομεν· ὃς] ὡς εὑρίσκομεν PMV εὑρίσκομεν s 21 καὶ μετὰ τοῦτον τὸν τρόπον libri | περὶ inserui cf p 211, 2 22 μαλ-

2 ‖ *Φιλίστου δὲ καὶ Ξενοφῶντος * * ὁ μὲν Ξενοφῶν* 426 *Ἡροδότου ζηλωτὴς ἐγένετο κατά τε τὰς πραγματικὰς ἀρετὰς ⟨καὶ τὰς λεκτικάς· καὶ τῷ μὲν πραγματικῷ τύπῳ οὐχ ἥττων Ἡροδότου κατά τε τὰς ὑποθέσεις⟩ καὶ τὰς οἰκονομίας καὶ τὰ ἠθικά, τῷ δὲ λεκτικῷ πῇ μὲν ὅμοιος, πῇ δὲ ἐλάττων· ἐκλεκτικὸς μὲν γὰρ καὶ καθαρὸς τοῖς ὀνόμασι, καὶ σαφὴς καὶ ἐναργής, καὶ κατὰ τὴν σύνθεσιν ἡδὺς καὶ εὔχαρις, ὡς καὶ πλεῖον ⟨ἔχειν⟩ ἐκείνου· ὕψους δὲ καὶ μεγαλοπρεπείας καὶ καθόλου τοῦ ἱστορικοῦ πλάσματος οὐκ ἐπέτυχεν· ἀλλ' οὐδὲ τοῦ πρέποντος τοῖς προσώποις πολλάκις ἐστοχάσατο, περιτιθεὶς ἀνδράσιν ἰδιώταις καὶ βαρβάροις ἔσθ' ὅτε λόγους φιλοσόφους, λέξει χρώμενος διαλόγοις πρεπούσῃ μᾶλλον ἢ στρατιωτικοῖς κατορθώμασι. Φίλιστος δὲ μιμητής ἐστι | Θουκυδίδου, ἔξω τοῦ ἤθους· ᾧ μὲν γὰρ* 427 *ἐλεύθερον καὶ φρονήματος μεστόν· τούτῳ δὲ θεραπευτικὸν τῶν τυράννων καὶ δοῦλον πλεονεξίας. ἐζήλωκεν δὲ πρῶτον μὲν τὸ τὴν ὑπόθεσιν ἀτελῆ καταλιπεῖν τὸν αὐτὸν ἐκείνῳ τρόπον· οὐ μὴν ἀλλὰ καὶ τὴν ἀταξίαν αὐτοῦ τῆς οἰκονομίας· καὶ δυσπαρακολούθητον τὴν*

λονου τετηρηκεν P, V *μᾶλλον οὐ τετήρηκε* Ms 1 lacunam notaui. intercidit fere *τῶν τούτοις ἐπιγενομένων πολλή τίς ἐστι διαφορά* 3 hiatum expleui 5 *οἰκονομιας* P, MV: *οἰκονομικὰς* s | *τας ἠθικας* P, MVs | *τῶν διαλεκτικῶν* PMVs: corr Sylburgius 6 *ὁμοίως* MV | *ελεγκτικος* P, Ms *ἐλεκτικὸς* V: corr Sylburgius 7 *κατὰ* s: *μετα* P, MV 8 *ἄχαρις* V | *πλεῖ* cum foramine tineae ut tamen pars superior lineolae qua *ον* terminatio indicabatur dispici possit P: *πλεῖον* s *πλείων* MV 9 *καὶ* ante *καθόλου* om s 10 *πλάσματος* PV: *πράγματος* Ms 11 *π[ερι]τιθεὶς* cum litura *ε* litterae supra *π* positae (ex *παρα-*?) P 13 *διαλόγοις* P: *λόγοις* MVs 15 *ᾧ μὲν*] *ομεν* P *ὁμὲν* MV: *τὸ μὲν* s 16 *τοῦτο* libri 17 *τῶν* PMV: *τῆς* s | *δοῦλον* V: *δούλων* PM *ἄλλων* s | *ἐζήλωκε* MVs 18 *τὸ* ex *τῶ* corr M | *ἀφελῆ* Kruegerus ad historiogr p 46 cf Creuzerus de arte historica p 309[2]

πραγματείαν τῇ συγχύσει τῶν εἰρημένων πεποίηκεν. τῆς ⟨δὲ⟩ λέξεως τὸ μὲν γλωσσηματικὸν καὶ περίεργον οὐκ ἐζήλωκεν Θουκυδίδου· τὸ δὲ στρογγύλον καὶ πυκνὸν καὶ εὔτονον καὶ ἐναγώνιον πάνυ ἀκριβῶς ἀπεμάξατο, οὐ μὴν ὁμοίως τὴν καλλιλογίαν καὶ τὴν σεμνότητα καὶ τὴν ἀφθονίαν τῶν ἐνθυμημάτων, καὶ τὰ βάρη καὶ τὰ πάθη καὶ τοὺς σχηματισμούς. μικρὸς δὲ ἐστὶ καὶ ταπεινὸς κομιδῇ ταῖς ἐκφράσεσιν ἤτοι τόπων ἢ ναυμαχιῶν ἢ πεζῶν παρατάξεων ἢ οἰκισμοῦ πόλεων. οὐδὲ ὁ λόγος τῷ μεγέθει τοῦ πράγματος 428 *ἐξισοῦται. συνετὸς | μέντοι κατὰ τὴν ἑρμηνείαν. Θουκυδίδου ⟨δὲ⟩ πρὸς τοὺς ἀληθεῖς ἀγῶνας ὠφελιμώτερος.*

Θεόπομπος δὲ ὁ Χῖος πρῶτον μὲν ἐν τῷ προελέσθαι τοιαύτας ἱστορίας ὑποθέσεις ἄξιος ζήλου· μετὰ δέ, οἰκονομίας (ἔχει γοῦν τὸ εὐπαρακολούθητον καὶ σαφὲς ἡ γραφή)· ἔτι δὲ καὶ τῆς ποικιλίας τῆς ἐν τοῖς πράγμασιν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἐφ' ἑκάστοις παρρησίας καὶ τοῦ μηδὲ τὰς ἀπορρήτους τῶν γενομένων ἢ λεχθέντων αἰτίας ἀποκρύψασθαι, στοχάσασθαι δ' ἀκρι- 3 429 *βῶς τῆς τῶν | εἰπόντων ἢ πεποιηκότων γνώμης. τὸ ⟨δὲ⟩ λεκτικὸν αὐτοῦ τῷ Ἰσοκρατικῷ παραπλήσιον, πλὴν ὅσον πικρόν ἐστι καὶ σφόδρα ἔντονον, τὰ δ' ἄλλα*

2 *δὲ* inseruit s | *γλωσσημαντικὸν* V 3 *ἐζήλωκε* MVs 7 *τὰ βάρη καὶ τὰ πάθη* desunt in ep ad Pompeium p 781 sed cf t I 360, 9 *τόνον — βάρος — πάθος* 8 *ἐμφράσεσιν* V. cf artis rhet 10, 17 p 392 10 *τοῦ πράγματος* PMVs cf p 213, 7 s: *τῶν προσώπων* Kruegerus 11 *κατὰ*] *καὶ κατὰ* PMVs 12 *δὲ* inserui 13 *θεοπεμπτος* V | fort *μὲν τῷ* 14 *τοιαύτας* P: *τοιαύτης* MVs 15 *γοῦν* P *γοῦν* V: *οὖν* Ms 18 *τοῦ μηδὲ*] *μὴν οὐδὲ* PMV *μὴν τοῦ οὐδὲ* s *μὴν οὐδὲ τοῦ* Sylburgius 19 *ἀποκρύψασθαι* eo conpendio praepositionis (ut p 207, 9 *ἀποσώζουσι*) quod inperitus non legat nisi *ἐγ* P: *ἐγκρύψασθαι* MVs 20 *τὸ δὲ*] *τὸ* PMVs 21 *αὐτοῦ*] *αυτῷ* P, MVs 22 *ὅσον μικρόν* PMVs: corr Sylburgius | *εὔτονον* PMVs

ὁμοία ἡ λέξις· καὶ γὰρ κοινὴ καὶ σαφὴς καὶ μεγαλοπρεπὴς καὶ σεμνὴ καὶ πομπική, συνθέσεως τετυχηκυῖα τῆς πρὸς ἡδονήν. πονηρὰ δὲ ἡ πολλὴ τῆς τῶν φωνηέντων φυλακὴ συγκρούσεως καὶ ⟨αἱ⟩ κατεπιτετηδευμέναι κυκλικαὶ περίοδοι καὶ ⟨οἱ⟩ ὁμοιειδεῖς τῶν σχηματισμῶν. διήμαρτεν δὲ καὶ ὁμαλότητος πραγματικῆς κατὰ τὰς τῶν παρεκβάσεων ἐπεισαγωγάς· καὶ γὰρ ψυχρῶς ἔνιαι καὶ ἀκαίρως λέγονται, καθάπερ τὰ περὶ τὸν ἐν Μακεδονίᾳ Σιληνὸν ἱστορηθέντα καὶ τὰ περὶ τὸν δράκοντα τὸν πρὸς τὴν τριήρη ναυμαχοῦντα.

IIII [Τῶν φιλοσόφων δ' ἀναγνωστέον τούς τε Πυ- 430
θαγορικοὺς τῆς σεμνότητος καὶ τῶν ἠθῶν καὶ τῶν δογμάτων ἕνεκεν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἀπαγγελίας· μεγαλοπρεπεῖς γὰρ τῇ λέξει καὶ ποιητικοί· καὶ οὐδὲ παραλυποῦσι τὴν σαφήνειαν κεκραμένῃ τῇ διαλέκτῳ χρώμενοι.] μιμητέον δὲ * * μάλιστα Ξενοφῶντα καὶ Πλάτωνα τῶν τε ἠθῶν χάριν καὶ τῆς ἡδονῆς καὶ τῆς

3 δε καὶ πολλή τις (τῆς s) των φωνηεντων η συγκρουσις P, MVs cf supra 87, 15 φυλακὴ συμπλοκῆς φωνηέντων: ⟨εὐλάβεια, μή⟩ τις τῶν φωνηέντων ἤ (certe non ἤ ἡ ut traditur) σύγκρουσις Sauppius Philol 53, 434 4 καὶ αἱ] καὶ PMVs | κατεπιτήδευμαμὲν αἱ P κατ' ἐπιτήδευμα μὲν αἱ MVs: corr Kruegerus ad historiogr p 50 Dobraeus aduers I 561 5 καὶ ὁμοιειδεῖς P καὶ ὁμοιοειδεῖς MVs: corr Kruegerus p 51 6 διήμαρται M | ὁμαλότητος] ὃ μαλιστα ἐντὸς P, MVs | πρακτικὴ PMV πρακτικῆς s 9 σιληνὸν PV: σειληνὸν M, s 10 τῆι τριηρει P, MVs 11...16 ne is quidem qui hanc epitomam condidit scripsisse potest, cum sententia uerbis ἀναγνωστέον τούς τε incohata non continuetur uerbis μιμητέον δέ. addidit igitur Pythagoreorum sectator posterior qui spurios illorum libros admiraretur 13 εἵνεκεν s 15 παραλυπουσι P: παραλείπουσι MVs | κεκραμένῃ] αλλακεκραμμέν*ηι (ν alterum del) P ἀλλὰ κεκράμενοι M ἀλλὰ κεκραμένη V, s 16 post δὲ fenestra IX aut X litterarum capax in P, quam lacunam apographa non indicant. mirum ni ⟨τῶν φιλοσόφων⟩ omissum fuit 17 τε] δ' uitium exempli Reiskiani δὲ V

μεγαλοπρεπείας. παραληπτέον δὲ καὶ Ἀριστοτέλην εἰς μίμησιν τῆς τε περὶ τὴν ἑρμηνείαν δεινότητος καὶ τῆς σαφηνείας, καὶ τοῦ ἡδέος καὶ πολυμαθοῦς· τοῦτο γὰρ ἔστι μάλιστα παρὰ τοῦ ἀνδρὸς τούτου λαβεῖν. φιλοτιμώμεθα δ' αὐτοῦ καὶ τοῖς μαθηταῖς ἐντυγχάνειν, οὐδὲν ἐλάττονος οὖσι σπουδῆς ἀξίοις. |

431 Ἐπειδὴ τοίνυν τὰ περὶ τῶν ἄλλων ἀναγνωσμάτων 2
ἐστὶν ἡμῖν κεφαλαιωδῶς ἐξειργασμένα, ῥητέον λοιπὸν καὶ ὃ παρὰ τῶν ῥητόρων ἔστιν ἑκάστου λαβεῖν· ὃ δὴ καὶ μᾶλλον ἡμῖν ἀναγκαῖον.

V Ὁ Λυσιακὸς λόγος πρὸς τὸ χρήσιμον καὶ ἀναγκαῖόν ἐστιν αὐτάρκης, καὶ τὸ μὲν αὐχμηρὸν ἐκπεφευγώς, πάνυ δὲ λιτὸς καὶ ἰσχνὸς κατὰ τὴν ἀπαγγελίαν. ἔστι δὲ κομψὸς καὶ ἐναλήθης, καὶ τῷ ἀττικισμῷ
432 εὔ|χαρις· οὐ μὴν ἀτεχνῶς αὐξητικός, πλὴν τοῦ σκοποῦ λεληθότως ἐπιτυγχάνων, μετ' ἀκροτάτης τῆς κατὰ τὴν χάριν ἡδονῆς, ὡς ἀναγινωσκόμενον μὲν οὐ χαλεπὸν νομίζεσθαι, χαλεπὸν δὲ εὑρίσκεσθαι ζηλοῦν πειρωμένοις. μάλιστα δὲ ἐπιτευκτικὸς ἐν ταῖς διηγήσεσιν· ἰσχνότητι γὰρ τῆς φράσεως σαφῆ καὶ ἀπηκριβωμένην ἔχουσι τὴν τῶν πραγμάτων ἔκθεσιν. Ὁ δὲ Ἰσοκρατι- 2

1 ἀριστοτέλη libri 4 ἐστιν V | παρα P suprascripto ε in περι corr P² | τουτον P: om MVs 5 αὐτοῦ MVs: αυτ῀ i e αυτω P 6 ουδεν P: οὐδὲ MVs 9 scribendum καὶ ἃ | ῥητόρων] ρητορικῶν sic P, MVs 10 ὑμῖν V 12 αὐστηρὸν fuit cum conicerem 13 λιτὸς Reiskius: οὗτος PMVs. cf t I 204, 12 τὴν λιτὴν καὶ ἰσχνὴν καὶ ἀπέριττον φράσιν | ἰσχνὸς] στενὸς PMVs 14 ἔστι] ετι P, MVs ἐστὶ Reiskius | δὲ PMV: δὲ καὶ s | καὶ εναληθης P καὶ ληθὴς cum fenestra MV καὶ ἀληθὴς s | τῶ αττικισμῶ cum conpendiis P ut coniecerat Reiskius: τῶν αττικισμῶν MVs 15 ante εὔχαρις hiare oratio uidetur, fort καθαρὸς καὶ intercidit | ἀτεχνῶς] συνεχῶς PMVs 16 μετ' ἀκροτάτης] μετα κρεμαμένης PV corr M μετὰ κεκραμένης M¹s 17 οὐ χαλεπὸν] οὐχ ὅλον P, MVs εὔκολον ci Reiskius 18 πειρώμενον V

κὸς κομψεύεται μέν, ἀλλὰ μετὰ σεμνότητος, καὶ πανη-
γυρικώτερός ἐστι μᾶλλον ἢ δικανικώτερος. ἔχει δὲ
τὸν κόσμον μετὰ ἐναργείας, καὶ πομπικός ἐστι πέρα
τοῦ ἀνυστικοῦ καὶ χρησίμου· οὐ μὴν | ἀγωνιστικός, 433
περιγράφων δὲ τὴν ἀπαγγελίαν ταῖς περιόδοις, καὶ
ὅλως σεμνότητα σωφρονίζων λιτότητι, τὸ δὲ λιτὸν
ἐξαίρων * * καὶ αὐτοῦ μάλιστα ζηλωτέον τήν τε τῶν
ὀνομάτων ἐκλογὴν καὶ συνέχειαν καὶ τὸ τῆς ὅλης
3 ἰδέας ἐπιδεικτικόν. Ὁ δὲ Λυκούργειός ἐστι διὰ παν-
τὸς αὐξητικὸς καὶ διηρμένος καὶ σεμνός, καὶ ὅλως
κατηγορικὸς καὶ φιλαλήθης καὶ παρρησιαστικός· οὐ
μὴν ἀστεῖος οὐδὲ ἡδύς, ἀλλὰ ἀναγκαῖος. τούτου χρὴ
4 ζηλοῦν μάλιστα τὰς δεινώσεις. Ὁ δὲ Δημοσθενικὸς
εὔτονος τῇ φράσει ⟨καὶ⟩ κε|κραμένος τοῖς ἤθεσι καὶ 434
λέξεων ἐκλογῇ κεκοσμημένος καὶ χρώμενος τάξει τῇ
κατὰ τὸ συμφέρον καὶ μετὰ τοῦ σεμνοῦ τὴν χάριν
ἔχων καὶ συνεχής· οἷς μάλιστα δικασταὶ κατέχονται.
5 Ὁ δὲ Αἰσχίνειος ἀτονώτερος μὲν τοῦ Δημοσθενικοῦ,
ἐν δὲ τῇ τῶν λέξεων ἐκλογῇ πομπικὸς ἅμα καὶ δεινός·
καὶ οὐ πάνυ μὲν ἔντεχνος, τῇ δὲ παρὰ τῆς φύσεως

1 καμψεύεται V | πανηγυρικώτατός MV 3 μετὰ ἐνεργείας s | πέρα] μετα P, MVs. cf t I 58, 21 πέρα τοῦ χρησίμου 6 ολως μεσότητα P, MVs: corr Reiskius Corais Dobraeus | λιτότητι τὸ δέ om V 7 post ἐξαίρων spatium XVI fere litterarum capax uacuum reliquit P, etiam ampliores fenestras praebent MV sine lacunae nota s 8 ἐκλογὴν καὶ om s | τῆς ὅλης ἰδέας cf t I 135, 2 εἰς ἅπασαν ἰδέαν λόγων 9 λυκοῦργος PMVs 10 διηρημενος P, MV διηρημένος s: corr Stephanus p 78 | ὅλως P: ὅλος MVs 12 αλλ- i e αλλα P: ἀλλ᾽ MVs | τούτο M τοῦτο V 13 δημοσθενικ terminationis nota tineae foramine hausta P 14 καὶ inserui | κεκραμμένος P 15 λεξεων certo conpendio P ut infra u 19 (ὀνομάτων Dionysius scripturus erat): λέξεως MVs | χρώμεθα V 16 καὶ om V 17 συνεχής corruptum. an defendas conl u 8? 18 αἰσχίνης PMVs | τοῦ om V | Δημοσθένους s

εὐχερείᾳ κεχορηγημένος· καὶ σφόδρα ἐνεργὴς καὶ βαρὺς
καὶ αὐξητικὸς καὶ πικρός, καὶ ἡδὺς μὲν αὐτόθεν ἐν-
τυχόντι, σφοδρὸς δὲ ἐξετασθείς. Ὁ δὲ Ὑπερείδης 6
435 εὔστοχος μέν, σπάνιον δ᾽ αὐξη|τικός· καὶ τῇ μὲν τῆς
φράσεως κατασκευῇ Λυσίαν ὑπερηρκώς, τῇ δὲ τῆς
εὑρέσεως πανουργίᾳ πάντας. ἔτι δὲ τοῦ κρινομένου
διὰ παντὸς ἔχεται, καὶ τοῖς ἀναγκαίοις τοῦ πράγματος
προσπέφυκεν, καὶ συνέσει πολλῇ κεχορήγηται, καὶ
χάριτος μεστός ἐστι· καὶ δοκῶν ἁπλοῦς οὐκ ἀπήλ-
λακται δεινότητος. τούτου ζηλωτέον μάλιστα τῶν δι-
ηγήσεων τὸ λεπτὸν καὶ σύμμετρον, ἔτι δὲ καὶ τὰς
ἐφόδους, ⟨ὡς⟩ ἐπὶ τὰ πράγματα βαδίζει. |

Καί μοι καὶ τῶν ῥητόρων οὗτοι κεχαρακτηρισμένοι 7
καὶ δεδειγμένοι, τίνος ἀρετῆς ἐπειλημμένος εἰς ὠφέ-
λειαν τῶν ἐντυγχανόντων ἕκαστος συνεισφέρει. τού-
436 του δὲ ἕνεκα τὰς τῶν προειρημένων ἁπάντων ἰδέας
διεξῆλθον, ὡς ὑποδεδεῖχθαι τὸν τρόπον τῆς ἐπιμελοῦς
ἀναγνώσεως, ἐξ ἧς ὑπάρξει τὸ παρ᾽ ἑκάστοις κατορθού-
μενον αἱρουμένοις μήτε παρέργως τοῖς παλαιοῖς ἐν-
τυγχάνειν μήτε λεληθότως τὴν ὠφέλειαν προσγινο-
μένην περιμένειν ἀλλ᾽ ἐπιστημόνως, ἄλλως τε καὶ
κοσμήσειν μέλλουσι τὸν λόγον τοῖς παρὰ πάντων πλεο-
νεκτήμασιν· ἃ καὶ αὐτὰ μὲν οἰκείᾳ φύσει τέρπει, εἰ

1 εὐχρεία M εὐχρειὰ V | ἐναργὴς PMs ἐναργῆς V 3 ὑπεριδης P, MVs 4 εὔτονος V 5 ὑπερηρκὼς MVs: ὑπερηρηκὼς P 6 ευρεσεως P: in lacuna om MVs 7 τοις αναγκαιοις certis conpendiis P: ταῖς ἀνάγκαις MVs 8 προσπέφυκε MV πέφυκε s 12 ὡς inserui, αἷς cum Hoeschelio Sylburgius desiderabat 13 καί] καὶ δή Reiskius 15 ἕκαστος] καὶ αυτος P, MVs 17 ὥστε δεδεῖχθαι s 18 ἐξῆς P | ὑπάρχει V | παρ᾽ ἑκάστοις om V 19 αιρουμενην P, MVs | μήτε ... 21 περιμένειν om s, ex Amusaei libro restituerat Sylburgius 20 προγινομένην V 22 πλεονεκτήμασι MV 23 καὶ καταυτα P, MVs

δὲ καὶ κερασθείη διὰ τῆς τέχνης εἰς ἑνὸς τύπον λογικοῦ σώματος, βελτίων ἡ φράσις τῇ μίξει γίνεται.

VI[a]

31[a] Ὅτι ζωγράφος τις κάλλος ἄριστον γράψαι βουλόμενος τὰς κατὰ τὴν χώραν καλὰς γυναῖκας συνήθροισε, καὶ ἀφ' ἑκάστης τὸ τῶν μελῶν μιμούμενος κάλλιστον, τῆς μὲν ὀφθαλμούς, τῆς δὲ ῥῖνα, τῆς δὲ ὀφρύας καὶ ἀπ' ἄλλης ἄλλο (οὐδὲ γὰρ ἦν ἁπάσας καλὰ φέρειν τὰ πάντα), κάλλιστον εἶδος ἀπηκριβώσατο. ἔοικε δὲ τοῦτο λαβεῖν ἐκ τοῦ Ὁμήρου. καὶ γὰρ ἐκεῖνος ὑπογράφων τὸν Ἀγαμέμνονα [*B* 478 s]

ὄμματα (μὲν φησί) καὶ κεφαλὴν ἴκελος Διὶ ⟨τερπικεραύνῳ⟩,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

Maximus Planudes in collectaneis ab Aenea Piccolomini editis *Rivista di filologia* II 157 c 47 probabiliter ex ipso Dionysii libro sublatum hunc locum tradit, ut A Brinkmannus monuit. cf p 203, 11—18.

VII

32 Dionysius ep ad Pompeium c 3—6 infra p 232—248.

VIII

33 Syrianus in Hermog de formis p 10, 9 Rab (t VII 2 p 875, 2 uel Maximus Planudes ibid t V p 444, 12 Walzii cf Morellii bibl manuscr p 303) ἄμεινον δὲ τῷ Ἁλικαρνασεῖ Διονυσίῳ ἑπομένους ποιητικὸν μὲν λόγον φάναι τὸν τροπικῇ τε καὶ μεταφορικῇ καὶ διθυραμβώδει συνθήκῃ συντεθειμένον, ὁποία ἡ Γοργίου τοῦ ῥήτορος φράσις· πρῶτος γὰρ ἐκεῖνος, ὥς φησι Διονύσιος ἐν τῷ Περὶ μιμήσεως δευτέρῳ, τὴν ποιητικὴν καὶ διθυραμβώδη λέξιν εἰς τοὺς πολιτικοὺς εἰσήνεγκε λόγους.

1 τῆς P: om MVs 2 ἡ om s: restituit Sylburgius | γίνεται: ∼ τέ(λος) P 24 καὶ om libri Syriani | διθυραμβώδει ... 215, 3 καὶ om Messanensis | συντεθημένον Messanensis

Iohannes Siculus t VI p 102, 16 Walzii τὸν μὲν γὰρ (ποιητικὸν λόγον) ἡ τροπικὴ φράσις καὶ μεταφορικὴ καὶ διθυραμβικὴ συνθήκη ποιεῖ, ὁποία ἡ τοῦ Γοργίου, ὃν πρῶτόν φασιν εἰς τοὺς πολιτικοὺς μετενεγκεῖν τὰ τοιαῦτα λόγους.

IX

Γοργίας μὲν τὴν ποιητικὴν ἑρμηνείαν μετήνεγκεν 34
εἰς λόγους πολιτικούς, οὐκ ἀξιῶν ὅμοιον τὸν ῥήτορα τοῖς ἰδιώταις εἶναι. Λυσίας δὲ τοὐναντίον ἐποίησε· τὴν γὰρ φανερὰν ἅπασι καὶ τετριμμένην λέξιν ἐξήλωσεν ἔγγιστα νομίζων εἶναι τοῦ πεῖσαι τὸν ἰδιώτην τὸ κοινὸν τῆς ὀνομασίας καὶ ἀφελές· ἥκιστα γὰρ ἄν τις εὕροι τὸν Λυσίαν τροπικῇ καὶ μεταφορικῇ λέξει κεχρημένον· σεμνὰ δὲ καὶ περιττὰ καὶ μεγάλα φαίνε-

1 πρῶτον ed Walzius. proxima ad fr 34 pertinent 2 ἐκεῖνος om Messanensis | διονύσιος Venetus: ὁ Διονύσιος Aldus et cod Par ὁ ἁλικαρνασσεὺς alii codices Maximi | ἐν τῷ περὶ μιμήσεως δευτέρῳ Syrianus: ἐν τῷ (ἐκ τῶν Monac) περὶ μιμήσεως, χαρακτήρων καὶ συνθέσεως ὀνομάτων Maximus conprehensis omnibus Dionysii libris unde testimonia proferuntur (cf p 445, 5. 17), sed codicis Mon lectio indicio est haec olim in margine adscripta fuisse 6 διθυραμβικὴ] διθυραμβώδης τουτέστιν ἰαμβικὴ Walzius ex cod Parisino edidit: librarius uariam lectionem αμβικὴ pro interpretatione habuit 7 τοὺς ποιητικοὺς edebatur 10 cf supra u 3 s 15 ἥκιστα . . . 216, 2 κατασκευῆς ex libro de antiquis oratoribus I p 10, 9 Dionysius ipse excerpsit: ἥκιστα γὰρ . . . χρησάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν αὐτὸν ἄξιον, ἀλλ' ὅτι καὶ σεμνὰ καὶ περιττὰ . . . τοῖς κοινοτάτοις χρώμενος ὀνόμασι καὶ . . . κατασκευῆς. τοῖς δὲ προτέροις οὐχ αὕτη ἡ δόξα ἦν, ἀλλὰ βουλόμενοι κόσμον τινὰ προσεῖναι τοῖς λόγοις ἐξήλλαττον τὸν ἰδιώτην καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν et quae secuntur, etiam de Gorgia

σθαι τὰ πράγματα ποιεῖ τοῖς κοινοτάτοις ὀνόμασι χρώμενος καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς.

Syrianus ibidem p 11, 19 Rab (unde Maximus Planudes Walzii t V p 446, 3) *ἔτι γε μὴν ἐν τῷ Περὶ μιμήσεως ὁ αὐτός φησιν, ὅτι Γοργίας . . . . κατασκευῆς.*

X

35 *δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἑρμηνείας αὐτοῦ (τοῦ Λυσίου) χαρακτήρ, καὶ πολλοῖς ἂν καὶ τῶν φιλολόγων παράσχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς ἔργου μᾶλλον τεχνικοῦ κατεσκευασμένος· πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον, καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει.*

Syrianus ibidem p 12, 4 Rab (et Maximus Planudes Walzii t V p 446, 13) *ἔτι γε μὴν ὁ αὐτὸς ἐν τῷ αὐτῷ βυβλίῳ τὸ δοκοῦν ἀνεπιτήδευτον εἶναι ἀποίητον ὀνομάζει· καὶ πολὺ κάλλιον ἦν οὕτως ὀνομάσαι τὸ ἀνεπιτήδευτον, εἴ περ τοῦτο ἐβούλετο δηλῶσαι, ἢ 'ὡς ποιητικόν'. ἐπάγει γὰρ καὶ τάδε περὶ Λυσίου· δοκεῖ μὲν γὰρ . . . . τὸ δεινὸν ἔχει.*

Syrianus in Hermog de formis II 9 (p 361, 12 W) p 87, 16 Rab (et Maximus t V p 545, 11) *πανταχοῦ γὰρ ὁ Λυσίας, ὡς καὶ Διονύσιός φησι, τῇ οὔσῃ μέν, μὴ δοκούσῃ δὲ κέχρηται δεινότητι. καὶ βοᾷ περὶ αὐτοῦ διαρρήδην ἐν τῷ Περὶ μιμήσεως τάδε· πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον, καὶ τὸ μὴ δοκοῦν δεινῶς κατεσκευάσθαι δεινῶς ἔχει.*

Tzetzes in Hermog in Crameri anecdotis Oxon t IV p 127, 20

περὶ τῆς οὔσης λέγω δὲ καὶ μὴ δοκούσης εἶναι,
ὁποία ἡ δεινότης ἦν τοῦ ῥήτορος Λυσίου·
τὸ Δημοσθένους γὰρ δεινὸν κατ᾽ ἔννοιαν ὑπάρχει,
δεινότης ἡ Δεινάρχου δὲ γίνεται μόνη λέξει.

XI

[Dionysius] artis rhetor X 6 p 381 R *τοῦτον δὲ τὸν ἔλεγχον τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν μόνος Δημοσθένης ἐξέφυγεν κατὰ μίμησιν τὴν Πλάτωνος· πῶς καὶ τίνα τρόπον, ἐν τῷ περὶ μιμήσεως πειρασόμεθα.* 36

Γ

ὁ δὲ τρίτος περὶ τοῦ πῶς δεῖ μιμεῖσθαι
Dionysius

fragmentum nullum seruatur. sed pertinet huc epitomae p 213, 17—214, 2: cuius loci similem legi sententiam in excerptis ex Longino p 177, 5 Bakii I 327, 3 Sp *Ὅτι ἄριστοι λόγοι καὶ μιμήσεως ἄξιοι οἱ μὴ ἔχοντες ἑνὸς χαρακτῆρα ἀλλὰ διαφόρων* monuit Radermacher.

4 antea ex libro de compositione uerborum testimonia petita erant   7 fr 35 similiter ut superius fere ad uerbum ex t I p 16, 3 (= L) repetitum est | *τις* om Venetus   8 *ἑρμηνείας*] *ἁρμονίας* L | *καὶ* . . . 8 *παράσχοι*] *καὶ οὐ θαυμάσαιμ᾽ ἄν, εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παράσχοι* L   11 *παντὸς μᾶλλον ἔργου* L rectius   12 *αὐτοῦ*] *αὐτῷ* (*αὐτὸ* corr F) *τοῦτο* L   16 continuantur quae supra fr 34 adposita sunt | *βιβλίῳ* libri   18 *εἴ περ* Syrianus et cod Paris *ἐπείπερ* reliqui   19 *ὡς*] *ὡς οὐ* traditur mixta lectione: apud Hermogenem de formis I 1 t III p 191, 10 W tum *ὡς ποιητικός* tum *οὐ ποιητικός* legebatur cf Rhet t V p 445, 1 *ὡς ποιητικὸν δὲ λόγον· καὶ γὰρ οὕτω τινὲς γράφουσιν ἀντὶ τοῦ* (*ἀλλ᾽* editur) *οὐ ποιητικόν*

2 *κέχρηται* Syrianus: *χρῆται* Maximus | *βοᾷ περὶ αὐτοῦ διαρρήδην* Syrianus: *φησὶ περὶ αὐτοῦ* Maximus   4 *δέδεται* Syrianus: *οὐ λέλυται* Maximus   5 *δεινῶς κατεσκευάσθαι* om cod Monacensis Maximi | *δεινῶς ἔχει*] *τὸ δεινὸν ἔχει* supra et L   12 sq margini *σημ(είωσαι)* adpinxit P, M   14 *πῶς* . . . 15 *τῷ* litteris maiusculis P, rubris M exhibent   15 *ἐν τῷ*] *ἐν* supra posito *τ*, ut etiam *ἐν τοῖς* legere liceat P

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

ΠΡΟΣ ΠΟΜΠΗΙΟΝ ΓΕΜΙΝΟΝ

ΕΠΙΣΤΟΛΗ

Adhibentur

M Ambrosianus
E Estensis Mutinensis gr. 68 chartaceus
V Venetus Marcianus append. cl. X cod. 34
P Palatinus 58 nunc Vaticanus
B Parisiensis 1742
s editio princeps H. Stephani

---

750 ΔΙΟΝΥΣΙΟΣ ΓΝΑΙΩΙ ΠΟΜΠΗΙΩΙ

ΧΑΙΡΕΙΝ

Ἐπιστολήν τινα παρὰ σοῦ κομισθεῖσαν ἐδεξάμην εὐπαίδευτόν τε καὶ πάνυ μοι κεχαρισμένην, ἐν ᾗ γράφεις, ὅτι τὰς συντάξεις τὰς ἐμὰς ἐπιχορηγοῦντός σοι Ζήνωνος τοῦ κοινοῦ φίλου διαπορευόμενος καὶ πάνυ διατιθέμενος οἰκείως, ἐν αὐταῖς τὰ μὲν ἄλλα θαυμάζεις, ἑνὶ δὲ μέρει δυσχεραίνεις τῶν ἐν αὐταῖς κατακεχωρισμένων, τῇ Πλάτωνος κατηγορίᾳ. ὅτι μὲν οὖν σεβαστικῶς διάκεισαι πρὸς τὸν ἄνδρα, ὀρθῶς ποιεῖς·
751 ὅτι | δὲ περὶ ἡμῶν τἀναντία ὑπείληφας, οὐκ ὀρθῶς.
εἰ γάρ τις ἄλλος ἐκπλήττεται ταῖς Πλατωνικαῖς ἑρμη- 2
νείαις, εὖ ἴσθι νῦν, κἀγὼ τούτων εἷς εἰμι. ὃ δὲ πέπονθα πρὸς ἅπαντας, ὅσοι τὰς αὑτῶν ἐπινοίας εἰς τὴν κοινὴν φέρουσιν ὠφέλειαν ἐπανορθοῦντες ἡμῶν βίους τε καὶ λόγους, ἐρῶ σοι, καὶ πείσω γε νὴ Δία, πιστεύων καινὸν οὐδὲν ἐρεῖν οὐδὲ παράδοξον οὐδ' ὃ μὴ πᾶσιν ὁμοίως δοκεῖ.

1 Ἐπιστολή | Διονύσιος γναίωι πομπηίωι χαίρειν MEV et omisso ἐπιστολή Ps Διονύσιος γναίω πομπηΐω χαίρειν B 3 παρὰ σοῦ Ps 7 ἐν seruari potuit, οἰκείως absolute dicitur ut supra 35, 19. 46, 5 al 8 κατακεχωρισμένων PBs κατεκεχωρισμένων M[1] κατακεχειρισμένων M[2] cf Sadaeus p 53 s 11 τἀναντία Kiesslingius mus Rhen t XXIII 254: ταῦτα libri
12 τὰς Πλατωνικὰς ἑρμηνείας exspectabat Sylburgius conl t I 431, 11 13 ἴσθι, νῦν κἀγὼ edebant ἴσθι ὅτι κἀγὼ ci Reiskius 15 ἡμῖν Herwerdenus 16 πιστεύειν libri: corr Kiesslingius 17 εὑρεῖν libri: corr Reiskius

3 Ἐγὼ οὖν νομίζω δεῖν, ὅταν μὲν ἔπαινον προέληται
γράφειν τις πράγματος εἴτε σώματος ὁποίου γέ τινος,
τὰς ἀρετὰς αὐτοῦ καὶ οὐ τἀτυχήματα, εἴ τινα πρόσεστι,
[τῷ πράγματι ἢ τῷ σώματι δεῖν] προφέρειν· ὅταν δὲ
βουληθῇ διαγνῶναι, τί τὸ κράτιστον ἐν ὅτῳ δή ποτε
βίῳ καὶ τί τὸ βέλτιστον τῶν ὑπὸ ταὐτὸ γένος ἔργων,
τὴν ἀκριβεστάτην ἐξέτασιν προσφέρειν καὶ μηδὲν παρα-
λείπειν τῶν προσόντων αὐτοῖς εἴτε κακῶν εἴτε ἀγα-
θῶν· | ἡ γὰρ ἀλήθεια οὕτως εὑρίσκεται μάλιστα, ἧς 752
4 οὐδὲν χρῆμα τιμιώτερον. τοῦτο δὴ προθέμενος ἐκεῖνο
λέγω· εἰ μὲν ἔστι μοι κατὰ Πλάτωνος λόγος τις κατα-
δρομὴν περιέχων τοῦ ἀνδρὸς ὥσπερ Ζωΐλῳ τῷ ῥήτορι,
ἀσεβεῖν ὁμολογῶ· καὶ εἴ γε βουληθεὶς ἐγκώμιον αὐτοῦ
γράφειν ψόγους τινὰς συγκαταπλέκω τοῖς ἐπαίνοις,
ἀδικεῖν φημι καὶ παρεκβαίνειν τοὺς καθεστῶτας ἡμῖν
ἐπὶ τοῖς ἐπαίνοις νόμους· οὐ γὰρ ὅτι διαβολὰς οἴομαι
5 δεῖν γράφειν ἐν αὐτοῖς, ἀλλ' οὐδ' ἀπολογίας. εἰ δὲ
χαρακτῆρας λόγου προελόμενος σκοπεῖν καὶ τοὺς πρω-
τεύοντας ἐν αὐτοῖς φιλοσόφους τε καὶ ῥήτορας ἐξετά-
ζειν τρεῖς μὲν ἐξ ἁπάντων ἐξελεξάμην τοὺς δοκοῦντας
εἶναι λαμπροτάτους, Ἰσοκράτην τε καὶ Πλάτωνα καὶ
Δημοσθένη, ἐκ δὲ τούτων αὐτῶν πάλιν προέκρινα

2 γέ] δή Kiesslingius 3 αὐτὸν Herwerdenus | τ' ἀτυχήματα V, E τὰ τυχήματα M τὰ ἀτυχήματα PBs | εἴ τι libri: corr Reiskius 4 τῷ πράγματι ἢ τῷ σώματι expunxerat Herwerdenus, ego cum Kiesslingio δεῖν addidi spuriis 5 ὅτω δέ ποτε P 7 προφέρειν libri. cf Plato Philebi p 23ᵃ 9 in u ἀλήθεια, ἧς ... τιμιώτερον uestigia poetae dispexit Brinkmannus conl Nauckio ad Eurip fr 1029 10 δὴ] δὲ s 11 ἔστί V ἐστί MPB ἔστι s 14 γράφειν λόγους libri: corr Holwellus p 330 et Bontadosus | ἐγκαταπλέκω cum Reiskio Herwerdenus 15 ἀδικεῖν ... 16 τοῖς ἐπαίνοις om Ps cf Sauppius *Gött. gel. Anz.* 1863 p 123 18 κοπεῖν E | πρωτεύσαντας Sadaeus p 207 s 19 φιλοσόφοις M

Δημοσθένη, οὐδὲν ᾤμην οὔτε Πλάτωνα οὔτε Ἰσοκρά-
την ἀδικεῖν.
753 | Νὴ Δία, φῄς, ἀλλ' οὐκ ἔδει σε τὰ Πλάτωνος 6
ἁμαρτήματα ἐξελέγχειν, βουλόμενον ἐπαινεῖν Δημο-
σθένη. ἔπειτα πῶς ἄν μοι τὴν ἀκριβεστάτην βάσανον
ὁ λόγος ἔλαβεν, εἰ μὴ τοὺς ἀρίστους λόγους τῶν Ἰσο-
κράτους τε καὶ Πλάτωνος τοῖς κρατίστοις ⟨τῶν⟩ Δη-
μοσθένους ἀντιπαρέθηκα καὶ καθ' ὃ μέρος ἥττους οἱ
τούτων λόγοι εἰσὶ τῶν ἐκείνου, μετὰ πάσης ἀληθείας
ἐπέδειξα, οὐχ ἅπαντα τοῖς ἀνδράσιν ἐκείνοις ἡμαρτῆ-
σθαι λέγων (μανίας γὰρ τοῦτό γε), ἀλλ' οὐδ' ἅπαντα
ἐπίσης κατωρθῶσθαι. εἰ δὲ τοῦτ' οὐκ ἐποίουν, ἐπῄ- 7
νουν δὲ Δημοσθένη πάσας διεξιὼν αὐτοῦ τὰς ἀρετάς,
ὡς μὲν ἀγαθὸς ὁ ῥήτωρ, ἔπεισα πάντως ἂν τοὺς
ἀναγνωσομένους· ὡς δὲ καὶ κράτιστος πάντων τῶν
πρωτευσάντων περὶ λόγους, οὐκ ἂν ἔπεισα μὴ παρατι-
θεὶς αὐτῷ τοὺς ἀρίστους· πολλὰ γὰρ τῶν καθ' αὑτὰ
φαινομένων καλῶν καὶ θαυμαστῶν ἑτέροις ἀντιπαρατε-
754 θέντα κρείττοσιν ἐλάττω τῆς δόξης ἐφάνη. οὕτω | γέ
τοι καὶ χρυσὸς ἑτέρῳ χρυσῷ παρατεθεὶς κρείττων εἴτε
καὶ χείρων εὑρίσκεται καὶ πᾶν ἄλλο χειρούργημα, καὶ
ὅσων ἐνέργεια τὸ τέλος. εἰ δὲ ἀχάριστον ὑπολήψεταί 8
τις ἐν τοῖς πολιτικοῖς λόγοις τὴν ἐκ τῆς συγκρίσεως
ἐξέτασιν καὶ καθ' ἑαυτὸν ἕκαστον ἀξιώσει σκοπεῖν,

1 ἰσοκράτη E 3 φησίν libri φήσεις ci Sylburgius 4 δημοσθένη MEV: Δημοσθένην uolgatur 7 τῶν cum Herwerdeno inserui 12 κατορθῶσθαι P | τοῦτο οὐκ VPs 13 δημοσθένην libri | ἀρετὰς mg B γραφὰς B¹ 14 ὁ om E 17 κατ' αὐτὰ B¹ 20 εἴτε] τε libri 22 ὅσον MV | ἐνάργεια libri: corr Bontadosus. cf supra p 134, 11 τέχνας ὧν ἐνέργειά τις ἢ ποίησις τὸ τέλος 23 τῆς deleuit Herwerdenus 24 ἑαυτὸ Bs | ἀξιώσειε E

οὐδὲν κωλύσει τὸ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων
ποιεῖν, καὶ μήτε ποίησιν ἀντεξετάζειν ἑτέρᾳ ποιήσει
μήθ' ἱστορικὴν σύνταξιν ἑτέρᾳ συντάξει μήτε πολιτείαν
πολιτείᾳ μήτε νόμον νόμῳ, μὴ στρατηγὸν στρατηγῷ,
μὴ βασιλεῖ βασιλέα, μὴ βίῳ βίον, μὴ δόγματι δόγμα·
τοῦτο δ' οὐκ ἄν τις συγχωρήσειε νοῦν ἔχων.

9 *Εἰ δὲ δεῖ καὶ τὰς ἐκ τῶν μαρτυριῶν παρασχέσθαι
σοι πίστεις, ἐξ ὧν μᾶλλόν σοι γενήσεται καταφανές,
ὅτι κράτιστος ἐλέγχου τρόπος ὁ κατὰ σύγκρισιν γιγνό-
μενος, ἀφεὶς τοὺς ἄλλους αὐτῷ χρήσομαι μάρτυρι Πλά-
10 τωνι. βουληθεὶς γὰρ ὁ ἀνὴρ ἐπιδείξασθαι τὴν αὐτοῦ
δύναμιν ἣν εἶχεν ἐν τοῖς πολιτικοῖς λόγοις, οὐκ
ἠρκέ|σθη ταῖς ἄλλαις γραφαῖς, ἀλλὰ καὶ * * * κρατί- 755
στου τῶν τότε ῥητόρων ἕτερον αὐτὸς ἐν τῷ Φαίδρῳ
συνετάξατο λόγον ἐρωτικὸν εἰς τὴν ⟨αὐτὴν⟩ ὑπόθεσιν·
καὶ οὐδὲ ἄχρι τούτου προελθὼν ἐπαύσατο καταλιπὼν
ἐπὶ τοῖς ἀναγνωσομένοις τὴν διάγνωσιν, πότερός ἐστι
κρείττων λόγος, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων ἥψατο
τῶν Λυσιείων, τὰς μὲν λεκτικὰς μαρτυρῶν τῷ ἀνδρὶ
11 ἀρετάς, τῶν δὲ πραγματικῶν ἐπιλαμβανόμενος. ὁπότε
οὖν Πλάτων τὸ φορτικώτατον καὶ ἐπαχθέστατον τῶν
ἔργων προελόμενος, αὐτὸν ἐπαινεῖν κατὰ τὴν δύναμιν
τῶν λόγων, οὐδὲν ᾤετο ποιεῖν κατηγορίας ἄξιον, εἰ
παρὰ τὸν ἄριστον τῶν τότε ῥητόρων τοὺς ἰδίους ἐξ-

4 μὴ νόμον libri   5 βί[ῳ] βί[ον] cum rasura M   7 δεῖ] δὴ MEB^1 9 ὁ Ps: om MEVB | γιγνόμενος MVB: γινόμενος EPs   10 ἀφεῖς M   13 hiatum etiam Sadaeus sensit. quem sic fere expleas ἀλλὰ καὶ ⟨Λυσίου λόγον ἐρωτικὸν ἐκδεδωκότος, τοῦ⟩ κρατίστου | κράτιστον Ps   15 αὐτὴν cum Herwerdeno suppleui   17 ἐπὶ] ἐν libri, deleuit Reiskio auctore Herwerdenus | πότερος MEV: ὁπότερος PBs   18 λόγος deleuit Herwerdenus   19 λυσείων libri Λυσίου s   23 οὐδὲ V

ετάζειν ἠξίου λόγους ἐπιδεικνύμενος Λυσίαν τε ἐν οἷς
ἡμάρτηκεν καὶ ἑαυτὸν ἐν οἷς κατώρθωκε, τί θαυμα-
στὸν ἐποίουν ἐγὼ τοῖς Δημοσθένους λόγοις συγκρίνων
τοὺς Πλάτωνος καὶ εἴ τι μὴ καλῶς ἐν αὐτοῖς ἔχειν |
756 ᾤμην, ἐπιλογιζόμενος; ἐῶ γὰρ τὰς ἄλλας αὐτοῦ γρα- 12
φὰς παραφέρειν, ἐν αἷς κωμῳδεῖ τοὺς πρὸ ἑαυτοῦ, 6
Παρμενίδην τε καὶ Ἱππίαν καὶ Πρωταγόραν καὶ Πρό-
δικον καὶ Γοργίαν καὶ Πῶλον καὶ Θεόδωρον καὶ Θρα-
σύμαχον καὶ ἄλλους συχνούς, οὐκ ἀπὸ τοῦ βελτίστου
πάντα περὶ αὐτῶν γράφων ἀλλ' εἰ βούλει, καὶ ἀπὸ
φιλοτιμίας· ἦν γάρ, ἦν ἐν τῇ Πλάτωνος φύσει πολλὰς 13
ἀρετὰς ἐχούσῃ τὸ φιλότιμον. ἐδήλωσε δὲ τοῦτο μά-
λιστα διὰ τῆς πρὸς Ὅμηρον ζηλοτυπίας, ὃν ἐκ τῆς
κατασκευαζομένης ὑπ' αὐτοῦ πολιτείας ἐκβάλλει στεφα-
νώσας καὶ μύρῳ χρίσας, ὡς δὴ τούτων αὐτῷ δέον
ἐκβαλλομένῳ, δι' ὃν ἥ τε ἄλλη παιδεία πᾶσα παρῆλθεν
εἰς τὸν βίον καὶ τελευτῶσα φιλοσοφία. ἀλλὰ θῶμεν 14
ἀπὸ τοῦ βελτίστου δι' αὐτὴν τὴν ἀλήθειαν πάντα
λέγειν [ἀληθῆ] Πλάτωνα· τί οὖν ἄτοπον ἐποιοῦμεν
⟨αὐτοὶ⟩ τοῖς ἐκείνου νόμοις χρώμενοι καὶ ἀντιπαρ-
εξετάζειν αὐτῷ τοὺς τῶν ἐπακμασάντων λόγους βουλό-
μενοι;

14 s Plato rei publ III p 398a

2 ἡμάρτηκε s   5 ὑπολογιζόμενος ci Herwerdenus   7 προταγόραν P   8 θεώδωρον P^1 11 ἦν γὰρ ἦν μὲν τῇ libri (sed μὲν om E): corr Kruegerus | φύσει om E   13 ζηλωτυπίας P^1 15 τούτων libri: τούτου Reiskius   16 ἐκβαλλομένῳ libri: ἐκβαλλομένου Reiskius cum structura latina non graeca. neque sententia dubia est   17 ἡ ante φιλοσοφία Reiskio auctore Kruegerus inseruit   18 ἀπὸ] εἰς τὸν βίον ἀπὸ E^1 19 ἀληθῆ deleuit Herwerdenus cf Vlietius Stud crit p 79   20 αὐτοὶ interposui, ἡμεῖς praeeunte Kruegero Herwerdenus

15 | Ἔπειτ' οὐ μόνος οὐδὲ πρῶτος ἐγὼ φανήσομαι 757
περὶ Πλάτωνος ἐπιχειρήσας τι λέγειν. οὐδ' ἄν τις
ἔχοι κατ' αὐτὸ τοῦτο μέμψασθαί με τὸ μέρος, ὅτι τὸν
ἐπιφανέστατον τῶν φιλοσόφων καὶ πλείοσιν ἢ δώδεκα
γενεαῖς ἐμαυτοῦ πρεσβύτερον ἐξετάζειν * * * ἐπεβαλό-
16 μην ὡς δὴ διὰ τοῦτο δόξης τινὸς τευξόμενος. πολλοὶ
γὰρ εὑρεθήσονται πρὸ ἐμοῦ τοῦτο πεποιηκότες, οἳ μὲν
κατὰ τὸν ἐκείνου γενόμενοι χρόνον, οἳ δὲ λίαν ὕστερον
ἐπακμάσαντες. καὶ γὰρ τὰ δόγματα διέβαλον αὐτοῦ
τινες καὶ τοὺς λόγους ἐμέμψαντο πρῶτον μὲν ὁ γνη-
σιώτατος αὐτοῦ μαθητὴς Ἀριστοτέλης, ἔπειτα οἱ περὶ
Κηφισόδωρόν τε καὶ Θεόπομπον καὶ Ζωΐλον καὶ Ἱπ-
ποδάμαντα καὶ Δημήτριον καὶ ἄλλοι συχνοί, οὐ διὰ
φθόνον ἢ διὰ φιλαπεχθημοσύνην κωμῳδοῦντες ἀλλὰ
17 τὴν ἀλήθειαν ἐξετάζοντες. τοσούτοις δὴ καὶ τηλικού-
16 τοις ἀνδράσι παραδείγμασι χρώμενος καὶ παρὰ πάντας
τῷ μεγίστῳ Πλάτωνι οὐδὲν ἡγούμην τῆς φιλοσόφου
ῥητορικῆς ποιεῖν ἀλλότριον ἀγαθοὺς ἀγαθοῖς ἀντεξετά-
ζων. περὶ μὲν οὖν τῆς προαιρέσεως, ἣν ἔσχον ἐν τῇ
συγκρίσει τῶν χαρακτήρων, ἱκανῶς ἀπολελόγημαι καὶ
σοί, Γεμῖνε φίλτατε. |

2 Λοιπὸν δ' ἐστί μοι καὶ περὶ αὐτῶν ὧν εἴρηκα λό- 758
γων περὶ τἀνδρὸς ἐν τῇ περὶ τῶν Ἀττικῶν πραγμα-
τείᾳ ῥητόρων εἰπεῖν. θήσω δὲ αὐταῖς λέξεσιν, ὡς ἐκεῖ

1 *οὐδὲ μόνος οὐδὲ* libri: corr Herwerdenus *οὔτε μ. οὔτε* Sadaeus p 210 | *ἐγὼ φανήσομαι*] *ἐπιφανήσομαι* Vs 2 *περὶ*] *κατὰ* Herwerdenus 3 *καθ'* B¹ | *τὸν*] *τῶν* E 5 spatio XVII litterarum hiat M XV—XVI E, XIV V: hiatum non indicant PBs 7 *προεμοῦ* MB 9 *ἐπεκμάσαντες* P 10 *ἐμέμψατο* M¹ | *πρῶτος* Herwerdenus | *γνησιότατος* P 12 *ζωΐζον* P | *Ἱπποδάμαντα*] *Ἀλκιδάμαντα* Kruegerus temere 19 *ἣν*] *ἧς* ci Herwerdenus | *ἔχον* B¹ 20 *ἀπολελόγισμαι* libri: corr Reiskius 21 *σοί γε ἡμῖν φίλτατε* libri: corr Wilamowitzius

γέγραφα· "Ἡ δὲ δὴ Πλατωνικὴ διάλεκτος βούλεται 2
μὲν εἶναι καὶ αὐτὴ μῖγμα ἑκατέρου τῶν χαρακτήρων,
τοῦ τε ὑψηλοῦ καὶ ἰσχνοῦ, καθάπερ εἴρηταί μοι πρό-
τερον· πέφυκε δὲ οὐχ ὁμοίως πρὸς ἀμφοτέρους τοὺς
χαρακτῆρας εὐτυχής. ὅταν μὲν οὖν τὴν ἰσχνὴν καὶ 3
ἀφελῆ καὶ ἀποίητον ἐπιτηδεύῃ φράσιν, ἐκτόπως ἡδεῖά 6
ἐστι καὶ φιλάνθρωπος. καθαρά τε γὰρ ἀποχρώντως
γίνεται καὶ διαυγής, ὥςπερ τὰ διαφανέστατα τῶν να-
μάτων, ἀκριβής τε καὶ λεπτὴ παρ' ἥντιν' οὖν ἑτέραν
759 τῶν τὴν αὐτὴν διάλεκτον | εἰργασμένων, τήν τε κοινό- 4
τητα διώκει τῶν ὀνομάτων καὶ τὴν σαφήνειαν ἀσκεῖ 11
πάσης ὑπεριδοῦσα κατασκευῆς ἐπιθέτου· ὅ τε πίνος ὁ
τῆς ἀρχαιότητος ἠρέμα αὐτῇ καὶ λεληθότως ἐπιτρέχει
ἱλαρόν τέ τι καὶ τεθηλὸς καὶ μεστὸν ὥρας ἄνθος
ἀναδίδωσι, καὶ ὥςπερ ἀπὸ τῶν εὐωδεστάτων λειμώνων
αὖρά τις ἡδεῖα ἐξ αὐτῆς φέρεται, καὶ οὔτε τὸ λιγυρὸν
ἔοικεν ἐμφαίνειν λάλον οὔτε τὸ κομψὸν θεατρικόν.
ὅταν δ' εἰς τὴν περιττολογίαν καὶ τὸ καλλιεπεῖν, ὃ 5
πολλάκις εἴωθε ποιεῖν, ἄμετρον ὁρμὴν λάβῃ, πολλῷ

1—p 230, 12 = de Demosthene c 5—7 p 136, 11—139, 20
12 *πῖνος ὁ ῥύπος ἤτοι ὁ ἐπικείμενος χνοῦς ὡς ἐπὶ μήλων καὶ ἀπίων καὶ δαμασκηνῶν* scholion. cf supra p 37 t I 137

1 *ἔγραψα* P | proxima usque ad p 230, 12 ex libro de Demosthene (*Δ* dico) petita sunt non nullis ut facere Dionysius solet (cf Sadaeus p 16. 141 s) mutatis. unde H Stephanus editionem principem (s) modo recte emendauit modo male interpolauit 2 *μῖγμα Δ*: *δεῖγμα* (ex *μεῖγμα*) libri 3 *καὶ* etiam *Δ*: *καὶ τοῦ* Herwerdenus 4 *δ' Δ* 6 *ἐπιτηδεύει* MP | *ἡδεῖα*] *ἰδία* P 7 *τε* om *Δ* 8 *ναμάτων Δ*s: *σωμάτων* libri 10 *τὴν*] *εἰς τὴν Δ*s | *κοινωτητα* P¹ 12 *ὑπεριδοῦσα Δ*Bs: *ὑπεριδοῦσαν* MEVP | *πῖνος* libri: *πῖνος αὐτῇ καὶ χνοῦς Δ*s ex interpolatione cf scholion utrique loco adscriptum 13 *αὐτῇ* om *Δ*s 14 *ἱλαρόν* MEVPB: *χλοερόν Δ*s | *τι* om E 16 *φέρεται Δ*s: *εἰσφέρεται* libri 18 *καλλιεπεῖν Δ*ᵐ (i e codex M): *κάλλιστον εἰπεῖν* libri *κάλλιον εἰπεῖν Δ*(uolg)s

χείρων ἑαυτῆς γίγνεται· καὶ γὰρ ἀηδεστέρα καὶ κάκιον
ἑλληνίζουσα καὶ παχυτέρα φαίνεται· μελαίνει τε τὸ
σαφὲς καὶ ζόφῳ ποιεῖ παραπλήσιον, ἕλκει τε μακρὸν
ἀποτείνουσα τὸν νοῦν, συστρέψαι δὲ δέον ἐν ὀλίγοις
ὀνόμα|σιν ἐκχεῖται εἰς ἀπειροκάλους περιφράσεις, πλοῦ- 760
τον ὀνομάτων ἐπιδεικνυμένη, ὑπεριδοῦσα δὲ τῶν κυρίων
ὀνομάτων κἀν τῇ κοινῇ χρήσει κειμένων τὰ πεποιημένα
6 ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. μάλιστα δὲ χειμάζε-
ται περὶ τὴν τροπικὴν φράσιν· πολλὴ μὲν γὰρ ἐν τοῖς
ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις, σκληρὰ δὲ
καὶ οὐ σῴζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς
γίγνεται, ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολ-
λὰς οὔτε μέτρον ἐχούσας οὔτε καιρόν, σχήμασί τε
ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα
τοῖς Γοργιείοις ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται·
καὶ 'πολὺς ὁ τελέτης ἐστὶν ἐν τοῖς τοιούτοις παρ'
αὐτῷ', ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που καὶ
ἄλλοι συχνοί· 'οὐ γὰρ ἐμὸς ὁ μῦθος'.
7 Μηδεὶς δέ με ταῦτα ἡγείσθω λέγειν ἁπάσης κατα-

16 Demetrius Phal fr   18 Euripides fr 484 p 511 Nauck

1 ⟨αὐτὴ⟩ ἑαυτῆς Herwerdenus. tu cf t I 325, 8 Sauppius *Gött gel anz* 1863 p 129 | καὶ γὰρ] καὶ P | ἀηδεστέρα] ἀηδεστέρα τῆς ἑτέρας Δs | κακίων MEVB   2 τε Δ Hudsonus cf Sadaeus p 105: τε γὰρ libri   3 τε] τ' εἰς Kruegero auctore Herwerdenus, cf Sauppius l s 129 s   4 δὲ om Δ   5 χεῖται δ' εἰς Δ   6 ἐπιδεικνυμένη] ἐπιδεικνυμένη κενόν Δs | δὲ] τε Δs | κυρίων] ἰδίων E   7 ὀνομάτων om Δs | καὶ ἐν Δs καὶ libri: corr Herwerdenus | κοινῇ] κοι E   9 γὰρ om Δ   10 ἄκαινος E | δὲ ἐν PB | μετωνυμίαις Δ: ἐπωνυμίαις libri   11 ταῖς συμφοραῖς E   13 καιρόν] καινὸν E   14 προβάλλουσιν P   15 γοργειίοις libri γοργίοις Δ: corr Herwerdenus | ἐναμβρύνεται E ἐναβρύεται V   16 πολὺς ὁ τελετὴς libri πολυτέλειά τις Δs. cf Meinekius anal Alex p 343 | ἐστὶν om Δ (non s)   18 συχνοί libri: συχνοὶ πρότερον Δ Sylburgius   19 ἡγείσθω B

761 γινώσκοντα τῆς ἐγκατασκεύου καὶ ἐξηλλαγμένης λέ|ξεως
ᾗ κέχρηται Πλάτων (μὴ γὰρ οὕτω σκαιὸς γενοίμην
ὥστε ταύτην τὴν δόξαν περὶ ἀνδρὸς τηλικούτου λαβεῖν),
ἐπεὶ πολλὰ καὶ περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυ-
μαστὰ καὶ ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ'
αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενον, ὅτι τὰ
τοιαῦτα ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἴωθεν ἁμαρ-
τάνειν, καὶ χείρων ⟨μὲν⟩ αὐτὸς αὑτοῦ γίνεται, ὅταν
τὸ μέγα διώκῃ καὶ περιττὸν ἐν τῇ φράσει, μακρῷ δέ
τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ ⟨καὶ⟩ δο-
κοῦσαν μὲν ἀποίητον εἶναι κατεσκευασμένην δὲ ἀμω-
μήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ· ἢ γὰρ
οὐδὲν ἁμαρτάνει ἢ κομιδῇ βραχύ τι καὶ οὐκ ἄξιον
κατηγορίας. ἐγὼ δὲ ἠξίουν τηλικοῦτον ἄνδρα πεφυ- 8
λάχθαι πᾶσαν ἐπιτίμησιν. ταὐτὰ γὰρ οἵ τε κατ' αὐτὸν
γενόμενοι πάντες ἐπιτιμῶσιν, ὧν τὰ ὀνόματα οὐδὲν
δεῖ με λέγειν, καὶ αὐτὸς ἑαυτῷ (τοῦτο γὰρ τὸ λαμ-
762 πρότατον)· ᾔσθετο γὰρ | τῆς ἰδίας ἀπειροκαλίας καὶ
ὄνομα ἔθετ' αὐτῇ τὸ διθύραμβον· ὃ νῦν ἂν ᾐδέσθην

19 Plato Phaedri p 238^d cf 241^e

1 ἐξηλαγμένης P   2 Πλάτων Δs: πλάτων τῆς τοιαύτης φράσεως libri | μὴ γὰρ οὕτω σκαιὸς MEVB οὐ γὰρ οὕτω σκαιὸς P: μὴ (οὐ s) γὰρ ἂν οὕτω σκαιὸς μηδ' ἀναίσθητος ἐγὼ Δs   4 καὶ ante περὶ om Δ   6 βουλόμενον M Reiskius: βουλόμενος PEVBΔs | τὰ om Δ   8 μὲν Δs: om libri | αὑτοῦ EBs: αὐτοῦ MVP   9 διώκ[η] cum litura B   10 καὶ ante δοκοῦσαν Δs: om libri   11 κατασκευασμένην MP | ἀμωμήτω EP, s: ἀμωκήτω MVB ἀμωμήτως Δ   12 ἀφελῆ E   13 ἢ κομιδῇ (κω- V) βραχύ τι libri: καθάπαξ ἢ βραχύ τι κομιδῇ Δs | τι in rasura M   15 ταῦτα γὰρ libri | γὰρ οἵ τε] μέντοι καὶ οἱ Δ | καθ' αὐτὸν MV   16 πάντες] ὡς ἁμαρτάνοντι τῷ ἀνδρὶ Δ   17 γὰρ] γὰρ δὴ Δs   18 γὰρ] γὰρ ὡς ἔοικεν Δs
19 ὄνομαμα sed puncto subiecto corr M | ἔθετ' EVPB ἔθετ M: ἔθετο Δs | τὸ MEVPB: τὸν Δs del Herwerdenus

ἐγὼ λέγειν ἀληθὲς ὄν. τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς λόγοις ἰσχνοτάτοις οὖσι καὶ ἀκριβεστάτοις, οὐ μείνας δ' ἐν αὐτοῖς ἀλλὰ τῆς Γοργίου καὶ Θουκυδίδου κατασκευῆς ἐρασθείς· ὥστ' οὐδὲν ἔξω τοῦ εἰκότος ἔμελλεν πείσεσθαι σπάσας τινὰ καὶ τῶν ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς, ὧν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.

9 Παραδείγματα δὲ τῆς ἰσχνῆς καὶ τῆς ὑψηλῆς λέξεως ἐξ ἑνὸς βυβλίου τῶν πάνυ περιβοήτων παραθήσομαι, ἐν ᾧ τοὺς ἐρωτικοὺς ὁ Σωκράτης διατέθειται λόγους πρὸς ἕνα τῶν γνωρίμων Φαῖδρον, ἀφ' οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ βυβλίον' . . . .

13 Ἐν γὰρ τούτοις τὸ μὲν πραγματικὸν οὐδαμῇ μέμφο- 764 μαι τοῦ ἀνδρός, τοῦ δὲ λεκτικοῦ μορίου τὸ περὶ τὴν τροπικήν τε καὶ διθυραμβικὴν φράσιν ἐκπῖπτον, ἐν οἷς οὐ κρατεῖ τοῦ μετρίου, ἐπιτιμῶ τε οὐχ ὡς τῶν τυχόντων τῳ ἀλλ' ὡς ἀνδρὶ μεγάλῳ καὶ ἐγγὺς τῆς

1 ὡς] ὡς μὲν Δ   2 λόγοις E: διαλόγοις libri, Δs   4 αὐτοῖς ex τοῖς corr M | ἀλλὰ τῆς] ἄλλας M[1] | τῆς] τοῖς P   5 ὥστὲ P | ἔμελλε Δs   8 παράδειγμα δὲ Δs | τῆς ἰσχνῆς καὶ (τῆς addit unus P) ὑψηλῆς libri: ποιοῦμαι τῆς γε ὑψηλῆς Δs | τῆς τ' ἰσχνῆς Herwerdenus   9 βυβλίου EV: βιβλίου ceteri παραθήσομαι] ποιήσομαι libri om Δs   10 ὁ Σωκράτης post 11 λόγους traicit Δs | διατέθειται MVPB: διατίθεται EΔs 11 γνωρίμην M[1]   12 βυβλίον in Δ exemplum Dudithianum: βιβλίον libri. post hanc uocem Stephanus ex Δ uerba c 7 p 139, 20 ἐν γὰρ δὴ . . . . 141, 6 φθέγγομαι ita inseruit ut ipse Platone adsumpto locum Phaedri p 238[b] ἡ γὰρ ἄνευ . . . . 238[d] φθέγγομαι integrum adscriberet, quo facto accidit ut eum Dionysii uerba interposita p 140, 19 καὶ τοσαύτην . . . 141, 2 καί φησι plane fugerint eorumque loco in hac epistula nunc Platonica p 238[c] ἀτὰρ ὦ φίλε . . . σὲ εἴληφε legantur. i nunc et crede ista librariorum errore intercidisse   13 ἐν γὰρ τούτοις] ἐν τούτοις μὲν οὖν s   14 τοῦ δὲ λεκτικοῦ μορίου] τῆς δὲ λέξεώς τι μόριον libri defensum a Schenkelio cl p 243, 4   16 τε] δ' Reiskius ci   17 τυχόντων τῳ s τυχόντών τω B: τυχόντων τῶ MVP τυχόντων τῶ ἄλλω E

θείας ἐληλυθότι φύσεως, ὅτι τὸν ὄγκον τῆς ποιητικῆς κατασκευῆς εἰς λόγους ἤγαγε φιλοσόφους ζηλώσας τοὺς περὶ Γοργίαν, ὥστε καὶ διθυράμβοις τινὰ ποιεῖν ἐοι-
765 κότα, καὶ μηδὲ ἀποκρύπτεσθαι τοῦτο τὸ ἁμάρ|τημα ἀλλ' ὁμολογεῖν.

καὶ σύ γε αὐτός, ὦ βέλτιστε Γεμῖνε, 14 ὁμοίαν ἐμοὶ γνώμην περὶ τἀνδρὸς ἔχων φαίνῃ δι' 6 αὐτῆς γέ τοι τῆς ἐπιστολῆς, ἐν οἷς κατὰ λέξιν οὕτω γράφεις· 'ἐν μὲν γὰρ τοῖς ἑτέροις σχήμασι ῥᾴδιον πεσεῖν μέσον τι ἐπαίνου καὶ μέμψεως· ἐν δὲ τῇ κατασκευῇ τὸ μὴ ἐπιτευχθὲν πάντη ἀποτυγχάνεται. διό μοι δοκεῖ τούτους τοὺς ἄνδρας οὐκ ἐκ τῶν ἐπικινδυνοτέρων οὐδὲ ἐλασσόνων, ἀλλ' ἐκ τῶν πλείστων καὶ εὐτυχηθέντων ἐξετάζειν'.

καὶ μετ' ὀλίγα πάλιν 15 ἐπιλέγεις ταυτί· 'ἐγὼ δὲ καίπερ ἔχων ἀπολογήσασθαι ὑπὲρ ἁπάντων ἢ τῶν γε πλείστων οὐ τολμῶ σοι ἐναντία λέγειν· ἓν δὲ τοῦτο διισχυρίζομαι, ὅτι οὐκ ἔστι μεγάλως ἐπιτυχεῖν ἐν οὐδενὶ τρόπῳ μὴ τοιαῦτα τολμῶντα καὶ παραβαλλόμενον, ἐν οἷς καὶ σφάλλεσθαι ἐστὶν ἀναγκαῖον'.

Οὐδὲν διαφερόμεθα πρὸς ἀλλήλους· 16 σύ τε γὰρ ὁμολογεῖς ἀναγκαῖον εἶναι τὸν ἐπιβαλλόμενον μεγάλοις καὶ σφάλλεσθαί ποτε, ἐγώ τέ φημι τῆς ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ παρακεκινδυνευμένης φράσεως ἐφιέμενον Πλάτωνα μὴ περὶ πάντα τὰ μέρη
766 κατορθοῦν, πολλο|στὴν μέντοι μοῖραν ἔχειν τῶν κατορθουμένων τὰ διαμαρτανόμενα ὑπ' αὐτοῦ. καὶ καθ' ἓν

8 et 14 Cn Pompei fragmenta

1 ὅτι s: ὅτε libri   2 εἰς Kruegero auctore Herwerdenus: καὶ libri ἐπὶ Sylburgius   5 γεμῖνε MEB[1] γεμεῖνε V: γναῖε Ps mg B   6 ὅμοιαν B   7 ἐν ᾗ cum Kruegero Herwerdenus   10 ἐπιτυχθὲν Kruegerus   11 fort διὸ ⟨δεῖν⟩ μοι | ἐπικινδυνωτάτων libri: corr Herwerdenus   14 ἀπολογίσασθαι MVP   17 μεγάλας P[1] μεγάλων s   18 σφάλεσθαι P

τοῦτο Πλάτωνά φημι λείπεσθαι Δημοσθένους, ὅτι παρ'
ᾧ μὲν ἐκπίπτει ποτὲ τὸ ὕψος τῆς λέξεως [τῶν λόγων]
εἰς τὸ κενὸν καὶ ἀηδές, παρ' ᾧ δὲ οὐδέποτε ἢ σπανίως
γε κομιδῇ. καὶ περὶ μὲν Πλάτωνος τοσαῦτα.
3 Περὶ δὲ Ἡροδότου καὶ Ξενοφῶντος ἐβουλήθης
6 μαθεῖν, τίνα περὶ αὐτῶν ὑπόληψιν ἔχω, καὶ γράψαι
με περὶ αὐτῶν ἐβουλήθης. πεποίηκα [καὶ] τοῦτο οἷς
⟨πρὸς⟩ Δημήτριον ὑπεμνηματισμαι περὶ μιμήσεως. τού-
των ὁ μὲν πρῶτος αὐτὴν περιείληφε τὴν περὶ τῆς μι-
μήσεως ζήτησιν, ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας
μιμεῖσθαι δεῖ ποιητάς τε καὶ φιλοσόφους, ἱστοριογρά-
φους ⟨τε⟩ καὶ ῥήτορας, | ὁ δὲ τρίτος περὶ τοῦ πῶς 767
δεῖ μιμεῖσθαι μέχρι τοῦδε ἀτελής. ἐν δὴ τῷ δευ-
τέρῳ περὶ Ἡροδότου τε καὶ Θουκυδίδου καὶ Ξενοφῶν-
τος καὶ Φιλίστου καὶ Θεοπόμπου (τούτους γὰρ ἔκρι-
νον τοὺς ἄνδρας εἰς μίμησιν ἐπιτηδειοτάτους) τάδε
γράφω·
2 Εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡρο-
δότου καὶ Θουκυδίδου ταῦτα φρονῶ. πρῶτόν τε καὶ
σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γρά-

1 πλάτωνά ex πλάτων ἁ corr M 2 τῶν λόγων Sylburgio auctore Kruegerus seclusit. sed dubites utrum glossema sit, hoc an τῆς λέξεως 3 κενὸν MV²B¹ καινὸν EV¹PB²s cf Vlietius stud cr p 12 s | ἀληθὲς libri ἀηθὲς s: corr Holwellus
7 ἐβουλήθης seclusit Kruegerus ἐδεήθης ci Brinkmannus | πεποίηκα cf t I 258, 17 | καὶ ex antecedente syllaba natum est | οἷς πρὸς] εἰς libri 8 ὑπομνηματισμὸν libri ἐν τοῖς ⟨πρὸς⟩ Δημήτριον ὑπομνηματισμοῖς Schenkelius 9—10 ζητήσεως μίμησιν libri: corr Sylburgius 11 καὶ ante ἱστοριογράφους inseruit Herwerdenus 13 μέχρι τοῦδε] περὶ τούτου δὲ libri. quo seruato δ' ἔτι ἀτελὴς ⟨ὁ λόγος uel ἡ γραφή⟩ ci Schenkelius | ἀτελὴ[ς] cum rasura M¹ | δὴ] δὲ libri 15 ἐκκρίνων libri ἐκκρίνω Hudsonus ἐγκρίνω ego olim: corr Brinkmannus 16 ⟨ὡς⟩ εἰς ci Reiskius 19 πρῶτόν τε] πρῶτον ὅτι libri 20 γράφουσι V

φουσιν πᾶσιν ἱστορίας ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ
κεχαρισμένην τοῖς ἀναγνωσομένοις. τοῦτο Ἡρόδοτος
κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου. ἐκεῖνος 3
μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβαρικῶν πρά-
ξεων ἐξενήνοχεν ἱστορίαν, 'ὡς μήτε τὰ γενόμενα ἐξ
ἀνθρώπων ἐξίτηλα γένηται, μήτε ἔργα' .... καὶ ἅπερ
αὐτὸς εἴρηκε. τὸ γὰρ αὐτὸ προοίμιον καὶ ἀρχὴ καὶ
τέλος ἐστὶ τῆς ἱστορίας. ὁ δὲ Θουκυδίδης πόλεμον 4
768 ἕνα γράφει, καὶ τοῦτον | οὔτε καλὸν οὔτε εὐτυχῆ· ὃς
μάλιστα μὲν ὤφειλε μὴ γενέσθαι, εἰ δὲ μή, σιωπῇ καὶ
λήθῃ παραδοθεὶς ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι.
ὅτι δὲ πονηρὰν εἴληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο
ποιεῖ φανερὸν ἐν τῷ προοιμίῳ· πόλεις τε γὰρ δι' αὐτὸν 5
ἐξερημωθῆναί φησι πολλὰς Ἑλληνίδας, τὰς μὲν ὑπὸ
βαρβάρων, τὰς δ' ὑπὸ σφῶν αὐτῶν, καὶ φυγαδείας καὶ
φθόρους ἀνθρώπων ὅσους οὔπω πρότερον γενέσθαι,
σεισμούς τε καὶ αὐχμοὺς καὶ νόσους καὶ ἄλλας πολλὰς
συμφοράς. ὥστε τοὺς ἀναγνόντας τὸ προοίμιον ἠλλο-
τριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλληνικῶν μέλλοντας
ἀκούειν. ὅσῳ δὲ κρείττων ἡ τὰ θαυμαστὰ ἔργα δη- 6

5 Herodotus I 1 13—18 Thucyd I 23, 2 s

1 πᾶσιν] πάσας MEV om PBs | ἱστορίας uitiose iterauerat P¹ 2 κεχαρμένην P 4 βαρβάρων libri: corr Schaefer ad Dion de compos uerb p 15 6 ἐξίτηλα γένηται om EV | ἐξίτιλα P | ἔργα MEV: τὰ ἔργα BPs. ἔργα ⟨μεγάλα καὶ θαυμαστά, τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροις ἀποδειχθέντα ἀκλεᾶ γένηται⟩ ex Herodoto suppleuit Herwerdenus | καὶ ἅπερ] καθάπερ ci Sylburgius 7 προοίμιόν τε καὶ libri 11 ἐπιγινομένων MV 12 γε s: τε libri 13 αὐτῶν E 14 φησι πολλὰς MEV: φησὶ B φησιν Ps | τὰς μὲν MEV: πολλὰς τὰς μὲν PBs
15 φυγαδείας] φυγάδας libri φυγὰς s 16 φθόρους] φόνους s cf Thuc οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ φόνος
17 τε καὶ αὐχμοὺς καὶ νόσους iterauerat P¹ | νόσους] ὄμβρους νόσους E

λοῦσα Ἑλλήνων τε καὶ βαρβάρων γραφὴ τῆς τὰ οἰκτρὰ
καὶ δεινὰ πάθη τῶν Ἑλλήνων διαγγελλούσης, τοσούτῳ
φρονιμώτερος Ἡρόδοτος Θουκυδίδου κατὰ τὴν ἐκλογὴν
τῆς ὑποθέσεως. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἔνεστιν εἰπεῖν,
ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ ταύτην τὴν γραφήν, ἐπι-
στάμενος ⟨μὲν ὡς⟩ ἐκεῖνα καλλίω, βουλόμενος | δὲ μὴ 769
ταὐτὰ ἑτέροις γράφειν· πᾶν γὰρ τοὐναντίον ἐν τῷ
προοιμίῳ διασύρων τὰ παλαιὰ ἔργα κάλλιστα καὶ θαυ-
μασιώτατα τὰ καθ' αὑτὸν ἐπιτελεσθέντα φησὶν εἶναι,
7 καὶ φανερός ἐστι ταῦτα ἑκὼν ἑλόμενος. οὐ μὴν Ἡρό-
11 δοτός γε τοῦτο ἐποίησεν, ἀλλὰ τῶν πρὸ αὐτοῦ συγ-
γραφέων γενομένων Ἑλλανίκου τε καὶ Χάρωνος τὴν
αὐτὴν ὑπόθεσιν προεκδεδωκότων οὐκ ἀπετράπετο, ἀλλ'
ἐπίστευσεν αὑτῷ κρεῖσσόν τι ἐξοίσειν· ὅπερ καὶ πε-
ποίηκεν.

8 Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον
γνῶναι πόθεν τε ἄρξασθαι καὶ μέχρι τοῦ προελθεῖν
δεῖ. φαίνεται δὴ κἀν τούτῳ Θουκυδίδου πολὺ Ἡρό-
δοτος φρονιμώτερος· ἄρχεταί τε ἀφ' ἧς αἰτίας ἤρξαντο
πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι, καὶ
προελθὼν εἰς τὴν ⟨τῶν⟩ βαρβάρων κόλασιν καὶ τι-
9 μωρίαν λήγει. ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο
ἀφ' ἧς ἤρ|ξατο κακῶς πράττειν τὸ Ἑλληνικόν· ὅπερ 770
Ἕλληνα ὄντα καὶ Ἀθηναῖον οὐκ ἔδει ποιεῖν (καὶ ταῦτα

6 *μὲν ὡς* inserui syllabis antecedentibus hausta, *μὲν ὄντα* praeiuerat Herwerdenus 7 *ταὐτὰ*] *ταῦτα* ME 8 *κάλλιστα* s: *μάλιστα* libri *μέγιστα* Roesslerus 10 *προελόμενος* ci Reiskius 12 *Ἑλλανίκου*] *Ἑκαταίου* Benedictus | *χαίρωνος* libri: corr Stephanus p 77 13 *προεκδεδωκότος* MEVB¹ 14 *αὐτῷ* MEV *αὐτῶν* BPs: corr Herwerdenus | *πεποίηκε* (P?) s 17 *τοῦ*] *ποῦ* MEV 19 ⟨*ὃς*⟩ *ἄρχεται* Reiskius 20 *πρώτων* E 21 *τῶν* suppleuit Herwerdenus 23 *ἀφ' οὗ* Kruegerus *κακῶς* E: *καλῶς* ceteri

οὐ τῶν ἀπερριμμένων ὄντα, ἀλλ' ὧν ἐν πρώτοις ἦγον
Ἀθηναῖοι στρατηγιῶν τε καὶ [τῶν] ἄλλων τιμῶν ἀξι-
οῦντες)· καὶ οὕτω γε φθονερῶς, ὥςτε καὶ τῇ πόλει τῇ
ἑαυτοῦ τὰς φανερὰς αἰτίας τοῦ πολέμου περιάπτειν,
ἑτέραις ἔχοντα πολλαῖς ἀφορμαῖς περιάψαι τὰς αἰτίας,
καὶ ἄρξασθαί γε τῆς διηγήσεως μὴ ἀπὸ τῶν Κερκυραϊ-
κῶν, ἀλλ' ἀπὸ τῶν κρατίστων τῆς πατρίδος ἔργων, ἃ
μετὰ τὸν Περσικὸν πόλεμον εὐθὺς ἔπραξεν (ὧν ὕστε-
ρον οὐκ ἐν ἐπιτηδείῳ τόπῳ μνήμην ἐποιήσατο φαύλως
πως καὶ ἐξ ἐπιδρομῆς), διελθόντα δὲ ταῦτα μετὰ πολ-
λῆς εὐνοίας ὡς ἄνδρα φιλόπολιν ἔπειτ' ἐπενεγκεῖν,
ὅτι τούτων φθόνῳ καὶ δέει προελθόντες Λακεδαιμό-
νιοι προφάσεις ὑποθέντες ἑτεροίας ἦλθον ἐπὶ τὸν
πόλεμον, καὶ τότε λέγειν τὰ Κερκυραϊκὰ καὶ τὸ κατὰ
771 Μεγαρέων ψήφισμα καὶ εἴ | τι ἄλλο τοιοῦτο λέγειν
ἐβούλετο. τὰ δ' ἐν τέλει πλείονος ἁμαρτίας πλήρη· 10
καίπερ γὰρ λέγων ὅτι παντὶ τῷ πολέμῳ παρεγένετο,
καὶ πάντα δηλώσειν ὑποσχόμενος, εἰς τὴν ναυμαχίαν
τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην Ἀθηναίων
καὶ Πελοποννησίων, ἣ συνέβη κατὰ ἔτος εἰκοστὸν καὶ

1 *τῶν ἔτι εἰρημένων* libri: corr Holwellus ante Reiskium 2 *τῶν* del Kalinka *Festschr. f. Gomperz* p 105 3 *οὕτω . . . ὥςτε*] *οὔ τί γε φανερῶς οὕτως* Sauppius | *οὕτω* MEV *οὔτε* B: *οὔτε* Ps | *φανερῶς* libri: corr Herwerdenus 4 *φανερὰς* del Sauppius | *τοῦ*] *τὰς* P¹ 5 quid ni *ἑτέρας ἔχ. πολλὰς ἀφορμὰς* Dionysius scripsit sine uerbis incommode iteratis *περιάψαι τὰς αἰτίας*? | *τὰς αἰτίας* del Sauppius 6 *καὶ*] immo *ἔδει δ'* | *γε*] *γ' ἔδει* Herwerdenus *μὲν* Reiskius falso cf p 234, 22. 235, 16
8 *εὐθὺς*] fort *εὐθενοῦσα* | *ἔπραξεν* M: *ἔπραξαν* EVPBs 9 *οὐκ*] *καὶ* libri *κἂν* Kruegerus | *ἐνεπιτηδείω* M *ἀνεπιτηδείῳ* Kruegerus probante Schenkelio | *φαύλης* P 11 *ἐπενεγγεῖν* P¹ 12 *προελθόντες*] *προαχθέντες* Reiskius 13 *ἑτεροίας*] *ἑτέροις* libri γρ *ἑτέρας* Stephanus p 77 16 *τὰ δ' ἐν τέλει*] *τὰ δὲ τέλη* libri 19 *τελευτὰ* M | *Ἀθηναίων καὶ Πελοποννησίων* suspectat Herwerdenus

δεύτερον. κρεῖττον δὲ ἦν διεξελθόντα πάντα τελευτὴν ποιήσασθαι τῆς ἱστορίας τὴν θαυμασιωτάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαρισμένην, τὴν κάθοδον τῶν φυγάδων τῶν ἀπὸ Φυλῆς ἀφ' ὧν ἡ πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἀνεκομίσατο.

11 Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ ⟨σκοπεῖν⟩, τίνα τε
δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα καὶ τίνα
παραλιπεῖν. δοκεῖ δή μοι κἀν τούτῳ λείπεσθαι Θου-
κυδίδης. συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος
ἔχουσα πολὺ διήγησις ἂν μὲν ἀναπαύσεις τινὰς λαμ-
βάνῃ, τὰς ψυχὰς τῶν ἀκροωμένων ἡδέως διατίθησιν,
ἐὰν δὲ ἐπὶ τῶν | αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μά- 772
λιστα ἐπιτυγχάνηται, λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ, ποι-
κίλην ἐβουλήθη ποιῆσαι τὴν γραφὴν Ὁμήρου ζηλωτὴς
γενόμενος· καὶ γὰρ τὸ βυβλίον ἢν αὐτοῦ λάβωμεν,
μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα καὶ ἀεὶ τὸ πλέον
12 ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα κατατείνας
ἀπνευστὶ διεξέρχεται μάχας ἐπὶ μάχαις καὶ παρασκευὰς
ἐπὶ παρασκευαῖς καὶ λόγους ἐπὶ λόγοις συντιθείς· ὥστε
μοχθεῖν μὲν τὴν διάνοιαν τῶν ἀκροωμένων * * 'κόρον
δ' ἔχει' φησὶν ὁ Πίνδαρος 'καὶ μέλι καὶ τὰ τέρπν'

21 Pindarus Nem 7, 52 s

1 πάντα libri: τὰ πάντα s 3 τῶν] τῶν ἀπὸ E[1] 4 ὧν] ἧς Reiskius 5 ἐκομίσατο libri: corr Radermacher mus Rhen 51, 464 6 σκοπεῖν suppleuit Reiskius ἔργον σκοπεῖν Herwerdenus 7 δεῖ] δῆ M[1] 8 κἂν B 9 συνειδῶς M. exspectes συνιδὼν 10 ἔχουσα πολὺ egregie Herwerdenus: ἔχουσα ἀπὸ λόγου libri 12 ἐπι . . . μάλιστα omissa in marg supplet M[1] 15 βιβλίον libri 16 fort ἀγόμεθα | πλεῖον s 17 κατατείνας] καί τινας libri 19 λόχους ἐπὶ λόχοις fuit qui coniceret 20 hiatum notaui perspectum iam Reiskio, intercidit colon alterum κόρον δ' ὑπέρχεσθαι uel δὲ λαβεῖν 21 τέρπν' ἄνθε'] τερπίθεα M τερπίθεα EVPB τερπνὰ s

ἄνθε' ἀφροδίσια'. ἤδη δ' ὃ λέγω κἀκεῖνος ἐνεθυμήθη, ὡς ἡδὺ χρῆμα ἐν ἱστορίας γραφῇ μεταβολὴ καὶ ποικίλον, καὶ τοῦτο ἐν δύο ἢ τρισὶ τόποις ἐποίησεν, ἐπί τε τῆς Ὀδρυσῶν ἀρχῆς, δι' ἃς αἰτίας ἐγένετο μεγάλη, καὶ ἐπὶ τῶν ἐν Σικελίᾳ πόλεων. |

773 Μετὰ τοῦτο ἔργον ἐστὶν ἱστορικοῦ διελέσθαι τε 13
καὶ τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ.
πῶς οὖν ἑκάτερος διαιρεῖται καὶ τάττει τὰ λεγόμενα;
Θουκυδίδης μὲν τοῖς χρόνοις ἀκολουθῶν, Ἡρόδοτος
δὲ ταῖς περιοχαῖς τῶν πραγμάτων. καὶ γίγνεται Θου-
κυδίδης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν
γὰρ κατὰ τὸ αὐτὸ θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνο-
μένων ἐν διαφόροις ὡς εἰκὸς τόποις, ἡμιτελεῖς τὰς
πρώτας πράξεις καταλιπὼν ἑτέρων ἅπτεται [τῶν κατὰ
θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνομένων]· πλανώμεθα
δὴ καθάπερ εἰκός, καὶ δυσκόλως τοῖς δηλουμένοις
παρακολουθοῦμεν ταραττομένης τῆς διανοίας. Ἡρό- 14
δοτος δὲ ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος καὶ
μέχρι τῆς Κροίσου καταβὰς ἐπὶ Κῦρον εὐθέως τὸν
καταλύσαντα τὴν Κροίσου ἀρχὴν μεταβαίνει, Αἰγυπτίων

4 cf Thucyd II 97 5 cf idem VI 2—5

1 ἀφροδήσια MVB | ἤδη δὲ ἐγὼ κακεῖνο ἐνεθυμήθην libri ὃ δὲ δὴ λέγω, κἀκεῖνος ἐνεθυμήθη Herwerdenus ᾔδει δ' ὃ λέγω κἀκεῖνος ⟨καὶ⟩ ἐνεθυμήθη Schenkelius 2 ἱστορίας γραφῇ MV ἱστορίαις γραφῇ E: ἱστορίαις γραφῆς PBs | ποικιλία Reiskius. fort ποικίλην διὰ τοῦτο ἐν cf p 236, 13 4 fort ⟨διεξιὼν⟩ δι' ἃς 6 ⟨Τέταρτον⟩ μετὰ ci Kiesslingius. ac fieri potest ut post πόλεων plura interciderint 7 ᾧ] ὡς V 8 διαιρεῖται libri: διαιρεῖ τε s 10 γίνεται Es 12 ἢ τὸν αὐτὸν] καὶ libri: corr Herwerdenus ex u 15 14 τῶν . . . 15 γιγνομένων emblema ex uaria lectione u 12 ortum remouit Herwerdenus | κατὰ libri: κατὰ τὸ αὐτὸ s 15 ἢ τὸν αὐτὸν (αὐτῶν E) libri: ἢ s | γινομένων MEV 19 εὐθὺς ex εὔθυως corr V 20 μεταβαίνει . . . 238, 1 διηγημάτων omissa addit mg M[1] | μεταβαίνει om E

τε ἄρχεται διηγημάτων καὶ Σκυθικῶν καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δὲ ὡς ἐπιζητούμενα προσαναλαμβάνων, τὰ δ' ὡς χαριεστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων· διεξελθών τε πράξεις Ἑλλήνων ⟨τε⟩ καὶ βαρβάρων ἔτεσιν | ὁμοῦ διακοσίοις καὶ 774 εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις καὶ παραγράψας * * τῆς Ξέρξου φυγῆς τὴν ἱστορίαν οὐ διέσπασε τὴν διήγησιν· ἀλλὰ συμβέβηκε τῷ μὲν μίαν ὑπόθεσιν λαβόντι πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα, τῷ δὲ τὰς πολλὰς καὶ οὐδὲν ἐοικυίας ὑποθέσεις προελομένῳ σύμφωνον ἓν σῶμα πεποιηκέναι.

15 Μιᾶς δ' ἰδέας ἐπιμνησθήσομαι πραγματικῆς, ἣν οὐδεμιᾶς τῶν εἰρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν, ᾗ κέχρηται πρὸς τὰ πράγματα περὶ ὧν γράφει· ἡ μὲν Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς καὶ τοῖς μὲν ἀγαθοῖς συνηδομένη, τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου [διάθεσις] αὐθέκαστός τις καὶ πικρὰ καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. τὰ μὲν γὰρ ἁμαρτήματα ἐπεξέρχεται καὶ μάλα ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχωρηκότων καθάπαξ οὐ μέμνηται, ἢ ὥςπερ ἠναγκασμένος. |

2 ἐπιζητούμενα πρὸς ἀναλαμβάνων. τὰ δ' ὡς MEV: om PBs 4 ἑλλήνων καὶ libri: τε restituit Sadaeus p 204 6 γενόμενα MEV | παραγράψαι est libro finito coronidem apponere cf quae monui in proecdosi p 68: περιγράψας (cum datiuo) Reiskius πέρα γράψας Schenkelius. hiatum indicaui. deest exempli causa ἐν τοῖς ὕστερον γενομένοις 10 ἐοικυίας ⟨ἀλλήλαις⟩ Herwerdenus 12 ἔτι μνησθήσομαι Sylburgius 14 ζητοῦμεν ἱστορίαις E 15 fort ἡ μέν ⟨γ'⟩ 17 δὲ iterat E | κακοὺς MV 18 διάθεσις deleuit Herwerdenus 21 ἢ ante καθάπαξ inseruit Herwerdenus | οὐ] οὐδὲ idem 22 ἠναγκασμένως libri: corr Reiskius

775 Καὶ κατὰ μὲν τὸν πραγματικὸν τόπον ἥττων ἐστὶν Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων, τὰ δὲ κρείττων, τὰ δ' ἴσος. ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα.

16 Πρώτη τῶν ἀρετῶν γένοιτ' ἄν, ἧς χωρὶς οὐδὲ τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελός τι, ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σῴζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι· Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανὼν Θουκυδίδης τε τῆς Ἀτθίδος. * * τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία· 17 ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. καίτοι λέγοι τις ἄν, ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον ἡδὺ φαίνεται τὸ βραχύ· εἰ δὲ ἀπολείποιτο τούτου, 776 πικρόν· ἀλλὰ | μηδὲν ⟨ἧττον⟩ ἔστω παρὰ τοῦτο. ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μὲν τῶν ἐπιθέτων ἀρετῶν· ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. μετὰ ταύτην συνίσταται τὴν ἀρετὴν [τῶν] ἠθῶν τε 18 καὶ παθῶν μίμησις· διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς· Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρόδοτος δὲ τά γε ἤθη παραστῆσαι δεινό-

1 καὶ κατὰ] καὶ τὰ B[1] | τόπον] τοῦτον libri. τύπον et hic et 247, 22 Sylburgius miro errore. artis est τόπος cf I 335, 10 II 4, 8. 5, 16. 7, 22 al ut μέρος I 357, 20. 381, 13 et εἶδος supra p 207, 6: scriptoris est τύπος cf 241, 22 ut χαρακτήρ infra 241, 4. 247, 4 5 οὐδὲν libri 6—7 in margine λείπει M 6 τ[οὺς] cum litura M | ὄφελόςτι M[2]EV(?) ὄφελόςτις M[1], PB ὄφελος. τίς; s: ὄφελός ἐστιν (antea u 5 οὐδὲν seruato) Herwerdenus 10 hiare orationem Sylburgius perspexit. quid desit, epitoma docet p 207, 10 τῆς σαφηνείας δὲ ἀναμφισβητήτως Ἡροδότῳ τὸ κατόρθωμα δέδοται | τρίτη E 11 πρόσχειν P 12 μετὰ ⟨μὲν⟩ Herwerdenus 14 ἧττων suppleuit Kruegerus 15 μὲν] μετὰ libri | μετὰ . . . 16 ταύτῃ omissa in mg addit M[1] 17 τῶν expunxi ⟨ἢ⟩ τῶν Herwerdenus 18—19 [οἱ θῶν μίμησις] οἱ συγγραφεῖς expunctis quae seclusi M 20 γε s: τε libri. deleuit Herwerdenus

τερος. μετὰ ταῦτα αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαί-
νουσαι τῆς κατασκευῆς ἀρεταί· ἴσοι κἂν ταύταις οἱ
19 συγγραφεῖς. ἕπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν
τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως
ἀρεταὶ περιέχουσαι· κρείττων ἐν ταύταις Ἡροδότου
Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς
ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείτ-
τονας Ἡρόδοτος. τῆς ⟨δὲ⟩ φράσεως [τῶν ὀνομάτων]
τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν
20 Θουκυδίδης. ⟨λείπει⟩ πασῶν ἐν λόγοις ἀρετῶν ἡ
11 κυριωτάτη τὸ πρέπον· ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ
μᾶλλον ἢ Θουκυδίδης· ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι,
κἂν ταῖς δημηγορίαις μᾶλλον ἢ ταῖς | διηγήσεσιν· 777
ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυ-
μήματα αὐτοῦ μάλιστα ⟨μιμήσασθαι⟩ τε καὶ ζηλῶσαι
21 Δημοσθένης. Ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ
ποιήσεις ἀμφότεραι (οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις
αὐτὰς λέγων), διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλ-
λήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φο-
βερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη ταῦτα εἰρῆσθαι περὶ
τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων
λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

5 fort *παρέχουσαι* | *ἐν ⟨μὲν⟩* Herwerdenus 8 *δὲ* s: om libri | *τῶν ὀνομάτων* deleuit Reiskius, cf Vlietius stud cr p 79 10 *λείπει* suppleui: *ὁμοειδὴς* libri ex u 12 male inculcatum et ab Herwerdeno aliisque explosum | *πασῶν*] *πᾶς ὧν* libri: corr Burkhardtus ad Caecilii fragm p 36 *πασῶν δ'* Sauppius *Goett. gel. anz.* 1863 p 132 et 1667 11 *ἡρόδος* (*ἡρόδο* teste Sadaeo) M 13 *ἢ*] *ἢ 'ν* Herwerdenus 14 ante *ἐμοὶ* hiare orationem post Reiskium Herwerdenus et Sauppius l s statuerunt. sed proximum enuntiatum Dionysius non ex libro de imitatione petiuisse sed hic Pompei caussa inseruisse uidetur 15 *μάλιστά γε* libri: correxit Sauppius l s p 1668 22 *καὶ* PEBs: om MV | *καιρὸς ⟨ἐπιτηδειότερος⟩* ci Kiesslingius

Ξενοφῶν δὲ καὶ Φίλιστος οἱ τούτοις ἐπακμάσαντες 4
οὔτε φύσεις ὁμοίας εἶχον οὔτε προαιρέσεις. Ξενοφῶν
μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ' ἀμφοτέρους
τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν.
πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο
καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προση-
κούσας· τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως |
778 ἀγαθοῦ καὶ εὐδαίμονος· καὶ τὴν ἀνάβασιν τοῦ νεω-
τέρου Κύρου, ᾧ καὶ αὐτὸς συνανέβη, μέγιστον ἐγκώ-
μιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων· καὶ
τρίτην ἔτι τὴν Ἑλληνικὴν καὶ ἣν κατέλιπεν ἀτελῆ
Θουκυδίδης, ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα καὶ τὰ
τείχη τῶν Ἀθηναίων, ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις
ἀνίσταται. οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος 2
ἐπαινεῖσθαι [ζηλωτὴς Ἡροδότου γενόμενος], ἀλλὰ καὶ
τῆς οἰκονομίας· ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρε-
πωδεστάταις κέχρηται καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιτη-
δειοτάτας ἀποδέδωκε, μεμέρικέν τε καλῶς καὶ τέταχεν
καὶ πεποίκιλκε τὴν γραφήν. ἦθός τε ἐπιδείκνυται θεο-
σεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπρεπές, ἁπάσαις
τε συλλήβδην κεκοσμημένον ἀρεταῖς· καὶ ὁ μὲν πραγμα-
τικὸς τύπος αὐτῷ τοιοῦτος.
ὁ δὲ λεκτικὸς πῇ μὲν ὅμοιος Ἡροδότου, πῇ δὲ ἐν- 3

1 *φίλησος* P *φίλιτος* V[1] 4 *πρακτικὸν* E 5 *τῶν ἱστοριῶν* om E 7 *εἰκόνα παιδείαν* ordine numeris adpositis correcto P[1] 10 *ἔχουσαν*] *περιέχουσαν* malebat Herwerdenus 11 *καὶ ἣν*] *ἱστορίαν ἣν* cum Kruegero Herwerdenus. fort *ἔνθεν* an *ὅθεν*? 13 *ἀθηνων* E[1] 14 *ἀνίστανται* libri: corr Herwerdenus 15 *ζηλωτὴς Ἡροδότου γενόμενος* suspectauit Kruegerus conl u 3 16 *πρεπεδεστάτους* P 17 *ἐπιτηδειότητας* P 18 *μεμέρικε* E(PB?)s | *τέταχε* Es 19 *τὴν ἀρχὴν* sed in marg *γρ τὴν γραφὴν* P 20 *εὐπετὲς* libri: corr Rademacher 21 *κεκ. ταῖς ἀρεταῖς* E

δεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς
καὶ σαφὴς ⟨καὶ ἐναργὴς⟩ καθάπερ ἐκεῖνος· ἐκλέγει δὲ
ὀνόματα συνήθη | τε καὶ προσφυῆ τοῖς πράγμασι, καὶ 779
συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως οὐχ
ἧττον Ἡροδότου. ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέ-
πειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρό-
4 δοτος ἔχει· οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ
λαβεῖν, ἀλλὰ κἄν ποτε διεγεῖραι βουληθῇ τὴν φράσιν,
ὀλίγον ἐμπνεύσας ὥςπερ ἀπόγειος αὖρα ταχέως σβέν-
νυται * * μακρότερος γὰρ γίνεται τοῦ δέοντος ἐν
πολλοῖς, καὶ τοῦ πρέποντος οὐχ ὡς Ἡρόδοτος ἐφάπτε-
ται τῶν προσώπων εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγωρός
ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ.

5 Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον ⟨ἂν⟩ δόξειεν ἐοι-
κέναι καὶ κατ' ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα.
οὔτε γὰρ | ὑπόθεσιν εἴληφε πολυωφελῆ καὶ κοινήν, 780
[ὥςπερ Θουκυδίδης] ἀλλὰ μίαν καὶ ταύτην τοπικήν·
διήρηκε δ' αὐτὴν εἰς γραφὰς δύο, Περὶ Σικελίας μὲν
τὴν προτέραν ἐπιγράφων, Περὶ Διονυσίου δὲ τὴν
ὑστέραν. ἔστι δὲ μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ
2 τέλους τῆς Σικελικῆς. τάξιν δὲ οὐ τὴν κρατίστην
ἀποδέδωκε τοῖς δηλουμένοις ἀλλὰ δυσπαρακολούθητον,

1 καθαρῶς P 2 καὶ ἐναργὴς suppleui ex epitoma p 208, 7 δὲ] τε Holwellus 6 an ⟨οἷον⟩ Ἡρόδοτος ⟨οὐκ⟩ 7 οὐχ ἴσχυσε PB 8 ποτε διεγειρη τὴν E | βουληθείη libri praeter E: corr Herwerdenus 9 σβέννυται B[1] 10 hiatum notaui. intercidit propositio sequentis περὶ τοῦ πρέποντος disputationis 11 οὐχ libri: καὶ οὐχ s 12 τοῖς προσώποις conl p 208, 11 Sauppius cf Pantazides Philhistoris 1862 fasc II p 72 | προσόπων V 14 ἂν cum Herwerdeno inserui 16 πολυωφελῆ mg M[2] πολὺ ἀφελῆ M[1] ceterique: corr Sylburgius cf t I 410, 12 17 ὥςπερ ⟨οὐδὲ⟩ Θουκυδίδης cl 243, 2 Crusius. ego deleui 18 εἰς ἐπιγραφὰς libri: corr Kruegerus 19 περὶ] περὶ δὲ B[1]

χεῖρον τῆς Θουκυδίδου. καὶ πρᾶγμα ἔξωθεν οὐ βού-
λεται παραλαμβάνειν, ὥςπερ οὐδὲ Θουκυδίδης, ἀλλ'
ἔστιν ὁμοειδής. ἦθός τε κολακικὸν καὶ φιλοτύραννον
ἐμφαίνει καὶ ταπεινὸν καὶ μικρολόγον. τῆς δὲ λέξεως 3
ᾗ Θουκυδίδης κέχρηται τὸ μὲν σημειῶδες καὶ περίερ-
γον πέφευγεν, τὸ δὲ στρογγύλον καὶ πυκνὸν καὶ ἐν-
781 θυμηματικὸν ἐκμέμακται. τῆς μέντοι καλλιλο|γίας τῆς
ἐκείνου καὶ ⟨τῆς σεμνότητος καὶ⟩ τοῦ πλούτου τῶν
ἐνθυμημάτων καὶ πολὺ ὑστερεῖ. οὐ μόνον δ' ἐν τού- 4
τοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς· ἣ μὲν γὰρ
πλήρης σχημάτων (καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν
ἐπὶ πλέον δεῖν λέγειν), ἡ δὲ Φιλίστου φράσις ὁμοει-
δὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι· καὶ πολλὰς
εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ' αὐτοῦ σχη-
ματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σι-
κελίας· ‘Συρακόσιοι δὲ παραλαβόντες Μεγαρεῖς καὶ 5
Ἐνναίους, Καμαριναῖοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους
συμμάχους πλὴν Γελῴων ἀθροίσαντες, Γελῷοι δὲ
Συρακοσίοις οὐκ ἔφασαν πολεμήσειν· Συρακόσιοι δὲ
πυνθανόμενοι Καμαριναίους τὸν Ὕρμινον διαβάντας —’·

16 Philistus fr 8 p 186 Muell

1 χείρονα ci Sylburgius ἔτι χεῖρον Reiskius | πράγματ' Herwerdenus 2 παραλαμβάνειν ME: περιλαμβάνειν VPBs 3 ἦθος δὲ Herwerdenus 5 τὸ μὲν Sylburgius: ἡ (ἢ E) μὲν libri 6 πέφυκεν MEVP πέφυκε Bs: corr Sylburgius | πυκνὸν epitoma: πικρὸν libri 7 ἐκμέμακται Kruegerus: μέμικται libri 8 τῆς σεμνότητος καὶ suppleui ex epitoma 9 καὶ] κατὰ libri | ὑστερεῖ] immo καθυστερεῖ | δ' ἐν] δὲ libri: corr Holwellus 10 γὰρ ⟨ποικίλη? καὶ⟩ πλήρης Holwellus 11 καὶ . . . 12 λέγειν deleuit Herwerdenus 14 ὑπ' αὐτοῦ Vs: ὑφ' αὐτοῦ ME ὑφ' αὐτοῦ PB 15 σικελίαν libri: corr s 16 Συρακούσιοι Es et sic infra 19 συρακοσίους οὐκ MVPB συρακουσίους οὐκ Es: corr Stephanus p 77 20 ὕρμινον libri: Ὑρμινὸν s

6 ταῦτα δὲ ἀηδῆ πάνυ ὄντα ἐμοὶ φαίνεται. μικρός τε
παρὰ πᾶσαν ἰδέαν ἐστὶ καὶ εὐτελής, ἐάν τε πολιορκίας
διηγῆται ἐάν τε οἰκισμούς, ἐάν τε ἐπαίνους ἐάν τε
ψόγους | διαπορεύηται. ἀλλ' οὐδὲ τοῖς μεγέθεσι τῶν 782
ἀνδρῶν συνεξισῶν τοὺς λόγους, ἀλλὰ ψοφοδεεῖς καὶ
τοὺς ⟨κρατίστους⟩ δημηγοροῦντας καταλείπων τὰς δυ-
νάμεις καὶ τὰς προαιρέσεις ὁμοίους ἅπαντας ποιεῖ.
εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμη-
νείαν καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου. πρὸς δὲ
τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.
6 Θεόπομπος δὲ Χῖος ἐπιφανέστατος πάντων ⟨τῶν⟩
Ἰσοκράτους μαθητῶν γενόμενος καὶ πολλοὺς μὲν πανη-
γυρικούς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος
λόγους ἐπιστολάς τε τὰς Χιακὰς ἐπιγραφομένας καὶ
ὑποθήκας ἄλλας λόγου ἀξίας, ἱστορίαν πεπραγματευ-
2 μένος ἄξιος ἐπαινεῖσθαι πρῶτον μὲν τῆς ὑποθέσεως
τῶν ἱστοριῶν (καλαὶ γὰρ ἀμφότεραι, ἡ μὲν τὰ λοιπὰ
τοῦ Πελο|ποννησιακοῦ πολέμου περιέχουσα, ἡ δὲ τὰ 783
Φιλίππῳ πεπραγμένα), ἔπειτα τῆς οἰκονομίας (ἀμφό-
τεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς), μάλιστα
δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν

1 *μικρὸς δὲ* Herwerdenus 2 *παρὰ* solito conpendio M: *περὶ* ceteri | *καὶ ἀτελὴς* libri: corr Boissonadius ad Eunapium p 579 | *ἐάν τε . . . 4 ψόγους*] in his cola nonnulla intercidisse ex epitoma p 209, 8–10 uideas 4 *τοῖς*] *ταῖς* PB 5 *συνεξιῶν* B^1 om E | *ψοφώδεις τοὺς* fuit cum conicerem 6 *κρατίστους* suppleui. ampliorem hiatum Crusius statuit | *καταλείπειν* libri 7 *ὁμοίους* MVP: *ὁμοίως* EBs | *ἅπαντα* E 9 *πρός τε* ci A Schaefer 11 *τῶν* Herwerdeno debetur 13 *δὲ* om P
14 *Χιακὰς*] *ἀχαικὰς* libri *ἀρχαϊκὰς* s: corr Westermannus De epistolarum scriptoribus graecis fasc VIII p 8 cf A Schaefer de Demosthene t III^2 p 306, 2 | *ἐπιγραφομένας* MEVB: *γραφομένας* Ps 15 *ἀξίαν ἱστορίαν* libri 19 *εἰκονομίας* M
21 *ἐπιμελίας* M | *τῆς κατὰ*] *κατὰ* E

συγγραφήν· δῆλος γάρ ἐστιν, εἰ καὶ μηδὲν ἔγραψε,
πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος,
μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετε-
λεκώς, καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενη- 3
μένος, πολλοῖς δ' εἰς ὁμιλίαν ἐλθὼν ἀνδράσι τοῖς
τότε πρωτεύουσι καὶ στρατηγοῖς δημαγωγοῖς τε καὶ
φιλοσόφοις διὰ τὴν συγγραφήν· οὐ γὰρ ὥσπέρ τινες
πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν τῆς ἱστορίας ἐποιή-
σατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. γνοίη δ' ἄν
τις αὐτοῦ τὸν πόνον ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς
γραφῆς· καὶ γὰρ ἐθνῶν εἴρηκεν οἰκισμοὺς καὶ πόλεων 4
κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τρόπων
784 ἰδιώματα δεδήλωκε, καὶ | εἴ τι θαυμαστὸν ἢ παράδοξον
ἑκάστη γῆ καὶ θάλασσα φέρει, συμπεριείληφεν τῇ πραγ-
ματείᾳ. καὶ μηδεὶς ὑπολάβῃ ψυχαγωγίαν ταῦτ' εἶναι
μόνον· οὐ γὰρ οὕτως ἔχει, ἀλλὰ πᾶσαν ὡς ἔπος εἰπεῖν
ὠφέλειαν περιέχει. ἵνα δὲ πάντ' ἀφῶ τἆλλα, τίς οὐχ ὁμο- 5
λογήσει τοῖς ἀσκοῦσι τὴν φιλόσοφον ῥητορικὴν ἀναγκαῖον
εἶναι πολλὰ μὲν ἔθη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμα-
θεῖν, πολλοὺς δὲ νόμους ἀκοῦσαι πολιτειῶν τε σχήματα,
καὶ βίους ἀνδρῶν καὶ πράξεις καὶ τέλη καὶ τύχας; τού- 6

1 *μηδὲν ⟨τούτων⟩* Hellerus Philologi t XXIII p 553. exspectes *μὴ διαρρήδην* 3 *τελελεκὼς* M^1 5 *ὁμηλίαν* PB
6 *προτεύουσι* M | ante *καὶ στρατηγοῖς* nomen intercidisse uidetur
7 *οὐ γὰρ . . . 8 ἀναγραφὴν* MEVB: om Ps 9 *ἀναγκαιότερον* libri: corr Sylburgius | *γοίη* B^1 *γνοί* E 10 *πολύμορ τῆς* P^1 11 *καὶ γὰρ* MEVB: *καὶ γὰρ καὶ* Ps 12 *τόπων* cum Sylburgio Reiskius 14 *συμπεριείληφεν ἐν τῇ* libri: corr Kruegerus 15 *ὑπολάβοι* E 16 *πᾶσιν* libri: corr Herwerdenus 17 *περιέχει* MVB: *παρέχει* EPs 18 *ἀκούουσι* libri: corr Holwellus cf Vlietius stud crit p 11 19 *ἔθνη* libri: corr Holwellus | *ἑλλ. καὶ βαρβ.* E 20 *ἀκριβῶσαι* Herwerdenus | *πολιτειῶν τε* VB *πολιτῶν τε* ME: *πολιτειῶν* Ps
21 *τέλη*] fuit qui *γένη* coniceret

τοις τοίνυν ἅπασαν ἀφθονίαν δέδωκεν οὐκ ἀπεσπασμέ-
νην τῶν πραγμάτων ἀλλὰ συμπαροῦσαν. πάντα ⟨τε⟩
δὴ ταῦτα ζηλωτὰ τοῦ συγγραφέως, καὶ ἔτι πρὸς τού-
τοις ὅσα φιλοσοφεῖ παρ' ὅλην τὴν ⟨συγγραφὴν περὶ⟩
δικαιοσύνης καὶ εὐσεβείας καὶ τῶν ἄλλων ἀρετῶν πολ-
7 λοὺς καὶ καλοὺς διεξερχόμενος λόγους. τελευταῖόν
ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηρικώτατον, ὃ παρ'
οὐδενὶ τῶν ἄλλων συγ|γραφέων οὕτως ἀκριβῶς ἐξείρ- 785
γασται καὶ δυνατῶς οὔτε τῶν πρεσβυτέρων οὔτε τῶν
νεωτέρων· τί δὲ τοῦτό ἐστι; τὸ καθ' ἑκάστην πρᾶξιν
μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν,
ἀλλ' ἐξετάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ
τῶν πραξάντων αὐτὰς καὶ τὰ πάθη τῆς ψυχῆς, ἃ μὴ
ῥάδια τοῖς πολλοῖς εἰδέναι, καὶ πάντα ἐκκαλύπτειν τὰ
μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμέ-
8 νης κακίας. καί μοι δοκεῖ πως ὁ μυθευόμενος ἐν
Ἅιδου τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς
ἐπὶ τῶν ἐκεῖ δικαστῶν οὕτως ἀκριβὴς εἶναι ὡς ὁ διὰ
τῆς Θεοπόμπου γραφῆς γιγνόμενος. διὸ καὶ βάσκανος
ἔδοξεν εἶναι, προσλαμβάνων τοῖς ἀναγκαίοις τινὰ ὀνει-
δισμοῖς κατὰ τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα
πράγματα, ὅμοιόν τι ποιῶν τοῖς ἰατροῖς, οἳ τέμνουσι

1 ἅπασιν libri: corr Herwerdenus 2 τε restitui 3 δὲ libri: corr Herwerdenus 4 ὅλην τὴν libri: ὅλην τὴν ⟨ἱστορίαν περὶ⟩ Sylburgius 5 δικαιοσύνην καὶ εὐσέβειαν libri: corr idem καὶ τῶν] καὶ περὶ τῶν s 7 ἐστὶ] ἐπὶ E | ὃ παρ'] ὅ περ Herwerdenus 9 καὶ δύναται libri: corr Holwellus 10 ἔστι ex ἔστιν corr M[1] 13 αὐτὰς ⟨τὰς διανοίας⟩ καὶ τὰ Reiskius αὐτὰς τὰ Kruegerus αὐτὰ τὰ Herwerdenus 16 πως] ὡς libri: οὐδ' olim conieceram | ἐν Ἅιδου emendatione palmari A Schaefer Philologi t XXV p 694: εἶναι libri 18 ὡς ὁ] ὁ s
20 προσλαμβάνων MEVB: προλαμβάνων Ps | τοῖς ἀναγκαίοις τινὰ ME: τινὰ τοῖς ἀναγκαίοις VPBs 21 κατὰ Reiskius: καὶ τὰ libri | προσόπων V 22 πράγματα] fort ἐπηρεάσματα. quam-

καὶ καίουσι τὰ διεφθαρμένα τοῦ σώματος ἕως βάθους
τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲν τῶν ὑγιαι-
786 νόντων καὶ κατὰ φύσιν | ἐχόντων στοχαζόμενοι. τοι-
οῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.
ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστα ἔοικε· καθαρά τε 9
γὰρ ἡ λέξις καὶ κοινὴ καὶ σαφής, ὑψηλή τε καὶ μεγα- 6
λοπρεπὴς καὶ τὸ πομπικὸν ἔχουσα πολύ, συγκειμένη
τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς
ῥέουσα. διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πι-
κρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς
πάθεσι, μάλιστα δ' ὅταν ὀνειδίζῃ πόλεσιν ἢ στρατηγοῖς
πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους (πολὺς γὰρ 10
ἐν τούτοις), καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ
κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις
ἴδοι κἀκ τῶν Χιακῶν ἐπιστολῶν, ἃς τῷ ⟨συμφύτῳ⟩
πνεύματι ἐπιτρέψας γέγραφεν. εἰ δ' ὑπερεῖδεν ἐν τού-
τοις ἐφ' οἷς μάλιστα δὴ ἐσπούδακε τῆς τε συμπλοκῆς
787 τῶν φωνηέντων γραμμάτων | καὶ τῆς κυκλικῆς εὐρυθ-
μίας τῶν περιόδων καὶ τῆς ὁμοειδείας τῶν σχημα-
τισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν
φράσιν.

ἔστι δὲ ἃ καὶ κατὰ τὸν πραγματικὸν τόπον ἁμαρ- 11
τάνει, καὶ μάλιστα κατὰ τὰς παρεμβολάς· οὔτε γὰρ

quam illud nescio an defendi possit conl Plutarcho de Herod malign 3 p 855[b] 1 ἕως MEVB[1]: ὡς Ps mg B 2 τὰ[ς] cum litura B | οὐδὲν MEVB: οὐδὲ Ps 4 θεοπέμπου M 5 καθαρά τε MEVB: καθαρὰ Ps 14 κατὰ] παρὰ Herwerdenus
15 ἀχαικῶν libri ἀρχαϊκῶν s cf p 244, 14 | post τῷ lacunam IX uel X litterarum ME, XI aut XII V, V aut VI indicat B, nullam Ps: σφοδρῷ suppleuit Herwerdenus. possis etiam ἐναγωνίῳ cf t I 360, 11 17 μάλιστα δὴ] μάλιστα ἂν libri μάλιστα ci Kruegerus 19 ὁμοειδίασ E 22 τὸν πρακτικὸν E | τύπον Sylburgius. cf adn p 239, 1 23 παραβολάς libri: corr Kiesslingius et Vlietius stud crit p 8 s cf t I 435, 9; παρεκβο-

ἀναγκαῖαί τινες αὐτῶν οὔτ' ἐν καιρῷ γενόμεναι, πολὺ δὲ τὸ παιδιῶδες ἐμφαίνουσαι· ἐν αἷς ἐστι καὶ τὰ περὶ Σιληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη καὶ ἄλλα τούτοις οὐκ ὀλίγα ὅμοια.

Οὗτοι παραληφθέντες οἱ συγγραφεῖς ἀρκέσουσι τοῖς ἀσκοῦσι τὸν πολιτικὸν λόγον ἀφορμὰς ἐπιτηδείους παραδειγμάτων παρασχεῖν εἰς ἅπασαν ἰδέαν.

λὰς Valckenaerius ad Herodotum IV 167 1 *γενόμεναι*] *γινόμεναι* Es 2 *αἷς* EV: *οἷς* reliqui | *καὶ τὰ* MEVB: *καὶ* Ps 3 *Σιληνοῦ*] *Σειληνοῦ* s | *καὶ περὶ* (om *τὰ*) E 6 *Οὗτοι* Holwellus: *τούτοις* libri 8 *πᾶσαν* E | *ἐπιστολῆς τέλος* subscribit M. ‘ad finem epistolae non nulla uidentur deesse’ Kruegerus adnotat.

CETERORVM DIONYSII DE ARTE LIBRORVM VESTIGIA

Qvintilianvs III 1, 16 ‘fecit deinde uelut propriam Hermagoras uiam, quam plurimi sunt secuti. cui maxime par atque aemulus uidetur Athenaeus fuisse. multa post Apollonius Molon, multa Areus, multa Caecilius et Halicarnaseus Dionysius’.

5 eodem modo Caecilio Dionysium Quintilianus IX 3, 89 infra p 252, 5) subiungit

ΠΕΡΙ ΤΗΣ ΠΟΛΙΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΑΤΡΕΧΟΝΤΑΣ ΑΥΤΗΣ ΑΔΙΚΩΣ

Dionysivs de Thucydide 2 p 327, 21 *τὸ φιλόνεικον τοῦτο καὶ δύσερι καὶ προσυλακτοῦν εἰκῇ πᾶσιν ἐν παντὶ πεφυλαγμένος τῷ βίῳ μέχρι τοῦ παρόντος καὶ οὐδεμίαν ἐκδεδωκὼς γραφὴν ἐν ᾗ κατηγορῶ τινος, ἔξω μιᾶς πραγματείας, ἣν συνεταξάμην ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας πρὸς τοὺς κατατρέχοντας αὐτῆς ἀδίκως.*

37 Laertivs Diogenes X 3 s *Διότιμος δ' ὁ Στωικὸς δυσμενῶς ἔχων πρὸς αὐτὸν πικρότατα αὐτὸν (Ἐπίκουρον) διαβέβληκεν* .... (4) *ἀλλὰ καὶ οἱ περὶ Ποσειδώνιον τὸν Στωικὸν καὶ Νικόλαος καὶ Σωτίων ἐν τοῖς δώδεκα τῶν ἐπιγραφομένων Διοκλείων ἐλέγχων, ἅ ἐστι περὶ τῆς εἰκάδος, καὶ Διονύσιος ὁ Ἁλικαρνασεύς. καὶ γὰρ σὺν τῇ μητρὶ περιιόντα αὐτὸν ἐς τὰ οἰκίδια καθαρμοὺς ἀναγινώσκειν, καὶ σὺν τῷ πατρὶ γράμματα διδάσκειν λυπροῦ τινος μισθαρίου. ἀλλὰ καὶ τῶν ἀδελφῶν ἕνα προαγωγεύειν. καὶ Λεοντίῳ συνεῖναι τῇ ἑταίρᾳ. τὰ δὲ Δημοκρίτου περὶ τῶν ἀτόμων καὶ Ἀριστίππου περὶ τῆς ἡδονῆς ὡς ἴδια λέγειν κτλ.*

6 *πολιτικὴν φιλοσοφίαν* artem rhetoricam dicit ut t I p 6, 25 cf 3, 11. 4, 19 al   8 fr 37 Blassius De Dionysii Hal scriptis rhetoricis p 23 recte huc reuocauit. inter artis rhetoricae obtrectatores Epicurei facile primum locum tenebant   14 credas conuicia tralaticia, quae Laertius § 6 et 7 colligit, pleraque a Dionysio repetita esse. sed quae protulerit quae neglexerit ignorabimus. igitur prima tantum, quae sine auctore afferuntur, exempli causa adposui   14—16 cf Demosth or XVIII 258 s. 265.

ΠΕΡΙ ΕΚΛΟΓΗΣ ΟΝΟΜΑΤΩΝ

Dionysivs de comp uerb p 5, 15 ad Metilium Rufum: *ἐὰν δ' ἐγγένηταί μοι σχολή, καὶ περὶ τῆς ἐκλογῆς τῶν ὀνομάτων ἑτέραν ἐξοίσω σοι γραφήν, ἵνα τὸν λεκτικὸν τόπον τελείως ἐξειργασμένον ἔχῃς. ἐκείνην μὲν οὖν τὴν πραγματείαν εἰς νέωτα πάλιν ὥραις ταῖς αὐταῖς προσδέχου θεῶν ἡμᾶς φυλαττόντων ἀσινεῖς τε καὶ ἀνόσους, εἰ δή ποτε ἄρα τούτου πέπρωται βεβαίως τυχεῖν.* idem ibid p 8, 4 *πολλῶν καὶ μεγάλων ὄντων θεωρημάτων περὶ τὴν ἐκλογήν, ὑπὲρ ὧν πολὺς ἐγένετο φιλοσόφοις τε καὶ πολιτικοῖς ἀνδράσι λόγος.*

Steteritne Dionysius promissis necne, non constat. certum enim eius libri uestigium non exstat. fallit testimonium scholiorum Hermog de u *ὑπόξυλος* apud Schaeferum ad Gregor Cor p 241 uel in Bekkeri Anecd Gr p 1073 cf Walzii Rhet t V p 486, 12 adn *καὶ Διονύσιος ἐν τῇ ἐκλογῇ τῶν ὀνομάτων*: quod ad Aelium Dionysium atticistam referri facile intellegas conl Photio lex p 629, 22.

fieri potest ut Caecilii libri duo *Κατὰ Φρυγῶν* aut Dionysium a coeptis reuocauerint aut eius librum similem obliuione presserint.

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ

Qvintilianvs IX 3, 87 'Olim plura de figuris quam necesse erat .... (89) haec omnia copiosius sunt executi, qui non ut partem operis transcurrerunt sed proprie libros huic operi dedicauerunt, sicut Caecilius, Dionysius, Rutilius, Cornificius, Visellius aliique non pauci'.

cf Dionysivs de comp uerb 8 p 32, 7 ἡ δὲ περὶ τὸν σχηματισμὸν (θεωρία) ποδαπή; οὐκ ἔστιν εἷς τρόπος τῆς ἐκφορᾶς ἁπάντων τῶν νοημάτων, ἀλλὰ τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν τὰ δ' ὡς πυνθανόμενοι, τὰ δ' ὡς εὐχόμενοι τὰ δ' ὡς ἐπιτάττοντες, τὰ δ' ὡς διαποροῦντες τὰ δ' ὡς ὑποτιθέμενοι, τὰ δὲ ἄλλως πως σχηματίζοντες, οἷς ἀκολούθως καὶ τὴν λέξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν ὥσπερ καὶ τῆς διανοίας, οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν, ἴσως δὲ καὶ ἄπειροι· ὑπὲρ ὧν καὶ πολὺς ὁ λόγος καὶ βαθεῖα ἡ θεωρία.

idem de Demosth 39 p 212, 10 πρὸς δὲ τοῖς ῥυθμοῖς (κυριώτατον) καὶ τὸ τοὺς σχηματισμοὺς γενναίους εἶναι καὶ ἀξιωματικοὺς οὐ μόνον τοὺς κατὰ τὰς νοήσεις ἀλλὰ καὶ κατ' αὐτὴν τὴν λέξιν συνισταμένους. ἐξαριθμεῖσθαι δὲ νῦν, ὅσα γένη σχηματισμῶν ἐστι τῶν τε κατωνομασμένων καὶ τῶν ἀκατονομάστων, καὶ τίσιν αὐτῶν ἡ τοιαύτη μάλιστα πέφυκεν ἁρμονία χαίρειν, οὐκ ἔχω καιρόν.

Sed quae de figuris uel formis dicendi Dionysius praecepisse traditur a scholiasta Aristidis t III p 273, 29 (cf p 304, 21 ss), ab Halicarnassensi aliena esse perspicias ex erroribus Iohannis Siculi t VI p 95, 4 W. Marcellini IV 190, 13 Tzetzae in Anecd Oxon IV 126, 6 nec fugit Blassium De Dionysii Hal scriptis rhetoricis p 29 aut Roesslerum in Dionysii scr rhet fragmentis p 43.

DIONYSII HALICARNASEI

QVAE VOLGO FEREBATVR

ARS RHETORICA

I

ARTIS GENERIS DEMONSTRATIVI

CAPITA SELECTA

Instrumentum lectionis

P	codex Parisinus 1741 f. 1
G	codex Guelferbytanus 14 f. 1
l	uaria lectio exemplo Sylburgiano Lipsiensi adnotata, a Schaefero in meletematis excerpta
a	editio princeps Aldi Manutii 1508
s	editio Roberti Stephani 1547
Sylb	editio Sylburgii Francof. 1586
h	editio Hudsonis
r	editio I. I. Reiskii nomine publicata

I

Τέχνη περὶ τῶν πανηγυρικῶν

225 *Πανηγύρεις εὕρημα μὲν καὶ δῶρον θεῶν εἰς ἀνά-*
παυσιν τῶν περὶ τὸν βίον αἰεὶ πόνων παραδιδόμεναι,
ὥς που ὁ Πλάτων φησίν, οἰκτειράντων τῶν θεῶν τὸ
ἀνθρώπειον ἐπίπονον γένος· συνήχθησαν δὲ ὑπὸ ἀν-
θρώπων σοφῶν, κατεστάθησαν δὲ ὑπὸ πόλεων κοινῇ
226 *κοινῷ δόγ|ματι εἰς τέρψιν καὶ ψυχαγωγίαν τῶν παρόν-*
των. συντέλεια δὲ ἡ εἰς τὰς πανηγύρεις ἄλλη ἄλλων·
παρὰ μὲν τῶν πλουσίων δαπάναι χρημάτων, παρὰ δὲ
τῶν ἀρχόντων κόσμος περὶ τὴν πανήγυριν καὶ τῶν
ἐπιτηδείων εὐπορία· οἱ δὲ ἀθληταὶ τῇ ῥώμῃ τῶν σω-
μάτων κοσμοῦσι τὴν πανήγυριν, καὶ ὅσοι γε δὴ Μουσῶν

5 Plato leg. II p 653[cd]

2 † *ΤΕΧΝΗ ΠΕΡΙ ΤΩΝ ΠΑΝΗΓΥΡΙΚΩΝ* ∴ hoc solum inscripsit P[1] supra antiquam inscriptionem manus recentior fere saeculi XII scriptoris nomen ex f 29[v] sumptum posuit nunc partim detritum partim cultello resectum *ΔΙουνσιου α....[ρ]νασεοσ*, in mg dextro superiore m rec s. XIV hunc indicem capitum dedit *μέθοδοι πανηγυρ(ικῶν) γαμηλίων γενεθλιακῶν ἐπιθαλαμίου προσφωνηματικῶν ἐπιταφίων προτρεπτικὴ ἀθληταῖς*, quem paucis mutatis pro titulo uenditat G 3 *πανήγυρις* P: correxit G 4 *αἰεὶ πόνων*] *μειζόνων* P *πόνων* ex Platone Sylburgius Hermannus *ὀιζυρῶν* Iacobsius ad anth. Pal. t. III p 297 | *παραδιδόμενα* P *διδόμεναι* G *παραδιδομένη* a 6 *ἀνθρώπειον* P *ἀνθρώπειον καὶ* G *ἀνθρώπων* Sylburgius 9 *ἄλλη ἄλλων* Schaeferus: *ἀλλήλων* P *ἄλλη παρ᾽ ἄλλων* Sylburgius 13 *κοσμοῦσιν* a

καὶ Ἀπόλλωνος ὀπαδοί, τῇ μουσικῇ τῇ παρ' ἑαυτῶν.
ἀνδρὶ δὲ περὶ λόγους ἐσπουδακότι καὶ σύμπαντα τὸν
ἑαυτοῦ βίον ἀνατεθεικότι τούτοις πρέποι ἂν οἶμαι τοῖς
τοιούτοις λόγοις κοσμεῖν τὴν πανήγυριν, τέχνῃ μετιόντι
τὸν λόγον, ὡς μὴ κατὰ τοὺς πολλοὺς εἴη αὐτῷ γινό-
μενος. φέρε οὖν εἰς τοῦτο, ὦ Ἐχέκρατες, λέγωμέν σοι.
ὥςπερ ὁδοῦ τινος ἀστιβοῦς τοῖς πολλοῖς ἡγεμόνες
γιγνόμενοι, ἃ πάλαι παρὰ τῶν πατέρων τῆς ἡμεδαπῆς
σοφίας παραλαβόντες ἔχομεν, ἐκεῖνοι δὲ καὶ οἱ ἔτι
τούτων ἀνωτέρω παρ' Ἑρμοῦ τε καὶ Μουσῶν λαβεῖν
ἔφασαν οὐ μεῖον' ἢ ὁ | Ἀσκραῖος ποιμὴν [ποίησιν] 227
2 παρὰ τῶν αὐτῶν τούτων ἐν τῷ Ἑλικῶνι. ἴθι οὖν σὺν
τέχνῃ οὑτωσὶ μετίωμεν τοὺς λόγους.

Θεὸς μέν γέ που πάντως πάσης ἡςτινοςοῦν πανη-
γύρεως ἡγεμὼν καὶ ἐπώνυμος, οἷον Ὀλυμπίων μὲν
Ὀλύμπιος Ζεύς, τοῦ δὲ ἐν Πυθοῖ Ἀπόλλων. ἀρχὴ μὲν
δὴ τοῦ λόγου τοῦδε τοῦ θεοῦ, ὅςτίς ποτ' ἂν ᾖ, ἔπαινος
ἡμῖν γιγνέσθω, ὥςπερ πρόσωπόν τι τηλαυγὲς προκεί-
μενος τοῦ λόγου. ἐπαινέσεις δὲ ἀπὸ τῶν προσόντων
τῷ θεῷ· εἰ μὲν Ζεύς, ὅτι βασιλεὺς θεῶν, ὅτι τῶν
ὅλων δημιουργός· εἰ δὲ Ἀπόλλων, ὅτι μουσικῆς εὑρε-
τής, ὅτι ὁ αὐτὸς Ἡλίῳ, Ἥλιος δὲ πάντων πᾶσιν ἀγα-

11 cf Hesiodus theog. 22—34   18 Pindarus Olymp. 6, 3 ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές

4 λόγοις del Hermannus | τὴν] . . . τὴν tribus litteris erasis P   5 ὡς ⟨ἂν⟩ Sauppius | γενόμενος G   6 λέγωμεν cum litura supra ω P fort ἐνέγκωμεν?   8 ἃ Schottus: ἣν P   9 ἐκεῖν[οι] etiam acuto in circumflexum mutato P²   10 ἀνώτεροι ex ἀνωτερω P²   11 μεῖον P | ποίησιν glossema expunxi. quod si retineas, v. 12 τούτων ⟨λαβὼν⟩ ἐν scribendum erit | ἴσθι coni Schaeferus   13 οὑτωσὶ ex οὕτωσ εἰ P | μετιὼν Pa: corr Elter
18 γενέσθω a | προσωπεῖον P: corr Hudson   20 μὲν ex μὶν P²   21 ἀπόλλῶ P¹ ἀπόλλω P²

θῶν αἴτιος· εἰ δὲ Ἡρακλῆς, ὅτι Διός, καὶ ἃ παρέσχεν
τῷ βίῳ. καὶ σχεδὸν ὁ τόπος συμπληρωθήσεται ἐξ ὧν
ἕκαστος ἢ εὗρεν ἢ παρέσχεν τοῖς ἀνθρώποις. ἐν βραχεῖ
δὲ ταῦτα, ὡς μὴ τοῦ ἐπιόντος ὁ λόγος ὁ προάγων
μείζων γίγνοιτο. |

228 Ἐφεξῆς ἐπιέναι χρὴ τὸν ἔπαινον τῆς πόλεως, ἐν 3
ᾗ ἡ πανήγυρις· περὶ θέσεως αὐτῆς, περὶ γενέσεως·
ἐν ᾧ τίς ὁ κτίστης θεὸς ἢ ἥρως, καὶ εἴ τι ἔχεις περὶ
αὐτοῦ εἰπεῖν· εἴ τι πέπρακται τῇ πόλει ἢ ἐν πολέμοις
ἢ ἐπ' εἰρήνης. ἁρμόσει δὲ καὶ περὶ μεγέθους λέγειν,
εἰ μεγάλη, ἢ ⟨εἰ⟩ σμικρά, ὅτι κάλλει διαφέρουσα, ὅτι
εἰ καὶ σμικρά, ἀλλὰ δυνάμει ἰσοῦται ταῖς μεγάλαις.
ὅσα περὶ κόσμου, οἷον ἱερῶν ἢ τῶν ἐν τούτοις ἀνα-
θημάτων, δημοσίων οἰκοδομημάτων, ἰδιωτικῶν, ὥς που
καὶ Ἡρόδοτος πεντώροφα καὶ ἑξώροφα φησὶν εἶναι ἐν
Βαβυλῶνι· ἂν ποταμὸς ᾖ μέγας ἢ καθαρὸς ἢ συμβαλ-
λόμενος τοῖς ἐνοικοῦσι τὴν χώραν· εἰ δὲ δὴ καὶ μῦθος
εἴη λεγόμενός τις περὶ τῆς πόλεως, οὕτω μὲν ἂν καὶ
πολλὴν γλυκύτητα ἔχοι ὁ λόγος.

Λεκτέον δὲ ἐπὶ τούτοις καὶ περὶ αὐτοῦ τοῦ ἀγῶνος, 4
229 τίς ἀρχὴ καὶ κατάστασις αὐτοῦ ἢ ἐφ' οἷςτισιν ἐτέ|θη, 21
εἴτε μῦθός τις εἴη εἴτε ἄλλό τι ἀρχαῖον. ἐν τούτῳ δὲ
γενόμενος μὴ ἁπλῶς παρέλθῃς τὸν τόπον, ἀλλὰ παρα-

15 Herodotus I 180 τὸ δὲ ἄστυ—πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων

1 et 3 παρέσχε/// P²   2 συγκληρωθήσεται P: corr G   10 ἁρμόσοι P   11 ἢ εἰ] ἢ P εἰ δὲ Schottus | ὅτι οὐ κάλλει P sed οὐ pallidiore est atramento, deletum uoluit corrector   12 καὶ σμικρὰ ἀλλὰ omissa supra uersum add P²   13 κόσμου P: κόσμον G¹ κόσμων G² cf p 260, 13 sq   15 πεντόροφα καὶ ἑξόροφα uolgo   19 ἔχει P   22 ἤ τι ἄλλο ante Schottum edebatur

βαλεῖν χρὴ πρὸς τοὺς ἄλλους ἀγῶνας. τοῦτο δ' εὐπορήσεις τῷ λόγῳ, οἷον ἀπὸ καιροῦ παραβάλλων· εἰ μὲν πρὸς ἔαρ ἄγοιτο, ὅτι ἐν τῷ συμμετροτάτῳ πρὸς ἑκάτερα· εἰ δὲ ἐν χειμῶνι, ὅτι ἐν τῷ ἐρρωμενεστάτῳ καὶ ἀνδρειοτάτῳ, ὡς ἂν εἴποι τις, καιρῷ· εἰ δ' ἐν θέρει, ὅτι πρὸς ἄσκησιν καὶ ⟨ἡ⟩ θεωρία τῶν θεωμένων κατεστάθη, καὶ ὅτι ἔλεγχος τῆς προαιρέσεως, [ὡς] καὶ μὴ ὄντων ἀθλητῶν τοὺς θεωμένους ἀγωνίζεσθαι. ἔχοις δ' ἂν καὶ τὸ φθινόπωρον ἐπαινεῖν καὶ [ὅτι] ἀπὸ συγκομιδῆς τῶν καρπῶν καὶ ἀπὸ τοῦ ἤδη παύεσθαι τοὺς ἀνθρώπους τῶν πόνων.

5 Σκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τῆς διαθέσεως τοῦ ἀγῶνος δεῖ. εἰ μὲν μουσικὸς καὶ γυμνικὸς εἴη, ὅτι τελεώτατος ὁ ἀγὼν καὶ ἀνενδεῶς κεκραμένος καὶ ῥώμῃ | σωμάτων καὶ καλλιφωνίᾳ καὶ τοῖς λοιποῖς μέρεσι τῆς 230 μουσικῆς· εἰ δὲ γυμνικός, ὅτι τὴν μουσικὴν ὡς ἐκθηλύνουσαν τὴν ψυχὴν παρῃτήσατο, τὴν δὲ ῥώμην τῶν σωμάτων παρέλαβεν, καὶ ὅτι ὁ τρόπος τῆς ἀγωνίας χρήσιμος πρὸς τὴν ἀνδρείαν τὴν ἐν τοῖς πολέμοις.

6 Μὴ παρέργως δὲ μηδὲ αὐτὸν τὸν στέφανον παρέλθῃς, ὅστις ἐπῇ (οὐδὲ γὰρ ἐν τούτῳ γενόμενος ἀπορήσεις ἐπαίνου)· τὴν μὲν δρῦν, ὅτι ἱερὰ Διός, καὶ ὅτι ἡ πρώτη καὶ πρεσβυτάτη τροφὴ τῶν ἀνθρώπων, καὶ ὅτι οὐκ ἄφωνος, ἀλλὰ καὶ ἐφθέγξατό ποτε ἐν

22 scholii recentioris nil dispiciebam nisi media fere uerba τὴν δρῦν

1 τούτου Schottus 6 ἄσκησιν καὶ θεωρίαν P: correxit Theodorus Nissen cf Horati a. p. 413 7 ὡς καὶ μὴ P²: ὅτι μὴ P¹ καὶ μὴ G 9 ὅτι damnauit Sylburgius cf p 267, 22 16 ἐκθηλύνουσαν supra uersum P²: ἡδύνουσαν P¹ 18 παρέλαβε uolgo 21 ὅστισ εἴη P tu cf p 259, 12 de modo 297, 6

Δωδώνῃ. εἰ δὲ ἐλαία, ὅτι ἱερὰ τῆς Ἀθηνᾶς, καὶ ὅτι ἄκος πόνων, καὶ ὅτι τὰ τρόπαια ἀπὸ τούτου τοῦ φυτοῦ ἀνέθεσαν οἱ παλαιοί, καὶ ὅτι τῆς νίκης τοῦτο σύμβολον τὸ φυτόν, καὶ ὅτι ἡ Ἀθηνᾶ τούτῳ πρώτη ἐστέψατο νικήσασα τὸν Ποσειδῶνα, καὶ ὅτι οἰκειότατον τοῖς ἀγωνιζομένοις (τὰ γὰρ γυμνάσια διὰ τοῦ ἐλαίου διαπονεῖται), καὶ ὅτι συναγωνίζεται πρὸς τὸν λόγον δι' οὗ πανηγύρεις κοσμοῦνται. καὶ τὴν δάφνην δὲ 231 ἐρεῖς ὅτι καὶ ἱερὰ τοῦ Ἀπόλλωνος καὶ | μαντικὸν τὸ φυτόν· εἰ δὲ βούλει καὶ τοῦ μύθου ἐφάπτεσθαι τοῦ περὶ τῆς Δάφνης, οὐδὲ τοῦτό σοι ἄπο τρόπου εἴη ἂν εἰρημένον. ὁμοίως δὲ καὶ ἕτερον εἰ ἐπείη, οἱονεὶ καρποὶ Δημητριακοὶ ἢ πίτυς, εὐπορήσεις που καὶ περὶ τούτων ἑκάστου. οὐκ ἔξω δὲ φιλοτιμίας οὐδὲ τὸ παραβαλεῖν τὸν στέφανον πρὸς τοὺς παρ' ἄλλοις.

Ὁ δέ σοι τοῦ παντὸς λόγου οἱονεὶ κολοφὼν ἐπήχθω 7 τοῦ βασιλέως ἔπαινος, καὶ ὅτι τῷ ὄντι ἀγωνοθέτης πάντων ἀγώνων ὁ τὴν εἰρήνην πρυτανεύων, δι' ἣν καὶ τοὺς ἀγῶνας ἐπιτελεῖν οἷόν τε. ἤδη δέ τινες καὶ τοὺς διατιθέντας τοὺς ἀγῶνας ἐπῄνεσαν, εἰ ἄρα ἔνδοξοί τινες οὗτοι, ὅτι καὶ ἐν ἄλλοις πρότερον γενόμενοι χρήσιμοι, καὶ ἐν τούτοις ὅτι φιλοτιμότατοι. εἰ δὲ μὴ ἄλλα ἔχεις πρεσβύτερα, ὅτι ἀρχὴ τῆς φιλοτιμίας 232 τῆς περὶ τὴν πα|τρίδα μεγίστη καὶ Ἑλληνικωτάτη.

7 sq καὶ οἱ λόγοι τοῦ Δημοσθένους ἐλλυχνίων ἀπόζουσιν. scholion saec XIV

1 ἐλαῖα P 4 τούτω πρώτω P τούτῳ τῷ τρόπῳ l Schaeferus 7 διαπονεῖται laborant medii generis est ut saepe, itaque caue substituas διακονεῖται 11 ἄπο sic P 12 οἱονεὶ] οἷον οἱ P cf p 268, 1 13 ἢ πιστουσ P εἰ πίστεως G: corr Hudson | εὐπορήσεις PG: εὐπορήσεις δέ uolgo 16 οἷονεὶ P 22 φιλοτιμώτατοι P² 23 ἀλλὰ P¹

Ἡ δὲ λέξις ἄλλη μὲν κατὰ τὴν ἑκάστων φύσιν ἢ
8 βούλησιν. εἰ δὲ δὴ κρατεῖν χρὴ τὴν ἐμὴν γνώμην, οὐ
μονότροπον ταύτην συμβουλεύσαιμ' ἂν εἶναι ἀλλὰ ποι-
κίλην καὶ μεμιγμένην, καὶ τὰ μὲν ⟨ἐν⟩ τῇ ἀφελείᾳ
προάγοντα, τὰ δὲ ἐν ἀντιθέτοις τε καὶ παρισώσεσιν
Ἰσοκράτους, τὰ δὲ διῃρμένως. ταύτην γὰρ τὴν
ὁδὸν καὶ τὸν τοῦ ἡμεδαποῦ χοροῦ ἡγεμόνα τε καὶ
κορυφαῖον οἶδα μετιόντα ⟨πάντῃ⟩ ὡς ἔπος εἰπεῖν ἢ
ἐν τοῖς πλείστοις, εἰ μή τι πρὸς εἶδος γράφειν τι
προὔθετο· ἑκάστης δὲ ἰδέας ἔδωκεν ἡ ὕλη τὴν ἀφορ-
μήν. δεῖ δὲ τοῖς νοήμασιν ἐπακολουθοῦσαν καὶ τὴν
ἑρμηνείαν ἐπάγειν, οἷον τὰ μὲν ἀφηγηματικὰ καὶ μύθου
τινὸς ἐχόμενα ἀφελῶς προάγοντα· ὅσα δὲ περὶ βασι-
λέων ἢ θεῶν, σεμνῶς· ὅσα δὲ περὶ παραβο|λῶν καὶ 233
συγκρίσεων, πολιτικῶς· εἰ μὴ ἄρα τις πρὸς τὸ ἀξίωμα
⟨μίαν⟩ τινὰ ἰδέαν λόγου διὰ πάντων παρέχοιτο· ἐπι-
δεικτικώτερον δὲ τὸ προειρημένον καὶ δημοτερπέστερον.

II

Μέθοδος γαμηλίων

Ἐμοὶ μὲν ἦν τερπνὸν αὐτὸν παρόντα καὶ συγχο-
ρεύοντα καὶ ἀναβακχεύοντα μετὰ σοῦ τῆς φίλης ἐμοὶ

1 μὲν ⟨ἄλλων⟩ Schottus ⟨ἄλλοτε⟩ μὲν Schaeferus 2 δὴ G: δεῖ P 4 ἐν inserui | fort ἀφελεῖ 5 προάγοντα cf 271, 13 al 6 τὰ δ' ἐν Schaeferus | διηρμένους P[1]: διηρημένους P[2] διηρημένοις G. cf 276, 25. 283, 18 8 πάντῃ inserui ἢ πανταχοῦ Schottus 9 τι πρὸς Pa: τις πρὸς s, uolgo. alterum τι non recte suspectaueris 10 ἔδωκεν] ἔοικεν P cui supplendo παρέχειν post ἀφορμὴν inseruit Schottus auctore Sylburgio, χορηγεῖν Schaeferus 12 οἷον P: οἷα G 15 πρὸστὸ ἀξίαν τινὰ PG: πρὸς τὴν ἀξίαν τινὰ uolgo 16 π[αν]των cum litura P 19 titulum om G uolg. scriptor ipse non γαμηλίους dicit sed γαμικούς cf adn p 269, 23 20 αὐτοῖσπαρόντα P: corr Ga

κεφαλῆς ὑμνεῖν τε καὶ ἀνυμνεῖν τὸν μικρὸν ὕστερον
ἐπιτελεσθησόμενον γάμον καὶ ᾄδειν γε τὸν ὑμέναιον
τὸν ἐπὶ τοῖς γάμοις πρέποντα λέγεσθαι. ἐπεὶ δὲ ἔοικεν
δεσμός τις οὗτος ὁ πρὸς τοῖς λόγοις καὶ τῇ παιδεύσει
τῇ παρούσῃ διαιρεῖν ἡμᾶς τοῖς σώμασιν καὶ τοῖς τόποις
ἀπ' ἀλλήλων (μὴ γὰρ δὴ ταῖς ψυχαῖς τε καὶ διαθέσεσιν
καὶ εὐνοίαις ταῖς ἐπ' αὐταῖς χωρισθείημέν ποτε), ἀλλ' |
234 οὖν ἔστω σοι ὥσπέρ τι δῶρον παρ' ἐμοῦ εἰς συντέ-
λειάν τε καὶ κόσμον τῶν γάμων τὸ μηδὲ τῶν περὶ τού-
των εἰωθότων λέγεσθαι μηδὲ αὐτὸν ἀπείρως ἔχειν, εἴτ'
οὖν αὐτὸς καὶ παρὰ σεαυτῷ φυλάττειν βούλοιο εἴτε καὶ
ἑτέρῳ τινὶ τοῦτον οἷον ἔρανόν τινα εἰς χάριν συνεισ-
φέρειν. τάχα μὲν οὖν καὶ αὐτὸς ἤδη ποτὲ καὶ ἄλλοτε
προανεκρούσω ἐν τοῖς τοιούτοις τῶν λόγων, ὁπηνίκα
κομιδῇ νέος ὢν παρ' ἐμοὶ τὴν πρώτην ὁδὸν τῶν ῥητο-
ρικῶν μετῄεις, τά τε ἄλλα γράφων καὶ συγγράφων
γυμνάσματά τε καὶ ἀσκήματα τῆς ῥητορικῆς, καὶ δὴ
καὶ τὰς θέσεις οὕτω λεγομένας, καὶ τούτων τὰ εἰς τὸν
περὶ αὐτοῦ τοῦ γάμου λόγον συντείνοντα καὶ τὴν
προτροπὴν τὴν εἰς αὐτόν. προκεχείρισται γὰρ ἐν τοῖς 2
μάλιστα καὶ τοῦτο πρὸ πάντων τοῖς νεωτέροις εἰς
γραφήν, εἰ γαμητέον. οὐ πόρρω δὲ οὐδ' ὁ νῦν ὑφ'
ἡμῶν προχειριζόμενος λόγος τῆς περὶ τὰς τοιαύτας
235 ἰδέας τῶν λόγων θήρας. ἀμέλει | γε τοιοῖςδε τόποις,
οἷς πέρ που καὶ ἐν ταῖς θέσεσιν ** ἀπὸ θεῶν, καὶ ὅτι

3 δ' ἔοικε uolgo 4 δεσμοῖς P[1] 6 διαθέσεσι/// P[2] 7 εὐνοίαις P: ἐννοίαις a, uolg 8 συντελείαν ex συντέλειαν corr P[2]
10 μὴ δὲ αὐτῶν P, a | εἰτοῦν P 11 καὶ ante παρὰ del Sauppius 14 τὸν λόγον P 15 κομιδη P κομιδῇ rec P[2]
20 εἰς αὐτὰ P: corr Schottus 22 οὐδὲ νῦν ὁ ὑφ' Pa
24 γέ τοι οὐδὲ τούτοισ οἷσπερ Pa γε τοιούτοις οἷς περ G
25 hiatum indicaui: intercidit e. c. καὶ ἐνταῦθα χρησόμεθα. καὶ ἀρξόμεθα μὲν

οὗτοι οἱ εὑρόντες καὶ δείξαντες τοὺς γάμους τοῖς ἀνθρώποις· Ζεὺς γὰρ καὶ Ἥρα, πρῶτοι ζευγνύντες τε καὶ συνδυάζοντες· οὕτω τοι ὃ μὲν καὶ πατὴρ καλεῖται πάντων, ἡ δὲ Ζυγία ἀπὸ τοῦ ζευγνύναι τὸ θῆλυ τῷ ἄρρενι, καὶ ἀπὸ τούτων τῶν θεῶν καὶ ὁ τῶν λοιπῶν θεῶν χορὸς παρῆλθεν εἰς τὸν βίον τῶν ἐπιφημισθέντων τοῖς γάμοις, γαμηλίων τε καὶ γενεθλίων οὕτως ὀνομαζομένων· καὶ ὅτι ὁ γάμος αἴτιος τοῦ τε ὀνομασθῆναι τούτους τοὺς θεοὺς καὶ τιμᾶσθαι· ἄνευ γὰρ τῶν γάμων οὐδ' ἂν αἱ τιμαὶ τούτων παρῆλθον εἰς ἀνθρώπους.

3 Ἐφεξῆς ἐπάγειν χρὴ τὸν περὶ τῆς φύσεως λόγον, καὶ ὅτι τοῦτο αὐτῆς ἔργον, τὸ γεννᾶν τε καὶ κυΐσκειν· καὶ ὅτι διῆλθεν διὰ πάντων τὸ ἔργον αὐτῆς καὶ ζῴων καὶ φυτῶν. εἶτα τὴν διαφορὰν ἐπάξομεν τῆς ἐν τοῖς ἀνθρώποις μίξεως καὶ κοινωνίας, ὅτι τὰ μὲν | 236 ἁπλῶς καὶ ὡς ἔτυχεν μίγνυται, ὁ δὲ ἄνθρωπος τάξιν τινὰ καὶ νόμον ἐξεῦρεν τοῦ γάμου, οὐκ ἀγεληδὸν δίκην θηρίων ἐπιτρέπων μίγνυσθαι, ἀλλὰ σύμμιξιν καὶ κοινωνίαν δυοῖν τὴν προσφορωτάτην εἰς ἅπαντα τὸν βίον μεμηχανημένος. ἐν ᾧ, ὅτι τοῦ μὲν θηριώδους καὶ πεπλανημένου βίου ἀπηλλάγησαν, βίον δὲ ἥμερον καὶ τεταγμένον ἔσχον διὰ τοῦ γάμου. καὶ ὅτι θνητὸν ὄν γε τὸ ἀνθρώπειον ἐκ τῆς μίξεως καὶ κοινωνίας τοῦ γάμου ἀθάνατον γέγονεν, ἐκ τῆς διαδοχῆς τῶν ἐπιγι-

2 *Ζεύς τε καὶ* Hermannus deleto u 1 *οὗτοι οἱ* 3 *συνδυάζοντες οὕτωτοι· ὁ μὲν* sic distinguit P 6 *τῶν ἐπι ἐπιφημισθέντων* P^1
9 exspectes *καὶ ⟨τοῦ⟩ τιμᾶσθαι* 10 *οὐδὲ ἂν* P 13 *διῆλθε* uolgo | *τῶν ἔργων* P: corr Sylburgius 16 *ἔτυχε* ut 17 *ἐξεῦρε* uolgo 18 *κοινωνίαι* P^1 19 *τοῖν προσφορωτάτοιν* P: corr Thuanus 20 *μηχανώμενος* G 22 *ὅν γε* P 23 *γε*] *γένος* Schaeferus, delebat Hermannus 24 uolgo non post *γέγονεν* sed post *ἐπιγινομένων* distinguebatur

νομένων ὥσπερ φῶς ἀναπτόμενον καὶ διαδιδόμενον ἀεὶ τοῖς ἐπιγιγνομένοις τῇ γεννήσει τοῦ ἀνθρώπου καὶ μήποτε ἀποσβεννύμενον. καὶ τοῦτον ἄν τις εἴποι δικαίως ἔρανον κάλλιστον οὐ χρημάτων οὐδὲ κτημάτων τινῶν, ἀλλ' αὐτῆς τῆς φύσεως καὶ τοῦ γένους.

4 Εἶτα ἐξετάσεις ἐπὶ τούτοις, ὅσα προσγίνεται τοῖς γεγαμηκόσι. πρῶτον μὲν πρὸς δόξαν, ὅτι ἐνδοξότεροι 237 τὸ κάλλιστον μέρος τῆς ἀρετῆς εὐθὺς ἀπὸ τῶν | γάμων ἀρχόμενοι καρποῦσθαι, τὴν σωφροσύνην· ὁ γὰρ γάμος εὐθὺς καὶ σωφροσύνης δόξαν περιτίθησι τοῖς ἀνθρώποις, καὶ οἱ τοιοῦτοι δοκοῦσιν τῆς μὲν ἀτάκτου μίξεως ἀπηλλάχθαι, πρὸς δὲ μίαν ἀφορᾶν μόνην τὴν ἑαυτοῦ ἕκαστος γυναῖκα. ἐκ δὲ τούτου καὶ ἐντιμοτέρους ἀνάγκη γίγνεσθαι τοὺς ἀνθρώπους καὶ πιστοτέρους δοκεῖν καὶ εὐνουστέρους περὶ τὰς αὐτῶν πατρίδας ἐν παντὶ διὰ τὸ ὥσπερ ὅμηρα δεδωκέναι ταῖς πατρίσι τοὺς ἑαυτῶν παῖδας, δι' οὓς ἀναγκαῖον καὶ μᾶλλον εἰς τὰς συμβουλίας παραλαμβάνεσθαι.

5 Καὶ πρὸς λύπας δὲ καὶ τὰ δυσχερῆ τὰ ἐν τῷ βίῳ γάμος χρησιμώτατος, κουφότερα ταῦτα παρασκευάζων ὥσπερ φορτία, μεταδιδόντων ἡμῶν ταῖς ἑαυτῶν γυναιξὶν τῶν δυσχερῶν καὶ τῇ κοινωνίᾳ παρηγορουμένων. 238 ἐν δὲ τούτῳ καὶ τὰ ἡδέα ἀνάγκη τερπνότερα | φαίνεσθαι, μὴ αὐτῶν ἐφ' ἑαυτῶν εὐφραινομένων, ἀλλὰ ἐχόντων καὶ τοὺς συμπανηγυρίζοντας καὶ τοὺς συνευφραι-

1 *διαδιδόμενον*] *διαμένον* P cf Plato rei p. I p 328^a leg. VI p 776^b Lucretius II 79 al | *ἀεὶ* Elter: *καὶ* Pa | *καὶ* — 2 *ἀνθρώπου* deleuit Schottus 2 *ἐπιγινομένοις* G s 5 *γένους*] *γάμου* Schottus
6 *εἴτα* P ut semper 11 *δοκοῦσι* h 14 *γίνεσθαι* a
15 *αὐτῶν* PG: *αὐτὰς* s 19 *λύπας τε καὶ* P | *καὶ τὰ* PG: *καὶ* a 21 *γυναιξὶ* s 22 *τῆς κοινωνίας* P: corr Schottus *ταῖς κοινωνίαις* Sylburgius 24 *ἀλλ'* r

νομένους παῖδάς τε καὶ γυναῖκας καὶ τοὺς ἄλλους συγγενεῖς· καὶ ἑορταὶ δὲ καὶ πανηγύρεις διὰ τοῦτο τερπναί, ὅτι ἐν πολλοῖς γίγνονται. ἀνάγκη δὲ ἐκ τούτου καὶ τὰς συγγενείας αὐξάνεσθαι· καὶ ὅτι ἐκ τούτου πρῶτον μὲν συνοικίαι ἐγένοντο, εἶτα καὶ κῶμαι, εἶτα καὶ πόλεις. ἐκ δὲ τῶν ἐπιγαμιῶν καὶ ἡ γνῶσις πλείων καὶ ἡ συγγένεια ὑπερορίοις. ἤδη παραθετέον καὶ μνηστέον καὶ ἐνδόξων γάμων ἢ ἀρχαίων, καὶ ὅσα ἀπὸ τούτων ἀγαθὰ ἐγένετο τοῖς ἀνθρώποις, καὶ ὅση ἀποτροπὴ τῶν δυσχερῶν διὰ γάμου, οἷον ὅτι Μενέλεως ἀθάνατος ἐγένετο διὰ τὸν γάμον τῆς Ἑλένης καὶ ὁ Πηλεὺς διὰ τὸν τῆς Θέτιδος, καὶ ὁ Ἄδμητος διὰ τὴν Ἄλκηστιν τὸν ἐκ τῆς εἱμαρμένης θάνατον διέφυγεν.

6 Ἐπειδὰν δὲ ἱκανῶς περὶ τούτων διέλθῃς, εὐχῇ χρηστέον ἀγαθῶν μὲν αἴτησιν ἐχούσῃ περὶ τὸν γάμον καὶ τὰς παιδοποιίας, ἀποτροπὴν δὲ τῶν κακῶν. εἶτα δια|τυπωτέον λόγῳ οἷον προαναφωνοῦντα, ὁποῖος ἂν 239
ὁ βίος ὁ μετὰ τῶν παίδων γένοιτο, ὅτι τερπνότατος χορὸς παίδων οἱ γένοιτο γέροντι, καὶ ὅτι τρόπον τινὰ ἐξ ἀρχῆς ἀνανεάζεσθαι αὐτὸν καὶ ἀνηβάσκειν σὺν τοῖς αὑτοῦ παισίν. ἐν τούτῳ δὲ ἀνάγκη καὶ ἀναμιμνῄσκειν, ὧν ποτε καὶ αὐτὸς ἐν νεότητι ἐποίησεν· ἡδεῖα δὲ καὶ ἡ μνήμη τῶν ἐν παισὶν ἡμῖν πεπραγμένων. καὶ ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ποιοῦν ἐξ ἀρχῆς πάλιν βεβιωκέναι. εἰ δὲ εἰκόνα τις ὁρῶν ἑαυτοῦ ἄψυχον ἥδεται,

10 cf Homerus δ 563—569

3 γίνονται a | ἐκ τούτων Pa 6 ἐπιγαμιῶν sic P 7 πλείον P^{2} 9 ὅση] ὡς ἡ P 14 δ' h 15 περὶ τῶν γάμων καὶ τῆς P 19 οἱ] εἰ P | γέροντι Georgius Karo: ὁρῶντι P | ὅτι del Sauppius 20 ἀνανεάζεσθαι scil γένοιτο. Sylburgius ποιεῖ post αὐτὸν inserebat 21 αὐτοῦ P 22 δὲ ante Schottum omittebatur 25 ἥδεται ὅπου | ὅταν P^{1} ὅπου del P^{2}

⟨πόσῳ μᾶλλον ἡσθήσεται⟩, ὅταν καὶ μὴ ἄψυχον ταύτην ὁρᾷ ἀλλὰ καὶ ἔμψυχον, μηδὲ μίαν ἀλλὰ πολλάς, ἂν οὕτω τύχῃ; ἐπακτέον δὲ πάλιν καὶ ἐνταῦθα ἱστοριῶν τινων μνημονεύοντα, ὅσοι ἀπὸ παίδων εὐτύχησαν,
240 ὅσοι κακῶν ἀποτροπὰς εὕραντο, οἷον τῷ | Ἀγχίσῃ παρὰ τοῦ Αἰνείου. Δεῖ δὲ μηδὲ τὰ πρόσωπα τῶν γαμούντων τε καὶ γαμουμένων παρεῖναι, ἀλλὰ καὶ τούτων ἐπαίνους λέγειν. ποτὲ μὲν οὖν ἐν ἀρχῇ χρηστέον τῷ τόπῳ τούτῳ, ποτὲ δὲ καὶ ἐπὶ τέλει· ἐὰν μὲν οὖν πάνυ ἔνδοξα ᾖ, ἐν ἀρχῇ· ἐὰν δὲ ἥττονα, ὑπερβαλόντα καὶ ἐπὶ πᾶσι λέγοντα. ὁ δὲ ἔπαινος ἅπερ ἐν τοῖς ἐγκω- 7
μίοις ἕξει, καὶ τόποι οἱ αὐτοὶ καὶ ⟨ἐκεῖ, ὁ⟩ ἀπὸ τῆς πατρίδος, ὁ ἀπὸ τοῦ γένους, ὁ ἀπὸ τῆς φύσεως, ὁ ἀπὸ τῆς ἀγωγῆς, καὶ ὅτι ἴσοι καὶ ὅμοιοι καὶ βέβαιοι ἀμφότεροι, καὶ ἐκ τοιούτων πατέρων καὶ προπατόρων· καὶ εἰ μὲν ἐκ τῆς αὐτῆς πατρίδος, ὅτι ἐκ πολλοῦ προσῳκειωμένοι ὑπὸ τοῦ τόπου· εἰ δὲ ἐκ διαφόρων, ὅτι καὶ ὑπὸ θεῶν συνήχθησαν εἰς τὴν κοινωνίαν. εἰ δὲ δὴ ἐκ τοῦ αὐτοῦ γένους εἰσίν, ὅτι αὔξησις καὶ οἰκειό-|
241 της συγγενείας ἄλλη ἐπ' ἄλλῃ γέγονεν, καὶ δεσμὸς βεβαιότερος καὶ ἰσχυρότερος· ὅταν δὲ ἀπὸ διαφόρων ἐπιτηδευμάτων, ὃ μὲν ἀπὸ στρατείας, ὃ δὲ ἀπὸ παι-

1 hiatum suppleui Sylburgio monitore καὶ post ὅταν delebat Hermannus 3 ἀπακτέον P: corr Hudson | fort ἱστορίαν 5 τῷ Ἀγχίσῃ non temptaui. suspicor ante οἷον alterum exemplum beneficii (ὅσοι ἀπὸ παίδων εὐτύχησαν) intercidisse passiue conceptum ut 264, 9 7 παριέναι ci Sylburgius 9 τύπωι P: corr Sylburgius 10 ὑποβάλλοντα P ὑπερβάλλοντα Sylb 11 δ' uolgo 12 αὐτοὶ καὶ ἀπὸ P αὐτοί, ὁ ἀπὸ Ga 14 καὶ ante ὅτι delebat Schottus 15 τούτων P: corr Sauppius | προπατέρων P: corr G 16 προσωικειωμένον P^{1} 17 δ' uolgo 19 αὔξησις τῆς συγγενείας καὶ οἰκειότης ἄλλη Schottus 20 ἄλληι ἐπαλληι P | γέγονε uolgo 21 et 22 δ' uolgo 22 necessarium ἢ δὲ

δείας, ὅτι ἁρμονία αὕτη ἀρίστη, τὸ εἰς ταὐτὸν σοφίαν τε καὶ ἀνδρείαν τελεῖν, καὶ οἵους εἰκὸς τοὺς ἀπὸ τούτων γενέσθαι.

8 *Εἰ δὲ δὴ αὐτὸς εἴη ὁ γαμῶν ὁ τὸν λόγον διαθέμενος, περὶ αὐτοῦ τούτου προοιμιαστέον χαριέντως, ὥςπερ οὖν καὶ σοὶ ποιητέον, ὅτι εἰ καὶ οἱ ἐρασταὶ τὰ αὑτῶν παιδικὰ ἐπαινοῦσι, πολὺ δή που μᾶλλον αὐτῷ πρέπον τὸν γάμον ἐπαινεῖν [ἢ τὰ ἑαυτοῦ παιδικά]· καὶ ὅτι τῷ λόγῳ καὶ τῇ παιδείᾳ καὶ ἐπὶ τούτου χρηστέον. ** ὥςπερ ἤδη προοιμιαζόμενον καὶ προκαταμαντευόμενον περὶ τῶν παίδων, ὅτι καὶ αὐτοὺς εἰκὸς διαφέροντας περὶ παιδείαν γενέσθαι.*

9 *Λέξει δὲ χρηστέον ἀφελεῖ μᾶλλον ἐγγὺς Ξενο|φῶντός* 242 *τε καὶ Νικοστράτου βαίνοντα, ὀλιγαχοῦ δὲ ἐξαίροντα τὸν λόγον εἰς σεμνότητα, εἴ που τὰ ἐννοήματα ἀναγκάζοι.*

III

Μέθοδος γενεθλιακῶν

Ἐχόμενος δέ σοι τούτου ὁ ἐπὶ ταῖς γενέσεσι τῶν παίδων λεγόμενος λόγος (γάμῳ γάρ που γένεσιν ἀνάγκη ἀκολουθεῖν)· ὃν καὶ αὐτὸν τελεῖν χρὴ τοῦτον τὸν τρόπον. ἐπεὶ γὰρ ἀρχὴ τῆς γενέσεως τῆς ἑκάστου ἡ ἡμέρα, ἐφ' ἧς ἐγένετο, ἀναγκαῖόν που ὀλίγα ἄττα καὶ περὶ τῆς ἡμέρας εἰπεῖν οἷον ἐγκωμιάζοντα τὸ προσόν, εἰ ἄρα ἴδιόν τι ἔχει παρὰ τὰς ἄλλας ἡμέρας, ἐπισημαι|νόμενον· 243

1 ὅτι Sylburgius: *καὶ* P 2 *οἵους*] caue *ὁμοίους* conicias 4 *εἴης* P: corr l Schaeferus | fort *διατιθέμενος* 7 *αὐτῶν* P 8 *πρέποι* P *πρέπει* a: corr Raderm ad Demetr p 116 | glossema notaui 9 *καὶ ἐκ τούτου* P *καὶ ἐν τούτῳ* l Schaeferus 10 hiatum indicaui 14 *δ'* uolgo | *ἐξαίροντες* P: corr s 18 *γενεθλικῶν* P 23 *ἄττα* P

εἰ μὲν τῇ νουμηνίᾳ, ὅτι ἀρχὴ τοῦ μηνός, ἀρχὴ δὲ κράτιστον καὶ ἐξ ἀρχῆς τὰ πάντα· καὶ ὅτι ἥμισυ τοῦ παντὸς ἢ τὸ πᾶν κατὰ τὸν Πλάτωνα. εἰ δὲ ἑβδόμη ἢ ἕκτη, ὅτι ἱεραὶ τοῖν θεοῖν, καὶ ὅτι κοινωνία πρὸς τὸ κρεῖττον κατὰ τὸ τῆς γενέσεως. ἔχοις δ' ἂν καὶ περὶ τῆς ἐνάτης λέγειν, ὅτι ἱερὰ τοῦ Ἡλίου, καὶ ὅτι εἰκὸς ἐπίσημον τὸν τοιοῦτον γενέσθαι, τάχα δὲ καὶ εὐεργετικὸν κατὰ τὴν τοῦ Ἡλίου φύσιν. εἰ δὲ πεντεκαιδεκάτη εἴη, ὅτι καὶ αὐτὴ τῆς Ἀθηνᾶς, καὶ ὅτι τέλειος ἐν τούτῳ ὁ κύκλος, καὶ εἰκὸς ἀνενδεῆ τὴν τοιαύτην εἶναι γένεσιν τοῦ ἀνδρός. ὁμοίως δὲ καὶ εἰ ἄλλη τις ἡμέρα, ἢ τῇ ἀρχῇ ἢ τῷ τέλει προσβιβάζοντας καὶ τὸ προσὸν θεωροῦντας οὕτω πειρᾶσθαι τὸν ἔπαινον ποιεῖσθαι.

Ἐπὶ δὲ τῇ ἡμέρᾳ τὸν καιρὸν ἐπιθεωρεῖν ἀναγκαῖον, 2
ὁποῖός τις οὗτος· καὶ τοῦ καιροῦ τὸ μὲν κατὰ τὴν| 16
244 *ὥραν, οἷον ἐν χειμῶνι ἢ ἐν ἦρι ἢ ἐν τοῖς ἑτέροις μέρεσι τοῦ ἔτους, ὥςπερ ἐν τοῖς περὶ τοῦ ἀγῶνος ἐπαίνοις ἐπεσημαινόμεθα τὰς ἰδιότητας τῶν καιρῶν, τῷ μὲν τὸ ἀνδρεῖον, τῷ δὲ τὸ φαιδρὸν ἀπονέμοντες, καὶ τῷ θέρει τὸ πεπληρῶσθαι τὴν γῆν ἐν τούτῳ τῶν ἀγαθῶν, καὶ τῷ λοιπῷ δὲ τὸ ἐν ἀνέσει καὶ ἀναπαύλῃ τῶν ἔργων γενέσθαι. ἐπισημαίνεσθαι δὲ καὶ τὰ συμβεβηκότα ἐνίοτε τοῖς καιροῖς· οἷον εἰ ἐν ἑορτῇ τις*

3 Plato leg. VI p 753[e] *ἀρχὴ γὰρ λέγεται μὲν ἥμισυ παντὸς ἐν ταῖς παροιμίαις ἔργου . . . ., τὸ δ' ἔστι . . . πλέον ἢ τὸ ἥμισυ* cf rei p. II p 377[a] 19 supra p 258, 2—11

6 *ἐνάτης* sic P 7 *τὸν*] *τοῦ* s 11 *δὲ καὶ* [*εἰ*] cum litura P *δὲ* (*δ'* r) *εἰ καὶ* a 12 *προσβιάζοντας* ante Schottum edebatur 17 *οἷον* ⟨*εἰ*⟩ Schottus 20 *ἀπονέμοντας* ante Schottum uolgabatur

γέγονεν, οἱονεὶ ἐν Διονυσίοις ἢ ἐν μυστηρίοις ἢ ἐν πανηγύρεσίν τισιν· ἅπαντα γὰρ ταῦτα ἀφορμὰς παρέξει σοι εἰς τὸν ἔπαινον.

3 Ἀπὸ δὲ τούτου ἰτέον καὶ ἐπὶ τοὺς τόπους, ἐν οἷς τις γέγονεν· πρῶτον μὲν ἐπὶ τὸ περιέχον τὸ ἔθνος, Ἀσίαν, Εὐρώπην· καὶ τοῦτο αὖ πάλιν Ἑλληνικὸν ἢ βάρβαρον, ἢ σοφίαν ἢ ἀνδρείαν τοῦ ἔθνους ἤ τι τοιοῦτον ἐπισημαινόμενον. εἶτα ἐπὶ τὸ περιεχόμενον· τίς ἡ πό|λις καὶ ἡ μητρόπολις αὐτῷ· ἐχομένη ἡ πόλις 245
μητροπόλεως τῇ τιμῇ, μεγάλη, πολυάνθρωπος, εὔφορος πρὸς ἀνδρῶν ἀρετήν, ἢ ἄν τι ἕτερον ἀνδραγάθημα τῆς πόλεως. ἔπειτα τὰ μὲν περιεχόμενα ἐν τῇ πόλει· ποίας τινὸς οἰκίας, ὅτι οὐ φαύλης, ὅτι οὐκ ἀδόξου, γένους ⟨ὅτι⟩ ἐνδόξου, ποίων τινῶν προγόνων καὶ πατέρων, καὶ ἔπαινον ἐν βραχεῖ τούτων ἀπὸ τῶν προσόντων.

4 Μετὰ ταῦτα δὲ καὶ ἐπ' αὐτὸν ἤδη τὸν ἔπαινον ἰέναι τοῦ ἐγκωμιαζομένου καὶ οὗ ἡ γενέθλιος· ποίας τινὸς φύσεως κατὰ σῶμα, κατὰ ἰσχύν. εἰ μέγας ἐστί, κατὰ τὸν Αἴαντα· εἰ καλὸς καὶ ἀνδρεῖος, κατὰ τὸν Ἀχιλλέα· καὶ εἰ ⟨εὔγλωσσος ἢ⟩ εὔβουλος ἢ δίκαιος ἢ σώφρων εἴη, τὰ ἁρμόζοντα πρόσωπα, τὸν Νέστορα, τὸν Θεμιστοκλέα, τὸν Ἀριστείδην, τὸν Φωκίωνα· εἰ χρηστός· ὅτι θυμοειδὴς μετὰ τοῦ πράου, ὅτι ὀξὺς ἐν-

1 οἷον εἰ P: οἷον a 2 πανήγυρεσί/// P² 5 γέγονε uolgo | ἀπὸ τοῦ περιέχοντοσ τὸ Pa 6 ἐυρώπην P | τούτου P ἐν τούτῳ Schottus 9 αὐτῶν Pa: corr Elter 10 τῆι τιμῆι μεγάλη P τῇ τιμῇ τῇ μεγάλῃ a 13 γένους ἐνδόξου P. audacius Hermannus ὅτι οὐκ ἀδόξου γένους· ποίων τινῶν προγόνων καὶ πατέρων; ἐνδόξων 17 ἐγκωμια[ζ]ομένου cum litura P 18 σῶμα καὶ ψυχήν· Schottus 20 εὔγλωσσος ἢ supplendum erat propter Nestoris exemplum 21 ⟨κατὰ⟩ τὰ Sauppius 22 εἰ—23 ἐνθυμηθῆναι post 269, 2 traiecit Schottus 23 πράου ὅτι P: πράου καὶ ὅτι inde ab a uolgabatur

θυμηθῆναι. κἂν εἰ μικρός, ὅτι μείζων τὴν τῆς ψυχῆς
246 ἀρετήν, κατὰ τὸν Τυδέα, κατὰ τὸν Κόνωνα. | οἷός τις τὰ περὶ τὸν βίον, εἰ φιλόκαλος, εἰ μεγαλοπρεπής· οἷος πρὸς τοὺς ἰδιώτας, πρὸς τὴν πόλιν, καὶ τὰς φιλοτιμίας τὰς πρὸς τὴν πόλιν. κἂν εἰ ἐπιστήμης τινὸς ἐπήβολος εἴη, οἷον ἰατρικῆς ἢ ῥητορικῆς ἢ φιλοσοφίας, θετικῶς ἐπάγοντα τὸν ἐν τούτοις ἔπαινον, εἰς ὅσα τούτων ἕκαστον χρήσιμον· οὕτω γὰρ ἂν ἀμφιλαφὴς ὁ λόγος γένοιτο. ποῖος ἤδη γέγονεν, ποῖός ἐστιν ἐν τῷ παρόντι, καὶ ποῖον εἰκὸς ἔσεσθαι εἰς τὸν μέλλοντα χρόνον. ἐν τούτῳ δὲ γενόμενοι οὐκ ἄπο τρόπου ἂν ποιοῖμεν καὶ εὐχόμενοι τοῖς τε ἄλλοις καὶ τοῖς γενεθλίοις θεοῖς περὶ τοῦ μέλλοντος βίου καὶ τοῦ ἀμείνω τοῦ παρεληλυθότος γενέσθαι τοῦτον, καὶ πολλὰς περιόδους χρόνων τελέσαντα εἰς λιπαρὸν καὶ εὔδαιμον γῆρας παρελθεῖν.

IV

247 Μέθοδος ἐπιθαλαμίου

Πρὸ δὲ τοῦ περὶ τῆς γενέσεως λόγου (μικροῦ γάρ με παρῆλθεν ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς τῆς περὶ τὴν ἔξοδον) ὁ ἐπὶ τῷ θαλάμῳ λεγόμενος λόγος· ἐχόμενος δ' ὅ τι μάλιστα καὶ ἀκόλουθος ⟨ἂν⟩ εἴη τοῖς γαμικοῖς τῶν λόγων, σχεδὸν εἷς καὶ ὁ αὐτὸς ὢν τῷ

15 λιπαρὸν cf infra p 283, 5

1 κἂν εἰ P: κἂν ᾖ Ga cf u 5 3 μεγαλοπρεπής P: φιλοπρεπής edebatur 4 καὶ τὰς] κατὰ τὰς P 7 fort ἐπὶ τούτοις 9 γέγονε uolgabatur 10 καὶ ποῖος s 11 ἄπο sic P 14 fort ὥστ' αὐτὸν καὶ 15 εὐδαιμον|.. ex ἐυδαίμο|να P² 20 παρελήλυθεν sed in mg γρ παρῆλθεν P¹ 22 δ' ὅ τι] δέ τι P δέ τοι s | ἀκόλουθος εἴη P: ἂν suppleuit Schaeferus cf p 283, 22 23 γαμικοῖς Schottus: ἀμίκτοις P. cf p 271, 5. 270, 1

γαμικῷ, πλὴν τῷ χρόνῳ διαφέρων, ἐπὶ τετελεσμένοις τοῖς γάμοις λεγόμενος οὗτος· οὐ μὴν τοῖς γε ἄλλοις ἀπᾴδων τοῦ προειρημένου, καὶ ὥςπερ ἀντὶ ὑμεναίων ἐπᾳδόμενος τοῖς γάμοις. τινὰ μὲν οὖν καὶ παρὰ Σαπφοῖ τῆς ἰδέας ταύτης παραδείγματα, ἐπιθαλάμιοι οὕτως | 248 ἐπιγραφόμεναι ᾠδαί· ἀλλ' ἐπειδὴ οὐχ ἡ αὐτὴ μεταχείρισις ποιήσεώς τε καὶ πεζοῦ λόγου, ἀλλ' ὥςπερ τοῖς μέτροις, οὑτωσὶ δὲ καὶ τοῖς ἐννοήμασι διενήνοχεν ταῦτα, τοῦτον ἄν μοι δοκεῖς τὸν τρόπον καὶ τοῦτον τὸν λόγον προσφόρως μεταχειρίσασθαι, εἰ ἐν μὲν τῷ προοιμίῳ εὐθὺς αὐτὸ τοῦτο ἐπισημαίνοιο, ὅτι οἱ μὲν ἄλλοι τὸν ὑμέναιον ᾄδουσιν, ἡμεῖς δὲ ἀντὶ τοῦ ὑμεναίου τὸν λόγον, οὐχ ὑπ' αὐλοῖς ἢ πηκτίσιν ἢ νὴ Δία καλλιφωνίᾳ τινὶ τοιαύτῃ, ἀλλὰ ἐπαίνοις καὶ ὕμνοις τῶν γεγαμηκότων.

2 Εἶτα ἐπὶ τούτοις ἐπάγειν, ὅτι ἀναγκαῖος ὁ γάμος ἀνθρώποις γε οὖσι· σωτηρία γὰρ τοῦ γένους· καὶ ὅσα ἀγαθὰ ἐκ τοῦ γάμου. εἶτα μεταβήσῃ ἐπὶ τὰ πρόσωπα τῶν συνιόντων εἰς τὸν γάμον, ὁποῖοί τινες οὗτοι· ἐν ᾧ | 249 περὶ γένους ἐρεῖς αὐτῶν καὶ τροφῆς, καὶ περὶ κάλλους σωμάτων καὶ ἡλικίας· ὅσα ἐκ τύχης αὐτοῖς πρόσεστι, καὶ περὶ ἐπιτηδευμάτων· ὅτι σπουδὴν ἔσχον

2 γ' uolgo 4 ἐστίν. ἃ μὲν P ἐστίν. ἣν μὲν G ἐστίν. εἰ μὲν a, uolgo ἔστι μὲν Schottus 5 ἐπιθαλάμιος P αἱ ἐπιθαλάμιοι Sylburgius 6 ἐπιγραφομέναις ὠιδαῖς P ἐπιγεγραμμέναις ταῖς ᾠδαῖς a: corr Sylburgius 7 μεταχείρησις P: corr Schaeferus | ποιῆσαι ὥστε καὶ P: corr Ga 8 δὲ om G | διενήνοχε edebatur 9 δοκεῖ P: corr Schottus 10 προσφόρως om G 11 εὐθὺς αὐτὸ om G 12 δ' uolgo 13 πηκτῖσιν P 14 ἀλλ' uolgabatur 16 et 18 ἔιτα P 17 γ' uolgabatur
18 ἀγαθὰ εἰς γάμον ante Schottum edebant 19 συνιόντων P: συνόντων ante Schottum uolgabatur | ἐνῶι P 20 καὶ ἀνατροφῆς G cf p 274, 9. 13. 279, 21 21 καὶ ὅσα ἐκ G
22 πρόσεστιν inde ab a edebant

περὶ τὸν γάμον καὶ τὴν σύζευξιν αὐτοί· ὅπως διάκεινται ἐπὶ τῷ γάμῳ οἱ οἰκεῖοι, οἱ ἀλλότριοι, ἡ πόλις αὐτὴ δημοσίᾳ· ὅτι πᾶσι διὰ σπουδῆς ὁ γάμος ἐστίν, καὶ ὁ γάμος ἔοικεν πανηγύρει τινὶ καὶ νεομηνίᾳ καὶ δημοτελεῖ ἑορτῇ τῆς πόλεως. ὥςπερ δὲ ἐν τοῖς γαμικοῖς ἠξιοῦμεν πρὸς τοῖς ἄλλοις ἐπισκοπεῖν, οἷον εἰ ἐκ τῆς αὐτῆς πατρίδος, εἰ ἐκ τοῦ αὐτοῦ γένους, οὑτωσὶ δὲ μηδὲ ἐν τούτῳ παρὰ φαῦλον ποιεῖσθαι τὸ μέρος τοῦ λόγου τοῦτο.

Ἐπὶ δὲ τοῖς ἐπαίνοις καὶ τοῖς ἐγκωμίοις καὶ προτροπή τις ἔστω τοῖς γαμοῦσιν πρὸς τὸ σπουδάζειν περὶ ἀλλήλους καὶ ὁμονοεῖν ὅ τι μάλιστα· καὶ ὅσα ἀγαθὰ ἐκ τῆς τοιαύτης ὁμονοίας καὶ φιλίας ἀνάγκη συμβαίνειν, ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ ἴδιον ἄγοντα τὸν λόγον· ὅτι ὁμόνοια πᾶσι μὲν ἀνθρώποις ἡγεῖται τῶν ἀγαθῶν, μάλιστα δὲ τοῖς γεγαμηκόσιν· καὶ εἰς τοῦτο καὶ τὸ 3
250 τοῦ | Ὁμήρου παραληπτέον ἐνδόξῳ κρίσει χρώμενον, ὅτι οὐδὲν μεῖζον ἀγαθὸν

ἢ ὅτε ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή·

τίνα μὲν ἐκ τούτου τοῖς ἐχθροῖς ἀνιαρά, τίνα δὲ ἡδέα τοῖς φίλοις. ἐπὶ τέλει δὲ καὶ εὐχῇ χρῆσθαι, ὅπως ὅ τι τάχιστα παῖδες γένοιντο, ὡς καὶ τούτων ἐπιδεῖν γάμους καὶ ᾆσαι τὸν ὑμέναιον καὶ ὑπόθεσιν ἔχειν αὖθις τοιούτων λόγων.

6 supra p 265, 16—21 16—21 Homerus ζ 182—185

1 αὐτοί] αὐτήν P αὐτῶν Schottus 2 ἐπὶ om G 3 δημοσία P | ἔστιν P ἐστί s 4 ἔοικε a 5 δ' uolgabatur
6 οἷον deleuit Schottus 7 μὴ δὲ P μηδ' uolgo
8 παρὰ: cf adn. Epic. p 306, 25 | τούτου P: corr Schottus
10 γαμοῦσι et 15 γεγαμηκόσι a 16 κρίσει P: χρήσει Ga. cf Spengelius ad Anaxim. (1422ᵃ 26) p 111 sq ad Arist. rhet. p 312 18 ὅτε P ὅτι a ὅθ' s 21 εὐχὴ P

V

Μέθοδος προσφωνηματικῶν

Ἰσοκράτης μὲν ὁ σὸς ἑταῖρος καὶ ἐμός, ὦ Ἐχέκρατες, εἴ περ ἄλλό τι, φησὶ χρῆναι προσεῖναι τοῖς σπουδαίοις | 251 ἀνθρώποις, ἐν τῇ παραινέσει τῇ πρὸς τὸν Ἱππονίκου, καὶ τὴν φιλοπροσηγορίαν· ὅ πέρ ἐστι τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, ὡς αὐτός φησιν. εἰ δὲ καὶ ἰδίᾳ χρῆν πρὸς ἕκαστον τοῦτο ποιεῖν, ὅπως καὶ τοὺς ἰδιώτας ὡς ὅ τι μάλιστα οἰκειοτέρως καὶ εὐμενεστέρως ἔχειν πρὸς ἡμᾶς παρασκευάζωμεν ἐκ τῆς τοιαύτης φιλοπροσηγορίας, πολλῷ δή που ἀναγκαιότερον τὸ πρᾶγμα καὶ ὁ τοιοῦτος τρόπος τῆς προσφωνήσεως, εἰ πρὸς τοὺς ἐν τέλει καὶ ἐν ἀρχαῖς γεγονότας ὑφ' ἡμῶν γίγνοιτο καὶ μάλιστά γε δὴ τοὺς ἑκάστοτε ἐκ βασιλέων εἰς τὰ ἔθνη καὶ τὰς πόλεις | 252 τὰς ἡμετέρας παραγιγνομένους, ὅπως καὶ αὐτοὺς διὰ τοιούτου τρόπου καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὰς αὐτῶν πατρίδας οἰκειοτέρως διακεῖσθαι παρασκευάσαιμεν. ἀμέλει γέ τοι καὶ τὸ πρᾶγμα ἤδη ἐπιχωριάζει ἐπὶ πᾶσι, καὶ καθάπερ τις οὗτος νόμος καὶ θεσμὸς διελήλυθεν διὰ πάντων, ὡς εὐθὺς ἅμα τε τῇ πρώτῃ τῶν πυλῶν, ὡς ἂν εἴποι

ad c V cf Philologi t LIX p 163   4 Isocrates or I 20

4 *εἴ περ* ex *ὥσπερ* P²   5 *ἐν τῇ*—6 *Ἱππονίκου* ante 4 *εἴ περ* traici iubet Schottus, glossema habuit Nissenus. cf 277, 11. 278, 4   6 *ἱππόνικον* P: corr Muretus   7 *αὐτός* P: *ὁ αὐτός* G   8 *χρὴ* ci Nissenus   9 *οἰκειοτάτως καὶ ἐρρωμενεστάτως* Sauppius   10 *παρασκευάζωμεν* P: *παρασκευάζομεν* G uolg   13 *ἀφ'* P   14 *γίνοιτο, μάλιστα* h   16 *παραγινομένους* a   17 *αὐτῶν* P: corr Schottus | *οἰκει[ο]τέρως* cum ras P   19 *ἐπὶ*] *παρὰ* ci Brinkmannus   20 *οὗτος* P: *οὗτος ὁ* a. fort traicienda uerba: *νόμος οὗτος* | *διελήλυθε* a   21 *ὡς εὐθὺς* arcte iunguntur

τις, εἰσόδῳ προσφωνεῖν τούτους δημοσίᾳ τὰς πόλεις ὑφ' ἑνὸς ὅτου οὖν τῶν ἀρίστων κατὰ τὴν παιδείαν ὥςπερ δημοσίᾳ τινὶ φωνῇ καὶ κοινῷ προσαγορεύματι προσαγορεύοντος. φέρε οὖν εἴπωμέν τι καὶ περὶ τούτων τῶν λόγων, ὅπως ἂν καὶ τούτους ἄριστα καὶ ῥᾷστα μεταχειριζοίμεθα.

Καθόλου μὲν ὁ τρόπος αὐτῶν τοιοῦτος, ὡς σύστα- 2
σίν τινα ἔχειν τῆς αὐτῶν πατρίδος πρὸς τοὺς ἄρχειν μέλλοντας. δεῖ δὲ οὐκ αὐτὸ τοῦτο μόνον πραγματεύεσθαι ἐν τῷ λόγῳ, ἀλλὰ μηδὲ ἑαυτῶν ἐν τῷ τοιῷδε ὀλιγώρως ἔχειν. ἀρχὴ οὖν ἐμοὶ δοκεῖ ἀναγκαιοτάτη ἂν αὕτη γενέσθαι περὶ αὐτοῦ τε εἰπεῖν καὶ τῆς ἑαυ-
253 τοῦ | προαιρέσεως, καὶ δι' ὅ τι προκεχείρισται ἐκ πάντων ἐπὶ τὸν λόγον, καὶ ὅτι ἀναγκαία αὐτῷ ἡ ὑπόθεσις τοῦ λόγου. ἐχέτω δὲ ἐν τούτῳ καὶ θεραπείαν τινὰ τοῦ ἄρχοντος, ὡς ἀποδεχομένου τοὺς τοιούτους ἅπαντας καὶ οἷον αὐτοῦ χεῖρα ὀρέγοντος, δι' ὅπερ καὶ ἑτοιμότερον ὑπήκουσεν· καὶ ὅτι ἦν μὲν καὶ ἀκούειν τοῦτο εὐθὺς περὶ αὐτοῦ, πολὺ δὲ ἔτι ἐναργέστερον τῇ ὄψει αὐτῇ πέφηνεν, ἀτεχνῶς οἷον ἐκ τοῦ προσώπου [καὶ] τῆς φαιδρότητος ὥςπερ ἐν κατόπτρῳ τοῦ ἤθους καὶ τῆς πρὸς ταῦτα δεξιότητος φανερῶν γιγνομένων. οὕτω δὲ προκαταστησάμενον τὸν λόγον ἑξῆς ἰτέον ἐπὶ τὸ ἐγκώμιον τοῦ βασιλέως, ἐν βραχεῖ τοῦτο ποιησάμενον καὶ αὐτὸ τοῦτο ἐπισημηνάμενον, ὅτι οὐδ' ἂν ὁ

4 *προσαγορεύοντες·* P: corr Gs. fuit qui *προσαγορεύοντας* coniceret   7 *ὡς*] *οἷος* ci Nissenus cf 275, 17   8 *αὐτῶν* P. exspectes *ἑκάστων*   9 *δ'* uolgabatur   10 *ἐν* om G | *ἑαυτῶν* P: *αὐτῶν* a   12 *αὐτὴ* P: corr Sylburgius | *αὐτοῦ τε* P: corr Sylburgius   13 *διότι* P fortasse recte   18 *ὑπήκουσε* uolgo   19 *ἐνεργέστερον* P: corr Stephanus   21 *καὶ* del Raderm | *ἤθους* P: *ἔθους* a   22 *γινομένων* s   24 *βασίλεως* P   25 *καὶ*—*ἐπισημ.* P: om a, restituit Schottus | *οὐδ' ἂν*] *οὐδὲ* P

σύμπας χρόνος ἐξαρκέσαι πρὸς τοῦτο, καὶ ὅτι ἑτέρου καιροῦ, οὐ τοῦ παρόντος. κατακλείσεις δὲ τὸ ἐγκώμιον εἰς τοῦτο, ὅτι ἕν τι τῶν καλῶν τῶν βασιλέως καὶ τοῦτο, τὸ τοιοῦτον ἄνδρα ἐπιλεξάμενον καταπέμψαι ἐπὶ τὸ αὐτοῦ ἔθνος οὐ πόρρω βαίνοντα τῆς αὐτοῦ προαιρέσεως· |

3 Καὶ ἐντεῦθεν ἀρχέσθω σοι τὸ ἐγκώμιον τοῦ ἡγου- 254 μένου. χρηστέον δὲ καὶ ἐνταῦθα τοῖς ἐγκωμιαστικοῖς τόποις, ἀπὸ γένους, ἀπὸ φύσεως, ἀπὸ ἀνατροφῆς· εἰ μὲν φανερὰ εἴη, καθ᾽ ἕκαστον ἀκριβῶς διεξιόντα· εἰ δὲ ἄδηλα, κατὰ τὸ πιθανὸν προάγοντα, ὅτι ἀνάγκη τὸν τηλικούτων καὶ τοιούτων κατηξιωμένον οὔτε γένει οὔτε φύσει οὔτε ἀνατροφῇ λείπεσθαί τινων, ἀλλὰ διὰ ταῦτα προκεκρίσθαι· τά γε μὴν φανερὰ ἀκριβέστερον ἐπισημαινόμενον, οἷον ⟨εἰ⟩ ἐν νέᾳ ἡλικίᾳ τοιοῦτος, τί χρὴ προσδοκᾶν εἰς τὸν μέλλοντα χρόνον; καὶ ὅτι νέος μὲν τὴν ἡλικίαν, πρεσβύτερος δὲ τὴν φρόνησιν. εἰ δὲ πρεσβύτης, ὅτι ἐν πολλοῖς δοὺς πεῖραν ἑαυτοῦ τῆς ἀρετῆς, εἰκότως καὶ τὴν ἀρχὴν ταύτην ἐπιστεύθη· καὶ ὅτι καὶ τοῦτο τῆς εὐμοιρίας τῆς περὶ αὐτὸν τὸ ἐν τῷ γήρᾳ ἀκμάζειν. εἰ δὲ δὴ καὶ σεμνότης τις προσείη τῷ προσώπῳ, μηδὲ τοῦτο παρέργως παρατρέχειν. εἰ φιλόλογος εἴη, ἐγκώμιον παιδείας, καὶ ὅτι οἱ πεπαιδευμένοι μάλιστα ἄξιοι ἀρχῆς καὶ τοιαύτης ἡγεμονίας. καὶ εἴτε τὴν Ῥωμαϊκὴν διάλεκτον εἴη | πεπαιδευμένος, τοῖς 255

1 ἐξαρκέσει ci Sylburgius 2 κατακλείσας P: corr Schottus 5 αὐτοῦ P αὐτὸ a | αὐτοῦ P ἑαυτοῦ Schottus ex cod. Cantabrigiensi 8 χρήσηι P: corr Schottus 9 τόποις corr Nissenus cf p 265, 12. 278, 17: λόγοισ P 10 καθέκαστον P 12 τῶν τηλικούτων Pa τὸν τηλικοῦτον G | οὐ γένει P: corr Sauppius 13—14 fort δι᾽ αὐτὰ ταῦτα 15 εἰ ante ἐν inserui 18 τῆς ἑαυτοῦ ci Raderm 22 τούτωι P: corr Ga | φιλόλογος P: φιλολόγος scribebant 24 εἴ γε Pa 25 πεπαιδεύμενος P

ἀρίστοις τῶν Ῥωμαίων παραβάλλειν· εἴτε τὴν Ἑλληνικήν, τοῖς τῶν Ἑλλήνων. διὰ τοῦτο δὲ καὶ δίκαιος καὶ σώφρων καὶ περὶ τὰς δίκας ἀκριβής· παραδείγμασι δὲ καὶ ἐπὶ τούτῳ χρηστέον προσώποις, τῷ Ἀριστείδῃ, τῷ Θεμιστοκλεῖ, ἐφαρμόζοντα καὶ παραβάλλοντα καὶ τούτων ἀμείνω ἀποφαίνοντα.

Ἐὰν δὲ ἔχωμεν καὶ πράξεις τινὰς αὐτοῦ προγεγε- 4 νημένας καὶ ἀρχὰς προηνυσμένας λέγειν ἢ ἐν στρατείαις ἢ ἐν διοικήσεσιν, καὶ ταύτας παρατιθέναι. ἐὰν δὲ καί ⟨τινας⟩ τιμὰς ἔχωμεν αὐτῷ ⟨τῶν⟩ πατέρων γενομένας λέγειν, καὶ τούτων χρὴ μνημονεύειν. καὶ ἐντεῦθεν προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως, ἐπισημηνάμενον, ὅτι χρηστὴν ἐλπίδα περὶ τούτου ἔχουσι. φανερὸν γάρ τοι ἀπὸ τοῦ οὕτως ἀποδέξασθαι τὴν πόλιν, ἀπὸ τοῦ φιλανθρώπως καὶ εὐπροσ-
256 ηγόρως ἅπασι προσενε|χθῆναι καὶ ὁμιλῆσαι· ⟨καὶ⟩ ὅτι εἰκότως τοῦτο ἐποίησεν· τοιαύτη γὰρ ἡ πόλις οἵα ἀμείβεσθαι τοὺς εὖ χρησαμένους ἑαυτῇ.

Καὶ ἐντεῦθεν ὁ ἔπαινος ὁ περὶ τῆς πόλεως, ἐὰν 5 θέλῃς· περὶ γένους αὐτῆς, περὶ δυνάμεως τῆς ἐν ταῖς προσόδοις, περὶ παιδείας τῶν ἐνοικούντων, περὶ χώρας τῆς ὑποτελοῦς, ἀφ᾽ ἧς ἡ πρόσοδος· εἰ μὲν πολλὴ εἴη, εἰς ἰσχὺν τῆς πόλεως ἀναφέροντα· εἰ δὲ ὀλίγη, ὅτι ἀρκεῖται καὶ ταύτῃ. ἔτι οὗπερ ἂν ᾖ κτίστου, ἀναγκαῖον εἰπεῖν, ἐάν τε θεὸς ἐάν τε ἥρως ᾖ, εἴτ᾽ οὖν τῶν

1 ῥωμαϊκῶν P: corr a 4 χρηστέον. προσώποις τῶι sic distinguit P 8 προηνυσμένας P: προηγουμένας ante Schottum edebatur 9 διοικήσεσι uolgo 10 τινὰς suppleuit Nissenus cf u 7 et p 276, 6 | αὐτῶι P: corr Sauppius αὐτοῦ Schottus 16 καὶ ante ὅτι inserui 19 ἐὰν] ἐν ᾧ Schottus 20 θέλῃς] λέγηις P | ἐν τοῖσ P: corr Gs. nisi fort τοῖς ⟨πόροις καὶ ταῖς⟩ 24 ἔτι—κτίστου] ὅ που περ αν οι κιστου P ὅπου περ ἂν οἰκιστὴν Ga 25 ᾖ] εἴη P

ἀρχαίων τις εἴτ' οὖν τῶν ἔναγχος γεγενημένων βασιλέων. οἷον κἂν μύθους τινὰς ἔχωμεν προσόντας τῇ πόλει, μηδὲ τούτους παραλιπεῖν. μετὰ ταῦτα περὶ μεγέθους τῆς πόλεως, περὶ κάλλους, περὶ θέσεως, εἴτε ἠπειρωτικὴ εἴη, εἴτε ἐπιθαλαττίδιος ἢ νησιῶτις. κἂν εἴ τινας τιμὰς ἔχοιμεν παρὰ βασιλέων, μηδὲ ταύτας παραλιπεῖν, κἂν εἰ πράξεις τινὰς προγεγενημένας ἢ παλαιὰς ἢ νέας, ἢ εἰ | τιμὰς προϋπαρξάσας παρ' ἡμῶν 257
πρὸς τοὺς ἄρχοντας τοὺς προγεγενημένους.

6 Ἐν ἅπασι δὲ τούτοις μεμίχθω ἡ προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως· δεῖν γὰρ τοὺς ἀγαθοὺς ἄρχοντας ταῖς τοιαύταις πόλεσιν τὰς παρ' ἑαυτῶν εὐνοίας προσνέμειν. ἐπὶ δὲ τῷ τέλει εὐχῇ χρησόμεθα ὑπὲρ τοῦ βασιλέως καὶ ὑπὲρ αὐτοῦ τοῦ ἄρχοντος. καὶ ὑπὲρ ἡμῶν δὲ αὐτῶν πάλιν μνησθησόμεθα, εἰ μὲν τῶν ἀρχομένων εἴημεν, ὅτι ἀπὸ τοῦ τοιούτου ἡμεῖς τιμῆς καὶ δόξης τευξόμεθα· εἰ δὲ τῶν ἤδη προευδοκιμηκότων καὶ προειρηκότων, ἀνεπαχθῶς περὶ αὐτῶν εἰπόντες εἰς τοῦτο καταλύσομεν τὸν λόγον, ὡς ἐλπίδος τι καὶ αὐτοὶ ἔχοντες τοῦ μὴ φυλαχθήσεσθαι μόνον ἐπὶ τούτων τὴν δόξαν ἑαυτοῖς, ἀλλὰ καὶ πολλῷ ἀμείνω πρὸς τὸ λοιπὸν ἔσεσθαι.

7 Ἀπαγγελία δὲ πρέποι ἂν μάλιστα μεμιγμένη τῷ τοιούτῳ λόγῳ, ἐνιαχοῦ μὲν συνεστραμμένη, ἐνιαχοῦ δὲ διῃρμένη, ἐν τοῖς μύθοις ἀφελεστέρα. τὸ δὲ σαφὲς

2 οἷον κἂν P οἷον καὶ a: ἐὰν G εἰ οὖν καὶ s. οἷον suspectum, fort ὅπου | ἔχωμεν P: uolgatum ἔχοιμεν Sylburgio debetur 5 νησιῶτ[ισ] cum ras P | κἂν P: καὶ Ga 6 περὶ βασιλέων P: corr Wolfius 12 πόλεσι uolgo 13 εὐχὴ P 14 βασίλεως P¹ 15 ὑπὲρ del Schottus 16 ἀπὸ τοιούτου Ga 19 αὐτῶν P | εἰς τοῦτο — 20 ἔχοντες ex PG restitui 20 τοῦ Victorius teste Goellero ad Dion C. V. p 53: τὸ P 25 διῃρημένη P | ἐν τοῖς P: τῆς ἐν τοῖς s. fort ἔν τε

τῆς ἑρμηνείας δι' ὅλου τοῦ λόγου μάλιστα ἐν σπουδῇ
258 ἔστω | τῷ λέγοντι.

[Καθόλου ὁ περὶ τῶν πανηγυρικῶν λόγος ὧδέ πως περαίνοιτο ἄν.]

VI

Μέθοδος ἐπιταφίων. $\overline{B}$

Οὐ μὲν δὴ οὐδὲ τούτων ἀπείρως ἔχειν τόν γε δὴ ὁδῷ τινι καὶ ἐπιστήμῃ μετιόντα λόγους χρή. ἀπευκτὰ μὲν γὰρ τὰ τοιαῦτα, ἀναγκαῖα δὲ ἀνθρώποις γε οὖσι καὶ παρελθοῦσιν εἰς τὸν ἀνθρώπινον βίον. ἀνθρώπῳ γὰρ γενομένῳ κατὰ τὸν τοῦ Καλλαίσχρου τὸν τῶν τριάκοντα βέβαιον μὲν οὐδέν, ὅτι μὴ κατθανεῖν γενομένῳ, καὶ ζῶντι εἶναι μὴ οἷόν τε ἐκτὸς ἄτης βαίνειν. ἐπειδὴ τοίνυν ἀμφὶ ταφὴν δύο λόγοι μεμηχάνηνται, ὁ μὲν κοινὸς πρὸς πόλιν ἅπασαν καὶ δῆμον [ὁ μὲν]
259 τοῖς ἐν πο|λέμῳ πεσοῦσιν, ἰδίᾳ δὲ καὶ καθ' ἕκαστον ἅτερος αὐτοῖν, οἷα δὴ τὰ πολλὰ ἐν εἰρήνῃ συμπίπτειν ἀνάγκη, ἐν διαφόροις ἡλικίαις ἑκάστῳ τῆς τελευτῆς

10 Critiae fragmentum, opinor tragicum, uel Bachio neglectum. nunc cf Blassius *Attische Beredsamkeit* III 2, 369²

3 s interpolata esse uidit Thielius *Gött. gel. Anz.* 1897 p 233. 236
6 $\overline{B}$: P λόγος δεύτερος G. numerus initium libri alterius indicat 7 οὐ μὴν Pa | ἀπείρους r 9 τα ... τοιαῦτα tribus litteris erasis P 11 τὸν τῶν Schottus: τοῦ τῶν P 12 μὴ ὅτι καὶ τὸ θανεῖν Pa: ὅτι μὴ τὸ θανεῖν καὶ Sylburgius. latent uersus quales βέβαιον οὐδέν ⟨ἐστιν⟩ ὅτι μὴ κατθανεῖν | θνητῷ γεγῶτι, ζῶντι δ' οὐκ ἄτης ἄτερ | οἷόν τε βαίνειν 13 εἶναι] εἰ Pa | ἐκτὸς αὐτῆς P: corr Wolfius 14 ἐπειδὴ: apodosin perihodi stipatae exspecta infra p 278, 14 | ἀμφὶ ταφὴν] ἀμφοῖν P ἐπιτάφιοι Schottus 15 ὁ μὲν Pa ὁ δὲ G ὁ ἐπὶ Sylburgius λεγόμενος ego olim: del Brinkmannus 16 καθέκαστον P 17 ἅτερος] πρὸς P ὁ ἕτερος egregie Sylburgius

συμπεσούσης· ὄνομά γε μὴν ἀμφοῖν ἓν καὶ τὸ αὐτό,
ἐπιτάφιος οὕτως ὀνομαζόμενος· παραδείγματα δὲ αὐ-
τῶν ἔστί που καὶ παρὰ τοῖς ἀρχαίοις, τοῦ μὲν κοινοῦ
καὶ πολιτικοῦ παρά γε τῷ τοῦ Ὀλόρου καὶ παρὰ τῷ
τοῦ Ἀρίστωνος, Λυσίας τε καὶ Ὑπερείδης καὶ ὁ Παια-
νιεὺς καὶ ὁ τοῦ Ἰσοκράτους ἑταῖρος Ναυκράτης πολλὰς
ἡμῖν τοιαύτας ἰδέας παρέσχοντο. οὐκ ἀπορήσομεν δὲ
οὐδὲ τῶν πρὸς ἕκαστον· ἐπεί τοι καὶ τὰ ποιήματα
μεστὰ τούτων, οἱ ἐπικήδειοι οὕτως ὀνομαζόμενοι θρῆ-
νοί τε· ὡς αὕτως πλοῦτος πολὺς τῶν καταλογάδην ἐστὶ
τοιούτων λόγων ἔν τε τοῖς πάλαι καὶ τοῖς ὀλίγον τι
πρὸ ἡμῶν γενομένοις· ⟨οὐ⟩ λήξομεν δὲ οὐδὲ νῦν, ἔστ'
ἂν γένος | ἀνθρώπων καὶ τὸ χρεὼν ἐπικρατοῦν ᾖ. 260
μέτιμεν οὖν αὐτοῖν ἑκάτερον τὸν τρόπον τοῦτον.

2 Συνελόντι μὲν οὖν ὁ ἐπιτάφιος ἔπαινός ἐστι τῶν
κατοιχομένων. εἰ δὲ τοῦτο, δῆλόν που, ὡς καὶ ἀπὸ
τῶν αὐτῶν τόπων ληπτέον, ἀφ' ὧν περ καὶ τὰ ἐγκώ-
μια· πατρίδος, γένους, φύσεως, ἀγωγῆς, πράξεως. ἄχρι
μὲν οὖν τινὸς τὴν αὐτὴν ἰτέον, οἷον περὶ πατρίδος
λέγοντα, ὅτι μεγάλη καὶ ἔνδοξος καὶ ἀρχαία, καὶ εἰ
τύχοι αὐτὴ πρώτη παρελθοῦσα εἰς ἀνθρώπους, οἷα καὶ
Πλάτων περὶ τῆς Ἀττικῆς διέξεισιν· εἰ δὲ μικρά, ὅτι
διὰ τούτους ἤδη καὶ τὴν ἀρετὴν τὴν τούτων καὶ δόξαν
ἔνδοξος καὶ αὐτὴ ἐγένετο, οἷον ἡ Σαλαμὶς διὰ τὸν
Αἴαντα ἢ τὴν ἀρετὴν τῶν ναυμαχησάντων, καὶ ἡ Αἴγινα

22 Plato Menexeni p 237ᵈ — 238ᵇ

2 δὲ P: om Ga 3 ἐστί P ἔστι G 4 ὀλόρου P: λόγου ed ante Sylb 5 ὑπερίδης s 6 σοκράτους a 8 ἐπεί ex ἐπί corr P² 9 μετὰ G | θρῆνοι τε ὡσ αὕτωσ οὕτωσ. πολύστε καταλογάδην P 12 ⟨οὐ⟩ suppleuit Nissenus cf u 7 14 μετίοιμεν Pa μετίωμεν Sylburgius 15 οὖν ὁ P: οὖν a

διὰ τὸν Αἰακόν. ἢ εἴ τι βέλτιον περὶ αὐτῆς ἔχοιμεν
λέγειν εἰρημένον, ὥςπερ 'θείαν' τὴν Σαλαμῖνα εἶπεν
ὁ Πύθιος· ὅτι ἐκ θεοῦ ἐκτίσθη, ὥσπερ Ἰωνία, Βυ-
261 ζάντιον ἢ εἰ δή τις ἑτέρα πόλις |. καὶ ἐπὶ μὲν τῶν
ἐν πολέμοις πεσόντων κἂν ἐπιδαψιλεύσαιτό τις ἐν τού-
τοις. ἐπὶ δὲ τῶν καθ' ἕκαστον οὐ πάνυ τι ἀναγκαῖος
ὁ πολὺς περὶ τῆς πατρίδος λόγος· ἰτέον οὖν ἐπὶ τοὺς
προγόνους, εἰ οἱ πρόγονοι μὴ ἐπήλυδες, ἀλλ' αὐτό-
χθονες· καὶ εἰ ἐπήλυδες, ἀλλὰ κρίσει τὴν ἀρίστην γῆν
λαβόντες, οὐ τύχῃ· καὶ ὅτι ἢ ἐκ τοῦ Δωρικοῦ γένους,
ὅ περ ἀνδρειότατον· ἢ ἐκ τοῦ Ἰωνικοῦ, ὅ περ σοφώ-
τατον, καὶ ὅτι Ἕλληνες. εἰ δὲ ἐπὶ τινὸς εὐκλείας λόγος
γίγνοιτο, ὅτι πατρὸς ἀγαθοῦ καὶ προγόνων, καὶ ἐν
βραχεῖ περὶ αὐτῶν εἰπεῖν τὸν ἔπαινον, ὁποῖοι δημοσίᾳ,
ὁποῖοι ἰδίᾳ, ὁποῖοι ἐν λόγοις, ὁποῖοι ἐν βίῳ, καὶ εἴ
τι ἐν ἔργοις ἢ ἐν πράξεσιν· ἢ εἴ τινα τοιαῦτα ἡ
ποιότης τοῦ προσώπου παρέχοι ἐκ τῆς φύσεως, ὅτι
εὐφυὴς εἰς πάντα, κοινὸς δὲ ὁ τοιοῦτος.

Ἐν δὲ τῇ ἀγωγῇ γενόμενοι ἐπὶ μὲν τῶν κοινῶν | 3
262 τὴν πολιτείαν ληψόμεθα, ὅτι ἢ δημοκρατία ἢ ἀριστο-
κρατία· ἐν δὲ τοῖς ἰδίοις τὴν ἀνατροφὴν καὶ τὴν παι-
δείαν καὶ τὰ ἐπιτηδεύματα. ἐν δὲ ταῖς [κοιναῖς] πρά-
ξεσιν ὁ μὲν κοινὸς ἕξει τὰ κατὰ πολέμους ἔργα καὶ

2 oraculum Herodoti VII 142

1 ἢ] fort καὶ | εἴ τι P: ἔτι a 2 εὑρημένον P: corr Sauppius 3 βυζαντίον P 4 καὶ — τῶν] ἢι. ὅτι μὲν τῶν P ἤ. ἐπὶ μὲν οὖν τῶν Ga 5 κὰν P 6 καθέκαστον P 13 γίνοιτο Ga in mg σημ(είωσαι) P 16 ἢ εἴ P: ἤ a. fort καὶ εἴ | ἡ P: ἢ Ga 18 ὁ τόπος οὗτος Sauppius 20 ἡ — ἡ Pa ἡ — ἢ s: corr Schottus 22 κοιναῖς deleuit Schottus. cf p 278, 18

ὅπως ἐτελεύτησαν, ὥςπερ ἀμέλει καὶ Πλάτωνί γε καὶ Θουκυδίδῃ καὶ τοῖς ἄλλοις εἴρηται. ὁπόταν δὲ περὶ ἑνός τινος λέγωμεν, περὶ τῆς ἀρετῆς ποιησόμεθα τὸν λόγον, οἷον περὶ ἀνδρείας, περὶ δικαιοσύνης, περὶ σοφίας· ὁποῖος περὶ τὴν πόλιν ἐν τούτοις, ὁποῖος ἰδίᾳ περὶ ἕκαστα· ὁποῖος περὶ φίλους, ὁποῖος περὶ ἐχθρούς· καὶ ἔτι προστεθήτω, οἷος περὶ γονέας, οἷος ἐν ἀρχαῖς, εἴ τινα ἦρξεν.

4 Μετὰ ταῦτα δὲ ἐν μὲν τοῖς κοινοῖς ἐπὶ τὸ προτρεπτικὸν μεταβησόμεθα, προτρέποντες ἐπὶ τὰ ὅμοια τοὺς ὑπολειπομένους. καὶ πολὺς ὁ τόπος οὗτος. εἶτα οὕτως ἐπὶ τὸ παραμυθητικὸν τῶν πατέρων, ὅσοι τε ἔτι | 263 παιδοποιεῖσθαι ἱκανοί, ὅσοι τε ἔξω τῆς ὥρας ταύτης· καὶ εἴρηται ταῦτα καὶ παρὰ τῷ Θουκυδίδῃ. ἐν δὲ τοῖς ἰδίοις τὸ μὲν προτρεπτικὸν ἐνίοτε μὲν οὐδὲ ὅλως παραλαμβάνομεν διὰ τὸ τάχα ἂν εἰ τύχοι παῖδας εἶναι τοὺς κατοιχομένους· ἐνίοτε δὲ ἐπὶ βραχύ, πλὴν ἐπὶ τοῖς πάνυ ἐνδόξοις. ἐνταῦθα γὰρ οὐδὲν κωλύει καὶ ἐπὶ πλεῖον χρῆσθαι τῷ εἴδει, οἷον ⟨εἰ⟩ ἐπὶ ἄρχοντός τινος καὶ τοιούτου προσώπου ὁ ἐπιτάφιος γίνοιτο, ἀναγκαῖον παρακελεύεσθαι μιμεῖσθαι τοῖς παισὶν τοὺς ἑαυτῶν τοκέας, καὶ ἐπὶ τὰ ὅμοια σπεύ-

1 Plato Menexeni p 244[d]—246[a] 2 Thucydides II 42 14 Thucydides II 44

1 καὶ ὁ πλάτων γε καὶ ὁ θουκυδίδης P: corr Sauppius 3 λέγομεν P: corr Gs 5 ἐν τούτοις ad utrumque membrum attinet. post σοφίας traiecit Schottus 6 ἕκαστον ci Sylburgius 7 προστεθήτω P: προστεθείτω a προστεθείσθω Sylburgius 8 εἴ Radermacher: ἐπι P[1] ἐπεὶ P[2] εἴ γε Wolfius 18 κωλύοι P: corr Sylburgius 19 οἷον ἐπὶ P: corr Sylburgius 20 ὁ ἐπιτάφιος P: ὁ om a 21 τοῖς παισὶ ante μιμεῖσθαι traiecit Sylburgius, a glossematis suspicione defendit Brinkmannus cl 336, 20

δειν. ἀναγκαιότερος δὲ ὁ παραμυθητικὸς παραμυθουμένων ἡμῶν τοὺς προσήκοντας. δεῖ δὲ εἰδέναι καὶ τὴν μέθοδον τοῦ παραμυθητικοῦ· οὐ γὰρ θρηνεῖν οὐδὲ ἀπολοφύρεσθαι τοὺς ἀποθανόντας· οὐ γὰρ ἂν παραμυθοίμεθα τοὺς ὑπολειπομένους, ἀλλὰ μεῖζον τὸ πένθος παρασκευάζοιμεν· καὶ οὐ δόξει εἶναι τῶν κατοιχομένων ἔπαινος, ἀλλὰ ὀλοφυρμὸς ὡς τὰ δεινότατα παθόντων. 264 πειρᾶσθαι δὲ ἐν τῷ παραμυθεῖσθαι καὶ | ἐνδιδόναι τοῦ πάθους τοῖς ὑπολειπομένοις, καὶ μὴ ἀντιτείνειν εὐθύς· ῥᾷον γὰρ ἐπαξόμεθα· ἅμα δὲ καὶ ἔπαινον ἕξει ὁ λόγος, εἰ λέγοιμεν, ὅτι οὐ ῥάδιον ἐπὶ τοῖς τοιούτοις ῥᾷον φέρειν. ἐπειδὴ δὲ οἱ ἐν πολέμῳ τελευτήσαντες ὅμοιοι ταῖς ἡλικίαις, οὐδὲν ἀπὸ τούτων ἕξομεν εἰς παραμυθίαν ἐπιχειρεῖν, πλὴν ὅτι ἐνδόξως ἀπέθανον ὑπὲρ τῆς πατρίδος καὶ οὗτοι, καὶ ὅτι ταχὺς καὶ ἀναίσθητος ὁ τοιοῦτος θάνατος, καὶ ἐκτὸς βασάνων καὶ τῶν κακῶν τῶν ἐκ τῆς νόσου· ὅτι δημοσίας ταφῆς ἔλαχον (ζηλωτὸν δὲ τοῦτο καὶ τοῖς μετὰ ταῦτα) καὶ ἀθάνατος αὐτῶν ἡ δόξα.

Ἐπὶ δὲ τοῖς καθ' ἕκαστον καὶ ἀπὸ τῶν ἡλικιῶν 5
πολλὰς ἀφορμὰς παρέξει ὁ λόγος εἰς παραμυθίαν· εἰ μέν τις ἄφνω τελευτήσειεν καὶ ἀλύπως, ὅτι μακαρίως αὐτῷ ἡ τελευτὴ συνηνέχθη· εἰ δέ τις νόσῳ καὶ πολὺν χρόνον νοσήσας, ὅτι γενναίως ἐνεκαρτέρησεν τῇ νόσῳ· |

1 ἀναγκαιότερον a 4 παραμυθούμεθα P: corr Gs 9 ἀντιτίνειν P: corr a 12 ῥᾷιον P: πράως ci Brinkm 15 καὶ οὕτως καὶ Pa καὶ οὕτως r: corr Brinkm 18 καὶ ⟨ὅτι⟩ ἀθάν. ci Nissenus 20 καθέκαστον P 21 ante πολλὰς uereor ne interciderit alterius loci mentio qualis καὶ ἀπὸ τῶν περιστάσεων: id quod scriptor proximis u 21—p 282, 6 tractat. aetatem infra p 282, 6 | παρέξει] ἕξει Schottus 22 τελευτήσειε a 24 τῇ] ἐν τῆι P. in mg σημ(είωσαι) P

ἢ εἴ τις ἐν πολέμῳ, ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος· ἢ εἴ τις ἐν πρεσβείᾳ, ὅτι ὑπὲρ τῆς πόλεως· κἂν εἰ ἐν 265 ἀποδημίᾳ, ὅτι οὐδὲν διενήνοχεν· 'μία γὰρ καὶ ἡ αὐτὴ οἶμος' κατὰ τὸν Αἰσχύλον 'εἰς Ἅιδου φέρουσα'· εἰ δέ τις ἐν τῇ πατρίδι, ὅτι ἐν τῇ φιλτάτῃ καὶ τῇ γειναμένῃ καὶ τοῖς οἰκειοτάτοις πᾶσιν. ἀπὸ ἡλικίας· εἰ μὲν νέος ὢν τοῦτο πάθοι, ὅτι θεοφιλής· τοὺς γὰρ τοιούτους φιλοῦσιν οἱ θεοί· καὶ ὅτι καὶ τῶν παλαιῶν πολλοὺς ἀνήρπασαν, οἷον τὸν Γανυμήδην, τὸν Τιθωνόν, τὸν Ἀχιλλέα, μὴ βουλόμενοι αὐτοὺς ἐν τοῖς κακοῖς τοῖς ἐν τῇ γῇ καλινδεῖσθαι ἢ πολὺν χρόνον ἐγκατορωρύχθαι τὴν ψυχὴν ἐν τῷ σώματι ὥςπερ ἐν τάφῳ ἢ ἐν δεσμωτηρίῳ μηδὲ δουλεύειν δεσπόταις κακοῖς, ἀλλὰ ἐλευθεροῦν· καὶ μακάριοι φυγόντες τὰ ἀλγεινὰ τοῦ βίου καὶ τὰ πάθη τὰ συμπίπτοντα τοῖς ἀνθρώποις, μυρία ταῦτα ὄντα καὶ ἄπειρα, ὀφθαλμῶν πηρώσεις, ποδῶν, ἑτέρου τινὸς μέρους τοῦ σώματος, καὶ ὅτι τῷ ὄντι ἡ νόσος ἀλγεινοτάτη. εἰ δὲ μέσος τὴν ἡλικίαν, ὅτι ἐνακμάσας τῷ βίῳ καὶ νῷ δεῖγμα τῆς ἀρετῆς τῆς ἑαυτοῦ παρέσχεν· καὶ ὅτι ποθούμε|νος, οὐκ 266 ἀηδὴς ἤδη διὰ τὸ γῆρας γενόμενος ἀπῆλθε τοῦ βίου, ἀλλ' ἐν ἡλικίᾳ. εἰ δὲ δὴ ἐν γήρᾳ τις τελευτήσειεν, ὅτι εἰς πᾶσαν ἀπόλαυσιν τῶν ἐν τῷ βίῳ καλῶν συνε-

3 Aeschylus Telephi fr 239 N. ἁπλῆ γὰρ οἶμος εἰς Ἅιδου φέρει 7 Menander monost. 425 et Com. Meinekii IV p. 105

1 ὑπὲρ P: ὑπὲρ τῆς a 2 κὰν ἦι ἐν P 3 διενήνοχε a 4 fort ⟨ἢ⟩ εἰς | ᾅδου P 5 γεναμένηι P: corr s 6 παισὶν P: corr Sauppius 10 αὐτοῖς P^1 11 κυλινδεῖσθαι a 14 ἀλλ' uolgabatur | καὶ ⟨ὅτι⟩ μακ. ci Nissenus | φεύγοντες Pa 16 ταῦτα] ἅττα ci Radermacher | πήρωσισ· P: corr s 18 μέσην Pa: corr Brinkmannus 19 καὶ ἐνῶι P καὶ ἐν ὧ G καὶ ἐν ᾧ uolgabatur 22 δὲ δὴ P: δὲ Ga 23 συνεμερίσθη s

μετρήθη αὐτῷ ὁ χρόνος. ἐν τούτῳ παρατιθέναι ἀναγκαῖον, ὁπόσα ἐν πανηγύρεσιν τερπνά, ὅσα ἐν γάμοις, παιδοποιίαις, τιμαῖς ⟨ταῖς⟩ παρὰ τῆς πατρίδος· ταῦτα γὰρ ἡ πλείων περίοδος τοῦ χρόνου παρέχειν εἴωθεν· καὶ ὅτι 'λιπαρὸν γῆρας' κατὰ τὸν Νέστορα ἐβίωσεν· ὅτι τούτου ἕνεκα ἐνδιέτριψεν, ἵνα παράδειγμα γένηται τοῖς ἄλλοις, καὶ μάλιστα εἰ ἔνδοξον εἴη τὸ πρόσωπον. ἐπὶ τέλει δὲ περὶ ψυχῆς ἀναγκαῖον εἰπεῖν, ὅτι ἀθάνατος, καὶ ὅτι τοὺς τοιούτους ἐν θεοῖς ὄντας ἄμεινον εἰκὸς ἀπολαβεῖν. ἀρχὰς δὲ ἐνίοτε αὐτὸ παρέξει τὸ πρόσωπον ἰδίας καὶ μὴ κοινάς· οἷον εἰ ἀπὸ λόγων εἴη, ὅτι ἀκόλουθον τοῖς λόγοις εὐφημεῖν αὐτόν· ἢ εἴπερ ἐπὶ ἑτέροις αὐτός τι τοιοῦτον εἰρηκὼς εἴη, ὅτι τὸν αὐτὸν ἔρανον καὶ τούτῳ ἀποδοτέον· ἢ ὅ τί ποτ' ἂν ἡ ἰδιότης τοῦ προσώπου παρέχῃ. |

267 Ἡ δὲ ἀπαγγελία ποικίλη, ἐν μὲν τοῖς ἀγωνιστικοῖς 6 συνεστραμμένη· ἐν δὲ τοῖς ἐνδόξοις καὶ μέγεθος ἔχουσιν, οἷον ὅσα περὶ ψυχῆς, διῃρμένη καὶ μέγεθος ἔχουσα καὶ ἐγγὺς βαίνουσα τῆς τοῦ Πλάτωνος.

VII

Προτρεπτικὸς ἀθληταῖς

Ἀκόλουθος ἂν εἴη καί, ὡς ⟨ἂν⟩ εἴποι τις, συναφής, ὦ Ἐχέκρατες, καὶ ὁ ἐν ταύταις ταῖς πανηγύρεσι

5 λιπ. γ. Homerus τ 368 λ 136 ψ 283, de Nestore nusquam

2 πανηγύρεσι a 3 ταῖς inserui 6 ὅτι] ὃς P | ἕνεκα P: ἕνεκεν Ga 8 in mg ση(μείωσαι) P 10 ἀπαλλάττειν Pa 11 λόγων P: λόγου s 15 παρέχει P: corr Sylburgius 16 ἀγωνικοῖς a 18 διῃρμένη P sed in mg quod scripsit γρ δηηγερμένη correctum in δϊεγηγερμένη dedit P^2 21 titulo διονυσίου ἁλικαρνασέως † adscripsit saec XV P^2 22 ἂν inseruit Sauppius

λεγόμενος λόγος, οὐκ εἰς αὐτὴν μέντοι τὴν πανήγυριν, ἀλλ' εἰς τοὺς ἀνταγωνιστὰς τοὺς ἐν τῇ πανηγύρει καὶ τοῖς ἀγωνισταῖς ἀθληταῖς δή που, ὁ προτρεπτικὸς οὕτως λεγόμενος.

Σκεπτέον οὖν πρῶτον εὐθύς, ὅς τίς ποτε ὁ λέγων (ὡς ἔγωγε οἶδα καὶ Ὀλυμπίασιν καὶ ἐπ' ἐμοῦ τοῦτο γενόμενον καὶ Πυθοῖ καὶ ἄλλοθι πολλαχοῦ τισίν)·
νῦν μὲν | γὰρ ἴσως πολίτης, νῦν δὲ καὶ αὐτῶν τῶν 268
περὶ τὸν ἀγῶνά τις, ἐγὼ δὲ ἤδη καὶ τὸν ἀγωνοθέτην
2 *εἶδον ἀγωνιστὴν τούτου τοῦ λόγου γεγενημένον. τὰς γὰρ ἀρχὰς ἴσως που καὶ ἐντεῦθέν τις οὐκ ἄπο καιροῦ ποιήσεται. εἰ μὲν πολίτης εἴη, ὅτι καὶ αὐτὸς πεισθεὶς τοῖς ἀγωνοθέταις καὶ τῷ τῆς πόλεως νόμῳ εἰς τὸν ἀγῶνα καθῆκεν ἑαυτὸν καὶ παρεβάλετο κινδύνῳ οὐχ ἧττον ὄντι ἐργώδει· ἐκεῖνος μὲν γὰρ σώματος, ὅδε δὲ ψυχῆς. χαλεπώτεροι δὲ οἱ ἀγῶνες οἱ τῆς ψυχῆς ἢ ⟨οἱ⟩ τοῦ σώματος. ἐπὶ μὲν γὰρ τῆς ἀγωνίας τῶν σωμάτων καὶ φανερὰ ἡ νίκη καὶ ὑπὸ τοῖς ὀφθαλμοῖς, ἥ περ ἐναργεστάτη τῶν αἰσθήσεων· ἔτι δὲ καὶ βραβευτὴς ἐφέστηκεν ἐπ' αὐτῷ τούτῳ κρείττων τοῦ παρὰ τῶν ἄλλων φθόνου. ἥδε ⟨δὲ ἡ⟩ κρίσις οὐκ ἐφ' ἑνί, ἀλλ' ἐπὶ πολλοῖς· καὶ οὐκ ὀφθαλμοῖς κρίνουσιν, ἀλλὰ γνώμῃ,*
ἐν ᾗ πολλὰ τὰ ἀν|τιστατοῦντα· ἄγνοια καὶ φιλοτιμία 269
καὶ φθόνος, ἐφ' ἅπασι δὲ τὸ μὴ βούλεσθαι τοὺς ἀκούοντας μείζονα εἶναι τὰ ἐπαινούμενα τῷ περὶ αὐτῶν

1 *αὐτὴν*] *τὴν* G 3 *οὗτος* Pa: corr G 5 *σκε[π]τέον* cum litura P[1] | *ὁ ἀγών·* Pa: corr Schottus 6 *ὀλυμπιᾶσι* a 7 *τισίν*] *εἴσιν* P[1] *εἰσι* P[2] *ἔστι* Faber del Schottus 9 *περὶ τῶν* P 11 *ἄπο* sic P: *ἀπὸ* a 13 *καὶ τῶι* P: *καὶ περὶ τῷ* a *καὶ παρὰ τῶν* (deinceps *νόμων*) G 15 *ὅδε δὲ*] *ὁ δὲ* Pa 16 *ἢ τοῦ* P 18 *φανερᾶι τῆι νίκηι* P: corr rec P[2]G | *ἧι περ* P[1] *ἡ περ* rec P[2] 20 *παρ' ἄλλων* G 21 *ἥδε δὲ ἡ* Sauppius: *ἡ δὲ* Pa 23 *ἐνῆι* P 25 *τοῦ . . λόγου* Pa

λόγῳ. τούτοις δὲ ὑποβάλλειν κἀκεῖνο ἀναγκαῖον, τὸ ἀνελεῖν ὡς ἀντικείμενον ἐκ τῆς τοῦ προσώπου ποιότητος, ὅτι μὴ καταφρονητέον λόγων τοῖς ἀθληταῖς ἅτε ἐν ἔργοις ἀσκοῦσι. λόγος γὰρ εἰς πάντα ἐπιτήδειος καὶ πρὸς πᾶν ἐπιρρώννυσιν· οὕτως καὶ ἐπὶ πολέμου καὶ ἐπὶ παρατάξεως δέονται στρατιῶται τοῦ παρὰ τῶν στρατηγῶν λόγου καὶ τῆς προτροπῆς, καὶ αὐτοὶ αὐτῶν ἐρρωμενέστεροι ἐγένοντο. μάλιστα δὲ οἱ ἀθληταὶ δέοιντο ἂν τῆς ἀπὸ τοῦ λόγου προτροπῆς καὶ ἐπικελεύσεως, ὄντες μὲν καὶ αὐτοὶ Ἑρμοῦ τε καὶ Ἡρακλέους μαθηταί τε καὶ ζηλωταί (ὧν ὃ μὲν εὑρετὴς τοῦ λόγου ἢ αὐτὸ χρῆμα λόγος· ὃ δὲ σὺν τῇ Ἀθηνᾷ πάντα κατώρθωσεν τὰ ἐπιταχθέντα· ἢ δὲ τί ἂν ἄλλο εἴη ἢ νοῦς τε καὶ λόγος;), καὶ ὁσημέραι δὲ ἐπὶ ταῖς γυμνασίαις ἑκάστοτε τοιούτους τοὺς ἐπικελευομένους ἔχοντες
270 *αὐτοῖς. | εἶτα διαφορὰν ἐρεῖς, ὅσῳ κρείττων οὗτος τοῦ* 3
ἐκείνων ἔπαινος· διὰ ταῦτα, ὅτι ὃ μὲν ἐκ τῶν ἐπιτυχόντων, οὗτος δὲ ἀπὸ τῶν δεδοκιμασμένων καὶ βίῳ καὶ λόγῳ καὶ δόξῃ· καὶ ἐκεῖνος μὲν ἔθει τινί, οὗτος δὲ νόμῳ πόλεως καὶ δόγματι ἀρχόντων· κἀκεῖνος οἷον ἐπιβόησίς τις,. μηδὲν τῶν ἤχων διαφέρων, οὗτος δὲ μετὰ ἐπαίνων καὶ ἀποδείξεων παράκλησις. εἶτ' ἀκόλουθον τοῖς περὶ τὸ τοῦ σώματος καλὸν σπουδάσασιν καὶ περὶ τὸ καλὸν τὸ ἐπὶ τῇ ψυχῇ σπουδάσαι καὶ

1 *ὑποβάλλον* P[1] 3 *ὅτι* Sauppius: *εἰ* Pa | *λόγου* Sylb | *ἅτε*] *ὅτι* Pa 4 fort *ἐνεργοῖς* | *δοκοῦσι* P: corr Rombergius 5 *οὕτω* a 8 *αὐτῶν* P: corr s 12 *αὐτοχρῆμα* P 13 *κατώρθωσε* a 14 *ὁσήμεραι* P 16 *αὐτοῖς* P | *τοῦ*] *ὧν* P om apographa nonnulla. fort *τῶν ⟨ἀπ'⟩* 17 *ἔπαινος·*] *εἰδέναι* Pa *τοσούτω δεῖ εἰδέναι* G | *διὰ*] *καὶ* Pa 20 *οἷον* Schottus: *δι' ὃν* P 22 *ἀποδείξεων. παράκλησις εἰ* sic distinguit P | *εἶτ'*] *εἰ* P *ὅτι* Sauppius 23 *σπουδάσωσιν* P: *σπουδάζουσι* G *σπουδάσουσι* a

μᾶλλον, ὅσῳ τιμιώτερον ψυχὴ σώματος, εἰ μὴ καὶ αὐτοὺς ἀσκοῦντας, ἀλλὰ τοῖς ἀσκήσασι πειθομένους· ὅπερ οὐδὲ δυσχέρειάν τινα ἔχει οὐδὲ πόνον, ἄλλως τε καὶ ἐπὶ συμφέροντι τῶν πεισθέντων τῆς πειθοῦς γινομένης· ὥςπερ γὰρ καὶ ἐν στρατοπέδῳ οἱ γνησιώτατοι παρὰ τῶν στρατηγῶν λόγους ἀκούσαντες μάλιστα φιλοτιμοῦνται περὶ τὴν νίκην, οὕτως καὶ οἱ ἐν τοῖς ἀγῶσι προτρεπτικοὺς λόγους οἰκείως ἀναδεξάμενοι· μάλιστα γὰρ ἂν ὀρέγοιντο τοῦ περιγενέσθαι. καὶ ὅτι τοῖς | ἐπαγγελλομένοις τὴν σωτηρίαν τὴν τοῦ σώματος προσήκει 271 καὶ ἀψευδεῖν. ἐν τούτῳ· εἰ δήπου τις, καίτοι τῆς ἀπὸ τούτων δόξης ἀδήλου τυγχανούσης, ὅμως ἐφίεται τούτου ἄλλως μηδὲ ἀνάγκης οὔσης, πόσῳ μᾶλλον ⟨εἰκὸς⟩ τοὺς ἐπ' αὐτὸ τοῦτο παρόντας καὶ παραδεδωκότας ἑαυτοὺς καὶ τούτου ἕνεκα ἐπὶ τοσοῦτον τοῖς γυμνασίοις χρησαμένους καὶ ὑπευθύνους ἑαυτοὺς καταστήσαντας πειθομένους φαίνεσθαι τῷ ἐπὶ τοῦτο ὑπὸ τῆς πόλεως καὶ τῶν ἀγωνοθετῶν καὶ τοῦ νόμου προκεχειρισμένῳ; Εἰ δὲ δὴ καὶ ἀγωνοθέτης εἴη ὁ λέγων, πρὸς τούτοις ἢ πρὸ ἁπάντων τούτων ἁρμόσει εἰπεῖν, ὅτι ⟨εἰ ὁ⟩ διατιθεὶς τὸν ἀγῶνα οὐκ ὤκνησεν ἀγωνιστὴν καὶ ἑαυτὸν καταστῆσαι καὶ ὑποβαλεῖν τῇ τῶν ἀκουόντων κρίσει ἕνεκα τοῦ ἀγῶνος καὶ τοῦ ἔνδοξον καὶ μέγαν

3 fort οὔτε—οὔτε 4 συμφέρον τι P | πιθοῦς P 5 ὅπερ P: corr Sylburgius 7 οὕτωσ P: οὕτω a | οἱ ἐν P: οἱ ἐπὶ a ἐπὶ G 9 γὰρ ἂν P: γὰρ a ἂν G 9—11 sententia non huc pertinet 10 ἐπαγγελομένοις P | τὴν τοῦ P: τοῦ a 11 ἀψευδεῖν ἐν τούτῳ. εἰ distinguebatur 12 τούτων i e τῶν λόγων. similis sententia est p 287, 11—15 13 εἰκὸς inserui 15 ἕνεκα P: ἕνεκεν Ga 17 ὑπὸ P: ἐπὶ a 18 νόμωι προκεχειρισμένου P[1] | προκεχειρισμένου a 20 τούτων om G | εἰ ὁ inserui 21 καὶ om G 22 ἑαυτὸν P: ἐπ' αὐτὸν a 23 μέγα P: corr G Sylb

καὶ περισπούδαστον τοῦτον γενέσθαι, πολλῷ δήπου ἀναγκαιότερον αὐτοῖς ⟨τοῖς⟩ ἀγωνιζομένοις καὶ κληρονομεῖν μέλλουσι τῆς τοῦ ἀγῶνος δόξης. Τῷ δὲ ξένῳ
272 καὶ τοῦτο ἂν ἁρμόζοι | λέγειν, ὅτι προσήκων αὐτῷ ὁ λόγος διὰ τὴν ἐπιδημίαν καὶ τὴν μετουσίαν τῆς θέας· οἱ γὰρ τῆς θέας μεταδόντες καὶ τοῦ λόγου τοῦ περὶ αὐτῆς μετέδοσαν ἄλλως τε καὶ ἐπὶ τῷ ἐνδοξοτέραν τὴν πανήγυριν γενέσθαι. καὶ ὅτι γνήσιος πολίτης οὐχ ὁ ἐγγεγραμμένος μόνον, ἀλλὰ πολλῷ μᾶλλον ὁ εὔνους τῇ πόλει καὶ περὶ τὰ καλὰ μόνον τὰ τῆς πόλεως σπουδάζων. εἰ δὲ δὴ καὶ μὴ πολίτης ὢν ἐπείσθη τοῖς ἐπιτάξασι καθεῖναι ἑαυτὸν εἰς τὸν ἀγῶνα, πολλῷ δήπου μᾶλλον τοῖς ἀθληταῖς σπουδαστέον περὶ αὐτὸν τοῖς ὡς ἂν εἴποι τις πολίταις τοῦ ἀγῶνος οὖσι.

Τούτων δὲ τῶν ἀφορμῶν τάχα ἂν τινες καὶ εἰς 4
τὸν πανηγυρικὸν λόγον ἁρμόζοιεν, τοιούτων προσώπων πανηγυριζόντων καὶ τοιούτων ποιοτήτων ἐμπεριειλημμένων. τοιαύτης δὲ τῆς προκαταστάσεως γενομένης ὑποβλητέον καὶ τὸν περὶ τῶν πανηγύρεων καθόλου λόγον ἔπαινον ἔχοντα τῶν προκαταστησαμένων, ὅτι τῶν πολέμων καὶ τῶν πρὸς ἀλλήλους διαφορῶν κατα-
273 παύσαντες τὰς πό|λεις συνήγαγον ὥςπερ εἰς μίαν πόλιν τὴν πατρίδα πάντων, ὡς κοινῇ συνελθόντας θύειν καὶ ἑορτάζειν λήθην ἁπάντων τῶν πρότερον ποιησαμένους· καὶ οὐ ταῦτα ἀπέχρησε μόνον, ἀλλὰ

1 δήπου] δήπου καὶ G 2 τοῖς suppleuit Sauppius cf p 288, 6 4 τοῦτο P: τούτῳ a | προσῆκον P[1]: corr rec P[2] 12 ἐπείσθην P: corr G 18 ποιητῶν Pa: corr Schottus 19 δὲ τῆς P: δὲ a | γινομένης Pa 20 τῶν om G 21 τῶν καταστησαμένων Schottus cf p 289, 10 22 διαφορῶν P: διαφόρων Ga 25 fort τῶν πρότερον ⟨ἀνιαρῶν⟩ uel ⟨λυπηρῶν⟩

καὶ θεάματα καὶ ἀκροάματα μυρία ἐπὶ μυρίοις προέθεσαν, οὐκ εἰς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ πρὸς ὠφέλειαν· διὰ μὲν τῶν μουσικῶν ἀκροαμάτων παιδεύοντες ἡμᾶς, διὰ δὲ τῶν γυμνικῶν συνασκοῦντες εἰς τοὺς πολέμους. καλὸν μὲν οὖν καὶ τοῖς ἐπιδημοῦσι σπουδάζειν περὶ τὴν θέαν, πολὺ δὲ κάλλιον τοῖς ἀγωνιζομένοις αὐτοῖς. τοῖς μὲν γὰρ πρόσκαιρος ἡ τέρψις, τοῖς δὲ ἀθάνατος ἡ δόξα· καὶ παραχρῆμα μὲν γίνεται ἑκάστῳ τούτων εὐφημεῖσθαι καὶ δακτυλοδεικτεῖσθαι ἐπὶ τοῖς καλλίστοις, νικᾶν, στεφανοῦσθαι, ἀναγορεύεσθαι, διὰ μιᾶς πράξεως καὶ νίκης οὐ μιᾶς πόλεως γενόμενον ἀλλὰ σχεδὸν ἁπάσης τῆς οἰκουμένης· ἕκαστος γὰρ τῶν παρόντων τῆς ἀρετῆς ἀποδεχόμενος τῇ εὐνοίᾳ ὡς πολίτην αὑτοῦ προσοικειοῦται, τὸ τοῦ Ὁμήρου δὴ τοῦτο· ʽἐρ|χόμενον δὲ ἀνὰʼ τὴν πανήγυριν ʽθεὸν ὣς 274 εἰσορόωσινʼ, οὐ μόνον γε ἀλλὰ καὶ μετὰ τὴν πανήγυριν, ὁπόταν αὐτὸν ἴδωσι μόνον. καὶ ἀγωνιζομένῳ ταῦτα καθʼ ἕκαστον ἀγῶνα· παυσαμένῳ δὲ παραμένουσιν τὸν βίον σύμπαντα οἱ καρποὶ ⟨οἱ⟩ ἀπὸ τῆς νίκης, τὴν περιουσίαν τοῦ βίου ἄφθονον παρέχοντες· μετὰ δὲ τὴν τελευτὴν ἡ μνήμη ⟨ἡ⟩ ἀπὸ τῶν ἀνδριάντων καὶ τῶν εἰκόνων εἰς τὸ ἀνάγραπτον ἔχειν τὴν δόξαν οὐκ ἐν ταῖς μνήμαις σῳζομένην μόνον, ἀλλὰ

15 Homerus ϑ 173 ἐρχόμενον δʼ ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν

1 prius καὶ om G | ἐπὶ om G 4 γυμνικῶν ⟨θεαμάτων⟩ ci Schottus 5 μὲν om G 10 ἐπὶ τοῖς — ἀναγορεύεσθαι om a 11 πολέως P[1] 13 τῆς ἀρετῆς] notus genetiui usus cum u θαυμάζειν ut Thuc VI 36, 1 14 αὐτοῦ P 17 ὅποι ἂν G[2] ὅποι P: corr Radermacherus 18 καθέκαστον P | δὲ P: om a | παραμένουσι a 19 οἱ inserui itemque 21 ἡ 22 εἰστὸ P: fort ἔτι τε τὸ 23 τοῖς μνημείοις ci Schottus sed cf Plato leg. V p 741[c] κυπαριττίνας μνήμας

καὶ διὰ τῶν συγγραμμάτων συμπαραμένουσαν ἅπαντι τῷ χρόνῳ.

Εἶτα ἐπὶ τούτοις προσάξεις καὶ τὸν περὶ τῆς πόλεως 5 λόγον, ὅτι καὶ διὰ τὴν πόλιν αὐτὴν σπουδαστέον περὶ τὸν ἀγῶνα. σύμμετρος δὲ γινέσθω ὁ ἔπαινος, ἐπειδὴ οὐ περὶ αὐτοῦ νῦν πρόκειται. ἀφορμαὶ δὲ εἰς τοῦτο ἔσονται δήπου ἱκαναὶ αἱ προειρημέναι ἐν ταῖς περὶ τοῦ πανηγυρικοῦ λόγου μεθόδοις. ὁμοίως δὲ καὶ περὶ αὐτῆς τῆς πανηγύρεως ἐρεῖς ἐφεξῆς, καὶ πόθεν ἤρξατο, 275 καὶ τίς ὁ | καταστήσας, καὶ τίνων θεῶν ἐπάγεται, καὶ τίς ὁ ἐπώνυμος αὐτῆς· καὶ ἔπαινος διὰ βραχέων ἀπὸ τῶν αὐτῶν ἀφορμῶν τῶν ἐκεῖ παραδεδομένων. ἀναγκαῖον δὲ ἐνταῦθα γενόμενον καὶ σύγκρισιν ποιήσασθαι πρὸς τοὺς ἄλλους ἀγῶνας. ἡ δὲ σύγκρισις ἔσται καὶ ἀπὸ τόπου τοῦ ἀγῶνος, οἷον ⟨ὅτι ἐνδοξότατος, καὶ⟩ ἀπὸ χρόνου, ὅτι ἀρχαιότατος· ἢ εἰ νέος, ὅτι ὅσον τῷ χρόνῳ ὑποδεῖ, τοσοῦτον τῇ δόξῃ προέχει· καὶ ὅτι εἰ νῦν περισπούδαστός ἐστι, πολλῷ περισπουδαστότερος ἔσται λαβὼν τὸν χρόνον. εἰ θεὸς εἴη ὁ ἐπώνυμος, τὰ προσόντα τῷ θεῷ· εἰ τῶν ἡρώων τις, ὁμοίως τὰς πράξεις· εἰ ἐπιτάφιος, ὅτι καὶ αὐτὸς διὰ τὴν ἀρετὴν τοῦ ἀγῶνος καὶ τῆς τούτου θέσεως ἠξιώθη. ἔτι καὶ τὴν πόλιν παραβαλεῖς πρὸς τὰς ἄλλας, ἀπὸ μεγέθους, ἀπὸ κάλλους, 276 ἀπὸ οἰκιστοῦ, ἀπὸ οἰκειώματος· εἴρηται | δὲ καὶ ταῦτα

24 cf p 5, 6 sq. 16, 8. 23, 19

4 περὶ om G 7 περὶ om G ut iussit Schottus. conicias ἐν τοῖς περὶ — μέθοδοι, sed cf 267, 18. 349, 6 9 ἐφεξῆσ P 10 καταστὰς a | καὶ τίνα G | ἐπάγεται P: ἀπάγεται a ἄγεται Schottus. cf titulus *I G Ins* III 329, 8 11 τί[σ] cum ras P[1] | ἀπὸ] διὰ Pa 15 hiatum Wolfius perspexerat, suppl Thielius ex Menandro 350, 15 Sp 16 ἢ εἰ νέος. ἢ ὅτι a | ὑποδεῖ Pa: ἀποδεῖ ex apographis aliquot Schottus. cf adi. ὑποδεής 18 fort προσλαβὼν 20 εἰ P: ἢ a ἢ εἰ Schottus | εἰ δʼ ἐντάφιος Schottus

ἤδη. τούτων δὲ ῥηθέντων οἰκειότατα ἂν ἐπαχθείη ὁ πρὸς τοὺς ἀθλητὰς λόγος κατὰ τὸν Θουκυδίδην· Περὶ τοιαύτης οὖν πόλεως καὶ τοιούτου ἀγῶνος πολλοὶ μὲν καὶ ἄλλοι καὶ πάλαι ἐφιλοτιμήσαντο καὶ ἐσπούδασαν νικηφόροι γενέσθαι.

6 Ἐπειδὴ δὲ διάφορα τὰ πρόσωπα, τὰ μὲν ἔνδοξα, τὰ δὲ ἧττον, καὶ τὰ μὲν ἀπὸ στεφάνων πολλῶν, τὰ δὲ νῦν πρῶτον ἀρχόμενα, πειρασόμεθα ἕκαστον ἀπὸ τῶν οἰκείων καὶ προσφόρων προτρέψασθαι· οἷον τοὺς μὲν πολλοὺς ἔχοντας στεφάνους, ὅτι καλόν, μὴ ὅπως καταισχῦναι τούτους, ἀλλὰ καὶ προσθεῖναι καὶ πλείους ἀποφῆναι· συναύξεται γὰρ τοῖς στεφάνοις καὶ ἡ δόξα. τοὺς δὲ ὀλίγους, ὅτι δεῖ μὴ τούτοις ἀρκεῖσθαι, ἀλλὰ καὶ βεβαιώσασθαι τούτους ὅτι καὶ μετὰ τῆς ἀληθείας καὶ προῖκα, τῷ ἐπαγωνίσασθαι καὶ προσλαβεῖν ἑτέρους. | τοὺς δὲ νῦν πρῶτον ἀρξομένους· 'ἀρχὴ δέ τοι 277 ἥμισυ παντός'. καὶ τοῖς ἡττημένοις πρότερον καλὸν ἀναμάχεσθαι, ἵνα μὴ καὶ ψυχῇ καὶ σώματι, ἀλλὰ τύχῃ μᾶλλον δοκῶσιν τῇ ἥττῃ κεχρῆσθαι. εἶτα συμπροτρέψεις τοὺς μὲν κατὰ τὸ αἰσχρόν, τοὺς δὲ κατὰ τὸ καλόν, ὅτι τοῖς μὲν πολλοὺς ἔχουσι καὶ προνενικηκόσιν αἰσχρὸν τὸ ἡττηθῆναι τῶν μήπω νενικηκότων, τοῖς δὲ ἄλλοις ἔντιμον καὶ οὐδὲ ὑπερβολὴν εἰς δόξης λόγον ἔχον ⟨τὸ⟩ τοὺς νενικηκότας κρατῆσαι καὶ δι' ἑνὸς στεφάνου προσλαβεῖν τὴν τούτων δόξαν. εἶτα πειρα-

2 cf Thucydides II 41 extr 16 Diogen. II 97 al. cf 267,1—3

2 περὶ ταύτης a 7 post πολλῶν conicias τὰ δὲ ἀπὸ ὀλίγων intercidisse, cf infra u 13. 16 9 προτρέψεσθαι s 11 καταισχύνηι P, a: corr Wolfius 14 ἀληθείας cf p 291, 15 17 exspectes καὶ τοὺς ἡττημένους πρότερον ⟨ὅτι⟩ 18 μὴ καὶ] μὴ Sauppius 19 δοκῶσι a 21 αἰσχρὸν τοῦ P: corr Gs 24 τὸ inserui

σόμεθα ἀναιρεῖν, δι' ἃ ἐπὶ τὸ διαφθείρεσθαί τινες τρέπονται, τῷ αἰσχρῷ καὶ ἀδόξῳ, ὅτι αἰσχρὸν χρημάτων προέσθαι τὴν νίκην, κατὰ ἀμφότερα τὰ πρόσωπα τὸ αἰσχρὸν προσάπτοντες, καὶ κατὰ τὸ τῶν διδόντων καὶ κατὰ ⟨τὸ⟩ τῶν λαμβανόντων, ὅτι οἳ μὲν χρήματα ἀντὶ δόξης ἀνταλλάσσονται· ἐν ᾧ οἷα μὲν τὰ χρή-
278 ματα, οἷα δὲ ἡ δόξα· τὰ μὲν πρόσκαιρα, ἡ δὲ | ἀθάνατος· καὶ τὰ μὲν τύχη καὶ χρόνος καὶ πόλεμος ἀφεῖλεν, ἡ δὲ ἀναφαίρετος ὑπὸ τούτων· καὶ τὰ μὲν ζῶντας εὐφραίνει, ἡ δὲ μετὰ τὴν τελευτὴν ζηλωτοὺς ἀποφαίνει· καὶ τὰ μὲν καὶ ἀπὸ κακίας περιγίνεται, ἡ δὲ ἀπὸ ἀρετῆς καὶ ἀνδραγαθίας. ἔπειτα καὶ οἱ δόντες τᾷ μὲν δοκεῖν νενικήκασιν, τῇ δ' ἀληθείᾳ ἐώνηνται τὴν νίκην· καὶ ὅτι οὐ δόξαν κτῶνται, ἀλλ' αἰσχύνην, τὸ γὰρ μὴ μετὰ ἀληθείας κρατῆσαι πρὸς αἰσχύνην μᾶλλον τῷ κρατήσαντι ἢ δόξαν· καὶ ὅτι εἰ καὶ λανθάνοιεν τοὺς ἄλλους, ἀλλ' ἑαυτοῖς συνίσασιν, καὶ παρὰ τοῖς ἄλλοις μὲν δοκοῦσι κρατεῖν, παρὰ δὲ ἑαυτοῖς ἥττηνται· καὶ ὅτι οὐδὲ ἡδονὴ ἐπὶ τῆς τοιαύτης νίκης· καὶ ὅτι ὁ τῆς αἰσχύνης ἔλεγχος ἀεὶ συμπάρεστιν αὐτοῖς τῆς ἐπονειδίστου νίκης. καὶ ὅτι χείρους τῶν προδοτῶν· ἐκεῖνοι μὲν γὰρ τοὺς ἄλλους πωλοῦσιν, οὗτοι δὲ καὶ ἑαυτούς· καὶ ὅμοιοι τοῖς πόρνοις εἰσὶν ἐπὶ τοῖς σώμασιν τοῖς ἑαυτῶν λαμβάνοντες· κἀκεῖνοι μὲν ἴσως

2 τρέποντες P: corr Gs 5 τὸ suppleuit Sylburgius 7 οἷα δὲ P 9 ζῶντα P: corr Sauppius 11 μὲν καὶ P: μὲν a 12 ante ἔπειτα rectius conlocari quae infra u 21 καὶ ὅτι χείρους—p 292, 2 ἐκδόντες leguntur, acute Schottus adnotat 13 νενικήκασι a | τῆι δ' sic P 16 δόξαν Gs: δόξησ· P 17 συνίσασι a 19 ἐπὶ] fort ἐστὶ | ταῖς τοιαύταις νίκαις ci Sylburgius, fuit qui τῇ τοιαύτῃ νίκῃ coniceret 21 fort ⟨ἐκ⟩ τῆς | καὶ—p 292, 2 ἐκδόντες cf adn u 12 22 ἄλλους ποιοῦσιν a 24 σώμασι a | κακεῖνοι P: ἐκεῖνοι a

*καὶ δι' ἡλικίαν ἐξαπατηθέντες, οὗτοι δὲ δι' αἰσχρο-
κέρδειαν ἑαυτοὺς ἐκδόντες. | εἶτα ὅτι οὐδὲ λανθά-* 279
*νουσιν· ῥαδίως γὰρ ὁρῶνται καὶ ἐκ τῶν σωμάτων καὶ
ἐκ τῶν γυμνασιῶν καὶ ἐκ τῶν προγεγενημένων ἀγώ-
νων. ἐν ᾧ· τίνα τὰ ἐπὶ τούτοις; μάστιγες, ὕβρεις,
αἰκίαι σωμάτων, ἃ δούλων καὶ οὐκ ἐλευθέρων· τὸ
παρὰ τοῖς θεαταῖς βλασφημεῖσθαι ἀντὶ τοῦ ἐπαινεῖ-
σθαι κροτεῖσθαι στεφανοῦσθαι· ἐνίοτε δὲ [καὶ] ζημία
καὶ τὸ ἐκβάλλεσθαι καὶ ἐκ τῶν σταδίων καὶ ἀγώνων,
μέγιστον δὲ ἐπ' ἐλευθερίᾳ φρονοῦντας εἰς τὰς τῶν
δούλων τιμωρίας περιορᾶν αὐτοὺς ἐμπίπτοντας. καὶ ἂν
μὲν δοῦλον αἰσθάνωνταί τινα τῶν ἀγωνιζομένων εἶναι,
κατηγορεῖν αὐτοῦ καὶ ὡς ἀνάξιον τοῦ ἀγῶνος ἐκκρίνειν·
αὐτοὺς δὲ τὰς παρὰ τῶν ἀθλοθετῶν ψήφους τῆς ἐλευθε-
ρίας λαμβάνοντας τὴν τῆς δουλείας καθ' ἑαυτῶν φέρειν.*

7 *Ἐν δὲ τούτῳ τῷ τόπῳ γενομένους ἀναγκαῖον | καὶ* 280
τῶν ἀρχαίων μνημονεύειν καὶ παραδείγματα φέρειν, ὅσοι ἔνδοξοι· οἳ μὲν ὅτι ἀήττητοι, οἳ δὲ ὅτι πλείστας νίκας ἤραντο, οἳ δὲ ὅτι εἰ καὶ ὀλίγας, ἀλλὰ τὰς ἐνδοξοτάτας, καὶ ὅτι πάσας προῖκα, καὶ ὅτι ἀπὸ σωφροσύνης, ἀπὸ ἐγκρατείας, ἀπὸ τῆς ἀσκήσεως τοιοῦτοι ἐγένοντο· καὶ ὅ τι αὐτοῖς τοιοῦτον συνέβη· ὅτι πολλοὶ καὶ ἰσόθεοι ἐνομίσθησαν, οἳ δὲ καὶ ὡς θεοὶ τιμῶνται τῶν πάλαι.

1 *αἰσχροκερδίαν* P: corr Gs 2 *λανθάνουσι* a 4 *γυμνασίων* a 5 *ὕβρις* uitiose h 8 *καὶ* inclusi 9 *καὶ τὸ*] *κατὰ τὸ* Pa *τὸ* Sauppius | *ἐκβάλεσθαι* P *ἐκβαλέσθαι* Ga: corr Sylburgius | *καὶ* ante *ἐκ* om G | *ἀγώνων·* distinguebant. tu cf Demosth or 19, 261 *ἐπ' ἐλευθερίᾳ μέγιστον φρονεῖν* 11 *αὐτοὺς* P: corr s 12 *δούλων* P: corr P. Faber Agonistic. III 17 13 *κατηγορίαν* Pa: corr G | *ἀναξίου* Pa: corr Faber 14 *τῶν ἀθλητῶν* a 15 *δουλ[εί]ας* cum litura P | *καθ' ἑαυτῶν*] *οἴκοθεν αὐτὸν* Pa *οἴκοθεν καθ' αὑτῶν* Sylburgius 19 *ἤιραντο* P 21 *ἀπὸ τῆς* P: *ἀπὸ* a 22 *καὶ ὅτι* Pa | *τοιοῦτο* s 23 *τιμῶνται*] *τιμῶνται καὶ* Pa | *τῶν* delebat Sauppius.

II

COMMENTARIA SCHOLASTICA RHETORICA

Libris p 254 memoratis inde a c X accedit

M codex Venetus Marcianus 508 f. 196

VIII

Περὶ ἐσχηματισμένων ᾱ

Ἀγῶνας ἐσχηματισμένους παντάπασιν οὔ φασιν εἶναι τινές, ἀλλὰ μέρη μὲν ἀγώνων ἐσχηματίσθαι συνομολογοῦσιν, τὸ δὲ ὅλας ὑποθέσεις διὰ τούτου τοῦ τρόπου τῶν λόγων περαίνεσθαι οὐχ οἷόν τε εἶναι φασί (μὴ 281 γὰρ | δυνατὸν εἶναι μὴ σαφῶς ἀκούοντας τοὺς ἀκροωμένους συνιέναι περὶ οὗ ὁ λόγος ἐστίν), οὐδὲ τοὺς παλαιοὺς κεχρῆσθαι τῷ τοιούτῳ εἴδει τῶν λόγων καὶ τῶν ἀγώνων. ἡμεῖς δὲ καὶ ὅσοι τρόποι τῶν ἐσχηματισμένων ἀγώνων, φράσομεν, καὶ τῆς μεταχειρίσεως αὖ τὴν μέθοδον δηλώσομεν, αὐτοὺς τοὺς παλαιούς, οὓς οὔ φασί τινες κεχρῆσθαι τῷ τρόπῳ τῶν λόγων, μαρτυρόμενοι.

Ἔστι γὰρ τῶν καλουμένων σχημάτων εἴδη γ̄· τὸ 2
μέν ἐστι σχῆμα λέγον μὲν ἃ βούλεται, δεόμενον δὲ εὐπρεπείας ἢ δι' ἀξίωσιν τῶν προσώπων, πρὸς οὓς ὁ λόγος, ἢ δι' ἀσφάλειαν πρὸς τοὺς ἀκούοντας. καὶ τούτῳ μὲν τῷ εἴδει οὐκ ἀντιλέγουσιν οἱ ῥητορικοί, ἀλλὰ καλοῦσιν αὐτὸ χρῶμα. τοὺς γὰρ εὐπροσώπους λόγους, οὐκ οἶδα ὁπόθεν ὁρμηθέντες, οὕτως ὀνομάζουσιν, ὅταν ἢ πρὸς πατρίδα τις διαλέγηται ἢ πρὸς

2 ᾱ P: πρῶτον G 4 συνομολογοῦσι a 8 οὔτε P: corr Sauppius 11 μεταχειρήσεως a 12 αὖ] αὐτὴν P αὐτῶν G αὐτῆς ci Sylburgius 13 τῶν Pa: τούτω τῶν G 15 γὰρ Pa: δὲ G | τρία Ga 17 πρὸς ᾶ Schottus

ἀριστέα ἢ πρὸς | στρατηγὸν ἢ πρὸς ἀρχήν τινα ἢ 282 πρὸς ὅλην πόλιν. τὸ δέ τι σχῆμά ἐστι πλαγίως ἕτερα μὲν λέγον, ἕτερα δὲ ἐργαζόμενον ἐν λόγοις. τρίτον σχῆμά ἐστι τὸ οἷς λέγει τὰ ἐναντία πραχθῆναι πραγματευόμενον.

3 Τοῦ μὲν οὖν καλουμένου ὑπὸ τῶν πολλῶν χρώματος οὔτε ἀποκεκρυμμένη οὔτε χαλεπὴ ⟨ἡ⟩ μέθοδος. ἐπιείκεια γὰρ προστεθεῖσα τοῖς λόγοις καὶ τὸ ὑποστέλλεσθαι τῇ παρρησίᾳ, αὐτό ⟨τε⟩ τοῦτο τὸ αἰδεῖσθαι προσποιεῖσθαι καὶ τὸ ὁμολογεῖν μὴ βούλεσθαι τολμηρῶς μηδὲ ἀποκεκαλυμμένως λέγειν ἡ μέθοδός ἐστι τῶν τοιούτων λόγων. μεγίστη δὲ καὶ βαθυτάτη ἐν τούτοις τοῖς λόγοις μέθοδος, τὸ ἑτέρας αἰτίας ὑποβαλέσθαι εὐσχήμονας πρὸ τῶν λυπούντων λόγων. Οἱ δὲ ἕτερα μὲν λέγοντες, ἕτερα δὲ βουλόμενοι τίνι μεθόδῳ χρῶνται; προτείνουσι μὲν ἕτερα κεφάλαια τοῖς ἀκροωμένοις· ἃ δὲ βούλονται πεῖσαι, τοῖς προταθεῖσι συγκατασκευάζουσι. καὶ τρόπον τινὰ διπλοῦν ἀγῶνα ἀγωνίζονται· τῷ μὲν γὰρ λόγῳ | τὸ κοινὸν προτεί- 283 νουσιν, τέχνη δὲ οὗ τὴν χρείαν ἔχουσιν. Ὁ δὲ οἷς λέγει τὰ ἐναντία βουλόμενος λόγος, ἀκοῦσαι οὑτωσί, ἄτοπόν τινα τὴν μέθοδον ἔχειν δόξει· δεῖ γὰρ εἰς ἐναντιώσεις ὑποπίπτοντα φαίνεσθαι τοῖς ἀκούουσιν· καὶ ἐν τούτῳ τῷ εἴδει τὸ καινότατον δὴ φαίνεται τέχνη ῥήτορος οὖσα τὸ ἐναντία λέγειν. τίς ὁ λόγος;

1 πρὸ στρατηγὸν P 2 τι] δεύτερον G | πλάγιον G 3 λέγων P | τὸ δὲ τρίτον G 7 ἡ inseruit Sauppius 8 προσθεῖσα P: corr Ga 9 τῆς παρρησίας Schottus | αὐτὸ τοῦτο P: καὶ αὐτὸ τοῦτο Ga 13 κάθοδος P: corr Gs 16 μὲν P: μὲν γὰρ s 17 προτεθεῖσι G 19 προτείνουσι a 21 ἀκούεσθαι Schottus. tu cf Plato Phil 12c Lys 216a Euthyphr 3b 22 τὴν om G 23 ἀκούουσι a 24 καινότατον P: κοινότατον Ga

βραχὺς καὶ σαφής. ὥσπερ γὰρ ἐν τοῖς ἁπλοῖς τῶν ἀγώνων ὠφέλειαν ἔχει τὸ μὴ δοκεῖν ἐναντία λέγειν, οὕτως ἐνταῦθα κέρδος αἱ ἐναντιώσεις ἔχουσιν, τὸ δὲ μὴ ἐναντία λέγειν ζημίαν. καὶ πάνυ δικαίως· εἰ γὰρ οἷς λέγει τις τὰ ἐναντία βούλεται, ἂν ⟨ἃ⟩ λέγῃ πείσῃ, τὰ ἐναντία πράξει· ἂν δὲ ἃ βούληται κατεργάζηται, τὰ ἐναντία οἷς λέγει πείθειν δόξει. μέθοδος δὲ τούτων τίς; ὥσπερ ἐν τοῖς ἁπλοῖς ἀγῶσι * * *, ⟨οὕτως ἐν τοῖς τοιούτοις ἀγῶσι⟩ τὰς προτάσεις τὰς οἰκείας ἀσθενεῖς 284 εἶναι δεῖ, τὰς δὲ τοῦ ἀντιδίκου | ἰσχυράς, καὶ τὰ μὲν παρ' αὐτοῦ εὐδιάλυτα προβάλλεσθαι, τὰ δὲ παρὰ τοῦ ἐναντιουμένου δυσκαταγώνιστα· αὕτη μία μέθοδος. δευτέρα δέ· ὥσπερ ἐν τοῖς ἁπλοῖς ἀγῶσιν οὐ χρὴ στρεφόμενα λέγειν οὐδ' οἷς ἂν καὶ ὁ ἀντίδικος χρήσαιτο, οὕτως ἐν τοῖς τοιούτοις τῶν ἀγώνων τοιαῦτα λέγειν δεῖ, οἷς καὶ ὁ ἀντιλέγων χρήσεται. οἱ μὲν οὖν κυριώτατοι τρόποι τῶν ἐσχηματισμένων λόγων οὗτοι.

4 Ἤρτηνται δὲ τούτων τῶν τρόπων κἀκεῖνα· τὸ τὰ αὐτὰ δοκοῦντα λέγειν ἑτέρῳ προειπόντι ἑτέραν ὑπόθεσιν διοικεῖσθαι· τὸ ἐναντιοῦσθαι δοκοῦντα τῷ λόγῳ βοηθεῖν τῷ ἔργῳ, προκατασκευάσαντος τοῦ σχήματος τὴν χρείαν· τὸ ⟨ὡς ἐροῦντα⟩ ἐν ἄλλῳ λόγῳ ὑπερβαλέσθαι τὴν ὑπὲρ αὐτοῦ παρρησίαν εἰς ἕτερον καιρόν.

3 αἱ om G | ἔχουσι a 4 μὴ P: δὴ a om G | ζημίαν καὶ πάνυ. δικαιώσει γὰρ Pa 5 βούλεται αν λέγει P: βούλεσθαι ἂν λέγων G οἷς γὰρ βούλεται, ἂν λέγων a | fort πείθῃ 6 βούληται Pa: βούλοιτο G βούλεται Sylburgius. de modo cf p 329, 8. 10 | τὰ P: om Ga 8 hiatum indicaui cf p 329, 8 10 δὲ] δὴ h errore 11 αὐτοῦ Pa 12 ἐναντίου G 13 δὲ ⟨τίς⟩; conicias sed cf p 305, 14. 19 15 οὕτω καὶ ἐν G 18 τοῦτον τὸν τρόπον Ga | κἀκεῖνα· τὸ τὰ] κακειν' ἅττα P, a κακεῖνα· τὰ G 20 τὸ P: τὸν s | δοκεῖν G 22 ὡς ἐροῦντα suppleui cf infra p 311, 19 | ὑπερβάλλεσθαι Sylb

Τούτων δὴ καὶ τὰ παραδείγματα λαβεῖν ἐκ τῶν βυβλίων. ληψόμεθα δὲ παρὰ Δημοσθένους, Θουκυδίδου, Ξενοφῶντος, Πλάτωνος, | 285 Εὐριπίδου, τῆς κωμῳδίας, Ὁμήρου· ἀπὸ πασῶν ἰδεῶν τῆς ῥητορικῆς, συμβουλευτικῆς δικανικῆς πανηγυρικῆς.

Μεμνῆσθαι χρή, ὅτι τῇ μεθόδῳ [καὶ περὶ τῶν σχημάτων τῶν ἐναντία βουλομένων οἷς λέγουσιν ἀγωνιζόμενοι], ἐάν τις πορεύηται, ὡς ἔφαμεν, δι' ἐναντιώσεων, μέγας κίνδυνος πρόσεστι τῷ μὴ φωραθῆναι ὑπὸ τῶν ἀκροωμένων, ὅτι τεχνάζει, τῆς ἐναντιώσεως εἰς δόξαν ἐμπεσεῖν· εἰ γὰρ μὴ ἐλεγχθείη ἡ τέχνη, συμβήσεται φιλονεικοῦντας, ἃ προσποιεῖται λέγειν, συγχωρεῖν τῷ ῥήτορι, οὐχ ἃ βούλεται ταῦτα ψηφίζεσθαι. φράσομεν οὖν καὶ ὅπως τις ἂν λάθοι μεταχειριζόμενος τὸν δι' ἐναντιώσεων λόγον.

5 *Δημοσθένης τοίνυν ὁ ῥήτωρ, ἵνα πρῶτον καὶ τὸ ὄνομα τοῦ σχήματος καὶ τὴν χρείαν δείξωμεν παρ' αὐτῷ | 286 δεικνύντες, ἐν τῷ περὶ τοῦ στεφάνου διηγούμενος λόγον, ὃν συνεβούλευσεν διαθέσθαι πρὸς Θηβαίους, οὐχ ἁπλοῦν ἀλλά τινα τεχνικόν, ὧδέ πως λέγει καὶ ἐπὶ τῷ λόγῳ τὸ ὄνομα ἐπάγει τῆς τέχνης· 'ἐπειδὰν*

9—13 cf 329, 10—19 13 *φράσομεν* infra 322, 6 21 Demosthenes or XVIII 178 p 287, 22—288, 3

1 *δὴ* P: *δεῖ* s | *ἐκ*] conicias ⟨*ἔστιν*⟩ *ἐκ* sed uereor ne scriptorem ipsum corrigas 2 *βυβλίων* P: *βιβλίων* Ga 3 *πλάτωνος* post *κωμῳδίας* traicit G 6—15 aliena esse ab hoc loco etiam Penndorfius adnotat *Leipz. Stud.* 20, 178 6 *χρή* Pa: *δὲ χρή* G | *καὶ* — 7 *ἀγωνιζόμενοι* seclusi ut ex margine interposita, nisi quis cum Schotto *περὶ κτἑ.* post *χρὴ* traicere malet 7 *ἀγωνιζομένοις* Pa 8 *ἐάν*] *ἢ* P *εἰ* Ga | *πορεύοιτο* G 10 *τῆς ἐναντιώσεως* i e *τοῦ τἀναντία δοκεῖν βούλεσθαι ἢ ἃ βούλεται* 11 *γὰρ διελεγχθείη* P *γὰρ διαλεχθείη* Ga 13 *ψηφίσασθαι* a | *φράσωμεν* P: corr a 14 *τί ἂν* P: corr Gs | *λάθοιτο* G[2] 15 *ἐναντιώσεως* Gs 18 exspectes *παρ' αὐτοῦ λαβόντες* | *δεικνύντι* Schottus | *τοῦ* om G 19 *λόγῳ* a

δὲ ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ; τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθαι Θηβαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δὲ ἄμεινον ἢ 'κεῖνοι καὶ τὸ μέλλον προορωμένων, ἵν' ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διῳκημένοι καὶ μετὰ σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν'. Ὁρᾷς καὶ τὸ ἔργον τῆς διοικήσεως, καὶ τὸ ὄνομα ἐπι| 287 φερόμενον τῷ ἔργῳ, τὸ 'σχῆμα'. ὁ αὐτὸς τοίνυν Δημοσθένης ἐν μὲν τῷ περὶ τῆς πρεσβείας, ⟨ἵνα⟩ ἀπὸ δικανικοῦ λόγου ἀρξώμεθα, ἄλλα προτείνων ἄλλα κατασκευάζει, δι' ὅλου τοῦ βυβλίου διοικούμενος διοίκησίν τινα τοιαύτην· κεφάλαια ἔστιν ἅ περ ἀσθενῆ ὄντα τῷ Δημοσθένει, ἐὰν ἐφ' αὑτῶν προτείνηται, ἐλέγχεται· ταῦτα ἵνα πιθανὰ ποιήσῃ, ἕτερα μὲν προτείνει, λαβὼν δὲ τὸν ἀκροατὴν προσέχοντα τοῖς προταθεῖσι συμπλέκει τὰς πίστεις τῶν ἀσθενῶν τοῖς προτεινομένοις. οἷον, ἵνα ὁ λόγος ἔχῃ παράδειγμα, ἔροιτ' ἂν εἰκότως ὁ Αἰσχίνης τὸν Δημοσθένην· Διὰ τί τῆς προτέρας πρεσβείας οὐ κατηγορεῖς; καί τοι τὰ πεπραγμένα πάντα ἐν τῇ προτέρᾳ πέπρακται (ὅ φησιν ὁ Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ), ἡ δὲ δευτέρα ἀπαίτησιν ὅρκων εἶχεν

22 Aeschines or II 123 p 293

3 *δεῖσθαι* et 4 *ἐπαγγέλλεσθαι* Pa cum *ΣFΦ*: *δεῖσθε* et *ἐπαγγέλλεσθε* corrector Tauchn. 4 *ὡς*] *ἐὰν κελεύωσιν, ὡς* Demosthenes et infra p 342, 13 5 *μὲν* om *ΣFΦ* | *ἢ κεῖνοι* P ut *ΣΦ*: *ἢ ἐκεῖνοι* Ga 6 *καὶ* ante *τὸ* abest a Dem exemplis 8 *σχήματος* Pa cum *A*: *προσχήματος* cetera Dem exemplaria 11 *παραπρεσβείας* Schottus 12 *ἵνα* suppleui | *ἀπὸ γὰρ* G | *ἀρξόμεθα* Pa | *ἀλλὰ γὰρ τείνων* G 13 *διόλου* P | *βιβλίου* Pa 14 *κεφάλαιά ἐστιν* P 15 *ἀφαυτῶν* P *ἀπ' αὐτῶν* a 16 *ταῦτα* om G | *μὲν* om G 23 *εἶχε* a

μόνην. ἡ μὲν οὖν ἀληθὴς αἰτία τοῦ μὴ κατηγορεῖν ἐκείνη· ἐπῄνεσεν ὁ Δημοσθένης τὰ ἐν τῇ προτέρᾳ πρεσβείᾳ πάντα πεπραγμένα, καὶ ψηφίσματα ἔγραψεν, καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον τοὺς πρέσβεις.| αὕτη μὲν οὖν ἡ ἀληθὴς αἰτία ἐστὶ τοῦ μὴ ἐγκαλεῖν 288
τῇ προτέρᾳ πρεσβείᾳ. ἀλλὰ μὴν αἰτίαν ἱκανὴν οὐδεμίαν ἔχει κατὰ τῆς ὑστέρας πρεσβείας· δεῖ οὖν αὐτὸν ἐφάπτεσθαι καὶ τῆς προτέρας. κατηγορῶν οὖν ἅμα τῆς προτέρας πρεσβείας οὐ κατηγορεῖ. δεῖ δὲ αὐτῷ προφάσεως. τίς οὖν ἡ πρόφασις; φησὶν ἠγνοηκέναι τὸν Αἰσχίνην πεπρακότα αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ. τοῦτο οὑτωσὶ μὲν πρὸς ἐρώτησιν τὴν παρ' Αἰσχίνου ἐν παραιτήσεως σχήματι λεγόμενον ἀσθενὲς καὶ γελοῖόν ἐστιν. ἄλλο δὲ οὐδὲν ἔχων εἰπεῖν ὁ Δημοσθένης, ὅπερ ἔφαμεν, ἑτέρου προφάσει τοῦτο συγκατασκευάζει. φησὶ γὰρ ἀποδείξειν τὸν Αἰσχίνην αὐτὸν ὑφ' αὐτοῦ ἐλεγχόμενον, ὅτι δῶρα εἴληφεν, καὶ διέξεισι λόγους οὓς εἶπε πρότερον κατὰ Φιλίππου· εἶτα φησὶν αὐτὸν πρότερον κατὰ Φιλίππου πολιτευσάμενον ὕστερον μεταβεβλῆ|σθαι, οὐκ ἂν μεταβαλόντα, εἰ μὴ δώροις 289
πεισθεὶς τοῦτο ἐποίει. ταύτην τὴν ἀπόδειξιν ὑποθεὶς συγκατασκευάζει τὸ ὅτι εἰκότως ἔλαθέν με δῶρα λαβὼν ἐπὶ τῆς προτέρας πρεσβείας· ᾤμην γὰρ αὐτὸν χρηστὸν

3 cf Demosth or XIX 234 Aeschines or II 46. 53 8 ex Aeschinis or II 123 sublata

3 πάντα s: πάντα τὰ P | fort ψήφισμα | ἔγραψε a 4 πρέσ[β]εις cum litura P 5 ἐγκαλεῖν ἐν τῆι P, a: ἐν deleui 7 τῆς προτέρας Pa: uitium Sylburgius perspexit 11 αὐτὸν Pa: corr h 16 ante φησὶ lacunam nescio quam indicauit h 17 ὑφ' αὐτοῦ P: ὑφ' ἑαυτοῦ a | εἴληφε a 20 μεταβαλοῦντα s 22 ὅτι om G | ἔλαθέ a 23 προτέρας P: ἑτέρας a

εἶναι, τῷ πρότερον κατὰ Φιλίππου πολιτεύεσθαι. αὕτη μὲν ἡ συμπλοκὴ τοῦ ἕτερα συγκατασκευάζειν ἕτερα προτείνοντα.

Ποιεῖ δὲ αὐτὸ πῶς; ἀκούσωμεν τῆς λέξεως τοῦ 6
ῥήτορος· φησὶ γὰρ ὧδε· Βούλομαι δὲ πρὸ πάντων, ὧν μέλλω λέγειν, μνημονεύοντας ὑμῶν οἶδ' ὅτι τοὺς πολλοὺς ὑπομνῆσαι, τίνα τάξιν αὐτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν ᾤετο δεῖν· ἵν' εἰδῆτε, ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν
290 ἀρχῇ μά|λιστα ἐξελεγχθήσεται δῶρα ἔχων. ἔστι τοίνυν ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησιν καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων· καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστήν, προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς πανταχοῦ πρέσβεις πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου· καὶ ἀπαγγέλλων μετὰ ταῦτα ἥκων ἐξ Ἀρκαδίας τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους, ⟨οὓς⟩ ἐν τοῖς μυρίοις ἐν τῇ Μεγάλῃ πόλει πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγοντα ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι· καὶ διεξιών, ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦσι μόνον πατρίδας οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου. ἐπειδὴ τοίνυν ταῦτα πολιτευομένου

5 Demosthenes or XIX 9—12 p 343, 26—344, 28

5 δὲ hic scriptor addit 7 τίνα P cum Σ: εἰς τίνα s cum ceteris Dem libris | αὐτὸν P: corr s ἑαυτὸν Dem 8 τοῦ om G 13 ἕλλησι a 17 πανταχοῖ Σ 21 οὓς ex Dem restituit Schottus | ἐν τῇ Pa: ἐν Dem 23 ἡμῶν P: corr s

τούτου τότε καὶ τοῦτο τὸ δεῖγμα ἐξενηνοχότος περὶ
αὐτοῦ τοὺς περὶ τῆς εἰρήνης πρέσβεις πέμπειν ὡς
Φίλιππον ἐπεί|σθητε ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέ- 291
μου καὶ τῶν ἄλλων τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ'
ὅ τι οὖν ὑγιές, γίνεται τῶν πρέσβεων τούτων εἷς καὶ
οὗτος, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα οὐδ'
ὡς τῶν πεπιστευκότων τῷ Φιλίππῳ, ἀλλ' ὡς τῶν φυ-
λαξόντων τοὺς ἄλλους. διὰ γὰρ τοὺς προειρημένους
λόγους καὶ τὴν πρὸς Φίλιππον ἀπέχθειαν ταύτην εἰ-
κότως περὶ αὐτοῦ πάντες εἴχετε τὴν δόξαν'. αὕτη μὲν
ἡ μέθοδος τοῦ συγκατασκευάσαι· ἤδη γὰρ τὸν δῆμον
συνεπεσπάσατο ὡς συνεξηπατημένον ἑαυτῷ ὁ Δημο-
σθένης. εἶτ' ἐπήγαγεν τῆς τέχνης τὸ δεινόν· 'προσελ-
θὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα συνετάττετο κοινῇ πρε-
σβεύειν, καὶ ὅπως τὸν μιαρὸν καὶ λίαν ἀναιδῆ φυλάξο-
μεν ἀμφότεροι τὸν Φιλοκράτην, πολλὰ παρεκελεύσατο.
καὶ μέχρι τοῦ δεῦρο ἐπανελθεῖν ἀπὸ τῆς πρώτης πρε-
σβείας ἐμὲ γοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ
πεπρακὼς αὐτὸν ἐλάνθανεν'. ὡς θαυμαστή γε ἡ τέχνη·
πάντας αὐτοὺς ἐξηπατημένους ἀπε|δειξεν. ἐπήγαγεν 292
δὲ εὐθὺς τὸ 'ὁμοίως γὰρ ὑμεῖς ἐξηπάτησθε κἀγώ', διὰ
μέσου τὸ περὶ Φιλοκράτους εἰπών· αὐτὸς ἐφ' αὐτὸν
ἤγαγεν τὴν αἰτίαν, ἁπλότητος προσχήματι κλέπτων

13 Demosthenes or XIX 13 p 345, 1—5

2 ἀυτοῦ P: corr s 9 πρὸς Pa cum *F* Φ: πρὸς τὸν ceteri Dem libri 11 τοῦ κατασκευάσαι a 13 ἐπήγαγε s 15 φυλάξομεν P: φυλάξωμεν a 18 et p 303, 2 ὦ (ἄν)δ(ρες) ἀθ(ηναῖοι) P compendio insolentiore sed certo: ὦ ἀθηναῖοι a 19 αὐτὸν ex ἀυτὸν corr P: ἑαυτὸν a 20 ἐπήγαγε a. Schottus interpolatis οὐκ ante εὐθὺς et ἀλλὰ ante διὰ consulebat sententiae 21 ὁμοίως γὰρ Radermacher: μὲν ὥσπερ Pa | ἐξηπάτησθαι P ἐξηπατεῖσθαι a: corr G | κἀγώ'. ⟨καὶ πῶς;⟩ Raderm 22 ἐφαυτὸν P 23 ἤγαγε r | κλέπτων P: βλέπων Ga

τὴν πανουργίαν τῆς κατασκευῆς τῷ λέγειν 'ἐμὲ γοῦν,
ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς αὐτὸν
ἐλάνθανεν', ἀλλὰ μὴ φάναι 'κἀμέ', ἵνα μὴ δοκῇ τὸ
πᾶν ἐπιχείρημα οἰκείας διοικήσεως ἐξειργάσθαι. οὕτω
μὲν ἕτερα προτείνων ἕτερα κατασκευάζει ὁ Δημοσθέ-
νης· καὶ ἑξῆς τὸ αὐτὸ ποιεῖ ἐν τῷ λόγῳ καὶ πάλιν
ἑξῆς καὶ ἄχρι τέλους τοῦ παντὸς ἀγῶνος. τοῦτο μέν
σοι δικανικῶν λόγων τὸ παράδειγμα [λόγων ἐσχηματι-
σμένων], ἕτερα προτεινόντων, ἕτερα κατασκευαζόντων.

Συμβουλευτικῶν δὲ πάλιν ὁ αὐτὸς Δημοσθένης ἐν 7
τῷ περὶ τῶν συμμοριῶν δι' ὅλου τὴν τοιαύτην τέχνην
ἐξεργάζεται. ἔχει δὲ οὕτως· οἱ μὲν Ἀθηναῖοι ὡρμή-
κασι μὲν πρὸς βασιλέα τῶν Περσῶν, τοιαῦτα τῶν
293 ῥητό|ρων συμβουλευόντων καὶ ἐπαιρόντων αὐτοὺς ἐκ
τοῦ ἐπαινεῖν τοὺς προγόνους καὶ μεμνῆσθαι τῶν πε-
πραγμένων πρὸς τοὺς βαρβάρους ἔργων, πρὸς δὲ τὸν
Φίλιππον τὸν τῶν Μακεδόνων βασιλέα ὀκνοῦσι πολε-
μεῖν. ὁ δὲ Δημοσθένης αὐτὰ τὰ ἐναντία πρὸς μὲν
τὸν βασιλέα πολεμεῖν αὐτοὺς οὐ βούλεται, πρὸς δὲ
τὸν Φίλιππον βούλεται. ὁρᾷς δύο ὑποθέσεις ἐναντίας
ἀλλήλαις; πῶς οὖν τοῦτο ποιεῖ; διπλῷ γὰρ τῷ σχή-
ματι χρῆται. πρὸς μὲν τὸν βασιλέα οὔ φησι μὴ δεῖν
πολεμεῖν, ἀλλὰ μηδέπω πολεμεῖν· εἰ γὰρ ἁπλῶς ἐκέ-
λευε μὴ πολεμεῖν, οὐκ ἂν αὐτῷ προσεῖχον τὸν νοῦν,
ὡρμηκότες πρὸς τὸν πόλεμον. ὃ δὲ φησὶ μὲν πολε-
μεῖν δεῖν, ἐνδιδοὺς αὐτοῖς ὃ βούλονται· πρότερον δὲ
ἀξιοῖ παρασκευάζεσθαι, ἵνα ἀσφαλέστερος καὶ δικαιό-

2 ἀυτὸν P 4 genetiuus ad ἐπιχείρημα refertur praedicatiue positum 8 λόγων inclusi, ἐσχημ. Brinkmannus 10 πάλιν αὐτὸς ὁ Pa: corr Gualterus Otto cf p 343, 2 11 τῶν om G 12 οἱ μὲν οὖν ἀθ. G 21 signum interrogationis ante πῶς testatur P 22 ὀύ φήσει sic P οὐ φήσει Ga: corr s 24 οὐ κὰν P

τερος ὁ πόλεμος γένοιτο, τέχνῃ τοῦτο ποιῶν. οἶδεν γὰρ ὅτι ἡ ἀναβολὴ ἐκλύσει τὴν ὁρμήν. καὶ εὐθύς γε μετὰ τὸ προοίμιον κλέπτων τὸ δοκεῖν συναγορεύειν βασιλεῖ τί φησιν; ʽἐγὼ νομίζω κοινὸν | ἐχθρὸν ἁπάν- 294
των τῶν ὄντων ʽΕλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα παραινέσαιμ' ἂν μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν αἴρεσθαι'. οὕτω μὲν ἐπέχει τὴν ὁρμήν, ⟨τῇ⟩ αὐτῇ τέχνῃ Θουκυδίδῃ χρώμενος. καὶ γὰρ παρὰ τῷ Θουκυδίδῃ Ἀρχίδαμος, ὅν φησιν ὁ Θουκυδίδης συνετὸν εἶναι καὶ σώφρονα, ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους καὶ τοὺς Πελοποννησίους ὡρμημένους πρὸς τὸ πολεμεῖν τοῖς Ἀθηναίοις, οὐχὶ μὴ πολεμεῖν κελεύει (ᾔδει γὰρ οὐ πεισομένους), ἀλλὰ μηδέπω τοῦτο ποιεῖν, ἀλλὰ πρότερον παρασκευάζεσθαι. οὕτω μὲν γάρ, ὅπερ ἔφαμεν, ἐμποδίζει τὴν ὁρμὴν αὐτῶν ὁ Δημοσθένης ὁμοίως τῷ Θουκυδίδῃ. διδάσκει δὲ προελθὼν τοῦ λόγου τὸν τρόπον *** ἧς παρασκευασθείσης εὐτρεπὴς γίνεται κατὰ | Φιλίππου. καὶ οὕτως ἑκάτερος ὁ λόγος 295
τεχνικῶς περαίνεται τῷ Δημοσθένει, τῷ βασιλεῖ μὲν μηδέπω πολεμεῖν, τῇ δὲ ἐπὶ βασιλέα παρασκευῇ ἔχειν χρῆσθαι κατὰ Φιλίππου. οὕτω μὲν δι' ὅλου τοῦ λόγου τοῦ συμβουλευτικοῦ ἕτερα προτείνεται καὶ ἕτερα κατα-

4 Demosthenes or. XIV 3 p 178, 22—25 9 Thucydides I 79 12 idem I 80—85 16 Demosthenes XIV 14—28

1 οἶδε a 3 μετὰ] κατὰ h uitiose 4 τί φησὶν P: τι, φησίν s 5 ὄντων abest et a Demosthenis exemplis et infra p 343, 13, del Schottus 6 ταῦτα Pa cum ΥF: τοῦτο reliqui Dem libri | ἄλλων] in mg ἑλλήνων addit G² 7 ἄιρεσθαι P αἱρεῖσθαι Σ: ἄρασθαι Ga cum plerisque Dem libris 8 τῇ αὐτῇ s: ἀυτῇ P 16 προελθὼν P: προελθεῖν Ga 17 λόγου] an στόλου? | hiatum indicaui: ἧς scil δυνάμεως ναυτικῆς τε καὶ πεζῆς | οὐ παρασκευασθέντος G | εὐτρεπὴς P: εὐπρεπὴς Ga 18 ὁ λόγος P: λόγος Ga 22 τοῦ post λόγου om h errore

σκευάζεται, καὶ ὑπόθεσις ὑποθέσει συμπλέκονται. ἔχεις δύο ταῦτα παραδείγματα ἀγώνων ἑτέρων προτεινομένων, ἑτέρων συγκατασκευαζομένων, τὸ μὲν δικανικοῦ εἴδους, τὸ δὲ συμβουλευτικοῦ.

Ἐπεὶ μέντοι συμβουλευτικῶν καὶ δικανικῶν ἐμνή- 8
σθημεν, λάβε καὶ παρὰ Πλάτωνος παραδείγματα ἀγώνων 6
πλειόνων συμπεπλεγμένων καὶ τρόπον τινὰ πάντων ⟨τῶν⟩ μερῶν τῆς ῥητορικῆς συναγομένων. ἡ Σωκράτους Ἀπολογία τὴν μὲν πρότασιν ἔχει, ὡς τὸ ἐπίγραμμα δηλοῖ, ἀπολογίαν, ἔστι δὲ καὶ Ἀθηναίων κατηγορία, εἰ τοιοῦτον ἄνδρα εἰς δίκην ὑπήγαγον. καὶ κέκρυπται τὸ πικρὸν τῆς κατηγορίας τῷ ἐπιεικεῖ τῆς ἀπολογίας· ἃ γὰρ ὑπὲρ αὐτοῦ ἀπολογεῖται, Ἀθηναίων
296 κα|τηγορεῖ. δύο μὲν αὗται συμπλοκαί. τρίτη δέ· ὁ λόγος ἐστὶ Σωκράτους ἐγκώμιον, καὶ τὸ ἐπαχθὲς τοῦ λόγου ἐπεσκίασται τῷ ἀναγκαίῳ τῆς ἀπολογίας· τρίτη αὕτη συμπλοκή. καὶ γεγόνασι δύο μὲν δικανικαὶ ὑποθέσεις συνημμέναι, ἡ ἀπολογία καὶ ἡ κατηγορία· μία δὲ ἐγκωμιαστική, ὁ ἔπαινος ὁ Σωκράτους. τετάρτη συμπλοκή, ἥ περ μεγίστη ὑπόθεσις τῷ Πλάτωνι, ἔχουσα συμβουλευτικῆς ἰδέας δύναμιν, φιλόσοφον δὲ τὴν θεωρίαν· ἔστι γὰρ τὸ βυβλίον παράγγελμα, ὁποῖον εἶναι δεῖ τὸν φιλόσοφον. τοῦτο, ὡς μὲν ἐν ῥητορικῇ, συμβουλευτικὴ ἰδέα· ὡς δ' ἐν φιλοσοφίᾳ, δόγμα παραδιδόμενον· τοιοῦτον γὰρ εἶναι τὸν φιλόσοφον, ὁποῖος ἐν τῇ Ἀπολογίᾳ φαίνεται Σωκράτης. ταύτην τὴν

1 ὑποθέσεις Pa | ὑποθέσει P: ὑποθέσεσι s | συμπλέκονται Pa excusari potest 2 ἀγώνων cf l 6 6 λάβε sic P 7 πάντων μερῶν Pa: corr G 10 ἀπολογία Pa: corr Sylburgius 11 εἰ] οἳ uel ὅτι Schottus 13 ἀυτοῦ P, a 14 δέ] δὲ ἐστὶν G omisso ἐστὶ sequente 19 alterum ὁ om G 22 βυβλίον P: βιβλίον Ga 23 συμβουλευτικῆι ἰδέα P: corr Gs 25 ὁποῖον G

κρᾶσιν τῶν τεττάρων ὑποθέσεων ζηλώσας ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου τὴν μίμησιν ἐξήνεγκεν· καὶ γὰρ ἀπολογίαν ἔχει ὑπὲρ ὧν κατηγορεῖται, καὶ κατηγορίαν ἐλέγχοντος τοὺς ἠδικηκότας καὶ τῶν κακῶν αἰτίους, καὶ φανερῶς ἐγκώ|μιον δεικνύντος ἐφ' οἷς 297 ἄξιός ἐστι τοῦ στεφάνου, καὶ τὸ δόγμα ὡς ἐν λόγῳ δικανικῷ καὶ πολιτικῷ, ὁποῖον εἶναι ⟨δεῖ⟩ τὸν πολιτικὸν ἄνδρα καὶ σύμβουλον ἀγαθόν. λέγει γοῦν αὐτὸς ἐν τῷ λόγῳ σαφῶς· 'ταῦτα καὶ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ'.

9 Ταῦτα μὲν δή σοι παρὰ Δημοσθένους καὶ Πλάτωνος. ἀλλὰ καὶ Θουκυδίδης δύο ὑποθέσεις συμπλέκει ἐν τῷ ἐπιγραφομένῳ Ἐπιταφίῳ· τῆς μὲν γὰρ ἐγκωμιαστικῆς ἰδέας ἐστὶν ὁ ἐπιτάφιος, συμπλέκεται δὲ ἰδέα συμβουλευτική. οὐ γὰρ μᾶλλον ἐπαινεῖ τοὺς τεθνεῶτας ἢ τοὺς ζῶντας ἐπὶ τὸν πόλεμον παρακαλεῖ. τοῦτο μέντοι ἀναγκαίως ποιεῖ· ὁ γὰρ λέγων ἐστὶ τὸν ἐπιτάφιον Περικλῆς, ἀνὴρ τοῦ πολέμου αἴτιος. ἔτι μέντοι τριῶν ὄντων κεφαλαίων τοῦ ἐπιταφίου, ἐπαίνου θρήνου παραμυθίας, τὸ ἓν τῶν κεφαλαίων ὑπερβαίνει, τὸν θρῆνον· οὐ γὰρ συνέφερεν τῷ συμβουλευτικῷ οὐδὲ τῇ προτροπῇ τὸ θρηνεῖν, ὥς φησιν αὐτὸς ὁ Θουκυδίδης λέγων ὧδε· 'διό περ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, | οὐκ ὀλοφύρομαι μᾶλλον ἢ 298

9 Demosthenes or XVIII 306 p 327, 16   23 Thucydides II 44

1 κράσιν Ps   2 ἐν̄ τῆι sic P | ἐξήνεγκε Ga   3 ἀπολογίαν ex ἀπολοαν corr P¹   6 καὶ τὸ] an καὶ ἔτι?   7 δεῖ suppleui cl p 305, 23. 347, 23 post ἀγαθὸν inseruit s   9 καὶ P cum ΣFΦ: καὶ τὰ G cum uolgatis Dem exemplis   10 δεῖ Pa: om s   15 ἰδέα συμβουλευτικῆι P: corr s   16 τεθνεῶτας ἢ τοὺς omissa supplet mg P² | τοὺς om G   21 συνέφερε Ga   22 τῇ τροπῇ G

παραμυθήσομαι'. ποιεῖ δὲ τοῦτο ἀναγκαίως, ἐπειδὴ ἀρχομένου τοῦ πολέμου τὸν λόγον ποιεῖται· ὡς εἰ ἐθρήνησεν τοὺς πρώτους ἀποθανόντας, ἀθύμους ἂν ἐποίησεν τοὺς μέλλοντας πολεμεῖν. αὕτη μὲν δὴ τῆς διπλῆς ὑποθέσεως ἡ χρεία. πῶς δὲ ἔμιξεν τὰς κατασκευάς, καὶ πῶς μίξας αὐτὸς ὁμολογεῖ, φέρε θεασώμεθα. ἡ γὰρ κρᾶσις ἐστὶν ἡ τέχνη τοῦ σχήματος ἐν τοῖς λόγοις. κεφάλαιόν ἐστι τοῦ ἐγκωμίου ὁ τοῦ γένους λόγος· οἱ οὖν προτρέποντες εἰς τοὺς πολέμους τὰ τῶν προγόνων ἔργα διεξιόντες παρορμῶσι τοὺς ἀκούοντας· οὕτως συνετέλεσεν ὁ ἔπαινος τοῦ γένους εἰς τὴν συμβουλήν. πάλιν αὖ κεφάλαιόν ἐστιν ἐν τοῖς ἐγκωμίοις ἡ παραβολή, τὸ παρεξετάζειν τοὺς ἐπαινουμένους ἑτέροις τοῖς εὐδοκιμοῦσιν. ἀλλὰ μὴν ἐν τοῖς συμβουλευτικοῖς λόγοις, ὅτι ῥᾴδιος ὁ πόλεμός ἐστιν, ἐκ τοῦ παραβαλεῖν τὰ τῶν οἰκείων τοῖς τῶν
299 ἐναντίων ἀποδείκνυται. χρώμενος οὖν τῷ τῆς | παραβολῆς λόγῳ καὶ τὸ ἐγκώμιον ὁμοῦ καὶ τὴν συμβουλὴν περαίνει. τοῦτο γὰρ ὑπέστη μὲν ἀποδείξειν ἀρχόμενος μὲν τοῦ λόγου ὑπισχνούμενος, ἐπὶ τέλει δὲ βεβαιούμενος, ὅπου καὶ ἐναλλάττει τὴν τάξιν τῶν κεφαλαίων καὶ δείκνυσιν, ὅτι πρεσβύτερον ἦν τῷ ῥήτορι τὸ τῆς συμβουλῆς τοῦ ἐγκωμιαστικοῦ λόγου. λέγει γὰρ ὧδε· 'ἀπὸ οἵας τε ἐπιτηδεύσεως ἦλθον ἐπ' αὐτά, καὶ τρό-

24 Thucydides II 36

3 ἐθρήνησε 4 ἐποίησε 5 ἔμιξε a   7 κράσις P   11 οὕτω Ga   13 ἐπαινουμένους P: ἐπαίνους Ga   14 τοῖς] an τισὶν? 18 ὁμοῦ om G   19 περαίνει P: συμπεραίνει G παρήνει a 19—20 ἀρχόμενος μὲν τοῦ λόγου ὑπισχνούμενος μὲν τοῦ λόγου P: ἀρχόμενος μὲν τοῦ λόγου G ἀρχόμενος τοῦ λόγου a: uerba μὲν τοῦ λόγου iterata deleui   20 ἐπὶ δὲ τέλει G   23 γὰρ PG²: δὲ G¹a   24 ἀπὸ Pa: ἀπὸ δὲ Thucydides | ἤλθομεν Thucydides

πων ἐξ ὧν μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι [δεῖν] αὐτά, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων σύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν᾽. ταῦτα μὲν ἐπ᾽ ἀρχῇ· προϊόντος δὲ τοῦ λόγου ἀποδείξας καὶ κεράσας ἐπάγει λέγων· ʽκαὶ [εἰ] ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν | [300] ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει, καὶ τὴν εὐλογίαν ἅμα ἐφ᾽ οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς᾽. τὸ γὰρ ʽἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτά᾽ τῆς ἐγκωμιαστικῆς ἰδέας ἐστί· τὸ γὰρ * * κεφάλαιον ἐγκωμίου. τὸ δὲ ʽκαὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων σύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν᾽ τῆς συμβουλευτικῆς ἰδέας ἐστίν· κυριώτατον γὰρ ἐν συμβουλῇ κεφάλαιον τὸ συμφέρον. καὶ ʽδιδασκαλίαν ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει᾽ τῆς συμβουλῆς ἀπόδειξιν ἔχει. τὸ δὲ ʽτὴν εὐλογίαν ἅμα ἐφ᾽ οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς᾽ τοῦ ἐγκωμίου δείκνυσι τὴν ἰσχύν· τὴν δὲ κρᾶσιν αὐτῶν τὸ ʽἅμα᾽ δηλοῖ. ταῦτά σοι καὶ παρὰ Θουκυδίδου.

10 Ἀλλὰ καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν ὅλῳ δράματι λόγον ἐσχηματισμένον περαίνει, ἐν τῇ Μελανίππῃ τῇ

6 Thucydides II 42

3 *δεῖν* et a Thuc alienum et infra u 11 omissum del Schottus 4 *εἶναι αὐτῶν ἐπακοῦσαι* Thuc 5 *ὑπ᾽* G 6 *καὶ εἰ* Pa: *διὸ δὴ καὶ* Thuc *εἰ* ex *ἐ* natum deleui 9 *ὑπάρχει* Pa: *ὑπάρχει ὁμοίως* Thucydidis libri 12 *ἐστὶν* a | hiatum Brinkmannus indicauit 13 *ἐγκωμίου τόδε, καὶ* s 15 *ἐστί·* a 16 *καὶ* PG: *μὴ* a del Sylburgius 21 *κράσιν* P 22 *παρὰ* cf 306, 11 23 *ὁποιοτης* P: corr G a 24 *παρήνει* a | *ἐν* om G[1]

σοφῇ. κἀκεῖ δὲ τὸ σχῆμα διπλοῦν, τὸ μὲν αὐτοῦ τοῦ ποιητοῦ, τὸ δὲ τοῦ ὑποκειμένου προσώπου τῆς Μελανίππης. | [301] συγγέγονεν Ἀναξαγόρᾳ ὁ Εὐριπίδης· δόγμα δὲ ἦν Ἀναξαγόρου τὸ ʽὁμοῦ πάντα χρήματα᾽. μετὰ ταῦτα συγγενόμενος Σωκράτει καὶ κρείττονος λόγου μετασχών, ἀξιώσας, ὡς ἐμοὶ δοκεῖ, καὶ τὸν Ἀναξαγόρου λόγον μνήμης ἐν τοῖς δράμασιν, ἐξήγαγεν αὐτὸ τὸ δόγμα ἐν τῇ Μελανίππῃ τῇ σοφῇ. ἡ γοῦν ἀρχὴ τοῦ λόγου αὐτῷ αἰνίττεται τὴν πρὸς τὸν διδάσκαλον εὔνοιαν· φησὶ γὰρ ἡ Μελανίππη

Καὶ οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ᾽ ἐμῆς μητρὸς πάρα.

ὁ μὲν Εὐριπίδου σχηματισμὸς οὗτος· ὁ δὲ τῆς Μελανίππης τίς; τὰ παιδία ἐξέθηκεν εἰς τὰ τοῦ πατρὸς βουφόρβια· ὁ δὲ πατὴρ οἰόμενος εἶναι τοῦτο τέρας γνώμην ποιεῖται κατακαῦσαι τὰ παιδία· ἣ δὲ σῶσαι βουλομένη τὰ τέκνα, ὅτι μηδέν ἐστι τέρας, φιλοσοφεῖ. καὶ οὕτως | [302] τὴν αὐτῆς χρείαν διοικεῖται ἐν παραινέσεως σχήματι φιλοσοφοῦσα.

Ἡ δέ γε κωμῳδία ὅτι πολιτεύεται ἐν τοῖς δράμασι 11 καὶ φιλοσοφεῖ, ἡ τῶν περὶ τὸν Κρατῖνον καὶ Ἀριστοφάνην καὶ Εὔπολιν, τί δεῖ καὶ λέγειν; ἡ γάρ τοι κωμῳδία αὐτὴ τὸ γελοῖον προστησαμένη φιλοσοφεῖ. Ξενοφῶν δὲ ὁ καλὸς ὡς ἐν τῇ Παιδείᾳ βουλόμενος

4 Anaxagoras fr 1 p 326 Diels 11 Euripides fr 484, 1 N.

5 *τῶ σωκράτει* G 7 *αὐτοῦ τὸ* ci Sylburgius 8 *ἤ γ᾽ οὖν* P 9 *αὐτῆς* ci Schottus | *ἀ[ι]νίττεται* cum ras P 10 *μελανίππηι·* P 13 *τίς* Pa nisi quod falso ad sequentia trahunt: *ἥτις* G Hermannus ap Schottum p 155 *ὅτι τις* Valckenaerius diatrib. p 184ᵃ 16 *τέρας*] *τὸ τέρασ* Pa cf p 346, 14 17 *οὕτω* a | *αὐτῆς* P: *αὐτὴν* G *ἀρχὴν* a 19 sq *λόγων ἐσχηματισμένων* mentionem scriptor neglegenter omisit 23 *ὡς* Schottus: *ὃς* Pa

τοὺς ἐκ τοῦ δήμου τῶν Περσῶν ὁμοσκεύους ποιῆσαι τοῖς ὁμοτίμοις, καὶ πάλιν βουλόμενος κοινὸν ἀγῶνα ἀρετῆς τοῖς ἄριστα στρατευσομένοις προτιθέναι, τοῖς τε ὁμοτίμοις διαλεγόμενος ἐν Κύρου λόγῳ ὡς αὐτοῖς χαριζόμενος, καὶ τοῖς δημοτικοῖς ὡς ἐκείνων προνοούμενος ⟨σχηματίζει⟩ ἐν ἑκατέρῳ τῷ λόγῳ, παρίημι λέγειν. ἐν δὲ τῇ Ἀναβάσει ὑποπτεύουσι μὲν οἱ στρατιῶται, ὡς ἐπὶ βασιλέα ὁ στόλος ἐστί, καὶ οὐκ ἔτι ἕπεσθαι Κύρῳ βούλονται· ὁ δὲ Κλέαρχος ἐν τοῖς στρατιώταις δημηγορεῖ ὑπισχνούμενος μὲν ἕψεσθαι |
τοῖς στρατιώταις πανταχόσε, ἐν δὲ τῷ λόγῳ κατα- 303
σκευάζων τὸ ἀναγκαῖον εἶναι μένειν, μιμούμενος τὸν Ὁμήρου Φοίνικα. καὶ γὰρ ἐκεῖνος ἐν ταῖς Λιταῖς προτείνεται τὴν ὑπόθεσιν τῶν λόγων τοῦ Ἀχιλλέως. ὡς οὐ δυνατὸν ⟨ὂν⟩ αὐτῷ μένειν, ἂν ἐκεῖνος ἀπίῃ, ἀλλὰ πάντως ἑψόμενος τῷ Ἀχιλλεῖ. τὰς δὲ αἰτίας λέγων δι᾽ ἃς οὐκ ἂν ἀπολειφθείη τοῦ Ἀχιλλέως, ὅτι χρὴ μένειν τὸν Ἀχιλλέα κατασκευάζει, τῷ μὲν δοκεῖν δεικνύς, καθ᾽ ἃς προφάσεις οὐ μενετέον αὐτῷ, ἔργῳ δὲ ἀπαιτῶν τὰς χάριτας, ἃς εἰς τὸν Ἀχιλλέα κατέθετο θρέψας καὶ παιδεύσας, Ἀγαμέμνονι δὲ χάριν φέρων τῷ λόγῳ. καὶ ὅτι ταῦτα διανοούμενος τὸ σχῆμα τῶν λόγων ἐποιήσατο, αὐτὸς Ἀχιλλεὺς ἐπεκδιδάσκει. ὅπερ Ὁμήρῳ ἔθος, καὶ ὅστις ἄλλος μετεχειρίσατο τὸ εἶδος

1 Xenopho Cyrup. II 1, 9—19 2 idem ibid II 3, 2—16 4 idem ibid II 1, 11 5 idem ibid II 1, 15—18 9 idem Anabas. I 3, 3—6 13 Homerus *I* 434—523

2 *καινὸν* P: corr a 3 *στρατευσαμένοις* Pa: corr Brinkmannus 4 *τε* P: *δὲ* a 6 *σχηματίζει* inserui auctore Schotto 15 *ὂν* inserui, conieceram *οὐ δυνατὸς ὢν αὐτοῦ* | *αὐτῶι* P | *ἀπείῃ* Pa: corr Sylburgius 16 *ἑλόμενος* P: corr a 19 *αὐτῶι* P: corr Schottus

τοῦτο, παρ᾽ Ὁμήρου μαθὼν τοῦτο ποιεῖ, τὸ ἐν ταῖς τῶν ἀποκρινομένων ῥήσεσι τῶν προειπόντων τὰς τέχνας διδάσκειν. λέγει τοίνυν ὁ Ἀχιλλεύς |

304 Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν.

ὁρᾷς, ὡς τὴν τέχνην ὁ μαθητὴς τοῦ διδασκάλου ἀπεκάλυψεν δεικνὺς ὅτι συνῆκεν, ὡς πάντα εἰς χάριν Ἀγαμέμνονος λέγεται καὶ ἐπὶ τῷ τὸν θυμὸν μαλάξαι τοῦ Ἀχιλλέως. εἶτα ἐπειδὴ χάριτας αὐτῷ κατελογίσατο ὁ Φοῖνιξ, ἵνα μὴ δοκοίη ἀχάριστος εἶναι, καὶ αὐτὸς πλαγίως ἀπολύεται τὴν αἰτίαν·

ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.

Ταῦτα μὲν ⟨τὰ⟩ παραδείγματα ἕτερα προτείνοντος 12
τοῦ ῥήτορος. ὑπολείπεται δὲ ἡμῖν ὁ λόγος ὁ περὶ τῶν τὰ ἐναντία λεγόντων οἷς βούλονται· ἐπειδὴ ⟨δὲ⟩ οὗτος ὁ λόγος τὸ τελεώτατον σχῆμά ἐστιν, πρότερον δείξωμεν παρὰ Ὁμήρῳ καὶ ⟨ἃ⟩ ἄλλα σχήματα ὑπεθέμεθα. ἦν δὲ τάδε· τὸ δοκεῖν τὰ αὐτὰ λέγοντα ἑτέραν ὑπόθεσιν περαίνειν, καὶ ⟨τὸ⟩ δοκεῖν ἐναντιούμενον * * * ὡς ἐν ἑτέρῳ
305 λόγῳ | τὰς τῶν ἐσχηματισμένων ἀγώνων κατασκευὰς ποιησόμενον ἀναβολῇ τὸ σχῆμα παραδοῦναι. τούτων

4 Homerus *I* 612 12 idem ibid 616

1 *μαθῶν* P 6 *ἀπεκάλυψε* a 10 *φοῖνιξ* sic P: uolgo *Φοίνιξ* | *δοκοίη* cf Raderm ad Demetr p 72 | *εἶναι καὶ αὐτός, πλαγίως* distinguebatur: corr Kentenich 12 *ἥμισυ* prima littera praeter prosodiam euanida P 13 *μὲν τὰ* Tauchn: *μὲν* Pa. cf p 303, 8. 312, 1. 314, 17. 327, 17 14 *τοῦ* om G fort ⟨*καὶ ἕτερα κατασκευάζοντος*⟩ *τοῦ* 15 *δὲ* inserui 16 *ἐστι* a | *δείξομεν* G^1 17 *ἃ* inserui | *καὶ τὰ ἄλλα σχήματα ἃ* Schottus *καὶ ἄλλα σχήματα ὡς* G | *ὑπεθέμεθα* P: *ὑποθέμεθα* a 18 *τὸ* om G 19 *τὸ* inserui | ante *ὡς* hiare orationem Kentenichius uidit cf p 297, 20 s 21 *ποιησάμενον* Pa cf supra p 297, 22 s | *ἀναβολὴ* P

τοίνυν τὰ παραδείγματα τίνα; ἐν τῷ β̄ τῆς Ἰλιάδος, ὅτε κατέχουσιν τὸ Ἑλληνικὸν ὅ τε Ὀδυσσεὺς καὶ Νέστωρ, δοκοῦσιν μὲν ἀμφότεροι εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγειν οὐ μόνον γε ἀλλὰ καὶ τὰ αὐτὰ λέγειν·

ὥςτε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκον δὲ νέεσθαι·

ταῦτα Ὀδυσσεύς· ὁ δέ γε Νέστωρ

ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήια ἔργα.

πάλιν Ὀδυσσεύς

οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν, ἥν περ ὑπέσταν
ἐνθάδ' ἔτι στείχοντες ἀπ' Ἄργεος ἱπποβότοιο.

εἶτα ὁ Νέστωρ

ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν.

καὶ πάλιν Ὀδυσσεὺς τὴν Κάλχαντος μαντείαν λέγει 306
καὶ τὸ τέρας τὸ περὶ τὸν δράκοντα καὶ τὰ τῆς στρουθοῦ τέκνα. ὁ δέ γε Νέστωρ

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,

καὶ λέγει τὰ οὐράνια σημεῖα καὶ τὰς δεξιὰς ἀστραπάς. ὅθεν καὶ παρέσχετο τοῖς πολλοῖς ζήτησιν, πότερος ἀμείνων ῥήτωρ ἐν τοῖς λόγοις τούτοις, Ὀδυσσεὺς ἢ Νέστωρ· καὶ μαρτύρονταί γε τὸν Ὅμηρον ἑκάτεροι λέ-

5 Homerus *B* 289—290 8 ibid 337 sq 11 ibid 286 sq 14 ibid 340 15 ibid 301—329 18 ibid 350 19 ibid 351—353 20—313, 8 pugnat contra schol BLV ad *B* 350. 336 cf 370

1 *τίνα*] *τὰ* Pa om G | β̄ P: *δευτέρῳ* a 2 *κατέχουσι* a item 3 *δοκοῦσι* 6 *οἶκον δὲ* P cf 332, 2 Lehrs quaest epic p 41: uolgo *οἴκόνδε* 7 *ταῦτα* P: *ταῦτα μὲν* a 8 *ὢ* ex *ὤ* corr P *ἦ δὴ* P 12 *ἐπιστείχοντες* G 14 *μήδεα* altero accentu eraso P 18 *κατανευσαι* circumflexo eraso P 20 *παρέσχετο* Pa scil Homerus: *παρέσχητο* Sylburgius | *ζήτησιν* P: *ζήτησις* a 21 *ῥήτωρ* P: *ὁ ῥήτωρ* a

γοντα, ὡς τὸν μὲν Ὀδυσσέα ἐπῄνεσεν τὸ πλῆθος, τὸν δὲ Νέστορα ὁ Ἀγαμέμνων· οἳ μὲν

μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο,

ὃ δὲ εἰπών

τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

καὶ ἄλλην πολλὴν φλυαρίαν περὶ τὴν παραβολὴν τῶν λόγων φλυαροῦσιν. τὸ δὲ ἦν ἄρα τέχνη· τοσοῦτον
307 *γὰρ | ἀπέχουσιν τοῦ ταὐτὰ λέγειν, ὥςτε οὐδ' εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγουσιν· σόφισμα δὲ τοῦτό ἐστι καὶ πάλαισμα τῶν ἀκουόντων. τί τοῦτο τὸ σόφισμα; ὁ μὲν Ὀδυσσεὺς κατασχεῖν βούλεται τοὺς Ἕλληνας ὡρμημένους ἀπιέναι· ὁ δὲ Νέστωρ κατεσχημένους ὑπὸ τοῦ Ὀδυσσέως καὶ μένοντας ἐκστρατεῦσαι βούλεται κατὰ γένη ἑκάστους ὑπὸ τῷ οἰκείῳ ἡγεμόνι. καὶ ἔστιν αὐτῷ ἡ τῶν λόγων ὑπόθεσις οὐχ ἥ περ τῷ Ὀδυσσεῖ· γελοῖος γὰρ ἂν ἦν πεπεισμένοις ἔτι διαλεγόμενος. ἀλλὰ τίς ἡ ὑπόθεσις τοῦ Νέστορος;*

κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·
ὡς φρήτρη φρήτρηφιν ἀρήγει, φῦλα δὲ φύλοις

καὶ τὰ τούτοις ἐφεξῆς εἰρημένα. διὰ τοῦτο καὶ πάνυ ἀρέσκει τῷ Ἀγαμέμνονι ὁ λόγος ὁ Νέστορος· ὁ γὰρ Νέστωρ, ὃ μάλιστα βούλεται ὁ Ἀγαμέμνων, τοῦτο περαίνει. βούλεται δὲ ἐκστρατεῦσαι τοὺς Ἕλληνας· διὸ καὶ τὴν ἀπόπειραν πεποίηται·

ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν. |

3 Homerus *B* 335 5 ibid 372 18 ibid 362—363 25 ibid 72. 83

7 *φλυαροῦσι* ut 8 *ἀπέχουσι* 9 *λέγουσι* a 7 *τὸ δὲ* P: *τόδε* 8 8 *ταυτὰ* sine coronide P 14 *γένη*] *πέντε* Pa 19 *ὢσ* sic P: *ὡς* uolgo | *ἀρήγει* Pa: *ἀρήγῃ* Homerus. cf 333, 4 21 *ὁ νέστορος λόγος* G

διὰ τοῦτο ἐπαινεῖ τὸν Νέστορα, βουλόμενος πάντας 308 τοὺς ἡγεμόνας καὶ τὸν δῆμον τῶν στρατιωτῶν ὁμοίως ὁμογνώμονας αὐτῷ γενέσθαι, λέγων

τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

ἔνθα δὴ καὶ παραμυθούμενος τοὺς Ἕλληνας ὑπὲρ Ἀχιλλέως ἀγανακτοῦντας, ὁμολογίαν ἤδη ποιεῖται τοῦ ἁμαρτήματος, ἐπάγων τάδε τὰ ἔπη·

καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχησάμεθ' εἵνεκα κούρης
ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.

αὕτη οὖν ἡ τέχνη· ἐπειδὴ κατεσχημένους ὁρᾷ τοὺς Ἕλληνας ὑπὸ τοῦ Ὀδυσσέως, μέλλει δὲ ἕτερον ἐπάξειν λόγον, τὸν τοῦ πῶς δεῖ στρατεύεσθαι ἑκάστους, διὰ τῶν πεπεικότων ἤδη λόγων πορεύεται, ἵνα δεξαμένων τῶν ἀκροατῶν ἃ ἐπῄνεσαν λάθῃ ἐπαγαγὼν τὴν ἰδίαν ὑπόθεσιν. τοῦτο μὲν τὸ παράδειγμα τοῦ τὰ αὐτὰ δοκοῦντα ἑτέρῳ λέγειν ἕτερα ἀγωνίζεσθαι. |

13 Ὁ δὲ Διομήδης τί ποτε αὐτῷ βούλεται ἀθυμοῦντι 309 τῷ Ἀγαμέμνονι λοιδορούμενος ἀκαίρως, ὡς ἄν τις οἰηθείη, καὶ ἀσυμφώνως τῇ αὑτοῦ γνώμῃ καὶ ἀνακολούθως τῇ τοῦ προοιμίου θεραπείᾳ;

Ἀτρείδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.

4 Homerus *Β* 372 8 ibid 377—380 23 idem *Ι* 32—33

1 πάντας P: πάντα a 3 ὁμ[ο]γνώμονας cum ras P 8 μαχησάμεθ' P cum Aristarcho: μαχεσσάμεθ' Homeri exempla 14 τὸν τοῦ Raderm bene defendit conl p 307, 8. 17 15 fort ἵν' ἀποδεξαμένων 17 τὰ αὐτὰ Pa: τὰ h 18 λέγων a 19 ποτ' a | αὐτῶι Pa: corr Sylburgius 20 ὡς om s 21 αὐτοῦ Pa 23 μαχέσσομαι P ut infra p 325, 17: μαχήσομαι Gs μετέρχομαι a 24 ἡ P ἥ G ἧ a | ἀγορη· sic P

τὸ μὲν προοίμιον ἀνδρὸς πράου, τὴν μέλλουσαν παρρησίαν ὡς ἐπὶ συμφέροντι γενησομένην παραμυθουμένου· ἃ δὲ ἐπιφερει·

ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν,
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
310 σοὶ δὲ διάνδιχ' ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
σκῆπτρον μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τοι κράτος ἐστὶ μέγιστον.

πῶς οὖν ταῦτα ἂν ἀλλήλοις συνᾴδοι τὸ ἀτυχοῦντι μνησικακεῖν τῷ Ἀγαμέμνονι τὸν Διομήδην, καὶ ⟨τὸ⟩ ὅτε μὲν ὠνείδισε, πράως ἐνεγκεῖν καὶ τῷ χαλεπαίνοντι Σθενέλῳ ἐπιτιμῆσαι

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν·

ἐνταῦθα δὲ ἀπομνημονεύειν; εἰ γάρ τις φαίη διὰ τὸ ἠριστευκέναι τὸν Διομήδην ταῦτα ποιεῖν, ἀποφαίνει τὸν ἄνδρα ἀπαίδευτον, οὐ μετρίως τῇ εὐτυχίᾳ χρώμενον. ἀλλὰ τί ταῦτ' ἐστίν; αὐτὴ ἡ κατηγορία Ἀγαμέμνονος μεγίστη παρὰ τοῦ Διομήδους τῷ βασιλεῖ συνηγορία ἐστί. βουλόμενος γὰρ αὐτῷ βοηθῆσαι καὶ 311 κατασχεῖν τοὺς Ἕλληνας, ἐν | προσποιήσει τῆς πρὸς αὐτὸν ὀργῆς καὶ παρρησίας ἀναμένειν παραινεῖ, καὶ ὡς ἀγανακτῶν, εἰ οἴεται ὁ Ἀγαμέμνων τοὺς Ἕλληνας

4 Homerus *Ι* 34—39 14 idem *Δ* 412—413 16 τις] schol BL ad *Ι* 31 21 ss cf schol BL ad *Ι* 43

1 τὸ μὲν γὰρ πρ. G 4 δαναοῖσι a 6 ἠ μὲν et ἠ δὲ disiuncta P 8 σκῆπτρον P: σκήπτρῳ Gs ut p 325, 23 9 ὅ τοι P: ὅ γε G ὅ τε s ut p 326, 1 legitur 10 συνάιδοιτο· ἀτυχοῦντι P, a 11 τὸ suppleui 14 τεττάσι ω πῆι sic P 18 ἀτυχίᾳ a 19 ταῦτά ἐστιν a 21 βοηθῆσαι καὶ om G βοηθῆσαι om a 23 μένειν G

πεισθήσεσθαι ἀποπλεῖν, οὕτω πρὸς αὐτὸν παρρησιάζεται, ἐπιφέρων ταῖς λοιδορίαις τὴν ἔντεχνον ὑπόθεσιν·

δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;

καὶ ὅσα ἑξῆς ἐπιλέγει τὸν Ἀγαμέμνονα κελεύων, εἰ βούλεται, ἀποπλεῖν, τοὺς δὲ Ἕλληνας οὐκ ⟨ἂν⟩ ἀνασχέσθαι ἀπελθεῖν φάσκων· ἐπὶ τέλει δὲ νεανικῶς πάνυ ἐπαπειλῶν

εἰ δὲ καὶ αὐτοί,
φευγόντων. . . .
νῶι δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.

τοῦτό σοι τὸ παράδειγμα τοῦ κατηγοροῦντα συναγορεύειν, ἐσχηματισμένῳ τῷ λόγῳ χρώμενον. |

14 *ὁ δὲ Νέστωρ διαδεξάμενος τὸν λόγον παρὰ τοῦ* 312
Διομήδους τί ποιεῖ, θεασώμεθα καὶ τῶν λόγων τὴν τέχνην ἐξετάσωμεν, πρότερον τὴν ἀτοπίαν, ἂν ἁπλῶς ᾖ λεγόμενος ὁ λόγος, καταμαθόντες. ἐπαινεῖ μὲν γὰρ τὸν Διομήδην τῶν εἰρημένων, ἐπαινέσας δὲ οὔ φησι πάντα ἐκτελέσαι τὸν λόγον καὶ τοῦ μὴ ἐκτελέσαι τὰ ῥητέα τὴν ἡλικίαν αἰτιᾶται. ὑπισχνεῖται δὲ αὐτὸς ἐρεῖν καὶ πάντα διεξελεύσεσθαι· εἶτα μακρὰ προοιμιασάμενος καὶ ἐπανατεινάμενος λόγους τινὰς θαυμαστοὺς ὡς ἐρῶν, τοὺς μὲν φύλακας ἐκπέμπει ἐπὶ τὴν φυλακήν, τῷ δὲ Ἀγαμέμνονι συμβουλεύει δαῖτα παρασκευάζειν τοῖς γέρουσι, κἀκεῖ φησὶν πολλῶν λεγόντων τὰ παρὰ τοῦ

3 Homerus *I* 40—41 9 ibid 46 11 ibid 48—49

4 *τεμμεναι* P 6 *ἂν* restitui 8 *ἐπ' ἀπειλῶν* P 10 uersum ex Homero explet G 13 *σοι* P: *τοι* Ga 19 *οὐ φησὶ* P 20 *τὰ ῥητέα*] fuit qui *τοῦ ῥήτορος* coniceret 26 *φησι* a

ἄριστα λέγοντος αἱρήσεσθαι τὸν Ἀγαμέμνονα. ταῦτα οὑτωσὶ μὲν ἀκοῦσαι ἄτοπά ἐστιν. ἀλλ' εἰδέναι χρή, ὅτι ⟨ὁ⟩ Νέστωρ καὶ αὐτὸς σχηματίζει, καὶ δέχεται μὲν τὰ παρὰ τοῦ Διομήδους εἰρημένα, οὐχ ᾗ γνώμη ⟨δὲ ὁ⟩ Διομήδης εἶπεν, ἀλλ' ὡς αὐτῷ συμφέρει πρὸς τὸν λόγον. ὁ γὰρ Διομήδης χαριζόμενος τῷ Ἀγαμέμνονι ἐπέπληξεν αὐτῷ· ὁ δὲ ἐπῄνεσεν αὐτοῦ τὴν παρρησίαν, ὡς καλῶς αὐτὸν
313 *λοιδορησά|μενον τῷ Ἀγαμέμνονι. τί οὖν τοῦτο βούλεται; παρασκευάσαι βούλεται τὸν Ἀγαμέμνονα ἱκετεῦσαι τὸν Ἀχιλλέα, καὶ διὰ τοῦτο ἀποδέχεται τοῦ νεανίσκου τὴν εἰς τὸν βασιλέα παρρησίαν. 'ἀτὰρ οὐ τέλος ἵκεο μύθων' φησίν, 'ἦ μὴν καὶ νέος ἐσσί'. . .,*

ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας. . . .
ἀλλ' ἄγ' ἐγών, ὡς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι.

τήρει καὶ τὰ ὀνόματα· τὸ γὰρ 'ἐξείπω' ὥςπερ ἀπορρήτου λόγου ἐξαγόρευσιν ἔχει.

οὐδε κε τίς μοι
μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.

εἶτα πάλιν ἐπάγει τὸ σχῆμα ὡς διὰ κοινοῦ δόγματος καθαπτόμενος τοῦ Ἀγαμέμνονος· |

314 *ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,*
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

11 Homerus *I* 56—57 13 ibid 58—59 15 ibid 60—61 19 ibid 61—62 23 ibid 63—64

2 *ἀκουσαι* iterauerat P[1] 3 *ὁ* ins Raderm 4 *δὲ ὁ* restitui 9 *παρασκευάσαι βούλεται* om G[1] *παρασκευάζεται* mg G[2] 12 et 14 uersus ex Homero supplet G 15 *ὡσ* Pa: *ὃς* G Sylburgius cum libris Homeri 17 *τηρεῖ* r errore

εἶτα δείξας τῷ Ἀγαμέμνονι τὴν ὁρμὴν τοῦ λόγου τὸ μὲν ἀποκαλύπτειν τὸν λόγον καὶ σαφῶς ἐλέγχειν αὐτὸν παρίησιν, ἀποπέμπεται δὲ τοὺς νεωτέρους, ὡς ἂν μὴ αἰσχύνοιτο ὁ Ἀγαμέμνων ἐκείνων ἀκουόντων ἐλεγχόμενος·

ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.

εἶτα ἀποπέμψας τοὺς νέους ἰδίαν σύνοδον πρὸς τὴν παρρησίαν αὐτῷ μηχανᾶται ἐπιφέρων·

κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτερός ἐσσι·
δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές. . . .
πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ. |

εἶτα ἀναβαλλόμενος, ὡς εἰς τοῦτο ἐρῶν πάλιν ὑπαινίτ- 315
τεται καὶ τὰς ἀνάγκας τοῦ ἱκετεῦσαι δεῖν τὸν Ἀχιλλέα ἐπάγει βιαίως πρὸς τὸν Ἀγαμέμνονα λέγων·

μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά. τίς ἂν τάδε γηθήσειε;

6 Homerus *I* 65—67   11 ibid 68—70   14 ibid 74   19 ibid 75—77

4 ὁ om G   10 ἀντῶι Pa: corr Sylb | ἐπιφέρων P: φέρων Ga   12 βασιλεύτερός ἐσσι cum hac prosodia P βασιλεύτατος exempla Homeri   13 οὔ τοι P: οὔ τι s   16 εἰς τοῦτο fort tempus, non argumentum ut p 331, 21 indicat   18 καὶ ἐπάγει G dubito an hoc uerbum ex p 319, 1 inuectum sit, praesertim cum conl p 319, 20 probabile sit u 16 ἐρεῖν scriptum fuisse omissa particula ὡς   20 ὅτι—νηῶν in fenestra suppleuit antiqua manu P   21 καίουσι a

καὶ ἐπάγει τὴν ἀνάγκην τῆς ἱκετείας, ὡς οὐ δι' ἀναβολῆς δέον αὐτὴν ἀλλ' ἤδη γενέσθαι·

νὺξ δ' ⟨ἤδ'⟩ ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει.

ταῦτα εἰπὼν ἐν κοινῷ, ἐπειδὴ καθ' αὑτοὺς οἱ γέροντες γίνονται, ὥςπερ ἀποδείξας καὶ οὐ δεόμενος μακρῶν λόγων ἀποκαλύπτει τὸ σχῆμα φανερῶς λέγων·

οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν
ἐξέτι τοῦ, ὅτε διογενεῦς Βρισηίδα κούρην |
316 χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας.

εἶτα ἐπάγει·

ἀλλ' ἔτι καὶ νῦν
φρασσώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισιν.

καὶ πείθεται τούτοις ὁ Ἀγαμέμνων. οὗτός σοι ὁ τρόπος τοῦ καὶ ὡς ἀναβαλλόμενον ἐρεῖν ἤδη λέγειν τὸν ἐσχηματισμένον λόγον.

Ἐπανέλθωμεν δὲ ἐπὶ τὸν ὑπόλοιπον λόγον τὸν περὶ 15
τῶν τὰ ἐναντία λεγόντων καὶ τὰ ἐναντία βουλομένων οἷς λέγουσιν. τούτου τοίνυν τοῦ λόγου παράδειγμα ὁ

3 Homerus *I* 78   7 ibid 104—111   16 ibid 111—113

1 οὐ δι' ἀναβολῆς] οὐδ' εἰς ἀναβολὰς Pa   3 δ' ἠὲ P: corr Gs   4 κοινῶι· ἐπειδὰν δὲ καθαυτοὺς P, a fort latet ἐπειδὴ ὧδε   5 γένωνται Pa   7 ἄλλον P ἄλλος s cum libris plerisque Homeri   9 διογενεῦς Pa ut est in scholiis Hom: διογενές s, uolgo   11 νό[ο]ν cum ras P   17 φρασσώμεσθ' P: φραζώμεσθ' Gs ut Hom | ἀρεσσάμε extremo uersu νοι add ant P[2] | πεπίθωμεν Aristarchus   22 δὲ P: om Ga   24 λέγουσι s

τοῦ Ὁμήρου ἐστὶν Ἀγαμέμνων, ἐν τῇ ἀποπείρᾳ τῶν Ἑλλήνων | τὸ εἶδος τῶν λόγων ἡμῖν παραδιδούς. καὶ 317
πρῶτον μὲν προτείνας τὴν ὑπόθεσιν

ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω·
ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν

ἐπάγει τὴν τέχνην ἐν τῇ δημηγορίᾳ ἀσθενεῖς προτάσεις προτείνων καὶ λαβὰς ἀντιλογίας διδοὺς τῷ βουλομένῳ ἐναντιοῦσθαι καὶ στρεφόμενα λέγων. ἴδωμεν δὲ αὐτὰ τὰ ἔπη·

Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.

ἔχοι τις ἂν ἀντειπεῖν πρὸς τὸν Ἀγαμέμνονα· εἰ τοίνυν ὑπέ|σχετο καὶ κατένευσεν, ὅ πέρ ἐστιν μέγιστον σημεῖον 318
τοῦ ἀψευδεῖν τὸν Δία, ὡς αὐτὸς ὁ Ζεὺς ὁ Ὁμήρου λέγει·

εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω·

εἰ τοίνυν ὁ Ζεὺς ὑπέσχετό σοι καὶ κατένευσεν, πῶς ἀξιοῖς ἀποπλεῖν; εἶτα πάλιν ἐπάγει

νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν,

4 Homerus *B* 72—75 12 ibid 111—113 18 *A* 524—527 24 *B* 114—115

2 παραδιδούς P: παραδούς Ga 5 ἣ] εἰ P ἦ Ga 8 ἐπάγει δὲ τὴν G 9 βουλευομένω G 12 με om a | μέγα Homerus 15 ἂν om Ga 16 ὅπερ ἐστὶ a 17 fort ὁ ⟨τοῦ⟩ 18 πεποίθ P πεποίθεις G 21 ὅττι Pa ὅτι G γ' ὅτι s 25 ἄργος P

πάλιν ἀντιλαβὴν διδοὺς ἐν τῷ 'δυσκλέα'· δικαίως γὰρ ἄν τις ἀντείποι πρὸς αὐτόν, ὅτι οὐ χρὴ αἰσχρῶς ἀπαλλάττεσθαι. εἶτα ἑξῆς λέγει

οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι·

⟨τήρει⟩ τὴν φωνὴν αὐτήν, ὅτι στοχασμὸν ἔχει, οὐκ ἀπόφασιν σαφῆ. εἶτα ἐφεξῆς |

319 ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει·

πάλιν εἴποι τις ἂν πρὸς αὐτόν· εἰ τοίνυν κατέλυσε πόλεις ⟨πολλὰς⟩ καὶ καταλύσει, πιστευτέον τῷ Διὶ καὶ μενετέον. τὸ δὲ ἐφεξῆς θαυμασίως στρεφόμενόν ἐστιν, ᾧ χρῆται καὶ ὁ ἀντιλέγων,

αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι.

αὐτὸ γὰρ τοῦτο τὸ αἰσχρὸν ὁ μένειν ἀξιῶν προτείνει, καὶ ταῦτα αὐτὰ Ὀδυσσεὺς λέγει. τὸ δὲ τέλος τῶν λόγων ἰσχυρῶς ἐναντία βουλομένου ἐστὶν οἷς λέγει

ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες,
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

τὸ γὰρ αἰσχρὸν τοῦ ὀνόματος κατέχει μᾶλλον ἢ ἀποπέμπει τοὺς Ἕλληνας. τούτῳ γέ τοι τῷ ὀνόματι καὶ |
320 ἡ Ἥρα πρὸς τὴν Ἀθηνᾶν χρῆται, τούτῳ ἡ Ἀθηνᾶ πρὸς τὸν Ὀδυσσέα, τούτῳ Ὀδυσσεὺς πρὸς τὸ πλῆ-

4 Homerus *B* 116 7 ibid 117 13 ibid 119—121 19 ibid 139—140 23 Iuno *B* 159 Minerua *B* 175 24 de Vlixe errat memor fortasse uersuum *B* 285—290. 298

4 εἶναι P: om a 5 τήρει suppleui cf p 317, 17 8 uersum ex Homero supplet G 10 πολλὰς suppleui | καὶ ante καταλύσει om a 13 τὸ δέγεστι P 19 ὧσ P 23 ἡ ἥρα P: ἥρα a 24 ὁ, non τοῦ cet ante Ὀ- et Ὁ- uitari a scriptore obseruauit Raderm

θος, καὶ ὁ Ἀγαμέμνων δὲ πρὸς τὸν Ἀχιλλέα τούτῳ κέχρηται, καὶ ὅλως Ὅμηρος πανταχοῦ τὸ τῆς φυγῆς ὄνομα ἐπ' αἰσχροῦ καὶ δειλίας τάττει. οὕτω μὲν δὴ καὶ ἐνδόσιμα καὶ εὐδιάλυτα προτείνει, καὶ στρεφόμενα καὶ ἐναντία λέγει.

16 Λοιπὸς δὲ ἡμῖν ἐστι λόγος, τοῦ λανθάνειν ἡ τέχνη. τίς οὖν ἡ τέχνη; ἡ τοῦ πάθους προσθήκη. ὡς γὰρ σχετλιάζων τοὺς λόγους ποιεῖται, καὶ ἤρξατο ἀπὸ τοῦ μέμφεσθαι τὸν Δία καὶ βλασφημεῖν εἰς τὸν θεόν· οὕτως ἔκλεψεν τὸν ἀκροατήν. οἱ γὰρ ἀκούοντες οἴονται αὐτὸν ὑπὸ ἀκρασίας οὐκ ἀκριβεῖ λόγῳ χρώμενον ἀλλὰ πάθει ταῦτα διεξιέναι. αὕτη καὶ τοῦ σχηματίζοντα τὸν σχηματισμὸν τοῦτον λαθεῖν ἡ μέθοδος.

Ἔχεις οὖν συμπλοκὴν πίστεων, ἥ περ μεγίστη σχημάτων μέθοδος· ἅ περ ἂν εἴπες εἰς ἁπλῆν ὑπόθεσιν, τὰ αὐτὰ λέγοντα ἐπὶ τῶν πλα|γίων λόγων τὸ σχῆμα 321
περαίνειν· συγκατασκευάζοντα τὸν οἰκεῖον ἀγῶνα τῷ κοινῷ, ὡς ἔμαθες παρὰ Δημοσθένους, παρὰ Θουκυδίδου, παρὰ Πλάτωνος· εὐδιάλυτα λέγειν· στρεφομένοις χρῆσθαι λόγοις ἐν προσποιήσει πάθους. καὶ ὅλως εἰδέναι χρή, ὅτι τὰ σχήματα οὐχὶ προσκρούματά ἐστιν ⟨ἐν⟩ ὀνομάτων ἀμφιβολίαις λεγόμενα, ἀλλὰ ἀγῶνες ὅλοι τέχνῃ τῆς συμπλοκῆς διοικούμενοι. ἡ μὲν γὰρ

1 Agamemno *A* 173 8 idem cf supra 320, 12

1 δὲ P: om a 3 δειλείας a 7 τίς P: τί s | τοῦ ἤθους Pa cf u 11 | fort προθήκη (i e πρόσχημα) ut infra προβολή p 330, 23 12 καὶ τοῦ P: καὶ τὸν s 13 τοῦτον τοῦ λαθεῖν Pa: corr G 14 ἔχεις P: ἔχει a | πίστεως a | ἥ περ Gs: ὅπερ P 15 μέθοδος P: μέγεθος Ga 17 fort συγκατασκευάζειν 22 ἐν inserui | ἀμφιβολίαισ P: ἀμφιβολίαι s 23 διοικουμένης Pa: corr Schottus

διαίρεσις ἁπλῆ τῶν σχημάτων, ἡ δὲ κατασκευὴ τῶν κεφαλαίων ἑκάστων ὡς δι' ἁπλῶν πορευομένοις τοὺς πλαγίους περαίνει λόγους.

IX

Περὶ ἐσχηματισμένων $\bar{\beta}$

Τολμῶσί τινες λέγειν, ὅτι οὐκ ἔστιν ἐσχηματισμένη ἰδέα λόγων. δεῖ γὰρ ἁπλῶς λέγειν ἢ μὴ λέγειν. καὶ
322 γὰρ οὐδὲν πλέον τὸ καθ' ὑπόνοιαν λέγειν. | εἰ γὰρ συνίησιν ὁ ἀκούων, ἐξ ἴσου καθέστηκεν τῷ φανερῶς ἀκούοντι· εἰ μὴ συνίησι, πλέον οὐδὲν τῷ λέγοντι. ἡμεῖς δὲ φαμέν, ὅτι τοσοῦτον ἀπέχει ὀρθῶς λέγειν ὁ λέγων μὴ εἶναι ἐσχηματισμένους λόγους, ὥστε τοὐναντίον οὐδεὶς λόγος ἀσχημάτιστος οὐδὲ ἁπλοῦς λόγος οὐδείς. καὶ δὴ ἀπὸ τῶν συντρόφων καὶ συνήθων ἀρχώμεθα. τὸ προσαγορεύειν ἄνευ σχήματος οὐ γίνεται· ὃ μὲν φιλοφρόνως προσαγορεύει, ὃ δὲ αἰδημόνως, ὃ δὲ σκώπτων, ὃ δὲ ἱλαρῶς, ὃ δὲ ὡς θαυμάζων. αἱ κλήσεις εἰς ἴδια δεῖπνα σχηματισμοῦ δέονται· οὐ γὰρ πάντας ὁμοίως τις καλεῖ, ἀλλὰ ἑκάστῳ τὴν πρέπουσαν κλῆσιν προστίθησιν. αἱ τῶν δανεισμάτων ἀπαιτήσεις οὐ πρὸς πάντας ὅμοιαι, ἀλλ' εὐπρεπείας δέονται καὶ διοικήσεως· καὶ αἳ μέν εἰσι θρασύτεραι, αἳ δὲ μετριώτεραι, αἳ δὲ
323 ἄλλης προφάσεως δέον|ται. ἵνα βραχέως εἴπω, ὅλον τὸ τῆς εἰρωνείας σχῆμα ἐσχηματισμένου λόγου σημεῖόν ἐστι.

1 αἵρεσις Pa: εὕρεσις Schottus 2 πορευομένησ P: πορευομένη Ga 5 $\bar{B}$: P δεύτερον Ga 8 τὸ] τοῦ Pa τῷ Sylb | λέγει Pa: corr Schottus 9 καθέστηκε a 10 εἰ δὲ μὴ G 14 συνηθῶν s 18 ἴδια opp τὰ ἀπὸ συμβολῶν uel σπυρίδος 23 ὅλον] οἷον Pa

2 Δείξομεν δὲ καὶ ἀγῶνας ὅλους ἐσχηματισμένους καὶ λόγους δημηγορικοὺς [ἐσχηματισμένους] καὶ πανηγυρικῆς ἰδέας, καὶ ἀποφανοῦμεν τῶν σχημάτων τὰ εἴδη. ἔστιν δὲ ταῦτα· ἤτοι λέγει μὲν ⟨ἃ⟩ βούλεται, εὐπρεπῶς δὲ λέγει· ἢ ἕτερα προτείνων ἕτερα διοικεῖται· ἢ τὰ ἐναντία προτείνων τὰ ἐναντία διοικεῖται. ⟨ποῦ⟩ τούτων τὰ παραδείγματα καὶ ἡ διδασκαλία; Ὅμηρος πάντα παραδίδωσι.

3 Τὸ λέγοντα ζητεῖν εὐπρεπῶς λέγειν δείκνυσιν ἐπὶ τῆς Ἴριδος καὶ τοῦ Ποσειδῶνος ἀγανακτοῦντος πρὸς τὸν Δία· παραινεῖ αὐτῷ ἡ Ἶρις εὐπρεπέστερον λέγειν, ἵν᾽ ἀκινδυνότερος ὁ λόγος ᾖ· καὶ ταυτὶ παραινοῦσα ἐν τῇ | παρρησίᾳ τῆς παραινέσεως τὸ εὐπρεπὲς διοικεῖ· 324 ὥςτε καὶ τὸ παράγγελμά ἐστι καὶ ἡ τέχνη παραδιδομένη·

Οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἤ τι μεταστρέψεις;

ταῦτα μὲν παραινεῖ τὸ εὐπρεπὲς διδάσκουσα. ποιεῖ δὲ αὐτὴ αὐτὸ πῶς; μετὰ γὰρ ἐπαίνων θεραπεύει αὐτόν, ἵνα ἀνάσχηται τῆς παρρησίας, καὶ τὴν ἀπειλὴν αὐτῷ ἐπάγει ὀνόματι ἑνὶ λέγουσα ‘Διὶ μῦθον’.

4 Ὁ δὲ ἕτερα λέγων καὶ ἕτερα διοικούμενος λόγος ἐστὶ τῆς Θέτιδος πρὸς τὸν Ἀχιλλέα, ἄλογος εἶναι

16 Homerus *O* 201—203 cf schol BL ad u 201

1 δείξωμεν Pa 2 ἐσχημ. deleui | πανηγυρικὰς Pa 3 ἔστι a 4 λέγει a: λέγειν P | ἃ restituit Lietzmannus cf p 295, 16 5 λέγει s: λέγειν P 6 ποῦ inserui 7 τὴν διδασκαλίαν G ut ci Sylburgius | πάντων ci Sylburgius 9 τὸ] τὸν Pa 11 αὐτοῦ s | ἴρις P 12 ταύτηι P,a cf u 19 18 ἥν G | μεταςρεψ^ς P μεταστρέψῃς Ga 19 μὲν P: καὶ a 23 λόγος] ὁ λόγος Pa

δοκῶν, ἂν μή τις τὸ σχῆμα γνῷ. παραμυθουμένη γὰρ τὸν υἱὸν ἐπὶ τῷ Πατρόκλου θανάτῳ λέγει

ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθαι. |

325 τίς ἂν εἴη ταύτης τῆς παραινέσεως ἀπρεπεστέρα παρὰ μητρός; ἀλλὰ ὡς μητρικῶς παραμυθουμένη ὑπαινίττεται πρὸς τὸν Ἀχιλλέα, ὅτι οὐ χρὴ αὐτὸν τρυφᾶν, ἀλλὰ μεμνῆσθαι καὶ τῆς προτέρας χάριτος τῆς περὶ τὴν Βρισηίδα, ὅτι ἐπήμυνεν αὐτῷ ὁ Ζεύς, καὶ ἵνα ἀπολάβῃ, δεινὰ πεπόνθασιν οἱ Ἀχαιοί. ἵν᾽ οὖν μὴ ὀνειδίζοι τοῦτο, ὡς λύπης παραμυθίαν προτείνουσα τὸ καὶ συναναπαύσασθαι τῇ γυναικὶ τὴν ἀνάμνησιν ἐποιήσατο. σαφέστερον δὲ τὸ εἶδος τοῦτο δηλοῖ ὁ Διομήδους λόγος πρὸς Ἀγαμέμνονα, ὅτε Ἀγαμέμνων ἀπόπειραν ποιεῖται τῶν Ἑλλήνων τῶν ἀριστέων, τὸ δεύτερον κελεύων φεύγειν·

Ἀτρείδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν,
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
ἴσασ᾽ Ἀργεῖοι ἠμὲν νέοι ἠδὲ γέροντες.
σοὶ δὲ διάνδιχ᾽ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω,
σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων· |

3 Homerus *Ω* 130 17 *I* 32—49

1 cf schol Townl ἢ τάχα ὑποκλέπτουσα αὐτὸν τοῦ πένθους ταῦτά φησι 3 δὴ h 4 μίγεσθαι Pa: corr G[1] 5 cf Aristonicus ὅτι ἀπρεπὲς μητέρα υἱῷ λέγειν ‘ἀγαθόν ἐστι γυναικὶ μίσγεσθαι’ 7 τρυφᾶν cf p 326, 26 8 et 12 καὶ del Schottus 11 ante τοῦτο uolgo distinguebant 12 τὸ] nescio an τοῦ scribendum sit 13 δὲ τὸ P: δὲ s 17 μαχήσομαι Gs 18 ἡ P ἧ a 21 ἴσασσ᾽ P | ἀργεῖοι P: ἀργείων mg G[2], s cum exemplis Homeri | νεοὶ P 23 σκήπτρῳι sic P

ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον. 326
δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται, ὥςτε νέεσθαι,
ἔρχεο· πάρ τοι ὁδός. νῆες δέ τοι ἄγχι θαλάσσης
ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοί,
εἰς ὅ κέ περ Τροίην διαπέρσομεν· εἰ δὲ καὶ αὐτοί,
φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
νῶι δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.

οὗτος ὁ λόγος, ἂν μή τι ἕτερον διοικῆται ἢ λέγῃ, παντάπασιν ἄτοπός ἐστι καὶ ἀσχήμων· τὸ γὰρ ἐν κακοῖς ἐπιτίθεσθαι τῷ βασιλεῖ καὶ λοιδορεῖσθαι ἀπρεπέστατον. καὶ ἔοικέ πως ὁ Διομήδης ὁμολογεῖν, ὅτι ἀπρεπῶς χρῆται τῷ λόγῳ· προοιμιάζεται γοῦν παραιτούμενος. καὶ ἀτοπώτατον πρᾶγμα λέγειν, ὅτε μὲν αὐτῷ ὠνείδιζεν ὁ Ἀγα|μέμνων, ἤνεγκεν εὐπρεπῶς καὶ τῷ Σθενέλῳ 327
ἀποκρινομένῳ ἐπετίμησεν

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν
ὀτρύνοντι μάχεσθαι ἐυκνήμιδας Ἀχαιούς.

νῦν δὲ ἀναμιμνῄσκεται καὶ μνησικακεῖ. εἰ δέ τις φαίη 'ἐπειδὴ ἠρίστευσεν, θαρρεῖ', τοσούτῳ μᾶλλον ὑβριστότερος φαίνεται, εἰ τῇ τύχῃ ἐντρυφᾷ. ἀλλ' εἰδέναι χρή,

21 Homerus Δ 412—414

3 ὧσ P 6 μυκήνηιθεν P 8 εἰσ ὅκεπερ P 10 μαχησόμεθ' εἰς ὅκε P 13 λέγηι P,a: λέγει Sylburgius. tu cf 297, 6 15 ἀπρεπέστερον Pa 16 ὅτι εὐπρεπῶσ Pa 18 λέγει Pa: corr Brinkmannus cl 317, 2 20 ἐπετίμησε a 25 ὑβριστικότερος s

ὅτι αὗται αἱ λοιδορίαι αἱ πρὸς Ἀγαμέμνονα χρυσὸς ἦν τῷ Ἀγαμέμνονι. ἐν γὰρ σχήματι τοῦ ἀγανακτεῖν πρὸς αὐτὸν συναγορεύει· καὶ βουλόμενος παραινέσαι τοῖς ἀριστεῦσι μένειν καὶ μὴ ἀπαλλάττεσθαι οὐκ ἐν σχήματι παραινέσεως διαλέγεται ἀλλ' ἐν ὀργῆς τῆς πρὸς τὸν Ἀγαμέμνονα σχήματι κατετόλμησεν τοιαύτην γνώμην καταθέσθαι εἰς μέσον. ἤδη γὰρ ἡ λοιδορία ἐπὶ τοῦτο ἔρχεται·

δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις; |

328 ἃ γὰρ ἔδει συμβουλεύοντα πείθειν, μένειν, ταῦτα λέγει ὡς ἀγανακτῶν, εἰ ἀξιοῖ μένειν αὐτοὺς ὡς φεύγοντας· προτείνεται γάρ. εἶθ' ἡ ἐπίτασις τοῦ 'σὺ πορεύου, καὶ οἱ ἄλλοι μενοῦσιν'. οὐ γὰρ ἀξιοῖ συμβουλεύειν μένειν, ἀλλ' ὡς πεπεισμένων διαλέγεται· εἶτα φοβούμενος, μὴ ἐνδῶσιν, καὶ αὐτοῖς συγχωρεῖ φεύγειν. οὗτος ὁ σχηματισμός ἐστι τοῦ ἄλλα λέγοντα ἄλλα διοικεῖν.

Τὸ δὲ τὰ ἐναντία οἷς λέγει διοικεῖσθαι ἐν τῇ ἀναγ- 5
καιοτάτῃ ἐστὶ δημηγορίᾳ τῇ Ἀγαμέμνονος. καὶ τηρητέον, ὅτι ἐν κινδύνοις οἱ σχηματισμοὶ εὑρίσκονται. ὁ γὰρ Ἀγαμέμνων ἀπόρως ἔχει ἐκστρατεῦσαι τοὺς Ἕλληνας, καὶ προτείνει αὐτὸς τὴν ἀπορίαν·

Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,

9 Homerus Ι 40—41 24 Β 72—75

5 διαλέγεται] λέγεται Pa λέγει G cf p 295, 22 et infra u 15 6 κατετόλμησεν] καὶ ἐτόλμησεν (-σε a) Pa 12 cf Hammer *Deutsche Litteraturz.* 1896 p 582 13 τοῦ] fort τὸ 16 ἐνδῶσι s | συγχωρεῖν a 19 ἀναγκαιοτάτῃ] fort πρώτῃ (ᾱ) τῶν κατὰ τὸ β̄ 23 ἀτοπίαν Pa: corr Schottus 25 ἡ P: ἣ a itemque p 328, 11

καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω· |
ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν. 329

καὶ τῆς διαπείρας ἡ αἰτία φανερὰ τῷ νοῦν ἔχοντι, ὅτι ἐπειδὴ ὁ Ἀχιλλεὺς ἀφέστηκεν τοῦ Ἑλληνικοῦ καὶ οὐ συστρατεύεται (ἦν δὲ ἡγεμὼν πάντως τοῦ στρατεύματος), ζητεῖ, πῶς ἂν δίχα Ἀχιλλέως ἐξέλθοιεν. καὶ οἶδεν τοὺς Ἕλληνας ὀργιζομένους ἐπ' Ἀχιλλεῖ, καὶ φοβεῖται, μὴ ἄρα, ἂν κελεύσῃ, οὐχ ὑπακούσωσιν τοῦ ταγεύοντος·

ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν

καὶ τὸ

πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω.

καὶ ἐάν τις προτείνῃ ἡμῖν, ὅτι οὐ τυγχάνει τῆς προαιρέσεως Ἀγαμέμνων, ἀλλ' ἀποπειρώμενος κινδυνεύει ἡττᾶσθαι καὶ ἀτυχῶς χρῆται τῷ λόγῳ (ὡρμήκασι γὰρ | εἰς τὰς πατρίδας), ἀγνοεῖ ὅτι Ἀγαμέμνονος τέχνη αὕτη 330 ἐστὶ τὸ ὁρμῆσαι αὐτούς· οὐ γὰρ οἴεται τῇ ἀποπείρᾳ τῶν λόγων καθέξειν αὐτούς. ἀλλὰ τίς ἡ τέχνη; ἐπειδὴ ἀγανακτοῦσιν ὑπὲρ Ἀχιλλέως, οὐκ ἐνδείκνυνται δὲ τὴν ἀγανάκτησιν, ἕως ἂν χρεία γένηται ἐξόδου, βούλεται αὐτοὺς ἀπορρῆξαι τὸν θυμὸν καὶ φανεροὺς γενέσθαι ὀργιζομένους, καὶ ὑπὸ τῶν ἀρίστων κατασχεθῆναι. τοῦτό τοι καὶ γίνεται· φαίνονται ἑτοίμως ἀπιόντες εἰς τὰς πατρίδας, Ὀδυσσεὺς δὲ καὶ Νέστωρ κατέχουσιν αὐτούς. ταῦτα οὖν ὁ Ἀγαμέμνων ἀποπειρώμενος φανερῶς τοῦ σχήματος τὴν διδασκαλίαν παιδεύει· τὰ γὰρ ἐναντία οἷς βούλεται λέγει. ἔστι δὲ ἡ μέθοδος τούτων τῶν λόγων θαυμαστή τις καὶ ἄτοπος· τὰς γὰρ ἐν λόγοις ῥητορικοῖς κακίας ταύτας αὕτη ἡ ἰδέα ἀρετὰς ἀναφαίνει. εἰσὶ δὲ κακίαι λόγων ῥητορικῶν τό τε εὐδιάλυτα λέγειν καὶ τὸ ἀγχίστροφα· ὧν τὸ μὲν ἀσθενείας, τὸ δὲ καὶ κινδύνου. δι' ἀμφοτέρων πορεύεται
331 ὁ Ἀγαμέμνων εἰκότως. | ὥςπερ γὰρ ὅταν τις ἃ βούληται λέγῃ, οὐ χρὴ αὐτὸν οὔτ' ἐναντίοις ἔπεσι χρῆσθαι οὔτ' εὐδιαλύτοις, οὕτως ὅταν τις ὧν λέγῃ τὰ ἐναντία βούληται, ἀνάγκη αὐτῷ τὴν κακίαν τὴν ἐπὶ τῶν λόγων ἀρετὴν ἐνταῦθα ποιήσασθαι· εἰ δὲ μή, συμβήσεται αὐτῷ ἐναντιώσει περιπεσεῖν ἄλλα τε πεῖσαι, οὐχ ἃ βούλεται. τοῦτο μὲν οὖν καὶ οἱ μελετῶντες ἴσασιν. ὅταν γάρ τις προσέλθῃ τῇ βουλῇ ἀξιῶν ἀποθανεῖν, οὐδεὶς αὐτῶν ἀποθανεῖν βούλεται, ἀλλὰ τὰ ἐναντία βούλεται ὧν λέγει. καὶ οἱ τὰ δῶρα ⟨τὰ⟩ παρὰ τῶν φίλων ἀπωθούμενοι, βουλόμενοι δέξασθαι, λέγουσιν μὲν τὰ ἐναντία, πράττουσιν δὲ τὰ ἐναντία. δεῖ οὖν ἡμᾶς διδάξαι, πῶς μὲν λέγει εὐδιάλυτα καὶ στρεφόμενα, τὸ δὲ μέγιστον, πῶς ἔλαθεν τοῦτο ποιῶν· ἐπεὶ συμβήσεται, ἂν κατάφωρος ἡ τέχνη γένηται, καὶ τὸν ἀκούοντα ἀντιτεχνάζειν καὶ ἀντισχηματίζειν, προσποιούμενον πείθεσθαι καὶ συγχωρεῖν. ὅτι μέντοι εὐδιάλυτα λέγει, ἐκεῖνο σημεῖον· |

9. 11 Homerus *B* 72—74

3 διὰ πείρας P δὴ ἀποπείρας ci Brinkmannus | τῷ συνέχοντι P uolg sed γρ τῷ νοῦ (sic) ἔχοντι mg P 4 ἐφέστηκεν a 5 ἡγεμῶν P | πάντως] παντὸς Pa 6 οἶδε a 8 τοῦ ταγεύοντος] τούτου ὄντος Pa τούτου ἀπόντος ci Hudson 11 ἔπεσσιν P 20 fort ἕως ἂν ⟨μὴ⟩ 23 τοι P: σοι Ga 25 ὁ om G

6 τὸ post καὶ om G | ἀγχίστροφα P: ἀντίστροφα a 7 καὶ om G 8 βούλεται Ga 9 λέγειν P: corr s | αὐτὸν ὑπεναντίοις Pa: corr Radermacher 10 λέγηι P: λέγει Ga 11 ἐπὶ] ἐκ Pa 13 αὐτῶ conpendio P | ἄλλό τι et mg γρ ἀλλ' ἔτι πεῖσαι P: corr Sylburgius 16 αὐτῶν P: αὐτὸν s 17 τὰ inserui 18 ἀποθούμενοι Pa: corr Sylburgius | λέγουσι, 19 πράττουσι et 21 ἔλαθε a 22 κατάφορος a

ὅς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν 332
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι·

εἰ τοίνυν ὑπέσχετο καὶ κατένευσεν, περιμενετέον.

νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι·

πάλιν ἀντιλαβὴν ἔχει· οὐ γὰρ δεῖ δυσκλεᾶ ἀπιέναι. ταῦτα μὲν εὐδιάλυτα· ἐκεῖνα δὲ σαφῶς στρεφόμενα

αἰσχρὸν γὰρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι.

ταὐτὰ φανερῶς ὁ ἀντιλέγων ἐρεῖ·

αἰσχρὸν γὰρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.

πῶς οὖν διοικεῖ; ὅτι μὲν γὰρ εὐδιάλυτα λέγει καὶ στρεφόμενα, δῆλον· καὶ ἔτι μᾶλλον, ἂν ἐπεξίῃ τις τὴν τέχνην τῶν ἐπῶν, εὑρήσει. ἀλλὰ τίς ἡ τέχνη τῶν τοιούτων; πάθους προβολὴ πρὸ τοῦ λόγου, ἵνα δοκῇ ὑπὸ λύπης φέρεσθαι αὐτῷ ὁ λόγος, μὴ ἐξ ἐπιβουλῆς διοικεῖσθαι. διὰ τοῦτο Ἀγαμέμνων ἀπὸ σχετλιασμοῦ ἤρξατο· |

Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ 333
σχέτλιος.

ὁ οὖν τῷ Διὶ οὕτω προσφερόμενος καὶ βλασφημῶν δῆλός ἐστιν ὑπὸ λύπης ⟨ἐξιστάμενος⟩ καὶ ἀσύμφωνα αὐτῷ λέγων. πάθους οὖν προβολὴ κλοπὴ γίνεται διοικήσεως τεχνικῆς. τοιοῦτο μέν ἐστι τὸ σχῆμα τοῦ τὰ ἐναντία λέγειν οἷς βούλεται.

1 Homerus *B* 112—113 4 *B* 114 8 *B* 119—121 19 *B* 111

6 δυσκλέα P 8 et 12 τὸ δέγ᾽ P 11 ταῦτα Pa 13 οὖν ⟨οὐ⟩ Raderm | γὰρ] οὖν G 14 ἂν ἐπεξείῃ P: corr G 16 πάθους ὑπερβολὴ Pa cf l 23 22 inter λύπης et καὶ litterarum fere XIII spatio P hiat 23 αὐτῶι P: corr s | προβολὴ P: προσβολὴ Ga 24 τοῦ] τὸ Pa

Ἔστι δὲ καὶ τέταρτον σχῆμα βαθύτατον, τὸ δι᾽ 6 ἄλλων πορευόμενον καὶ παντελῶς ἐπ᾽ ἄλλης ὑποθέσεως τὸν λόγον ποιούμενον ἄλλην περαίνειν. καὶ τούτου Ὅμηρος τὸ παράδειγμα ἔδωκεν καὶ ἔλαθεν τοὺς πολλούς. ἐπὶ γὰρ τῇ ἀποπείρᾳ τοῦ Ἀγαμέμνονος, ἣν ποιεῖται πρὸς τοὺς Ἕλληνας, οἱ κατέχοντες τὸ Ἑλληνικόν εἰσιν Ὀδυσσεὺς καὶ Νέστωρ. καὶ θαυμαστὸν τί ἐν τῷ λόγῳ ἐστί; διπλοῦν τὸ θαυμαστόν· ἔοικεν ὁ Νέστωρ μηδὲν ἴδιον λέγειν, ἀλλὰ τὰ αὐτὰ λέγειν τῷ Ὀδυσσεῖ, ὥςπερ μαθητὴς τὰ διδασκάλου· καὶ ἀπονέμει αὐτῷ ἔπαινον ὁ Ἀγαμέμνων ὡς κρατοῦντι
334 τῶν Ἑλλήνων ἐν ταῖς βου|λαῖς, ὅ πέρ ἐστιν ἀτοπώτατον. καὶ λέγουσιν οἱ διδάσκαλοι, ὅτι ἐπειδὴ ἐπῄνεσεν τὸν Ὀδυσσέα τὸ πλῆθος, ἵνα μὴ λυποῖτο ὁ γέρων, καὶ ὁ Ἀγαμέμνων τὸν γέροντα· ὡςπερεὶ παιδαρίων ἐν διδασκαλείῳ ἐπιδεικνυμένων καὶ παραμυθίαν τοῦ διδασκάλου ἀπονέμοντος, ἵνα μὴ κλαίῃ τὰ παιδία. ἀλλ᾽ ἡ τέχνη τίς; ὅλως ἡ αὐτὴ ὑπόθεσις τῶν λόγων οὐκ ἔστιν Ὀδυσσεῖ καὶ Νέστορι. ἔροιτο ἄν τις· ‛καὶ πῶς οὐχ ἡ αὐτὴ ὑπόθεσις; τὰ αὐτὰ γὰρ λέγουσιν᾽. τοῦτο ἡ τέχνη ἡ Νέστορος, ὅτι τὰ αὐτὰ λέγων οὐκ εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγει. ἀλλ᾽ ἡ τέχνη τίς; ἐπειδὴ μέλλει χαλεπὴν ὑπόθεσιν πείθειν, πορεύεται διὰ τῆς πεπεικυίας ὑποθέσεως. πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες ὑπὸ τοῦ Ὀδυσσέως μένειν, καὶ ἤνεγκαν αὐτοῦ τὴν ἐπιτίμησιν καὶ τὴν παραμυθίαν. ἀλλ᾽ ἔχει χαλεπωτέραν ὑπόθεσιν ὁ γέρων· πορεύεται οὖν δι᾽ ὧν ἔπεισεν Ὀδυσσεὺς καὶ τὰ αὐτὰ λέγει Ὀδυσσεῖ·

11 Homerus *B* 370

3 καὶ τοῦτο Pa: corr Schottus 4 ἔλαθε a 7 θαυμαστόντι ἐν τῶι λόγωι εστι P: corr s 10 μαθητὴς] μετατιθεὶς Pa 12 ὅπερ ἐστὶν a 13 ἐπήνεσε a 15 ὡς περὶ Pa ὥςπερ G | διδασκαλίωι P: corr Gs 20 λέγουσι s 23 τῆς om G

ὥςτε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες |
ἀλλήλοισιν ὀδύρονται οἶκον δὲ νέεσθαι 335

Ὀδυσσεύς. τὰ αὐτὰ ὁ γέρων·

Ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις.
Πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν

⟨Νέστωρ. ἀλλ' Ὀδυσσεύς⟩

μάλα δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν.

λέγει ἐκεῖνος σημεῖον μαντείας τὸ περὶ τὸν Κάλχαντα, οὗτος τὰ τῆς ἀστραπῆς· ὥςτε διὰ τῶν αὐτῶν πορεύονται. τί οὖν ἐστι τὸ παραλλάττον; διδάσκει τὸ παραλλάττον τῆς ὑποθέσεως τῶν ἐπαίνων ἡ διαίρεσις. ἐπήνεσαν οἱ Ἀχαιοὶ καὶ τὸ πλῆθος τὸ κοινὸν τὸν Ὀδυσσέα· πεισθέντες μένουσιν, καὶ τὸ ἔργον τοῦ Ὀδυσσέως λαμπρόν·

τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν. 336

ὁ γέρων ἄλλην ὑπόθεσιν ἔχει· ἐπειδὴ γὰρ πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες μένειν, ζητεῖ αὐτοὺς ἐκστρατεῦσαι. οὐδὲν γὰρ ὄφελος τοῦ μένειν ἄνευ τοῦ ταχθῆναι· ὅ περ μάλιστα ὑπόθεσίς ἐστι καὶ ζήτησις τοῦ Ἀγαμέμνονος·

ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν,

1 Homerus *B* 289—290 4 *B* 337 6 *B* 339—340 9 *B* 284—285 17 *B* 453—454 23 *B* 72

2 *οἶκον δὲ* P ut p 312, 6 4 *ἢ* P 5 uersum ex Homero supplet G 9 *ἦ μάλα δή σε* Pa uoces necessariae ut omitterentur litterarum similitudo causa fuit. *Ἀτρείδη, νῦν δή σε* Homeri exempla 10 *βροτοῖσι* a. probabile est a scriptore uersum proximum *B* 286 additum fuisse cf p 312, 11 11 *τὸ περὶ* P: *τὸν περὶ* a *τῶν περὶ* Gs 13 *παραλλάτον* post *ἐστι τὸ* pr P[1] 23 *θωρήξομεν*] *θωρ* sscr *η* P

πῶς ⟨ἂν⟩ ἄνευ τοῦ Ἀχιλλέως ἐκστρατεύσοιντο. ἔστιν οὖν τοῦ Νέστορος ἡ ὑπόθεσις·

κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·
ὡς φρήτρη φρήτρηφιν ἀρήγει, φῦλα δὲ φύλοις.
εἰ δέ κεν ὣς ἔρξῃς καί τοι πείθωνται Ἀχαιοί,
γνώσει ἔπειθ', ὅς θ' ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν
ἠδ' ὅς κ' ἐσθλὸς ἔησι· κατὰ σφέας γὰρ μαχέονται.

αὕτη ἡ ὑπόθεσίς ἐστιν, ἧς χρείαν ἔχει ὁ Ἀγαμέμνων· αὕτη ἡ ἐπικίνδυνος ὑπόθεσις τῶν λόγων τῷ Νέστορι· ὡς ἐν παρέργῳ δὲ αὐτὴν ἔρριψεν |

337 ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν

ὡς προσθήκην τῷ λόγῳ ποιούμενος· καὶ γίνεται ὥςπερ τέλος τῆς δημηγορίας τῆς πεπεικυίας χρεία δημηγορίας ἀναγκαιοτέρα. διὰ τοῦτο Ἀγαμέμνων τυχὼν ὧν ἐβούλετο ἐπαινεῖ τὸν γέροντα·

Ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.
τῶ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.

ὅτι δὲ αὕτη ἐστὶν ἡ ὑπόθεσις τοῦ Νέστορος, τὸ ἐκστρατεῦσαι, καὶ ὅτι τοῦτο ἐπαινεῖ σχήματι ὁ Ἀγαμέμνων ὡς τυχὼν ὧν ἐβούλετο, τίς ὁ ἔλεγχος καὶ τίς ἡ ἀπό-

3 Homerus *B* 362—366 11 *A* 297 al a scriptore cum *B* 360—361 confusus 16 *B* 370—374

1 *ἂν* inserui 4 *ὧσ* et *ἀρήγει* P ut p 313, 19 5 *ὥσερξ(ης)* solito conpendio P 6 *γνώσει* P 7 *ἔησι* P 11 *σῇισι* P 14 an *ἀναγκαιοτέρας*? 16 *γέρων* P 19 *τώκεταχ'* P 21 *αὐτή ἐστιν* P: corr Gs 22 *ἐπαινεῖ, σχηματίζει*—23 *ἐβούλετο. τίς* distinguebatur: sententiam perspexit Sylburgius 22 *σχήματι*] *σχηματίζει* Pa *σχηματίζων* coni Sylburgius 23 *ἀπόδειξ[ις]* cum ras P

δειξις; φοβεῖται, μὴ οὐ πείσῃ ὁ Νέστωρ, καὶ βοηθεῖ αὐτῷ, ὅσα δύναται. τί οὖν ἐστι τὸ μὴ ποιοῦν πείθειν τὸν Νέστορα; ὀργὴ ὑπὲρ Ἀχιλλέως τῶν Ἑλλήνων. παραμυ|θεῖται τὴν ὀργὴν αὐτῶν ὁ Ἀγαμέμνων ὁμο- 338
λογῶν ἡμαρτηκέναι, καὶ μέμνηται τοῦ Ἀχιλλέως, ἵνα μαλάξῃ αὐτῶν τὸν θυμὸν τὸν ἐπ' αὐτῷ. ἐπεὶ τί βούλεται τὸ

ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔθηκεν,
ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ' εἵνεκα κούρης
ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.

ἐποίησεν αὐτοὺς οἰκτεῖραι, εἰ ὁμολογεῖ τὸ ἁμάρτημα, καὶ ἀπεπλήρωσεν αὐτῶν τὸν θυμόν. εἶτα συναγορεύσας τῷ γέροντι καὶ παραμυθησάμενος, ἀφεὶς ταῦτα ἐπὶ τὸ οἰκειότατον ἔρχεται, ἐπὶ τὸν βασιλέα·

νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.

ταῦτα κελεύσας ἐπάγει σφίσι καὶ τὴν ἀπειλήν, ἐὰν δή τις χωρίζηται· |

ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω 339
μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς.

ὥςτε ἄρχεται ἀπὸ ἐπαίνου συναγορεύων τῷ Νέστορι, εἶτα παραμυθεῖται τὸν θυμὸν ὁμολογῶν ἡμαρτηκέναι,

8 Homerus *B* 375—380 18 *B* 381 21 *B* 391—393

1 πείσει P: corr s 4 ὁ om G 6 τὸν ἐπ' P: ἐπ' a 8 ἔδωκεν G 10 ἀχιλλεύστε P 17 βασιλέα] nolui corrigere, quia probabilis coniectura est scriptum fuisse ἐπὶ τὸ ⟨κελεύειν ὡς⟩ βασιλέα cf u 19 et p 335, 1. κελευσμὸν ci Raderm 19 σφίσι] φησι conpendio P φησὶ a: om G, corr Sylburgius | δὲ τις P, a: corr Sylburgius 25 εἶτα P: ἔπειτα Ga

εἶτα κελεύει καὶ ἀπειλεῖ βασιλικῶς. αὕτη οὖν ἡ τέχνη τίς ἐστι; τὸ ἐπ' ἄλλης ὑποθέσεως πεπεικυίας πρότερον ⟨εἰπόντα⟩ ἐπὶ τέλει ὡς πάρεργον ἐρρίπτειν τὴν οἰκειοτέραν ὑπόθεσιν. ταύτην τὴν τέχνην τίς ἐμιμήσατο καὶ τίς ἐξηγήσατο; Πλάτων. ἐγκώμιον λέγει ἐν τῷ Συμποσίῳ Ἀλκιβιάδης Σωκράτους. ἐπὶ τέλει τοῦ ἐγκωμίου λέγει πρὸς Ἀγάθωνα ὁ Ἀλκιβιάδης· 'ὅρα τοίνυν,
340 ὦ | Ἀγάθων, μὴ πάθῃς, ὅ περ οἱ πολλοί. ὁ γὰρ Σωκράτης οὗτος προσποιεῖται ἐραστὴς εἶναι, εἶτα ἐρώμενος ἀναφαίνεται. μὴ οὖν καὶ σὺ τὸ αὐτὸ πάθῃς, ὅ περ καὶ πάντες πεπόνθασιν'. ἔτυχεν δὲ ὁ Ἀλκιβιάδης ἐρῶν τοῦ Ἀγάθωνος καὶ ἐβούλετο ὑπὸ μηδενὸς ἄλλου αὐτὸν ἐρᾶσθαι, καὶ ἐπὶ τέλει ἔρριψεν τὴν παραίνεσιν τὴν πρὸς Ἀγάθωνα ὡς ἐπὶ τοῦ ἐγκωμίου λέγων. αὐτὸς ἐξηγεῖται ὁ Σωκράτης τὴν τέχνην· 'νήφειν μοι δοκεῖς, ὦ Ἀλκιβιάδη'· ἐδόκει γὰρ μεθύειν ὁ Ἀλκιβιάδης· 'οὐ γὰρ ἂν κομψῶς γε' φησίν 'τὸ σατυρικὸν δρᾶμα περιέβαλες, εἰ μὴ ἔνηφες. καὶ πάντα ταῦτα εἴρηκας ὑπὲρ τοῦ διαβάλλειν ἐμὲ καὶ Ἀγάθωνα, ἵνα
341 ἐγὼ μὲν σοῦ ἐρῶ καὶ μηδενὸς ἄλ|λου. καὶ γὰρ ἐποίησας αὐτό' φησίν 'ὡς οὐδέν τι, ἐπὶ τέλει αὐτὸ εἰπών, ὡς οὐχ ἕνεκα τούτου πάντα τὰ ἄλλα εἰρηκώς. ἀλλ'

7 Plato conuiuii p 222[b] 15 ibidem p 222[cd]. utriusque loci sententia refertur, non uerba

3 εἰπόντα inserui | ἔρριπτεν P: corr s | τὴν] ἐπὶ Pa ἔτι Sylburgius 8 οἱ articulus aduersatur loco Platonis, sed cf 11 πάντες 11 πεπόνθασι. ἔτυχε s 13 ἔρριψε a | παραίνεσιν P: παραίτησιν Ga 14 τὴν πρὸς τὸν G | ἐπὶ cf 331, 2 16 δοκεῖ Pa: corr Gualterus Otto 17 φησι a 18 δράμα a 20 μέν σου Pa | post ἄλλου haud scio an interciderit Ἀγάθων δὲ ὑπὸ σοῦ ἐρᾶται καὶ ὑπὸ μηδενὸς ἄλλου cf Plato 21 τι] ἢ Pa del Schottus 22 εἰρηκὼς cum litura accentus P

οὐκ ἔλαθες, ἀλλὰ τὸ σατυρικὸν δρᾶμα τοῦτο ἀνεφάνη'. οὕτω γάρ τοι γίνεται ἡ τέχνη καὶ παραδίδοται.

Πειρασόμεθα οὖν δεῖξαι μετὰ τὰ Ὁμηρικὰ καὶ παρὰ τοῖς ῥήτορσιν καὶ ἐν δημηγορίαις καὶ ἐν δίκαις καὶ ἐν πανηγυρικοῖς λόγοις καὶ ἐν διαλόγοις τὸ αὐτὸ εἶδος γινόμενον.

7 Πρότερον δὲ καὶ ἄλλο εἶδος ἴδωμεν λόγων ἐσχηματισμένων, διπλοῦν τοῦτο· τὸ μὲν πρὸ τῆς τῶν μελλόντων λεχθήσεσθαι παρρησίας ἔνδειξιν τῶν λεχθησομένων ἀσφαλῆ προανακρουομένην τὸ λυπηρὸν τοῦ ἀκούσματος· τὸ δὲ ἐν διοικήσει προσώπων ὑπαλλαγήν, ὅτε διὰ τῶν πρὸς ἑτέρους ἑτέροις ⟨τις διαλέγεται⟩ καὶ ἔχει τὸ ἀσφαλὲς ἐν τῷ μὴ οἷς ἐπιπλήττει αὐτοῖς διαλέγεσθαι, ἀλλ' ἀκουόντων | αὐτῶν ἑτέροις ταῦτα λέ- 342
γειν, ἃ τούτοις προσήκει. τί ποτ' οὖν ἐστιν ἑκάτερον τὸ εἶδος; ὁ Ἀχιλλεὺς ἀνέστη καὶ μετὰ τὸν Ἀχιλλέα ὁ μάντις ἐν ἀρχῇ τῆς Ἰλιάδος, ἐλέγχοντες τὸν Ἀγαμέμνονα, ὅτι τὴν αἰτίαν τοῦ νοσήματος αὐτὸς παρέχει. ὁ μὲν Ἀχιλλεὺς ἐν συμβούλου σχήματι ὀνειδίζει τὴν αἰτίαν τῷ Ἀγαμέμνονι τῶν κακῶν ὡς ἀπόρως διακείμενος καὶ ζητῶν τὴν αἰτίαν, καὶ ἀφορμὴν ποιεῖ τῆς παρρησίας τῷ μάντει· ὁ δὲ μάντις ἀντιστοιχῶν τῷ Ἀχιλλεῖ τῇ ἀρνήσει ὧν ὑπέβαλεν ὁ Ἀχιλλεὺς ζητῶν τὰς αἰτίας, προδιοικεῖται τὸ φανερὰν γενέσθαι τὴν αἰτίαν τῶν δεινῶν. ἴδωμεν οὖν τοὺς ἑκατέρων λόγους,

1 τοῦτο δρᾶμα G 2 γὰρ τί P: corr s | fort γίνεταί ⟨τε⟩ 3 πειρασώμεθα P: corr Ga 4 ῥήτορσι a 7 εἴδωμεν a 8 πρὸ τῆς P: πρὸς τῇ Ga 9 παρρησίας P: παρρησίᾳ Ga 11 ἔχον ante τὸ δὲ inserit G | ἐν διηγήσει Pa | ὑπαλλαγήν] ὑπαλλαγῆς Pa. cf l 9 12 ὅτε] ὁ P ὃ a | τις διαλέγεται inserui 13 αὐτοῖς et 15 ἐστιν om G 21 ποιεῖται Pa 22 τὸν μάντιν Pa: corr Schottus cf p 338, 16 23 ὑπέβαλεν. ὁ a

πῶς ἔχουσιν δι' ἀλλήλων καὶ πῶς τὸ εὐπρεπὲς ἔχουσιν οἱ μὲν τοῦ Ἀχιλλέως ἐν βαθύτητι ζητήσεως, οἱ δὲ τοῦ μάντεως ⟨ἐν⟩ ἀσφαλείᾳ πρὸ τῆς ἀποκρίσεως·

Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀίω
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν, |
343 εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον (καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν),
ὅς κ' εἴποι, ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴ τ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται εἴ θ' ἑκατόμβης·
αἴ κέν πως ἀρνῶν κνίσσης αἰγῶν τε τελείων
βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
Ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο.

μέχρι τούτου οἱ Ἀχιλλέως λόγοι τὸ σχῆμα ἔχουσιν ὑπαινιττομένου εἰς Ἀγαμέμνονα καὶ προσκρούοντος ἐκείνῳ, ἐν δὲ σχήματι ζητήσεως καὶ ἀπορίας τῆς τοῦ δεινοῦ αἰτίας τὸ ἀσφαλὲς προδιοικουμένου. ἡ δὲ ἔνδειξις τοῦ εἰς Ἀγαμέμνονα λέγεσθαι ταῦτα πρῶτον μὲν τὸ πρὸς Ἀγαμέμνονα ποιεῖσθαι τοὺς λόγους, ἀλλὰ μὴ εἰς τὸ κοινόν·

Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ...

ὡς γὰρ τιμῶν αὐτὸν διὰ τὸ ἀξίωμα καὶ τὸν κοινὸν λόγον πρὸς ἐκεῖνον ἀποτεινόμενος τὴν ἀσφάλειαν ἔχει τοῦ προσκρούματος. εἶτα ἑξῆς ἐπάγει |

344 εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

αἴτιος τοῦ πολέμου Ἀγαμέμνων ἐστὶν συναγαγὼν τοὺς

4 Homerus *Α* 59—68 21 *Α* 59 25 *Α* 61

1 ἔχουσι a 3 ἐν suppleui | ἀσφαλείαι Pa: ἀσφάλεια r | πρὸς s 4 παλιπλαγχθέντας P 7 ἱερεῖα P: corr Ga 8 γὰρ τόναρ P 9 τόσον P 10 εἰ τὰρ P | ἤδε κατόμβης P 14 οἱ om s | τὸ σχῆμα P: om a 21 παλιμπλαχ sscr θ P 26 ἐστὶ a

Ἕλληνας. συνῆψεν καὶ τὸν λοιμὸν τῷ πολέμῳ, καὶ φησὶν αὐτὸν αἴτιον γεγονέναι· τί γὰρ ἡ μνήμη τοῦ πολέμου ἐνταῦθα, εἰ μὴ ἐβούλετο ἀμφοτέρων αἴτιον ἀποφῆναι τὸν αὐτόν; εἶτα ἐπειδὴ ἔδειξεν, ὅτι αὐτὸς αἴτιός ἐστιν, ⟨ἀντὶ⟩ τοῦ χωρὶς σαφῶς εἰπεῖν ἐπὶ τὴν ζήτησιν ἦλθεν·

ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν·
ὅς κ' εἴποι, ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.

ἡ προσθήκη τοῦ 'τόσσον' δηλοῖ, ὅτι τὰς αἰτίας τῆς ὀργῆς ἃς ὑποβάλλει Ἀχιλλεὺς οὐ πιστεύει ἀκούων, ἀλλὰ αἰτίαν μείζονα περιμένει·

εἴ ταρ ὅ γ' εὐχωλῆς ἐπιμέμφεται εἴ θ' ἑκατόμβης...

οὐ δέχεται τὸν Ἀπόλλωνα ἕνεκεν εὐχωλῆς καὶ ἑκατόμβης τόσον χολωθῆναι. οὕτω μὲν ὁ Ἀχιλλεὺς διοικεῖται τὸν λόγον. ὁ δὲ μάντις λαβόμενος τῆς ἀφορμῆς αὐτοῖς | τοῖς Ἀχιλλέως λόγοις χρῆται εἰς διατριβὴν τοῦ δεῖξαι 345
τῷ Ἀγαμέμνονι, πρὶν φανερῶς εἰπεῖν, καὶ γίνεται αὐτῷ ἀφορμὴ τῶν λόγων τὸ 'τόσσον'· λέγει γάρ

οὔ ταρ ὅ γ' εὐχωλῆς ἐπιμέμφεται οὐδ' ἑκατόμβης.

καὶ πρότερον προδιοικεῖται τὴν ἀσφάλειαν·

Ὦ Ἀχιλεῦ, κέλεαί με, διίφιλε, μυθήσασθαι
μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.

7 Homerus *Α* 62—64 20 *Α* 93 22 *Α* 74—77

1 συνῆψε a 2 φησὶν om G 5 ἀντὶ suppleui | τοῦ PG: οὗ s | εἰπεῖν P: εἶπεν Ga | τὴν P: om a 7 ἱερεῖα P 8 γὰρ τόναρ P 11 ἀχιλλεὺς P: ὁ ἀχιλλεὺς Ga | ἀκούων Pa 14 οὐ δέχεται] ἐνδέχεται Pa. cf 317, 3 15 ὁ om G 17 διατριβὴν cf p 340, 3 18 τὸν Ἀγαμέμνονα Schottus 19 τόσον P 20 ὅν ταρ ut 13 εἴ ταρ P cum Herodiano: οὔτ' ἄρ' uolgo | οὐδ' P cum libris antiquioribus Homeri: οὔθ' s 22 διΐφιλε P

τοιγὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον,
ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.

ταῦτα γὰρ ὁμολογοῦντός ἐστιν, ὅτι τῷ βασιλεῖ προσκρούσει. εἶτα τῷ προοιμίῳ τούτῳ ἐπάγει·

ἦ γὰρ ὀίομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει, καί οἱ πείθονται Ἀχαιοί.

εἶτα γνωμολογεῖ· |

346 κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι.

εἶτα τὴν τέχνην τῆς ὀργῆς ἐπάγει·

εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
ἐν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι, εἴ με σαώσεις.

καὶ ἤδη ἔδειξεν, ὅτι Ἀγαμέμνων τούτων ἁπάντων αἴτιος, μηδέπω εἰπών· καὶ διὰ τοῦτο ἐπάγει ἀντίστοιχα λέγων ὁ Ἀχιλλεὺς καὶ ὁμολογούμενα τούτοις·

Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα.
οὐ μὰ γὰρ Ἀπόλλωνα διίφιλον, ᾧ τε σύ, Κάλχαν,
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
συμπάντων Δαναῶν· οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς,
ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.
Καὶ τότε δὴ θάρσησε καὶ ηὔδα μάντις ἀμύμων. |

347 ὁμολογεῖ ὁ ποιητὴς τῶν λόγων τὴν διοίκησιν.

5 Homerus *Α* 78—79 8 *Α* 80 10 *Α* 81—83 16 *Α* 85—92

2 ἦ μεν P, a | ἔπεσι P 3 προσκρούει Ga 4 ἐπάγει τούτω G 9 τέχνην suspectum, κατοχὴν coniciebam | τῆς Pa: τὴν h 11 ἀλλά τε P: ἀλλ' ἄγε G ἀλλά γε a 12 στήθ[εσσ]ιν P cum ras | ἑοῖσιν· P | δὲ supra uersum P[1] | σαώσῃς (ης conpendio) P, a 17 ὄν· μὰ P | ἀπόλλωνος P 18 δαναοῖσιν P | ἀναφαίνῃς (ης conpendio) P, a 19 οὔτι σε μεῦ P

Μία μὲν αὕτη εὐπρέπεια ἐσχηματισμένων λόγων,
τὸ δι' αἰνιγμάτων λέγειν, ἃ φρονεῖ τις, καὶ τὸ τῇ
διατριβῇ καὶ τῇ μελλήσει τῶν λόγων εἰπεῖν, πρὶν
εἰπεῖν, τῷ προοιμίῳ τὸ μέλλον δείκνυσθαι λυπηρόν.
8 ἡ δὲ δευτέρα τίς; ἐλέγομεν ἐκείνην εἶναι τὴν μέθοδον,
6 τὸ ἑτέροις διαλεγόμενον ἑτέρων καθάπτεσθαι, τὸ ἀσφαλὲς
τοῦ μὴ προσκρούειν τῇ ὑπαλλαγῇ τοῦ προσώπου ἐνδιοικούμενον. καὶ τοῦτο Ὅμηρος ἔδειξεν ἐν Ὀδυσσέως λόγῳ. ὁ γὰρ Ὀδυσσεὺς πρὶν συναγαγεῖν τοὺς ὄχλους εἰς τὴν ἐκκλησίαν, ἵνα δημηγορήσῃ περὶ τῆς μονῆς, ὅτε τὴν ἀπόπειραν ὁ Ἀγαμέμνων ἐποιήσατο, ⟨ἄκουε⟩ οἷον λέγει·

Ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι·
ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς. | 348
οὐ γάρ πω σάφα οἶσθ', οἷος νόος Ἀτρείδαο·
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.
ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπεν.
μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος.
τιμὴ δ' ἐκ Διός ἐστι· φιλεῖ δέ ἑ μητίετα Ζεύς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ.

13 Homerus *B* 188—199

4 τῶι προοιμίωι P, a καὶ τῷ πρ. Schottus. an ὡς πρ.? 5 ἡ δὲ] Ἡδ' ἡ P ἤδὲ G ἡ a 7 ἐνδεικνύμενον Pa 12 οἷον λέγει om G ego ἄκουε inserui 15 ἔοικεν P 17 ἀτρείδαο Pa cum exemplis Homeri: Ἀτρείωνος ueteres 19 et p 341, 14 ἔειπε s 21 διοτρεφέος βασιλῆος P, a cum parte librorum Homericorum: διοτρεφέων βασιλήων G cum ceteris 22 ζεῦ P 23 δήμου τ' P cum plerisque libris Hom: δήμου a, Homeri *A*

ταύταις ταῖς ἐπιτιμήσεσι συνάγει καὶ τοὺς βασιλέας. ὁ μὲν δὴ ἐντυγχάνων τοῖς βυβλίοις οἴεται, ὅπερ καὶ προείρηκεν Ὅμηρος, τοῦτο ποιεῖν αὐτόν, τοῖς βασιλεῦσι φιλοφρόνως διαλέγεσθαι, τοῖς δὲ δήμοις πικρότερον καὶ σφοδρότερον. ὃ δὲ ποιεῖ Ὀδυσσεὺς ὁ Ὁμήρου, οὐδεὶς ὁρᾷ. ἃ γὰρ ἐβούλετο καθάψασθαι τῶν βασιλέων, τῷ δήμῳ διελέγετο· ἃ δ' ἐβούλετο ἐπιτιμῆσαι τῷ δήμῳ, τοῖς βασιλεῦσιν διελέγετο. ἢ εἰπάτω μοί τις, τί ἔδοξεν τῷ Ὀδυσσεῖ τοῖς δημόταις λέγειν |

349 οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς,

ἢ τί ἔδοξεν τοῖς βασιλεῦσιν ἐπιτιμῶντα λέγειν

ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπεν.
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.

ταῦτα δὲ οὐ τοῖς δημόταις λέγει, ἀλλὰ τοὺς βασιλέας ἀναμιμνήσκει. γέγονεν οὖν ὁ λόγος ⟨ὁ⟩ πρὸς ἑκατέρους ἑκατέροις κοινός. καὶ τὴν ἐξήγησιν ἐπάγει Ὅμηρος τῶν ἐσχηματισμένων τούτων λόγων δι' ὀνόματος ἑνός, ὃ οὐδὲ ὁρῶσιν οἱ ἀναγινώσκοντες· Ὅμηρος δὲ ὑπὸ φιλανθρωπίας ἐξηγήσατο·

ὣς ὅ γε κοιρανέων δίεπε στρατόν.

τί ἐστι τὸ 'κοιρανέων'; ὡς κοίρανος διαλεγόμενος; οὐ δή που, ἀλλὰ τὸ στρατήγημα τῶν λόγων· οὕτως ὀνο-

10 Homerus *B* 203—205 14 *B* 194. 193 22 *B* 206

1 καὶ] τοὺς δημότας καὶ ci Schottus 2 βιβλίοις Pa 3 προειρήκαμεν ὅμηρον G² | αὐτοῖς τοῖς Pa 5 ὁ P: om Ga 8 βασιλεῦσι a 9 ἔδ[ο]ξεν P cum ras: ἔδοξε a 13 ἔδοξε a 17 οὖν om G | ὁ ante πρὸς restitui inuitis libris 23 ὡς κοιράνως a 24 ἀλλὰ τὸ P: ἀλλὰ Ga | ante οὕτως distinxi, ὀνομάζων ad l 21 refertur

μάζων κατ' ἐξήγημα τοῦ στρατηγήματος διὰ τοῦ 'κοιρανέων δίεπε στρατόν'. ἡ γὰρ διοίκησίς ἐστι τέχνη ἐν τῷ ὀνόματι λεγομένη. |

9 Ἴωμεν τοίνυν ἐπὶ τὰ πεζὰ παραδείγματα. Δημο- 350
σθένης διδάσκει ἡμᾶς εὐπρεπῶς διαλέγεσθαι, ἃ βούλεταί τις, καὶ οἶδεν τοῦ σχήματος τούτου τὸ ὄνομα· λέγει δὲ ἐν τῷ περὶ τοῦ στεφάνου ὧδε τῇ λέξει· 'ἐπειδὰν ἔλθωσι μὲν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρῆσθαι τῷ πράγματι παραινῶ, τούτῳ μοι πάνυ προσέχετε τὸν νοῦν'. εἶτα ἐπάγει ὥσπερ διδάσκαλος παραδιδοὺς μαθητῇ τὴν διοίκησιν· 'μὴ δεῖσθαι Θηβαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν ἐκείνοις, ἂν κελεύωσιν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δὲ ἄμεινον ἢ 'κεῖνοι τὸ μέλλον ⟨προορωμένων⟩· ἵν' ἐὰν μὲν δέχωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διοικούμενοι καὶ μετὰ σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἂν δ' ἄρα μὴ τύχῃ, ἐκεῖνοι μὲν ἑαυτῶν ⟨κατηγορῶσιν⟩, ἄν τι ἐξαμαρτάνωσιν, ἡμεῖς δὲ μηδὲν ⟨ἂν⟩ αἰσχρὸν μηδὲ κακὸν ὀφθείημεν πεπεισμένοι'. |

8 11 Demosthenes or XVIII 178 p 287, 22—288, 6

1 κατ'] καὶ Pa | διὰ τοῦ] καὶ τοῦ Pa τὸ Schottus 4 παραδείγματα P: παραγγέλματα Ga 5 ἀπρεπῶς P: corr Ga 6 οἶδε a 8 ἐπειδὰν δ' ἔλθωσιν οἱ ex Demosthene s, ut supra p 299, 1 9 χρῆσθαι P: χρήσασθαι s ut Dem et supra 13 ἂν καὶ λέγωσιν Pa: corr Sylburgius om G ut supra 14 ἢ κεῖνοι P ἢ ἐκείνων a cf supra 15 προορωμένων om Pa: suppleuit G | εἶναι· ἂν Pa: corr G ἵνα ἂν Sylburgius | δέξωνται G, Dem 16 βουλώμεθα P | διωκημένοι G ut supra 17 προσχήματος Dem 18 τύχηι Pa: συμβῇ κατατυχεῖν Dem | ἑαυτῶν κἄν τι Pa: ἑαυτοῖς ἐγκαλῶσιν ἄν τι s cum Dem 19 ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ἢ πεπραγμένον Dem 20 ἂν inseruit Gualterus Otto

351 Τὸ δὲ ἕτερα λέγειν καὶ ἕτερα διοικεῖσθαι δείκνυσί
σοι πάλιν ὁ αὐτὸς Δημοσθένης ἐν τοῖς συμβουλευτικοῖς, ἐν τῷ περὶ συμμοριῶν ἐπιγραφομένῳ λόγῳ (ὅσπερ λόγος εἰκότως ἂν καὶ δικαίως ἐπιγράφοιτο Περὶ τῶν βασιλικῶν), [ἐν τῷ] πρῶτος καὶ μόνος παραστὰς ἀντειπεῖν. ἐν τούτῳ τῷ λόγῳ ἐναντιοῦται μὲν τῇ 'Αθηναίων γνώμῃ, ὡρμηκότων αὐτῶν πολεμεῖν βασιλεῖ. καὶ μία μὲν διοίκησις τοῦ λόγου ἐστὶ τὸ βουλόμενον τὸν ῥήτορα μὴ πολεμεῖν αὐτοὺς βασιλεῖ κλέπτειν δὴ
352 τὴν δόξαν τῷ συμβουλεύειν | βασιλεῖ μήπω πολεμεῖν.
καὶ αὕτη ἡ τέχνη ἐστὶν τοῦ ἃ βούλεταί τις, λέγειν εὐπρεπῶς. ποιεῖ δὲ τοῦτο οὕτως· 'ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα παραινέσαιμ' ἂν μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν συνάγειν'. καὶ ἔτι τέχνη βαθυτέρα τὸ κωλύοντα πολεμεῖν ἐπαγγέλλεσθαι περὶ δυνάμεως ἧ πολεμήσουσιν. τοῦτο μὲν κλέπτοντός ἐστι τὴν ἐναντίωσιν τοῦ πολέμου. μιμεῖται γὰρ ἐνταῦθα τὸν 'Αρχίδαμον τοῦ Θουκυδίδου. καὶ γὰρ ἐκεῖνος ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους καὶ τοὺς Πελοποννησίους ὡρμηκότας πρὸς τὸν πόλεμον, ἐβούλετο δὲ αὐτοὺς

12 Demosthenes or XIV 3 p 178, 23 19 cf Thucydides I 80—85

1 τὸν δὲ P: corr Gs | καὶ om G 3 ἐν τῷ noto conpendio ἐν̃ P: ἔν τε Ga 5 ἐν τῷ del Radermacherus cl u 3 | ἐν ᾧ—ἀντεῖπεν Otto 9 βασιλεῖ· κλέπτει δὲ Pa 10 fort τὴν ⟨ἐναντίαν⟩ δόξαν | δόξαν. τὸ P, a: corr Sylburgius 11 αὐτὴ G | ἐστὶ a 14 τοῖς ἄλλοῖς Pa: ex Dem corr Sylburgius cf supra p 304, 6 15 συνάγειν] αἴρεσθαι (uolg ἄρασθαι) Dem καὶ ... 17 πολεμ. his ordo sententiarum turbatur | ἔτι] ἔτι ἡ Pa ἔστι (sic) ἡ Schottus 16 τὸ P: τὸν Ga | ἐπαγγέλεσθαι a 17 η P ἧ G: om a 18 γὰρ om G 19 τοῦ] ⟨τὸν⟩ τοῦ ci Otto | καὶ γὰρ P: καὶ γὰρ καὶ a 20 καὶ τοὺς P: καὶ Ga

κωλῦσαι πολεμεῖν, τὸ μὲν μὴ πολεμεῖν οὐ τολμᾷ λέγειν (οὐ γὰρ πείσονται), συμβουλεύων δὲ τὸ μήπω πολεμεῖν τὸ μὴ πολεμεῖν λέγει. μία μὲν αὕτη διοίκησις ἐν τῷ λόγῳ. δευτέρα δὲ ἐκείνη· ᾧ μὲν βούλονται πολεμεῖν, οὐ βούλεται αὐτοὺς πολεμεῖν ὁ Δημοσθένης· ᾧ δὲ οὐκ ἐθέλουσιν πολε|μεῖν, τούτῳ κελεύει πολεμεῖν. καὶ 353
γίνεται διπλοῦς λόγος ἐσχηματισμένος. βασιλεῖ μὲν γὰρ αὐτοὺς οὐ βούλεται πολεμεῖν, ᾧ πάνυ βούλονται· Φιλίππῳ δὲ ἀξιοῖ πολεμεῖν, ᾧ οὐ βούλονται. τίνα οὖν διοίκησιν ἐποιήσατο; ἐξ ἑκατέρας ὑποθέσεως τοῦ πεῖσαι μὴ πολεμεῖν ᾧ βούλονται καὶ πολεμεῖν ᾧ μὴ βούλονται συμβουλεύει πολεμεῖν βασιλεῖ, ἀλλὰ μήπω, παρασκευάζεσθαι δὲ πρὸς αὐτόν. τῷ μὲν οὖν ‛μηδέπω’ τὴν ὁρμὴν τὴν ἐπὶ βασιλέα κωλύει, συμβουλῇ δὲ τῆς παρασκευῆς εὐτρεπῆ τὸν πόλεμον τὸν πρὸς Φίλιππον ἐργάζεται. καὶ ὅτι αὕτη ἡ τέχνη ἐστίν, λάβε αὐτὸν Δημοσθένην ὁμολογοῦντα· ‛εἰ μὲν τοίνυν ἕτερός τις ἦν τρόπος δυνάμεως, ᾗ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι, ἕτερος δέ τις, ᾗ τοὺς Ἕλληνας, εἰ|κότως ⟨ἂν⟩ φανεροὶ πᾶσιν ἐγιγνόμεθα πρὸς ἐκεῖνον 354
ἀντιταττόμενοι· εἰ δὲ πάσης παρασκευῆς ἐστι τρόπος ὁ αὐτὸς οὗτος, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, τοῖς οὖσι συμμάχοις βοηθεῖν, καὶ τὰ ὑπάρχοντα ἀγαθὰ

17 Demosthenes or XIV 10—11 p 180, 25—181, 5

1 κωλύσαι Pa | λέγειν ante οὐ traiecit a 6 ἐθέλουσι a 10 οὖν P: δὲ a | ἐξ ἑτέρας Pa 13 τὸ μὲν Pa 14 συμβουλῆι P: συμβουλὴ s 15 εὐπρεπῆ P: corr a 16 ἐστὶ a 17 τοίνυν] οὖν Dem 18 et 19 ἧι P, a: ᾧ Dem 20 ἂν om Pa: ἂν ἴσως Dem | πρὸς ἐκεῖνον ἐγιγνόμεθ’ Dem | ἐπιγιγνόμεθα P ἐπιγιγνώμεθα a 21 εἰ Pa: ἐπεὶ Dem | παρασκευῆς—22 οὗτος Pa: ἐστὶ παρασκευῆς ὁ αὐτὸς τρόπος καὶ δεῖ τὰ αὐτὰ εἶναι κεφάλαια τῆς δυνάμεως Dem 23 καὶ ταῦτα παρέχοντα P καὶ ταῦτ’ ὑπάρχοντα s: corr G καὶ om Dem

σῴζειν, τί τοὺς ὡμολογημένους ἐχθροὺς ἔχοντες ἄλλους ζητοῦμεν; ἀλλὰ παρασκευαζώμεθα μὲν πρὸς τούτους, ἀμυνώμεθα δὲ κἀκεῖνον, ἂν ἡμᾶς πιέσῃ’. καὶ ἀληθῶς τὸ ἀπόρρητον τοῦτο τῆς γνώμης μηνύει ἐν ἄλλῳ λόγῳ· ‛ὁρῶ δ’ ὑμᾶς Φιλίππου μὲν καταφρονοῦντας, βασιλέα δὲ ὡς ἰσχυρὸν ἐχθρὸν φοβουμένους. εἰ δὲ τῷ μὲν πολεμεῖν οὐ θελήσομεν, τῷ δὲ οὐκ ἀξιώσομεν, πρὸς τίνας παραταξόμεθα’;

Ἀλλὰ καὶ Εὐριπίδης δι’ ὅλων λόγων διοικήσεως 11
σχῆμα περαίνει ἐν ὅλῳ δράματι. πρότερον δὲ δείξω-
355 μεν [ἐν ὅλῳ δράματι] ἐν μέρει τινὶ | σχῆμα διοικούμενον. ἐν τῷ Αἰόλῳ ὁ Μακαρεύς ἐστιν ὁμιλήσας τῇ ἀδελφῇ καὶ λανθάνων, καὶ συμβουλεύων τῷ πατρὶ τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς συνοικίσαι, ἵνα τὸ οἰκεῖον διοικήσηται· καὶ οὕτως ἐσχημάτισται ὁ λόγος κοινῇ γνώμῃ καὶ συμβουλῇ. ἡ Μελανίππη σοφὴ τὸ δρᾶμα Εὐριπίδου ἐπιγέγραπται μὲν Σοφή, ὅτι φιλοσοφεῖ, καὶ διὰ τοῦτο τοιαύτης μητρός ἐστιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία. ἔχει δὲ διπλοῦν σχῆμα, τὸ μὲν τοῦ ποιητοῦ, τὸ δὲ τοῦ προσώπου τοῦ ἐν τῷ δράματι, τῆς Μελανίππης. τὸ μὲν τοῦ ποιητοῦ τοιόνδε [τὸ δὲ τοῦ

5 Demosthenes or XV 24 p 197, 25

1 σώζειν P | ὁμολογοῦντας Dem ὁμολογουμένους G cum Dem γρ *FY* | ἄλλους Pa: ἑτέρους Dem 2 ἀλλ’ οὐ παρασκευαζόμεθα—ἀμυνόμεθα Dem, sed ἀλλὰ παρασκευασώμεθα—ἀμυνούμεθα Σ 3 ἂν ἡμᾶς πείσηι P, a ἂν ὑμᾶς πείσω G: ἐὰν ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ Dem δεήσῃ in πείσῃ latere suspicatur Blassius 5 ὑμᾶς P ἡμᾶς a: ὑμῶν ἐνίους Dem | μὲν ὡς ἄρ’ οὐδενὸς ἀξίου πολλάκις ὀλιγωροῦντας Dem 6 ἐχθρὸν] ἐχθρὸν οἷς ἂν προέληται Dem | εἰ δὲ—7 ἀξιώσομεν licentius contracta 10 περαίνει ἐν ὅλωι δράματι. πρότερον δὲ δείξωμεν ἐν ὅλωι δράματι P: πρότερον—δράματι om s. adparet uoces ἐν ὅλῳ δρ. altero loco perperam iterari 19 τὸ μὲν τοῦ—21 Μελανίππης om G 21 τὸ δὲ—p 346, 1 τοιόνδε del Schottus

προσώπου τοιόνδε]· Ἀναξαγόρᾳ προσεφοίτησεν Εὐριπίδης. Ἀναξαγόρου δὲ λόγος ἐστίν, ὅτι ʻπάντα ἐν πᾶσιν· εἶτα ὕστερον διεκρίθη'. μετὰ ταῦτα ὡμίλησεν καὶ Σωκράτει καὶ ἐπὶ τὸ εὐπορώτερον ἤγαγε τὸν λόγον. ὁμολογεῖ οὖν τὴν διδασκαλίαν τὴν ἀρχαίαν διὰ τῆς Μελανίππης· |

Καὶ οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα, 356
ὡς οὐρανός ⟨τε⟩ γαῖά τ' ἦν μορφὴ μία.

οὕτω μὲν ὁ ποιητὴς σχηματίζει τὸ αὑτοῦ. ἡ δὲ Μελανίππη ἐπεράνθη μὲν ὑπὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία· ἐξέθηκεν δὲ αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι, καὶ ὡς τέρας βούλεται κατακαῦσαι. βοηθοῦσα αὐτῇ ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται, ὅτι τέρας οὐδέν ἐστιν. οὕτω τὸ δρᾶμα ὅλον ἐσχημάτισται· καὶ ἅμα διδάσκει ἡμᾶς Εὐριπίδης, ὅτι τὸν σχηματίζοντα ἐγγυτάτω δεῖ εἶναι τοῦ λῦσαι τὸ σχῆμα μετὰ τῆς ἀσφαλείας τοῦ σχήματος. περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι
τὰ παιδία λέγει· ʻεἰ δὲ παρθένος | φθαρεῖσα ἐξέθηκεν 357
τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις'; ὥςτε καὶ τὸ αὑτῆς πρᾶγμα λέγει ἐν σχήματι συμβουλῆς.

2 cf Anaxagorae fr 1 et 13 ed Diels 7 Euripides fr 484 N².

3 ὡμίλησε a 4 ἀπορώτερον G 7 καὶ om G 8 τε restituit Sylburgius | γαιατημορφια· P γαῖά τ' ἄμορφα G γαλατημορφία a: corr Sylburgius 9 αὐτοῦ P, a: corr Sylburgius 10 ἐπεράνθη] ἐπαιδεύθη Pa ἐπλήσθη Valckenaerius diatr p 184ª alii aliter. tu cf Iacobsii ad Anthol gr animadu II 3 p 116 Menagium ad Laert Diog 2, 127 11 et 19 ἐξέθηκε a | τοῦ πατρὸς om G 13 φοβηθεῖσα οὖν ἡ G | αυτη sic P αὕτη a αὐτὴ Welcker de tragoediis p 842 19 uersus hic latere olim opinati restituebant 21 αὐτῆς Pa

Ἀλλὰ καὶ πάλιν ὁ Πανηγυρικὸς Ἰσοκράτους τοιοῦτόν τι βυβλίον ἐστὶν καὶ ὁ Φίλιππος Ἰσοκράτους καὶ ὁ περὶ τῆς ἀντιδόσεως. ἐν γὰρ τοῖς τρισὶν τούτοις βυβλίοις ἐγκώμια διέρχεται τὸ μὲν Ἀθηναίων, τὸ δὲ Φιλίππου, τὸ δ' ἑαυτοῦ. ἀλλὰ τοῖς μὲν Ἀθηναίων ἐγκωμίοις καὶ τοῖς Φιλίππου συμβουλὴν ὑποθέμενος τὸ εὐπρεπὲς τοῦ ἐγκωμίου ἐπραγματεύσατο, καὶ πεποίηται ὥσπερ πάρεργον συμβουλῆς τὸ ἐγκώμιον· ὄντως δ' ἐστὶν ἔργον τὸ ἐγκώμιον, πάρεργον δὲ ἡ συμβουλή. αὐτῷ δὲ ἔδωκεν ἐπαίνου ἀφορμὴν ἐν ἀνάγκῃ ἀπολογίας πρὸς τὰ κατηγορημένα. τοῦτο καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου ἐπραγματεύσατο. ἐγκώμιον
358 αὑτοῦ ἠθέλησεν γράψαι, | καὶ τὴν ἀπολογίαν προετάξατο. τοῦτο καὶ Πλάτων πεποίηκεν ἐν τῇ ἀπολογίᾳ Σωκράτους ἐγκώμιον βουλόμενος γράψαι ἐν ἀπολογίας σχήματι. τοῦτο καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν· ὡς γὰρ ἀπολογούμενος ὑπὲρ Σωκράτους ἐγκώμιον Σωκράτους περαίνει. ἔργον δὲ αὐτοῖς ἐστι καὶ πολλὰς ὑποθέσεις ὁμοῦ συμπλέκειν. ἥ γέ τοι ἀπολογία Σωκράτους καὶ Πλάτωνος ἀπολογία ἐστὶ καὶ Ξενοφῶντος ἀπολογία ἐστί. καὶ ὁ περὶ τοῦ στεφάνου τέσσαρας ὑποθέσεις ἔχει· καὶ ἀπολογία ἐστὶ καὶ κατηγορία καὶ ἐγκώμιον Δημοσθένους, καὶ ὁποῖον εἶναι δεῖ τὸν πολιτικὸν ἄνδρα. καὶ Ξενοφῶν δὲ ὁμολογῶν ἐγκώμιον

2 βυβλίον ἐστίν· P: βιβλίον ἐστὶ Ga 3 τρισὶ a 4 βυβλίοις P: βιβλίοις Ga 5 τὸ δὲ αὐτοῦ P τὸ δὲ ἐξ αὐτοῦ a: corr Sylburgius et Schottus 7 τὸ] καὶ τὸ G 8 ὄντως δ'] τὸ δ' P τόδ' Ga 9 τῶν ἐγκωμίων Pa: corr Schottus 10 ἀυτῶι P, a: corr Schottus | ἐν ἀνάγκηι P, a: ἡ ἀνάγκη Sylburgius. conicias αὐτῷ—ἀφορμὴν ἀνάγκη 12 τοῦ om G 13 ἀυτοῦ P: corr s | ἠθέλησε a 14 πεποίήκεν sic P 15 σωκράτους P: τοῦ σωκράτους a | ἐν σχήματι ἀπολογίας G 18 παραινεῖ Pa: corr Sylb 19—21 balbutit scriptor, cf p 305, 8—26 23 s cf 306, 6 s

Ἀγησιλάου ἐρεῖν λέγει ἐν ἱστορίας λόγῳ τὸ σχῆμα ποιούμενος. καὶ παρὰ τῷ Ξενοφῶντι πάλιν ἔν τε τῇ Παιδείᾳ καὶ τῇ Ἀναβάσει εὑρή|σετε ἐσχηματισμένους 359 *λόγους. βούλεται γὰρ τοὺς δημότας τὰ ἴσα ὅπλα λαμβάνειν καὶ τοὺς ὁμοτίμους. ἑκατέροις διαλέγεται εὐπρεπῶς, τοῖς μὲν ὡς τιμῶν αὐτούς, τοῖς δὲ ὡς συναγωνισταῖς καὶ συσχολασταῖς χαριζόμενος· καὶ τὸ ἑκατέρων οὕτω διοικεῖται. καὶ ἐν τῇ Ἀναβάσει ὁ Κλέαρχός ἐστιν *** τῶν στρατιωτῶν ὑποπτευόντων τὴν ἀνάβασιν τὴν Κύρου καὶ μὴ βουλομένων ἀναβαίνειν, ἀλλὰ δεδοικότων τὰ ἄπορα. καὶ ἐν τῷ περὶ παραπρεσβείας ἄλλα προτείνει καὶ ἄλλα συγκατασκευάζει. ἔστι γὰρ ἡ τέχνη τῶν ἐσχηματισμένων λόγων μάλιστα αὕτη, τὸ ἄλλαις κατασκευαῖς συμπλέκειν τὰ οἰκεῖα. ὅ περ πεποίηκεν καὶ Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ· δημηγορῶν γὰρ καὶ παρακαλῶν Ἀθηναίους ἐπὶ τὸν πόλεμον συνέ|πλεξε τοῦ ἐπιταφίου κεφάλαια τῇ* 360 *παραινέσει· ἐγκώμιόν ἐστιν ἡ παράκλησις ἀπὸ τοῦ γένους, ἀπὸ τῆς τῶν προγόνων ἀρετῆς· ἐγκώμιόν ἐστιν ἐκ παραβολῆς ἡ παράκλησις, ἐκ τοῦ παραβαλεῖν τὰ τῶν ἐναντίων καὶ τὰς δυνάμεις ἑκατέρας τῆς πόλεως.*

13 *Οὕτω κινδυνεύει, ὅ περ ὑπεστησάμεθα ἐν ἀρχῇ*

22 supra p 323, 11

1 exspectes *ἱστ. σχήματι τὸν λόγον* 3 *παιδίαι* P | *εὑρήσεται* Pa: corr Sylburgius | *ἐσχηματισμένους λόγους* Pa: *ἐσχηματισμένος λόγος* corrector Tauchnitii (Schaefer?) 5 *καὶ τοῖς ὁμοτίμοις ἑκατέροις* Pa *καὶ* deleuerat corrector Tauchnitii. sanam distinctionem Hudso docuit 7 *χαριζόμενος*] *ἀγωνιζόμενος* Pa cf p 310, 5 9 *ἐστι* a hiatum Sylburgius et Hudso perspexere cf p 310, 9—12 10 *ἀναβαίνειν* P: om Ga restituit Schottus 11 *δεδοικότων*] *δεικνύντων* Pa | uerbis *καὶ* . . . 12 *συγκατ.* supra p 347, 14 locus erat 14 fort *ἀλλοίαις* 17 *συνέπλεξε* P: *συνέταξε* Ga 18 *ἐστιν*] *γάρ ἐστιν* G 20 *παραβάλλειν* G^2

τῶν λόγων ⟨ἀποδείξειν⟩, τοσοῦτον ἀποδεῖν ἀληθὲς εἶναι τὸ μὴ εἶναί τι ἐσχηματισμένον, ὥστε τὸ ἐναντίον αὐτὸ οὐδεὶς λόγος ἀσχημάτιστος. καὶ πάλιν ἐπανέλθωμεν ἐπὶ τὴν ἀρχὴν τοῦ λόγου, ἣν ἐξ ἀρχῆς ὑπεθέμεθα, ὅτι τοῦ ἀγῶνος ὄντος τῷ ῥήτορι διπλοῦ, τοῦ πράγματος καὶ τοῦ ἤθους, ⟨καὶ⟩ τούτου κρατοῦντος, ἡ περὶ τῶν ἠθῶν διοίκησις ἀεὶ ἐσχηματισμένους τοὺς λόγους ἔχει.

Πολλὰ σχήματα παρ' Ὁμήρῳ, πάμπολλα καὶ ἐν ἄλλαις ὑποθέσεσιν ἄλλα διοικουμένῳ· ἐπεὶ καὶ ὁ τῆς Βρισηίδος λόγος οὐκ ἀσχημάτιστος, ὅτε ἤκουσα παρὰ τοῦ Ἀγαμέμνονος, θεασαμένη τὸν Πάτροκλον κείμενον
361 *ἐπιπίπτει τῷ σώματι καὶ θρη|νεῖ Πάτροκλον. καὶ οἴεται ὁ ἀκροατής, ὅτι Πάτροκλον θρηνεῖ· ἐνδείκνυται δὲ ὁ ποιητὴς σοφίαν γυναικὸς ἐν ἀκμῇ καιροῦ ἀπαιτούσης τὰς γαμικὰς ὑποσχέσεις καὶ διὰ τοῦτο θρήνου δίκην λεγούσης πρὸς Ἀχιλλέα·*

Πάτροκλ' ἐμοὶ δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα·
νῦν δέ σε τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ'. ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.

ταῦτα προοίμια θρηνούσης. εἶτα τὸ προοίμιον πε-

4 cf c XI 3 p 377, 7—11 17 Homerus *Τ* 287—290

1 *ἀποδεῖν* Sylburgius: *ἀποδεῖξαι* Pa, sed *ἀποδείξειν* hinc suo loco reddidi praeeunte Schotto 3 *αὐτῶι* P, a del Schottus 4 *ἣν*] *ὃν* Schottus 6 *καὶ τούτου*] *τοῦ* Pa | *περὶ* cf adn 289, 7 8 *πάμπολλα· καὶ* P 9 *ἀλλὰ* P: corr Gs | *διοικούμενα* Pa 10 *ἤκουσα* P: corr a 14 *ἐπαιτούσης* r uitiose 15 *τὰστῆς γυναικὸς ὑπ.* Pa 17 *πάτροκλ' ἐμοὶ* P: *πάτροκλέ μοι* a cum exemplis Homeri 19 *δέ τε* P *δὲ* a: corr G

ραίνει ἐπιδεικνυμένη τὸν θρῆνον ὡς ἀπόδειξιν τοῦ δικαίου [θρήνου]·

ἄνδρα μέν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέι χαλκῷ,
τρεῖς τε κασιγνήτους, οὕς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον. |

ταῦτα ἤδη Ἀχιλλέως καθάπτεται, ὅτι τὸν ἄνδρα αὐ- 362
τῆς ἀποκτείνας ἔχει αὐτὴν συνοικοῦσαν, καὶ δεῖ αὐτῇ
πολλῆς παραμυθίας. εἶτα συνθηκῶν ἀνάμνησις·

οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν ἄξειν τ' ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.

καὶ τὸ τέλος τοῦ ἐπιλόγου τὸ κέντρον τῆς ἀπαιτήσεως ἐπάγει

τῶ σ' ἄμοτον κλαίω τεθνηότα μείλιχον αἰεί,

ὡς ἂν ἀκούων ταῦτα Ἀχιλλεὺς δικαιολογουμένης εἴπῃ· 'ἀλλὰ μὴ κλαῖε, γύναι, ἐκεῖνα βέβαια γενήσεται'.

14 Κατὰ ταύτας τὰς ὑφηγήσεις ἔστιν ἐπιόντα πολλὰ
καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων καὶ τῶν
δικανικῶν καὶ τῶν συμβουλευτικῶν λόγων καὶ τῶν |
ἐν ταῖς ἱστορίαις εὑρεῖν πλείους τὰς πλάσεις τῶν 363
σχημάτων ἢ τὰς ἁπλότητας τῶν κοινῶν λόγων. λέγω

3 Homerus *T* 291—294 10 *T* 295—299 17 *T* 300

1 ἐπιδεικνυμένη P: ἐπιδεικνυμένῳ a 2 θρήνου spurium 8 αὐτῇ a: ἄυτη P αὐτῇ τῆς G 12 ἀλλὰ μ' Pa cum plerisque Homeri libris: ἀλλ' ἐμ' s cum uolgatis 14 γάμου Pa: corr s 15 ἐπαιτήσεως h uitiose 16 ἐπαγωγή· Pa ἐπάγει iam Schottus 17 τῶσ' P | τεθνηότα P: τεθνηκότα a 18 εἶπεν Pa: corr G 20 ἔστιν P ἐστὶν a 21 ποιητῶν Pa

δὲ καὶ προστίθημι, ὅτι καὶ ὅταν τις ἁπλῶς λέγῃ, καὶ τοῦτο τέχνῃ σχήματος γίνεται, ἵνα ἡ τῆς ἁπλότητος προσποίησις τὸ πιθανὸν ἔχῃ τῷ ἀκούοντι. καὶ τεκμήριον τούτου ἐστὶν ὁ λόγος ὁ τοῦ Αἴαντος πρὸς Ἀχιλλέα ἐν ταῖς Λιταῖς. ὁ μὲν γὰρ Φοῖνιξ τέχνῃ χρῆται πρὸς αὐτόν, καὶ προτείνας αὐτῷ ἡδίστην ὑπόθεσιν ἐναντιωτάτην ἀγωνίζεται·

εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
βάλλεαι, οὐδ' ἔτι πάμπαν ἀμύνειν νηυσὶ θοῇσιν
πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην;

ἡδίστη γὰρ ὑπόθεσις Ἀχιλλεῖ τὸ λέγειν τὸν Φοίνικα,
ὅτι οὐκ ἀπολειφθήσεται. εἶτα ἡ αἰτία τοῦ μὴ ἀπολει-
φθῆναι, ἡ τροφή, ἡ ἀγωγή, τὸ ἐξ ἀρχῆς συντετράφθαι.
ταῦτα δὲ πάντα εἰς τὴν ἐναντίαν ὑπόθεσιν· 'πιθοῦ
364 μοι· | τέτροφα γάρ σε, καὶ χάριτας ὀφείλεις'. καὶ ὅτι
τοῦτό ἐστιν ***. ἐπὶ τέλει ὁμολογία τῆς ἀληθινῆς
ἐπιβολῆς·

ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

τοῦτο τὸ σχῆμα συνιδὼν καὶ ὁ Ἀχιλλεὺς ἀντισχηματίζει ἑξῆς, μιμούμενος τὴν τέχνην τοῦ διδασκάλου. ἐξηγεῖται γὰρ οὕτως·

μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωι φέρων χάριν.

8 Homerus *I* 434—437 19 *I* 496—497 24 *I* 612—613

9 θοῇσι a 10 ἐθέλῃς sed ῃς conp P: corr Sylb 14 τοῦ ἐξ Pa: corr Schottus 15 ἐναντίαν ⟨τείνει⟩ ci Brinkmannus | πίθοῦ sic P, acutus potest recentior esse: πίθου s 17 hiatum indicaui | ἐπιτέλει ὁμολογία τῆς ἀληθινῆς ὁμολογίας P ἐπὶ τέλει ὁμολογίας s 19 οὐδέ τι P: οὐδ' ἔτι s 23 οὕτω· Ga

αὕτη μὲν ἐξήγησις τῆς τοῦ Φοίνικος τέχνης· εἶτα ὁ ἀντισχηματισμός·

ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.

τί γάρ; ἐκεῖνος τοιοῦτόν τι εἶπεν ἢ τινα χάριν ᾔτησεν; ἀλλ' ἐπειδὴ ἀνέμνησεν αὐτὸν εἰπών |

πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα 365
οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ,

⟨καὶ⟩ τὰς ἐν τῇ νεότητι πάθας προέτεινεν αὐτῷ, ὡς ὀφείλοντος χάριτας, καὶ αὐτὸς ἐσχημάτισεν εἰπών· ‘ἄλλην χάριν λάμβανε μείζω, μὴ ταύτην αἴτει’. ταῦτα μὲν ὁ Φοῖνιξ σχηματίζει.

15 Ὁ δέ γε Αἴας ἁπλούστατος ὢν βαθύτατος ἐν τοῖς λόγοις πάντων ἐστίν. ἀνίσταται γὰρ ὡς ὀργιζόμενος καὶ ἀξιῶν μηκέτι μηδὲ διαλέγεσθαι, καὶ λέγει·

οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ' ὁδῷ κρανέεσθαι·

καὶ ἐπιτιμᾷ Ἀχιλλεῖ χαλεπώτατα καὶ πικρότατα. ὁ δὲ μάλιστα ἐν τῇ παρρησίᾳ ἱκετεύων καὶ δεόμενος καὶ βιαζόμενος Ἀχιλλέα οὗτός ἐστιν·

ὑπωρόφιοι δέ τοι εἰμὲν
πληθύος ἐκ Δαναῶν. |

καὶ φαίνεταί γέ τοι οὕτως ἁπλοῦς δὴ καὶ ἀφελὴς καὶ 366
παρρησίᾳ χρώμενος. εἶτα τῇ τέχνῃ προσχρώμενος φαίνεται μᾶλλον πεπεικώς. πῶς δή;

3 Homerus *I* 616 6 *I* 490—491 15 *I* 625—626 20 *I* 640—641

1 μὲν Pa: μὲν ἡ apographon Cantabr 4 τί γὰρ ἐκεῖνος Pa distinxi | τὸ τοιοῦτόν τι Pa: τι del Sylburgius, corr C Caesar | ἤ τίνα Pa 5 αὐτὸν om a 9 ὀφείλοντος P ὀφείλαντος s: ὀφείλοντι G | ἐσχημάτησεν P 17 ὃ δὲ P ὃς δὲ G 20 ὑπορρόφιοι P 22 γε τοιοῦτος Pa: corr Brinkmannus

Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι.
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότε κείνων
μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν.

οὗτος οὖν ὁ λόγος δείκνυσιν, ὅτι καὶ τῆς ἁπλότητος προσποίησις σχήματος ἔργον ἐπιτελεῖ· ἐπεὶ καὶ αἱ τῶν χαρίτων ἀπαιτήσεις οὐκ ἄνευ τοῦ ἐσχηματίσθαι γίνονται. οἱ γὰρ αἰτοῦντες τὰς χάριτας παρὰ τῶν εὖ πεπονθότων ἐν καιρῷ φυλαττόμενοι τὸ ὀνειδίζειν εὐπρεπῶς ἀπαιτοῦσι. καὶ δείκνυσιν ἡμῖν ὁ ποιητής, τίς μὲν ἂν ἦν ἀτέχνου ἀπαιτήσεως τρόπος, τίς δὲ ἐντέχνου. ὁ Ἀχιλλεὺς τῇ μητρὶ λέγει·

πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα |
367 εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέι Κρονίωνι
οἴῃ ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι.

καὶ περαίνει τὴν διήγησιν πᾶσαν, καὶ ἐπάγει παραινῶν αὐτῇ

τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λάβε γούνων.

ταῦτα ὑπακούει τῷ παιδὶ Θέτις, καὶ πείθουσα αὐτὸν θαρρεῖν ἐπαγγέλλεται οὐ μόνον ἐρεῖν αὐτά, ἀλλὰ καὶ αὐτῇ λέξει λέγει

τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ
εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.

καὶ ταῦτα ὑποσχομένη, ἐπειδὴ ἀφίκετο πρὸς τὸν Δία,

1 Homerus *I* 644—647 13 *Α* 396—399 19 *Α* 407 23 *Α* 419—420

5 οὖν om G 13 γάρ σεο P 14 ὅτεφησθα P 15 ἀθανάτοισιν P: ἀθανάτῃσιν a 16 μιν] μην P 19 μιν P cum Homero: μοι a | λάβε Pa, non λαβὲ item p 354, 21 21 ἀλλὰ καὶ P: ἀλλὰ a 23 τοι P: σοι a

τὸ μὲν ὀνειδίζειν ἀφίησιν, τὸ δὲ ὑπομιμνήσκειν ἐπιμελῶς πραγματεύεται·

Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ἔτισα
ἢ ἔπει ἢ ἔργῳ· |

τὸ μὲν ἔργον οὐκ εἶπεν, τὴν δὲ ἀνάμνησιν εὐπρεπῶς 368 ἐποιήσατο. τοιοῦτός πως καὶ ὁ ἱερεύς ἐστιν, γυμνότερος μὲν ἢ κατὰ τὴν Θέτιν, εὐπρεπῶς δέ. ἐπικαλεσάμενος γὰρ τὸν θεὸν λέγει

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
ταύρων ἠδ' αἰγῶν, τόδε μοὶ κρήηνον ἐέλδωρ.

Καὶ τὰ μέτρα τῶν ἐσχηματισμένων λόγων παιδεύει ἡμᾶς Ὅμηρος, ὅτι οὐ ⟨μόνον⟩ τῆς εὐπρεπείας δεῖται, ἀλλὰ καὶ τῆς ἐν χρείᾳ συντομίας. πῶς γὰρ πάντων χρεία ἐστίν, ὅσων μὲν ἡ τέχνη παραδίδωσιν, ⟨εἰ⟩ ταῦτα ὁ καιρὸς παραιτεῖται; διδάσκει δὲ τοῦτο ἐν τοῖς Ἑρμοῦ λόγοις πρὸς Πρίαμον Ὅμηρος. τοῦτον γὰρ Ἑρμῆς ὥσπερ διδάσκαλος ὢν παιδεύει, πῶς χρὴ ἐντυχεῖν Ἀχιλλεῖ, καὶ παραδίδωσι τὰς μεθόδους τῆς ἱκετείας·

τύνη δ' εἰσελθὼν λάβε γούνατα Πηλείωνος, |
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠυκόμοιο 369
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς·

3 Homerus *Α* 503—504 9 *Α* 39—41 21 *Ω* 465—467

1 ἀφίησι a 3 ποτέ δή σε P | ἔτισα Pa: ὄνησα G ex Homero tu cf *Α* 244. 412 5 εἶπε a 6 τοιοῦτος πῶς P | ἔστι a | γυμνότερον ci CCaesar 7 θέσιν a | εὐπρεπῶς scil γυμνός: εὐπρεπὴς Schottus 13 ἡμᾶς P: ἡμᾶς ὁ a | μόνον inserui | scribendum δεῖ 14 πῶς] τῶν Pa 15 μὲν ἡ χρεία Pa. fort γε ἡ ⟨τέχνη⟩ χορηγίαν cf p 355, 3. 8 | παραδίδωσι s 16 δὲ τούτωι P: corr Ga 17 ὅμηρος ante 16 ἐν traiecit G 18 εὐτυχεῖν a 23 τεκέος P

καὶ πάντας τοὺς ἀριθμοὺς τῆς ἱκετείας παραλαμβάνει, τὸ γένειον τὸ Ἀχιλλέως, ⟨ἀνάμνησιν⟩ πατρός, μητρός, υἱοῦ. ταῦτα μαθὼν ὁ γέρων οἶδεν τέχνην κατὰ τέχνης· προσελθὼν γὰρ τῷ Ἀχιλλεῖ τοῦ γενείου ἐπιλαμβάνεται καὶ λέγει

μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

καὶ οὔτε τοῦ παιδὸς μέμνηται οὔτε τῆς μητρός, ἀλλὰ τοῦ πατρὸς μόνου. τὴν πολλὴν γὰρ χορηγίαν παρέλιπεν τῇ χρείᾳ τοῦ παιδός.

Οὐκοῦν ὑπολείπεται ἡμῖν ἐκεῖνος ὁ λόγος, ὅτι 16 Ὅμηρος ἐπενόησεν ἐσχηματισμένον λόγον δι' εἰκόνος, 11 ἵνα μηνύσῃ μὲν ὃ βούλεται, τὸ δὲ εὐπρεπὲς πρὸς *** τὴν ἐπιτίμησιν, ἀλλ' εἰκόνι τὸν λόγον διαπεράνας. καὶ οἱ πολλοὶ ἀγνοοῦσιν τὴν εἰκόνα. ἔστι δὲ ἡ εἰκὼν ἐν Ὀδυσσέως λόγῳ. ἐξάγει τοὺς Ἕλληνας ὁ Ἀχιλλεὺς ὡρμημένος σφόδρα ἐπὶ τῷ Πατρόκλου θανάτῳ. Ὀδυσ-
370 σεὺς | ἀξιοῖ αὐτοὺς πρότερον φαγεῖν καὶ οὕτως ἐξελθεῖν· καὶ ἐπιτιμᾷ τῷ Ἀχιλλεῖ, ὅτι προπετῶς ταῦτα βούλεται· καὶ λέγει τὴν ἀρχὴν τῆς παραινέσεως τὴν αἰτίαν, εἶτα τὴν παραίνεσιν ἀδιανοήτως. ἢ εἰπάτω τις, τί βούλεται τὸ

6 Homerus *Ω* 486

2 τὸ γένος τὸ P: τὸ γένος τοῦ Ga cf adn u 4 | ἀνάμνησιν suppleui 3 κατὰ τέχνης P: κατὰ τέχνας a ἐκ τέχνης Hermannus apud Schottum p 269 4 τοῦ γενείου] exspectari τῶν γονάτων cl p 354, 21 et *Ω* 478 iam Stephanus adnotauit. sed nolui neglegentiam scriptoris corrigere, cf *Θ* 371 ideoque etiam u 2 γένειον restitui 7 τοῦ om G 8 τ̆ πρ̅ς μοῠ] τῶν προγόνων Pa | παρέλιπε a παρέλιπε ἐπὶ Schottus 10 ὅτι P: ὅτι ὁ a 12 hiatum indicaui. difficultatem Hermannus (Schott p 270) soluebat ἀναλάβῃ pro ἀλλ' scribendo 16 ὡρμημένος G 18 ταῦτα] an τἀναντία? 20 ἀδιανοήτως cf Quintilianus VIII 2, 20 s 21 τίς τι P

κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.

ἤδη τὰ προοίμια τῆς ἐπιτιμήσεως, ὥςπερ καὶ τὸ

μὴ δ' οὕτως ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.

εἶτα εἰπὼν τῆς γνώμης τὴν ἀρχὴν ἐπάγει

τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν, |
ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα 371
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

καὶ ἡ εἰκὼν πέρας τῆς συμβουλῆς. εἰδέναι οὖν χρὴ ὅτι αὕτη ἡ εἰκὼν σοφία ἐστὶ τοῦ Ὀδυσσέως τοῦ Ὁμήρου. ἐπιτίμησις γάρ ἐστι πικρὰ πρὸς τὸν Ἀχιλλέα καὶ δι' ἀπορρήτων λυπηρὰ παραίνεσις. διὰ τοῦτο καὶ τὸ προοίμιον αὐτῷ μακρόν ἐστι·

κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.

αὐτὸ τὸ προοίμιον τοῦ σχήματός ἐστιν ἀρχή· ‘μὴ πάνυ θάρρει τῇ ἀνδρείᾳ τῇ σαυτοῦ· εἰ δὲ μή, ἐλέγχεις αὐτὴν τὸ μηδὲν εἶναι· ἀλλ' ἄκουε παρ' ἀνδρὸς ἐμπείρου

1 Homerus *T* 217—219 5 *A* 131—132 8 *T* 220—224 **18 *T* 217—219**

1 *εἰσ* sic P etiam u 18 3 *πολλὸν. ἐπεὶ* P item u 20 5 *μὴ δ'* P cum libris Homericis 6 *πείσῃς* Pa sed *ῃς* in conp P: corr G 8 *τῶ* sine iota P ex ueterum praecepto 9 *φῡλόπιδος* cum productionis nota P ut p 358, 1 et 366, 3. 385, 16 cf adn 114, 16 10 *καλάμην ἐπιχθονὶ* P, a *καλ. γε ἐπὶ χθ.* G: corr Sylburgius 14 *αὕτη* Pa: *αὐτὴ* G | *Ὁμηρείου* ci Sylburgius 16 *καὶ τὸ* P: *καὶ* Ga 18 20 cf u 1 3 22 *τῆσαν τοῦ.* P 23 *εἶναι*] *εἰδέναι* G

καὶ ἐπιστήμονος ἐκ πείρας πραγμάτων’. τίς οὖν ἐστιν ἡ ἐπιτίμησις ἐκείνῳ;

γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς.
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα |
372 *πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;*
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνησιν,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δάκρυ χέοντας.
ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ
ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν προτιδέγμενος ἰσχαναάσθω.
ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι κοσμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα.

ὡςεὶ ἔλεγεν· ‘πολλοὶ τεθνᾶσιν ἤδη διὰ σὲ μηνιῶντα· νῦν ἀπορρίψας τὴν μῆνιν ἀξιοῖς τῇ τοῦ θεοῦ προσθήκῃ ἐλπίδας τῆς νίκης ἔχειν. ἐὰν οὖν ἐξέλθωσι νήστεις, οὐδ' ἂν ὁ Ζεὺς χαριζόμενός σοι βοηθῇ τοῖς Ἕλλησι, δυνήσονται διαρκέσαι νήστεις ὄντες πρὸς τὸ κρατῆσαι. ὥστε μὴ φρόνει μέγα ἐπὶ τῇ προσθήκῃ
373 *τοῦ Διὸς καὶ προπε|τῶς στρατεύου· ἐλεγχθήσῃ γὰρ τῇ ἀσθενείᾳ τῶν στρατιωτῶν’·*

3 Homerus *T* 225—237

1 *ἔστιν* P 3 *γαστρὶ* P: corr s | *ἐστι* P 5 *ἀναπαύσειε* G *ἀναπνεύσοιε* r errore 7 *δάκρυ χέοντας* P: *δακρύσαντας* exempla Homeri 8 *ὅσοι* P 12 *ὀτρυντὴν* P: corr s | *προτιδείγμενος* P cf Homeri *D* et Syr *T* 336: *ποτιδέγμενος* Ga 13 *ἧδε* P ut *D* cf Laroche *Homer. textkritik* p 364: *ἠδὲ* G *ἥδε* Sylburgius 14 *κοσμηθέντες* Pa, igitur scriptor *ἄθροι* legebat: *ὁρμηθέντες* Sylburgius ex Hom, tu cf *B* 655 *Λ* 51 17 *τοῦ θεοῦ*] *σαυτοῦ* Pa cf u 22 18 *ἐξέλθῶσιν* cum duplici accentu P 22 fort *καὶ* ⟨*μὴ*⟩

αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν . . .
ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

τί γὰρ τοῦ Διὸς ἡ μνήμη ἐνταῦθα; 'συμβήσεται οὖν οὐ πολλὴν γενέσθαι ἡμῖν ὠφέλειαν ἐκ τῆς παρὰ σοῦ προτροπῆς διὰ τὸν Δία, ἂν ἀσθενεῖς ὄντες στρατευσώμεθα· ὥςτε ἐλεγχθήσεταί σου ἡ ἀνδρεία ἡ θαυμαστὴ ὑπὸ τῆς προπετείας'. ἐπειδὴ τοίνυν ταῦτα πικρά ἐστιν καὶ ἐπιτίμησιν ἔχει, εἰκόνος παρεμβολῇ τὸ πικρὸν τῆς ἐπιτιμήσεως ἀσφαλὲς ἐποίησεν.

1 Homerus *T* 221. 223—224

1 φυλόπιδος P cf 356, 9 | uersus *T* 222 fort librarii culpa intercidit 2 ἐπῆν P 9 παραβολῆι P: corr Radermacher

---

X

Περὶ τῶν ἐν μελέταις πλημμελουμένων

Τάδε πλημμελούμενα ἐν ταῖς μελέταις· οἳ μὲν ἠθῶν
374 ἀμοίρους τοὺς λόγους ποιοῦνται οἰόμενοι τοῦ | πράγματος εἶναι τὸν ἀγῶνα, τὸ δὲ ἦθος ἐν παρέργῳ τιθέμενοι· οἳ δὲ περὶ τὴν κρᾶσιν τῶν ἠθῶν οὐ σπουδαίως ἔχουσιν, ἀλλ' ἂν μὲν ἁπλοῦν ᾖ τὸ ἦθος καὶ παντί τῳ ἰδεῖν ἐκκείμενον, ἰδόντες καὶ προσπεσόντες χρῶνται τῷ ἤθει· ἂν δὲ διπλοῦν ᾖ ἢ τριπλοῦν καὶ ποικιλώτερον, οὔτε τὰς διαιρέσεις τῶν ἠθῶν ζητοῦσιν οὔτε περὶ τὴν κρᾶσιν αὐτῶν πραγματεύονται· ὅθεν αὐτοῖς οὐδὲ ἀγωνίζεσθαι τοῖς ἤθεσιν συμβαίνει, ἀλλ' ὁ τοῦ ἤθους ἀγὼν ὑπάρχει τὰ καλούμενα ἐπιφωνήματα, προστυχοῦσαί τινες αὐτόματοι φωναὶ ἠθικαί. παρ' ὃ καὶ τὸν ἔπαινον καρποῦνται γυμνὰ τὰ ἤθη φθεγγόμενοι, δέον καθόλου τούτοις διαγωνίζεσθαι, ὥςπερ

2 † Τοῦτο τὸ μονόβιβλον οἶμαι Διονύσιος ὁ Ἁλικαρνασσεὺς συνέταξεν ὁ πρότερος· μέμνηται γὰρ ἐν αὐτῷ [c 19 p 373, 22 cf c 6 p 364, 24] ὡς ἐκδεδομένου αὐτῷ τοῦ Περὶ μιμήσεως ·:· scholion codicis P f 29ᵛ

2 titulo scholion litteris maiusculis praemittit P τοῦ αὐτοῦ Διονυσίου περὶ τῶν ἐν ταῖς μελέταις πλημμελουμένων: M in quo librum de compos. uerb. duo capita sequentia excipiunt 3 Τὰ δὲ PMa: corr Sauppius 6 κράσιν P ut solet 7 ἂν PM: ἐὰν a | παντί τῶι P, Ma: corr Sylburgius 8 εἰδόντι G 9 ἢ] ἢ καὶ M 12 ἤθεσιν ὑπάρχειν συμβαίνει libri: ὑπάρχει ante 13 τὰ inserui | ὑπάρχει. συμβαίνει γὰρ ἄλλος τοῦ ci Sauppius 14 ἠθικαὶ καὶ παροῦ P, a deleui καί, ad παρ' ὃ cf 360, 5

σώματι ψυχὴν συμπλέκοντας τὰ ἤθη τοῖς πράγμασιν. ἔτι τε οὐχ ὑποτείνουσι τὸ ἓν μέγα ἦθος (ἔστι δὲ τοῦτο ⟨τὸ⟩ ἐκ φιλοσοφίας), οὗ τὰ ἄλλα πάντα ⟨τὰ⟩ κατὰ μέρος ἐξήρτηται πρόσφορα τοῖς ἑκάστοτε ὑποκειμένοις προσώποις· παρ' ὃ καὶ μικρότεροι ἐν ταῖς τῶν ἠθῶν χρείαις εἰσίν, ὁπόταν καὶ τὰ ἤθη | μεταχειρίζωνται, οὐδαμοῦ τὸ 375 μεγαλοπρεπὲς διασῴζοντες, δέον τοῦτο φυλάττειν πανταχοῦ. ὥςπερ γὰρ ἐν ψυχῇ δεῖ τὸν λογισμὸν κρατεῖν, θυμὸν δὲ καὶ ἐπιθυμίαν τούτῳ ὑπακούειν, καὶ ὅσα γε θυμῷ πράττομεν, μετὰ λογισμοῦ θυμοῦσθαι, ὅσα δὲ ἐπιθυμίαις χαριζόμεθα, μὴ ἄγαν ἀλογίστως χαρίζεσθαι· οὕτω δὲ δεῖ κἀν τῷ λόγῳ ἓν μὲν ἦθος ἐκεῖνο τὸ μέγιστον τὸ ἐκ φιλοσοφίας ὥςπερ λογισμὸν ὑποκεῖσθαι τῷ λόγῳ, τὰ δὲ ἄλλα ἐπάγειν, τὰ θυμικὰ λέγω καὶ τὰ οἰκτρὰ καὶ τὰ ἀστεῖα καὶ τὰ πικρὰ καὶ τὰ ἐπίφθονα, πάντα ταῦτα ἐκείνου ἐξηρτημένα καὶ ἀλλήλοις συγκεκραμένα κατὰ τὸν τῆς χρείας λόγον.

2 Τοῦτο τὸ ἦθος Πλάτων ὑποθέμενος καὶ τὰ τῶν σοφιστῶν καὶ τὰ τῶν πολιτικῶν καὶ τὰ τῶν δημιουργῶν, καὶ τὰ τῶν μειρακίων καὶ τὰ τῶν ἀνδρῶν καὶ τὰ τῶν πρεσβυτέρων, καὶ τὰ τῶν γυναικῶν, καὶ τὰ τῶν | δούλων καὶ τὰ ἐλευθέρων ἤθη κατὰ λόγον 376 τούτῳ συνέπλεξεν. τοῦτο καὶ Δημοσθένης ὑποθέμενος δι' ὅλου μεγαλοπρεπής ἐστιν ἐν τοῖς λόγοις, ὁμοίως ἔν τε τοῖς συμβουλευτικοῖς τὸ τοῦ πολιτικοῦ ἦθος ὑποθέμενος καὶ τὸ τοῦ κολακεύοντος τούτῳ συμπλέκων

1 συμπλέκοντας Sauppius: πλέκοντας PMa 2 τὸ et 3 τὰ inserui 3 οὗ (ex οὐ) τἄλλα πράγματα G 12 δὲ om G δὴ ci Sauppius 13 ὃ ἐκ PMa: corr Sylburgius 14 ἐπάγειν cf 361, 17 15 καὶ ἐπίφθονα M 16 συγκεκραμ|μένα P 19 σοφιστικῶν PMG: corr a 22 τὰ τῶν ἐλευθέρων G 23 τούτων σ. G 24 διόλου PMGa 25 ἔν τε Pa: ἐν M | [συμ]βουλευτικοῖς (συμ sscr) P

⟨καὶ ἐν τοῖς δικανικοῖς⟩ * * . * * καὶ διαφέρων τὴν δόξαν τοῦ συναγορεύοντος, ἐν οἷς πραχθῆναι συναγωνίζεται, κατὰ μίμησιν τὴν Πλάτωνος. καὶ γὰρ ἐκεῖνος τὰ δόγματα οὐκ αὐτὸς ἀποφαίνεται, εἶτα περὶ αὐτῶν διαγωνίζεται· ἀλλὰ ἐν μέσῳ τὴν ζήτησιν ποιούμενος πρὸς τοὺς διαλεγομένους εὑρίσκων μᾶλλον τὸ δέον δόγμα ἢ φιλονεικῶν ὑπὲρ αὐτοῦ φαίνεται, πλὴν ὅσα περὶ τῶν κρειττόνων ἢ καθ' ἡμᾶς διαλέγεται. τοῦτο καὶ Ὅμηρος πανταχῇ τηρῶν καὶ πάντα ἤθη καὶ πάσας φαντασίας ἀπὸ τοῦ ἴσου ὑμνῶν καὶ τῇ τοιαύτῃ τέχνῃ μεταχειριζόμενος πρὸς τὰς διαφορὰς τῶν ὑπο-
377 κειμένων προσώπων ποιεῖται τὴν διάκρισιν. | Ταῦτα 3 μὲν ἐν ἤθει πλημμελοῦμεν, ⟨οἳ μὲν⟩ τὸ μηδὲ ὅλως ζητεῖν, οἳ δὲ τὸ μὴ πάντα εὑρίσκειν, οἳ δὲ τὸ μὴ περὶ τὴν κρᾶσιν πραγματεύεσθαι, οἱ δὲ πλεῖστοι καὶ σχεδὸν ἅπαντες καὶ τὸ μὴ ⟨τὸ⟩ πρῶτον καὶ μέγιστον ἦθος ὑφίστασθαι καὶ τὰ ἄλλα ἀκολούθως τούτῳ ἐπάγειν.

Περὶ δὲ γνώμην πρῶτον τὰ μέτρα οὐχ ὁρῶμεν, 4 ἀλλ' οἳ μὲν πάντα διὰ βραχέων ἐπιτρέχουσι δείξαντες ἕκαστα τῶν ζητουμένων καὶ παρελθόντες, συντομίαν τινὰ τοῦτο νομίζοντες, τὴν ἀπόλειψιν τῆς τῶν πραγμάτων θεωρίας· οἳ δὲ ὅπως πλεῖστα εἰς ἕκαστον τῶν ὑποκειμένων ζητημάτων ἐροῦσι, σκοποῦνται οὐκ εἰ-

1 hiatum indicaui. non solum alterum membrum intercidit sed etiam initium sententiae sequentis | διαφέρων tuetur Raderm, διαφαίνων ci Thiele 2 πραχθῆναι si sanum est, sic explicauerim 'in eis rebus quae ut fiant una cum illis contendit' 3 τὴν Pa: τοῦ MG 4 οὐχ M 7 δέον] cf Plato leg VII p 820e τῶν δεόντων μαθημάτων 8 διαλέγεται PM: λέγεται Ga 9 τηρῶν] παρ' ὧι P, MGa 10 ἴσου ὑμνῶν] ἰσουμένου libri | τῆι ταύτηι P, MG ταύτῃ s 13 πλημμελοῦμεν τὸ P, MGa 15 κράτησιν M 16 τὸ restituit Sauppius 19 ἐπιτρέ[χ]ουσι cum litura P 23 σκοποῦντες libri σκοποῦσιν Schottus

δότες, ὅτι τὰ μὲν φύσει ὁμολογούμενα καὶ τὰ τοῖς
ἤθεσι διεγνωσμένα καὶ τὰ ἔθεσι κεκριμένα βραχείᾳ
ἀποφάσει τὴν ἰσχὺν ἔχει, ἐὰν δέ τις μηκύνῃ, ψυχρό-
τερα καὶ ἀσθενέστερα αὐτὰ ἐξεργάζεται· περὶ δὲ τὰς
τῶν νόμων ἐξετάσεις καὶ τὰς τούτων ἀποδείξεις ἡ
πολλὴ πραγματεία ἀναγκαία τῷ ῥήτορι. ἔτι τε πολλάκις
ἀγνοοῦμεν ἅ τε βρα|χέως δεῖ λέγειν καὶ οἷς δεῖ 378
μῆκος περιτιθέναι. καίτοι βραχὺς ὁ περὶ τούτων λόγος,
ὡς τὰ ἰσχυρότατα βραχύτατα λεκτέον, τὰ δὲ ἀσθενέ-
στατά ἐστι καὶ τὰ ἀγχώμαλα τὰ τῆς βοηθείας τοῦ
ῥήτορος εἰς ῥοπὴν δεόμενα. ὅλως δὲ οὔτε βραχέα οὔτε
πολλὰ δεῖ ζητεῖν λέγειν, ἀλλὰ σύμμετρα πανταχοῦ,
ζητοῦντας πρὸς τῇ συμμετρίᾳ πανταχοῦ καὶ τὴν ἀσφά-
λειαν· ἐπιθυμίᾳ δὲ τοῦ πολλὰ δοκεῖν εὑρίσκειν καὶ
λέγειν πολλὰ ἐν τοῖς λόγοις λυμαινόμεθα. ταῦτα μὲν
καὶ περὶ τὴν γνώμην ἁμαρτάνομεν.

5 Ἀτεχνία δὲ ἐν μελέταις αὕτη· πρώτη μὲν γυμνὴ
τῶν κεφαλαίων πρότασις πανταχοῦ τῷ μὴ ἐπίστασθαι
μήτε προδιοικεῖσθαι, ὅ πέρ ἐστι προσυστῆσαι ἢ προ-
διαβαλεῖν, μήτε τὰς τῶν προτάσεων μεθόδους· αἳ |
ἐπὶ τριῶν σχημάτων ἀγωνίζονται· ἢ ὡς εἰδότος τοῦ 379
λέγοντος τὰ μέλλοντα λεχθήσεσθαι ὑπὸ τοῦ ἀντιδίκου·
'οἶδα τοίνυν, ὅτι ἐρεῖ' καὶ 'ἀλλὰ νὴ Δία ἐρεῖ'· ἢ
ὡς πυθομένου· 'πέπυσμαι τοίνυν αὐτὸν ἐρεῖν', 'ἀπήγ-

2 βραχέα M 3 ἀποφάνσει G 5 καὶ—ἀποδείξεις om G 6 ἔτι τε] ὅτε libri. cf 360, 1 7 ἀγνοούμενά τε libri 10 καὶ ἀνώμαλα G 13 πανταχοῦ om G 15 ταῦτα μὲν οὖν τὰ περὶ G 16 ἁμαρτήματα libri: correxi cf 367, 10 17 αὕτη om M ubi quae antecedunt rubricator ut titulum dedit 18 τὸ μὴ libri: corr Wolfius cf p 363, 9 19 μὴ δὲ PMG, a μήτε ⟨τὸ⟩ ci Raderm 20 μὴ τὰς PMa τὰς G 21 ἀγωνίζονται suspectum, sed cf 372, 1 cum Thielio et 365, 14 23 ἄλλα libri: corr Rombergius 24 πέπεισμαι PMa: corr Sylburgius | ἀπήγγειλε MGa

γειλεν τοίνυν τίς μοι'· ἢ ὡς στοχαζομένου. ὧν ἑκάστη
τῶν προτάσεων κατὰ λόγον τέχνης προτείνεται. ὁ δὲ
λόγος τῆς τέχνης οὗτος· περὶ ὧν θαρροῦμεν λύσειν,
ἐροῦμεν εἰδέναι ἐροῦντα τὸν ἀντίδικον· περὶ ὧν ἀμ-
φιβόλως ἔχομεν καὶ μέσως, εἰκάζειν προσποιησόμεθα· ἃ
δὲ ἰσχυρὰ ὄντα τῷ ἀντιδίκῳ ἴσμεν, ταῦτα ἀκηκοέναι
φήσομεν, ἵνα μὴ δοκῶμεν συνειδέναι τὰ ἰσχυρὰ τοῖς
ἐναντίοις.

Μία τοίνυν αὕτη ἀτεχνία, ὅπερ ἔφην, ἡ τῶν προ- 6
τάσεων γυμνότης, ἣν καὶ τέχνην τινὲς διαιρέσεως
νομίζουσιν. ἑτέρα δὲ ἡ δοκοῦσα παρὰ τοῖς πολλοῖς
τῆς τάξεως ἀκολουθία, τὸ καθ' ὅλον τοῦ προβλήματος
τὴν τάξιν διδόναι τοῖς καλουμένοις κεφαλαίοις· ἀλλὰ
380 δεῖ κατὰ τὴν χρείαν | τοῦ ἀγῶνος διακοσμεῖν τὰς
πίστεις, ἔνια καὶ μετατιθέντα, καὶ τάξαι τὸ συμφέ-
ρον ἡγούμενον, ἀλλὰ μὴ ὥςπερ στοιχείοις χρῆσθαι
τοῖς κεφαλαίοις κατὰ τὴν τάξιν ἀπὸ τοῦ ᾱ ἕως ω̄,
καθάπερ γραμματικὸν ἄνδρα, ἀλλὰ πρὸς τὴν χρείαν
τῶν ἀγώνων, ὥςπερ ⟨τὰ⟩ γράμματα πρὸς τὰ ὀνόματα,
οὕτω καὶ τὰ κεφάλαια πρὸς τὰ πράγματα διακοσμεῖν.
ἕτερον ἐκεῖνο τὸ μηδαμοῦ συμπλέκειν τοῖς ἀσθενέσι
τὰ ἰσχυρά, ἵνα τῇ τούτων ἰσχύι ἐκεῖνα ἐπικρύπτηται.

1 μοι] με M | ante ὧν exemplum coniecturae intercidisse monuit Radermacher 2 προτεύεται a 3 οὕτωσ· PM οὕτω Ga | λῦσιν P λύσιν Ga: corr M 4 ἐροῦντα om M 9 ὥςπερ Sylburgius 12 καθολον sic P καθόλου M: καλὸν Ga 13 ἀλλὰ μὴ κατὰ libri: corr Rombergius 15 τάξειν P τάξιν MGs: corr Radermacher 16 ἡγούμενον neutri generis est 'primo loco' 17 ἕως τοῦ ω̄ M | ω̄ ἀλλὰ καθάπερ libri: ἀλλὰ ante 18 πρὸς posui 19 τὰ ante γρ. suppleui | πρὸς τὰ] προστὸν ᾱ πρὸ στὰ ὀ|νόματα P, MG et qui tamen πρὸς τὸ ᾱ a: corr Wolfius. librarius archetypi προσστον (α suprascr.) male coeperat scribere, dein litteris uitiosis non deletis rectiora adposuit

ἔτι κἀκεῖνο τὸ μηδαμοῦ τῶν λόγων ἐκβολὴν ποεῖσθαι μηδεμίαν, καιροὺς ὑπερβαίνοντα, εἶτα πάλιν ἐπανιόντα. ὅ περ ποιοῦσιν οἱ παλαιοί· ἐν ἑτέρων καιρῶν ἀγῶσιν ἑτέρων μνήμας ποιοῦνται, τεχνικῶς προδιοικούμενοι τὴν τῶν μελλόντων λεχθήσεσθαι πίστιν καὶ ⟨τὰ⟩ παρόντα ὁμοῦ ταῖς ἐκείνων συμπλέκοντες πίστεσιν. ἔτι κἀκεῖνο ἁμάρτημα τὸ μηδὲν προδιοικεῖσθαι μηδὲ πρότερον ἀποδεικνύναι, εἶτα ἐπιφέρειν· ὅ περ ποιοῦσιν
οἱ παλαιοὶ πολλάκις, καὶ | μάλιστα Δημοσθένης κατὰ 381
μίμησιν τὴν Πλάτωνος, εἰδὼς ὅτι πολλαχοῦ προτεινόμενα τὰς κατασκευὰς ἀσθενεῖς ἔχει, προκατασκευασθέντα δὲ πιστὰ ⟨τὰ⟩ ἐπενεχθέντα φαίνεται. τί δεῖ λέγειν, ὅτι τὴν ἀναγκαίαν ἀκολουθίαν οὐχ ὁρῶμεν; ἣν φησὶ δεῖν Πλάτων προσεῖναι τοῖς λόγοις, 'οὐ χύδην' ὡς ἔτυχεν 'βεβλῆσθαι' τὰ ἐνθυμήματα, ἀλλ' εἶναι τὸν λόγον ἐοικότα σώματι ἐκ κεφαλῆς ἐπὶ πόδας ἔχοντι τὰ μέρη καὶ τὰ μέλη ἀλλήλοις τε πρέποντα καὶ τῷ ὅλῳ συστήματι τοῦ σώματος. τοῦτο μὲν παρίημι εὐθύνειν, ὅτι ἔοικε σπάνιον εἶναι. ὁπότε γὰρ καὶ Λυσίαν ἐπὶ τούτῳ ἐλέγχει, πᾶσαν τὴν ἡμετέραν ῥητορικὴν ἔοικεν ἐλέγχειν. τοῦτον δὲ τὸν ἔλεγχον τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν μόνος Δημοσθένης ἐξέφυγεν κατὰ μίμησιν τὴν Πλάτωνος· πῶς καὶ τίνα τρόπον, ἐν τῷ περὶ μιμήσεως πειρασόμεθα. τοι-

14 Plato Phaedri p 264^{b} 15 ibidem 264^{c}

3 παλαιοί, οἳ ἐν Schottus 5 μελλόντων om M | τὰ inserui 6 συμπλέκοντα PMGa συμπλέκονται s: corr Schottus 9 πολλά ex πολλὰ corr P, MGa: corr Sylburgius 10 μίμησιν τῶν PMa μίμησιν G: corr Sylburgius | ὅτι πανταχοῦ a | ⟨τὰ⟩ προτειν. Wolfius non recte 12 τὰ restituit Rombergius 14 προσθεῖναι libri 15 ἔτυχον libri: corr Schottus 21 τοῦτο a 23 τὴν] τοῦ G 23s cf adn 217, 14s 24 an ἀκροασόμεθα?

382 αῦ τα μὲν καὶ τοσαῦτα καὶ ἔτι πλέω τούτων τὰ τῆς
ἀτεχνίας πλημμελήματα.

Περὶ δὲ τὴν λέξιν συχνὰ τὰ ἁμαρτήματα. οἳ μὲν 7
γὰρ πάνυ εὐτελῶς φθέγγονται καὶ φασὶ τὸ κατὰ φύσιν δὴ καὶ γνώριμον μεταδιώκειν, οὐκ εἰδότες ὅτι ἐν τῷ καλῷ μάλιστα ⟨τὸ⟩ γνώριμόν ἐστιν, ἐν δὲ τῷ ἀγοραίῳ τῆς λέξεως οὐδὲ τὸ σαφές, μή τί γε ⟨τὸ⟩ γνώριμον φαίνεται· τὸ γὰρ ἀγοραῖον οὔτε τὴν δήλωσιν ἀκριβῆ οὔτε τὴν φαντασίαν ἐναργῆ παρέχεται. οἳ δὲ τὸ παράσημον τῆς λέξεως ἐναγκαλίζονται, εἴ πού τι ἀνακεχωρηκὸς ὄνομα ἢ ῥῆμα εἴρηται, τοῦτο θηρῶντες καὶ πανταχοῦ φθεγγόμενοι, ἐπ' ἀρχαιότητι δή τινι σεμνυνόμενοι· γελοῖον πεπονθότες, εἴ γε μὴ λογίζονται, ὅτι τὰ βυβλία διὰ τῶν γνωριμωτάτων ἀγωνίζεται, τὰ δὲ ἀνακεχωρηκότα ταῦτα σπάνιά ἐστιν. οὔκουν ἀρχαΐξειν ⟨ἂν⟩ δοκοίη ὁ τὰ ὀλιγάκις εἰρημένα ἀρχαίοις λέγων, ἀλλ' ὁ τοῖς ἀεὶ λεγομένοις καὶ πανταχοῦ χρώμενος. ἀγνοοῦσιν δὲ καὶ τὴν χρῆσιν τῶν σπανίων
383 ὀνο μάτων, καθ' ἃς αἰτίας ἔνεστι τοῖς βυβλίοις. εἰσὶ
δὲ αἱ αἰτίαι αὗται· πρώτη μὲν ἐκείνη· ἔνια τῶν ὀνο- 8
μάτων τοῖς τότε καιροῖς συνήθη ἦν καὶ γνώριμα, ὧν νῦν ἡ χρῆσις ἐξερρύηκεν· ἐκεῖνοι μὲν οὖν ὡς γνωρίμοις ἐχρῶντο, ἡμεῖς δ' ἂν αὐτὰ εἰκότως ἐκκλίνοιμεν.
δευτέρα αἰτία· ἔνια τῶν πραγμάτων τῷ μὴ πολλάκις 9

1 πλεω P πλέω M: πλείω Gs 4 γὰρ om M 5 δὴ] δεῖ M | εἰδότες τί ἐν libri: corr Schottus 6 τὸ inserui itemque 7 7 μήτοι γε G 9 οἳ δὲ] οὔτε libri: corr Sylburgius 10 λέξεως ἀναγκάζονται libri: corr Cobetus Mnemos. n. s. III p 330 12 φθειρόμενοι Ga 14 βυβλία P: βιβλία MGa 15 οὔκουν sic P 16 ἂν restitui | ἀρχαΐοις P τοῖς ἀρχαίοις M 18 ἀγνοοῦσι MGa 19 ἔνεστι Hudso: ἐστὶ libri | βυβλίοις P: βιβλίοις reliqui 20 αἱ om M | αὗται ante αἱ traicit G

συνήθη τοῖς ἀνθρώποις εἶναι ἀήθη πάντα ἔσχεν καὶ
τὰ ὀνόματα, οἷον τὸ περὶ τοὺς ὀδόντας πάθος, ὅταν
ὑπό τινος δριμέος ἢ στριφνοῦ μὴ οἷοί τε ὦσιν τέμνειν
οἱ ὀδόντες ὥςπερ φρίττοντες. τοῦτο γὰρ σπανίως
συμβαίνει· σπανία δὴ καὶ ἡ χρῆσις τοῦ ὀνόματος.
10 ἡμεῖς δὲ ἐκκυκλοῦμεν ἀεὶ τὰ τοιαῦτα ὀνόματα. τρίτη δὲ
αἰτία ἐκείνη· ἐνίοτε λέγουσιν τὰ σπάνια τῶν ὀνομάτων
κατὰ μίμησιν τὴν πρὸς ἑτέρους, καθάπερ ἐν ἰδιώματι
κωμῳδίας. ἡμεῖς δὲ οὔτε παίζοντες οὔτε ἀνάγκῃ κατα- 384
κλειόμενοι θηρῶμεν τὰ ὀλίγα ταῦτα ὀνόματα, ὀψιμαθίᾳ
καὶ ἀπειροκαλίᾳ τοῖς αἰσχίστοις τῶν παθῶν περιπεπτω-
κότες. Ἔτι κἀκεῖνο πλημμέλημα ἐν τῇ λέξει τὸ ὑπὸ φιλο-
τιμίας πᾶσι χρῆσθαι τοῖς εἰρημένοις ὀνόμασι πανταχοῦ,
τὸν καιρὸν μὴ προστιθέντα, οἷον λέγω ἱστορικόν που
ὄνομα, διαλεκτικόν, ποιητικόν, ἐκ τραγῳδίας ἢ κωμῳ-
δίας φθέγγεσθαι ὄνομα. ἔστιν δὲ τοῦτο παιδείας μὲν
ἴσως ἔνδειξις, χρήσεως δὲ ἀπειρία. δεῖ γὰρ διακρί-
νειν, τίνα δικανικά τε τῶν ὀνομάτων, τίνα διαλεκτικὰ
καὶ τίνα ἱστορικά, καὶ τίνα ποιητικὰ ἑκατέρας τῆς
ποιήσεως, καὶ ἐπιλέγεσθαι τὰ πολιτικὰ πανταχόθεν·
εἰ δὲ μή, καὶ γελοῖοι καὶ ἐπίφθονοι φανούμεθα· οὐχ
ὡς οὐκ ἔστι που καὶ διαλεκτικὸν ὄνομα καὶ ἱστορικὸν
καὶ ποιητικὸν ἐν τοῖς πολιτικοῖς βυβλίοις, ἀλλ' ἐπί-

2—5 scil αἱμωδία cf Galenus t VII p 108 s K.

1 πάντως G | ἔσχε MG   3 δριμέος cum productionis nota cf p 385, 16 | στριφνοῦ P: στρυφνοῦ MGa | οἷόν τε P: corr MGs | ὦσι a   5 δὲ καὶ libri   6 ἐγκυκλοῦμεν P ceterique: corr Schottus ἐκκλινοῦμεν Sylburgius   7 ἔνιοί τε PMG: corr a | λέγουσι s   8 ἰδιώματι] ἰδίωι τινὶ P, MGa ἰδέᾳ τινὶ Cas(aubonus)   10 fort τὰ ὀλιγάκις   14 προστιθέντας G   16 ἔστι a | μὲν δὴ τοῦτο ἴσως παιδείας τινὸς ἔνδειξις G   18 τε om G | fort ὀνομάτων <καὶ δημηγορικά>   19 ἑκάτερα PMa: corr G   23 πολιτικὸν ἐν τοῖς ποιητικοῖς libri: corr Schottus | βυβλίοις P: βιβλίοις ceteri

στασθαι δεῖ καὶ τὸν καιρὸν τῆς χρήσεως καὶ τὴν
διοίκησιν. ἔστιν δὲ ὁ μὲν καιρὸς ἐκεῖνος, ὅταν ἐναρ-
γέστερόν τι ὄνομα ᾖ ἀπὸ ποιήσεως ἢ διαλεκτικῆς ἢ
385 ἱστορικῆς, χρῆσθαι, | ὡς ὁ ῥήτωρ, πρὸς τὴν ἐνέργειαν.
ἡ δὲ διοίκησις ἐκείνη, τὸ προεξηγήσασθαι καὶ τοῖς
προταχθεῖσιν ἢ ἐπιφερομένοις οὖσι γνωρίμοις ἀφα-
νίσαι τὴν καινότητα τοῦ ὀνόματος καὶ ὁμολογίᾳ χρῆ-
σθαι τοῦ τὸ ῥῆμα ἐξ ἄλλης ἰδέας λόγων εἶναι· ἱκανὴ
γὰρ ⟨ἡ⟩ ὁμολογία καὶ παραμυθία τῆς καινότητος.
ταῦτα καὶ ἔτι πλείω τούτων κατὰ λέξιν ἁμαρτάνομεν.
Ἀκόλουθος δὲ τῇ λέξει καὶ ὁ περὶ τῶν σχημάτων 11
λόγος, ὅτι καὶ ἀπλάστως καὶ ἀσχηματίστως λέγουσιν,
ὥςπερ καὶ ἀγοραίως τοῖς ὀνόμασιν. οἳ δὲ καὶ παντα-
χόθεν σχήματα συνάγουσιν ἀγνοοῦντες τὸν καιρὸν
αὐτῶν, ὥςπερ καὶ τῶν ὀνομάτων. τοιαῦτα μέν τινα
καθόλου λέγειν |ἔχομεν ⟨πλημμελούμενα⟩ ἐν ἤθει, ἐν
γνώμῃ, ἐν τέχνῃ, ἐν λέξει.
Φέρε δὴ κατὰ μέρος σκεψώμεθα ἀπὸ τῶν τῆς ὑπο- 12
θέσεως στοιχείων τὰ ἐν ἑκάστῳ στοιχείῳ πλημμελή-
386 μα|τα· ἔστι δὲ τὰ τῆς ὑποθέσεως στοιχεῖα τέσσαρα·
προοίμιον, διήγησις, πίστεις, ἐπίλογοι.
Ἃ τοίνυν πλημμελοῦμεν ἐν προοιμίῳ μελετῶντες, 13
ταῦτά ἐστι. πρῶτον μὲν ὡς εἰδόσι τοῖς δικασταῖς
διαλεγόμεθα προοιμιαζόμενοι, γελοιότατον πάσχοντες,
ἐπειδὴ προβάλλομεν πρὸ τῆς μελέτης τὴν ὑπόθεσιν,

2 ἔστι a   3 ᾖ] ἢ libri   4 ὁ ῥήτωρ i e Demosthenes | ἐνάργειαν GM^1 6 προσταχθεῖσι a   7 ὁμολογίαν P^1 | fort χρή-σασθαι   8 τοῦ, τὸ sic P: τοῦτο a | λόγον M   9 ἡ inserui | καὶ] fort ἔσται | κενότητος a   10 τούτων om G   16 πλημμελούμενα suppleui   18 φέρε δὲ PM φέρε δὲ καὶ G: corr a | ἀπὸ] nonne ἐπὶ?   19 ἑκάστωι στοιχεῖα P ω sscr P^2 21 πίστις MG^1 | ἐπίλογος ci Romberg, sed cf 374, 3

ἡγούμενοι καὶ τὸν δικαστὴν ὥςπερ τὸν ἀκροατὴν ἐπίστασθαι τὸ πρόβλημα. δεῖ δὲ ἐν τῷ προοιμίῳ καὶ παρανοίγειν τὸ πρᾶγμα, ἐπὶ κεφαλαίων προδηλοῦντα, περὶ ὧν ὁ ἀγὼν γενήσεται. ἔπειτα δὲ νόμον τινὰ προοιμίων ἐποιήσαντο τὰ προοίμια, οὐκ εἰδότες ὅτι ἓν ἐξαρκεῖ ⟨πολλάκις⟩, πολλάκις δὲ καὶ πλειόνων δεῖ. ἔτι τοίνυν πολλοὶ προκαταχρῶνται τοῖς κεφαλαίοις ἐν τοῖς προοιμίοις, οὐδὲ νοοῦντες, ὅτι τὰ προοίμια δεῖ σύστασιν μὲν εἶναι τῶν κεφαλαίων, οὐκέτι δὲ αὐτὰ κεφάλαια. ὅθεν καὶ τῶν ἀντι|δίκων ὑπολήψεις ἐν προοιμίοις 387
διαλαμβάνουσιν. ἔτι μέντοι καὶ λοιδορούμεθα πανταχοῦ τοῖς ἀντιδίκοις προοιμιαζόμενοι, οὐκ εἰδότες οὐδὲ τοῦτο, ὅτι ῥήτωρ λοιδορίᾳ χρῆται ὡς πίστει ἤτοι κατὰ ἤθους ἢ κατὰ πραγμάτων χρείαν· ἡμεῖς δὲ πανταχοῦ τοῖς ἀντιδίκοις προοιμιαζόμενοι λοιδορούμεθα. ἔτι μέντοι ἓν σχῆμα τῶν προοιμίων ἡμῖν ἐστι, τὰ στρογγύλα καὶ τὰ περιφερῆ λέγειν προοίμια· οὐκ ἴσμεν δὲ ὅτι καὶ τὰ ἀποτεταμένα ἔστιν ὡς ἐν διηγήσεως τρόπῳ, καὶ ἀπὸ παροιμίας που ἄρχεται προοίμιον, καὶ παράδειγμά που καὶ εἰκόνα προοίμιον ἔχει. πάντων δὲ τούτων τῶν ἀγνοημάτων ⟨αἴτιον⟩ τὸ μὴ ἐπίστασθαι, τί τὸ κεφάλαιόν ἐστι τοῦ προοιμίου καὶ τίς ἡ τέχνη ἐστί. τὸ δὲ κεφάλαιον τοῦ προοιμίου δόξα προσώπων τε καὶ πραγμάτων· δεῖ γὰρ ἢ συστῆσαι ἢ διαβαλεῖν

1 ὥσπερ καὶ τὸν M 6 suppl Radermacher | ἔτι PMG: εἰ a 7 ἐν τοῖς] ἐν M 8 οὐδὲ PGa: οὐδὲν M 9 οὐκ ἔτι P, M: οὐκ ἔστι Ga | αὐτὰ PMa: αὐτὰ τὰ G 11 λαμβάνουσιν libri 13 ὅτι ὁ ῥήτωρ MG 14 ἤθους Pa: ἦθος MG 18 ἐστὶν libri. fort ἔστιν ⟨οὐ παραληπτέον⟩ 19 παρυμίας P^1 21 αἴτιον suppleuit Stephanus 22 ἐστι om G 23 ἐστί om M 24 δεῖ γὰρ ἢ συστῆναι (sic) ἢ διαβαλεῖν ἢ πρόσωπον ἢ πρᾶγμα ἢ καὶ συστῆσαι καὶ διαβαλεῖν καὶ πρόσωπον καὶ πρᾶγμα. ἡ δὲ P

ἢ πρόσωπον ἢ πρᾶγμα. ἡ δὲ τέχνη τοῦ προοιμίου προδιοίκησις τοῦ παντὸς ἀγῶνος. δεῖ γὰρ παρασκευάσαι τὸν ἀκροατὴν ἐν τῷ προοιμίῳ, ὡς συμφέρει τῷ
388 ῥήτορι τοῦτον τὴν τοῦ | παντὸς ἀγῶνος ἀκρόασιν ποιήσασθαι. ἐντεῦθεν καὶ τὰ μέτρα τῶν προοιμίων εὑρίσκομεν κατὰ τὰς διοικήσεις καὶ τὰς πλάσεις καὶ τὴν ἑρμηνείαν. ταῦτα μέν ἐστι κεφάλαια περὶ τῆς ἐν προοιμίοις πλημμελείας.

Διηγήσεις δὲ οἳ μὲν οὕτω βραχείας ποιοῦνται, 14
ὥςπερ οὐ δέον μηκῦναι τὴν ὑπόθεσιν· οἳ δὲ οὕτω μακράς, ὥςτε καὶ συμπλέκειν καὶ κατασκευάς τινας καὶ αὐξήσεις. ἑκάτερον δὲ τούτων ἁμάρτημα. τό τε γὰρ μὴ σαφῶς διδάσκειν οὐκ ἂν εἴη διηγεῖσθαι· τό τε ἀπέραντα λέγειν, ἀλλὰ μὴ ἐν μέτρῳ τῆς διδασκαλίας τὸ πιθανὸν διοικεῖσθαι κλέπτοντα τὴν ἀκρόασιν — ματαία καὶ ἄκαιρος ἡ τοιαύτη ἀδολεσχία. δεῖ δὲ τὸν ῥήτορα διηγεῖσθαι μὲν ὡς διδάσκοντα, πειρᾶσθαι δὲ πείθειν ἐν τῷ διδάσκειν, τά ⟨τε⟩ σαθρά καὶ τὰ ἰσχυρά, τά τε τοῦ ἐξ ἐναντίας καὶ τὰ αὑτοῦ πρὸς τὸ συμφέρον μεταχειριζόμενον. ἁμάρτημα δὲ καὶ τὸ πανταχοῦ διηγεῖσθαι μὴ ἐπιστάμενον, ὅτι ὅλη μὲν ἰδέα συμβουλευτικὴ διηγήσεως οὐ δεῖται· ἴσασι γὰρ οἱ βουλευόμενοι
389 περὶ ὧν σκοποῦνται, καὶ δέονται μα|θεῖν ὃ πρακτέον ἐστίν, οὐχ ὅπερ βουλευτέον. εἰσὶ δὲ καὶ δίκαι διηγήσεις οὐκ ἔχουσαι· αὗται δέ εἰσιν ⟨αἳ⟩ καὶ τοῖς δικάζουσι τὸ

itemque M ubi tamen ante ἡ δὲ interponitur rubro τίς ἡ τέχνη τοῦ προοιμίου: carent uariae lectionis interpolamento Ga 2 γὰρ om M 4 τούτωι P, Ma om G οὕτω Schottus | ἀγῶνος om G 6 κατὰ] καὶ libri 11 μακρᾶς P | καὶ κατὰτασκευάστινασ P: corr MGa 14 τῆς om G^1 18 τὰ σαθρὰ libri: τε inserui | ἰσχυρά· P 19 καὶ τοῦ αὐτοῦ PMa: corr G (sed αὐτοῦ) et Schottus 22 βουλευόμενοι P: βουλόμενοι MGa 25 εἰσιν καὶ P εἰσι καὶ MGa: εἰσιν αἱ Sylburgius

πρᾶγμα γνώριμον ἔχουσαι καὶ τοῖς ἀντιδίκοις ὁμοίως ἀμφοτέροις ὁμολογούμενον· τοιαῦται δὲ εἰσὶν αἱ πλείους τῶν πραγματικῶν ὑποθέσεων. οὕτω δέ που πράγματά ἐστι πολιτικὰ ἐν οἷς οὐ δεῖ διηγεῖσθαι, ἀλλὰ μάταιον τὸ ἀνάλωμα τῶν λόγων, ὅπου τοῖς λέγουσιν ἀμφοτέροις ἡ διήγησις περιττὴ καὶ πλέον οὐδὲν ἑκατέρῳ· οἷον ἀριστειῶν διηγήσεις γελοῖαι παντάπασιν (ὁμολογοῦνται γάρ) καὶ ἐκ παραβολῆς αἰτήσεις· οἷον δύο στρατηγῶν ὃ μὲν τριακοσίους ἔλαβεν αἰχμαλώτους, ὃ δὲ τριακοσίους ἀνῄρηκεν· ἀμφισβητοῦσιν τῆς δωρεᾶς· ἐνταῦθα γὰρ τὸ διηγεῖσθαι οὐδετέρῳ χρήσιμον, ἄλλως δὲ καὶ τὸ πεπραγμένον πᾶσι γνώριμον. |

15 Ἐν δὲ τοῖς κεφαλαίοις πρὸς τῇ ἄλλῃ τῇ εἰρημένῃ 390
ἀτεχνίᾳ καὶ τόδε [τὸ] πλημμέλημα, ἀλόγων τινῶν καὶ ἀπρεπῶν καὶ ἀπιθάνων κεφαλαίων συνήθεια, οἷς χρῶνται οἱ μελετῶντες, οὐκ ἂν χρησαμένων τῶν ὡς ἀληθῶς λεγόντων· ἃ καὶ καλοῦσιν καθολικὰ κεφάλαια. ἐν μὲν τῇ συμβουλευτικῇ ἰδέᾳ τὸ 'οὐ δεῖ πόλεμον πρὸ εἰρήνης αἱρεῖσθαι'· τίς γὰρ ἔστιν ὁ λέγων, ὅτι δεῖ ⟨ἀεί⟩ ποτε πόλεμον πρὸ εἰρήνης αἱρεῖσθαι; ἀλλ' εἰ μέντοι, ζητοῦμεν καὶ τὸ πρὸς τίνας καὶ τὸ ἄχρι πόσου· ὧν ἡ ζήτησις ἐν τέσσαρσι τοῖς τῆς συμβουλῆς κεφαλαίοις,

1 ἔχουσι una editio Tauchn 2 τοιαῦται] αὗται libri 3 πραγμάτων PM τικ(ῶν) nouissimis litteris nunc euanidis sscr P²: πραγματικῶν Ga | τοῦτο δὲ ὑπὸ πράγματα libri. tertium genus controuersiarum adiungitur 6 ἑκατέρων libri 7 διηγήσεις γελοῖα P, MGa: corr Sylburgius 9 τριακοσίων a 10 ἀλφισβητοῦσι a 14 τὸ spurium 17 καλοῦσι a 19 αἰτεῖσθαι P solus | τίς γὰρ — 20 αἱρεῖσθαι· P: om MGa | ἀεὶ restituit Brinkmannus 20 ἄλλοι P ἀλλ' οἱ M ἄλλοι Ga: corr Schottus | μεν τὸ ζητούμενον P, MGa 21 τὸ πότερος τινὰσ P, Ga τὸ πρότερόν τινας M τὸ πότερόν τινας s τὸ πότε ⟨καὶ τὸ π⟩ρὸς τίνας ci Brinkmannus

τῷ δικαίῳ, τῷ συμφέροντι, τῷ καλῷ, τῇ δυνάμει. ἐν δὲ ταῖς δικανικαῖς τὸ δεῖν τὸν ἠριστευκότα, τὸν ἀνῃρηκότα τύραννον δωρεὰν λαμβάνειν, ⟨ἣν⟩ ἂν θελήσῃ, πᾶσαν, ἐπειδὴ ὁ νόμος κελεύει· τοῦτο γὰρ πῶς οὐ παντάπασιν ἄλογον καὶ ἀναίσχυντον; ἀλλ' εἰ μέν, ζητεῖται, ⟨ἃ⟩ βούλεταί τις, εἰ δίκαια καὶ πρέποντα αὐτῷ αἰτοῦντι λαβεῖν καὶ τοῖς ψηφιζομένοις παρασχεῖν. ἔτι κἀκεῖνο τὸ μὴ δεῖν τὸν στρατηγόν, τὸν ἄρχοντα
391 τῶν κατὰ μέρος εὐ|θύνας ὑποσχεῖν· τούτῳ γὰρ σαφῶς ὁμολογεῖ ἀδικεῖν, τῷ μὴ πάντων ἀξιοῦν λόγον ὑποσχεῖν. φαίη τις ἂν ἐκ περιουσίας ταῦτα λέγεσθαι· 16
ἀλλὰ τοὺς πλείστους τῶν λόγων ἐπ' αὐτοῖς ἀναλίσκουσιν. ἔπειτα εἰδέναι δεῖ καὶ περὶ τῶν ἐκ περιουσίας κεφαλαίων, ὅτι τότε λεκτέα ἐστίν, ὅταν χρήσιμον ⟨ᾖ⟩ καὶ μὴ πολὺ μᾶλλον βλάπτῃ. ἔτι κἀκεῖνο τὸ μὴ δεῖν πατρὶ ἀποκηρύττοντι ἀντιλέγειν· τοῦτο πάντων γελοιότατον τὸ ἥκοντα εἰς δικαστήριον κατηγορήσοντα παιδὸς φάναι μὴ δεῖν ἀπολογεῖσθαι. μέγιστον δὲ καὶ ἀλογώτατον ἐκεῖνο τὸ μὴ δεῖν ἐξ εἰκότων κατηγορεῖν· τοῦτο γὰρ παντάπασιν στοχασμὸν ἀναιρεῖ, ὅ περ μέγιστον δικανικῆς ἰδέας μέρος· αἱ γὰρ πλεῖσται δίκαι ἐκ τῶν εἰκότων κρίνονται. ταῦτα καὶ ἄλλα τοιαῦτα κεφάλαια ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς εἰθισμένα

3 ἣν ἂν] ἐὰν libri. cf lex Senecae controu. X 2 'uir fortis quod uolet praemium optet. si plures erunt, iudicio contendant' | θελήσηι P, MG: θελέσῃ a 4 ἐπειδὴ δὲ ὁ libri: corr Sylburgius | γὰρ om G 5 μὲν ζητεῖται, βούλεταί τι (τί M τὸ s) libri 7 fort αὐτῷ ⟨τῷ⟩ 9 τοῦτο — 10 τὸ libri 10 λόγου Pa: corr MG 12 πλείους a 13 δεῖ] χρὴ G 14 τίτοτε P τί τότε Ga τί.. cum fenestra M | λεκτέα PMGa: λεκτέον ex apographo Colbertino Schottus 15 ᾖ inserui 18 φᾶναι Pa 20 παντάπασι a 21 πλεῖσται δικανικαὶ libri 23 σοφιστῶν PM: σοφῶν Ga

ἀγωνίζεσθαι φευκτέα, εἰ μέλλει τις πρὸς ἀλήθειαν
17 ῥητορεύειν. | Ταῦτα μὲν πρὸς τοῖς εἰρημένοις καὶ περὶ 392
τῶν κεφαλαίων.

Ἐνίοις κἀκεῖνο ἁμάρτημα, αἱ καλούμεναι ἐκφράσεις, πολλαχοῦ τὸ χειμῶνα γράφειν καὶ λοιμοὺς καὶ λιμοὺς καὶ παρατάξεις καὶ ἀριστείας. οὐ γὰρ ἐν τούτῳ ἐστὶν ἡ κρίσις τῆς δίκης, ἐν τῷ διαγράψαι τὸν χειμῶνα. ἀλλὰ καὶ ταῦτα ματαία ἐπίδειξις καὶ λόγου ἀνάλωμα· εἰσερρύη δὲ τοῦτο τὸ ἁμάρτημα ἐν ταῖς μελέταις κατὰ ζῆλον τῆς ἱστορίας καὶ τῶν ποιημάτων. ἀγνοοῦμεν γὰρ ὡς ἔοικεν, ὅτι ἱστορία μὲν πεζὴ καὶ ποίησις γραφικὰς τὰς ὄψεις τῶν ἀναγκαίων τοῖς ἀκούουσιν παράγουσιν, ἀγὼν δὲ δικανικὸς μεμέτρηται πρὸς τὴν χρείαν. καὶ οἱ μὲν ποιηταὶ καὶ ἱστορικοὶ τὰ συμβεβηκότα τόποις τισὶ καὶ προσώποις ἐκτυποῦσιν, ὡς ἐγένετο· οἱ δὲ μελετῶντες ῥήτορες οὐκ ἔχοντες ὁμολογουμένην οὐδὲ ἰδίαν τὴν τῶν πεπραγμένων ἰδέαν αὐτοῖς ἀναπλάττουσιν λοιμῶν καὶ λιμῶν καὶ χειμώνων
καὶ πολέμων ὄψεις, | οὐ πάντων οὕτω συμβεβηκότων, 393
ὡς αὐτοὶ λέγουσιν. ἔξεστι γοῦν καὶ τῷ ἀντιδίκῳ ἑτέρως αὐτὰ φράσαι ἢ ὡς ἂν ὁ ἀντίδικος εἴπῃ. ὥσπερ οὖν ἔφην, καὶ ταῦτα μάταιον μῆκος λόγων. τοῦτο δὲ τὸ πάθημα ἀνθρώπων ἀγνοούντων, ὅτι καὶ ἐν τοῖς ἐπικαίροις τῶν ἀγώνων ἔστι φαντασίας κίνησις

22 supra u 8

1 μέλλοι M 4 ἐνίοις] ἐν οἷς libri | κἀκεῖνα ἁμαρτήματα M 5 τὸν Pa: corr Raderm, de uu conlocatione cf Philol 63, 7s 9 εἰσερρύει ante Schottum edebant 12 γραφικὰς] ἱστορικῆς PMa ἱστορικὴ G 13 ἀκούουσι s | παράγουσιν cf Meinekius ad Com. gr. t I p 536, 10 17 πεπραγμένων PM: πραγμάτων Ga 18 αὐτοῖς libri 22 ἔφην PM: om Ga 24 ἐστὶ φαντασία ἐκείνη ἱκανὴ libri

ἱκανὴ καὶ οὐ δεῖ ἔξωθεν λόγοις φαντασίας ἐπεισκυκλεῖσθαι.

Περὶ δὲ ἐπιλόγων· ἡγοῦνται τοὺς ἐπιλόγους ὥςπερ 18
ἐν δείπνῳ τραγήματα εἶναι τῶν λόγων καὶ ὥςπερ ‘ἐπιφυλλίδας καὶ στωμύλματα’ (παρ᾽ ὃ καὶ ἐπιφωνήματα καλοῦσιν τὰ ἐν ἐπιλόγοις λεγόμενα) οὐκ εἰδότες, ὅτι
394 ὥςπερ τὸ προοίμιον διοίκησις τοῦ παντὸς ἀγῶ|νος, οὕτω καὶ ὁ ἐπίλογος βεβαίωσις ἢ ἐπανάμνησις τῶν προαποδεδειγμένων πραγμάτων, ἢ ἐν παθῶν συντάσει παροξυνόντων ἡμῶν ἢ οἰκτιζομένων ἢ καὶ ἄλλα ὅσα ἤθη λόγων διάφορα τῷ ὑποκειμένῳ ἑκάστοτε ἀγῶνι.
Ταῦτα καὶ ὅσα ἐκ τούτων ἤρτηται τηρῶμεν ἐν ταῖς 19
μελέταις πλημμελήματα.

Ἔτι δὲ καὶ τὴν παλαιότητα μὴ ἐν τῇ θέσει τῶν βυβλίων νομίζωμεν εἶναι, ἀλλ᾽ ἐν τῇ χρήσει τῆς ὁμοιότητος. μίμησις γὰρ οὐ χρῆσίς ἐστι τῶν διανοημάτων, ἀλλ᾽ ἡ ὁμοία τῶν παλαιῶν ἔντεχνος μεταχείρισις. καὶ μιμεῖται τὸν Δημοσθένην οὐχ ὁ τὸ ⟨Δημοσθένους λέγων ἀλλ᾽ ὁ⟩ Δημοσθενικῶς, καὶ τὸν Πλάτωνα ὁμοίως καὶ τὸν Ὅμηρον. καὶ πᾶσα μίμησις ὧδε ἔχει· τέχνης ζῆλος ἐκμάττων ἐνθυμημάτων ὁμοιότητα. μακρότερος ὁ περὶ μιμήσεως λόγος, ὃν ἀλλαχῇ μεταχειριούμεθα. τὸ δὲ νῦν ἔχον τηρητέον τὰ ἐν μελέτῃ πλημμελήματα

4 Aristophanis ran. 92

1 λόγους libri | ἐπικυκλεῖσθαι libri: corr Toupius ad scr. π. ὕψους 22, 4 9 ἐν ἠθῶν συστάσει libri 11 ἤθη λόγων offendit, πάθη λ. ci Raderm 12 fuit qui τηροῦμεν coniceret. sed cf u 23 15 βυβλίων P 17 ἡ ὁμολογία libri. longius abest ἡ ὁμοιότητος | παλαιῶν] καιρῶν libri | μεταχείρησις PGa: corr M 18 ὁτο P ὁ τὸ M: ὅτι a ὁ G. orationem hiantem suppleui 20 πᾶσα PM: πᾶσα ἡ Ga 21 ζῆλος τέχνης G | ἐκμάττων] καταμαθὼν libri

ἐν ἤθει, ἐν γνώμῃ, ἐν τέχνῃ, ἐν | λέξει, κατὰ πάντα 395
μέρη τῆς ὑποθέσεως, κατὰ προοίμιον, διηγήσεις, πίστεις,
ἐπιλόγους. ταῦτα περὶ τὰ φανερώτατα· πλείω δὲ τὰ
ὑπολειπόμενα, ⟨ἃ⟩ δείξουσιν αἱ συνουσίαι.

XI

Περὶ λόγων ἐξετάσεως

Ὁ μέγιστος κίνδυνός ἐστι καὶ νέῳ καὶ μὴ νέῳ περὶ
τὴν τῶν λόγων κρίσιν. ταῖς γὰρ ἡμετέραις δόξαις
δίχα ἐπιστήμης εἰκῇ καὶ ἐπαινοῦμεν ἃ ἔτυχεν ἑκάστοτε
καὶ ψέγομεν· καὶ διὰ τοῦτο συμβαίνει ταὐτὰ καὶ ἐπαι-
νεῖσθαι καὶ ψέγεσθαι οὐ μόνον ἄλλοτε ὑπ' ἄλλων,
ἀλλὰ καὶ ταὐτὰ ὑπὸ τῶν αὐτῶν ποτὲ μὲν ἐπαινεῖσθαι,
ποτὲ δὲ ψέγεσθαι. ὥςπερ γὰρ οἱ ἄπειροι τοῦ ἀριθμοῦ
οὐδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγουσιν οὔτε πρὸς
ἀλλήλους οὔτε πρὸς ἄλλους, ἀλλ' ἡ ἀπειρία παρέχει
τεκμήριον τὴν | ἀσυμφωνίαν· οὕτως ἀμέλει καὶ περὶ 396
λόγους ἔχομεν οἱ πλεῖστοι· οὐδέποτε γὰρ τὰ αὐτὰ ἡμῖν
δοκεῖ, ἀλλὰ ποτὲ μὲν ἐπαινοῦμεν ταῦτα ἃ ποτὲ ἐψέ-
γομεν, καὶ ἃ ἐψέξαμεν ἐπαινοῦμεν· ψυχαγωγούμεθα
γὰρ τῇ δόξῃ τῶν ἀποφαινομένων ἢ πρὸς τὸ ἀξίωμα
τὸ ἐκείνων ἀποβλέποντες, οὐκ οἰκείᾳ κρίσει χρώμενοι.
δεῖ δὲ ὥςπερ κανόνα εἶναι καὶ στάθμην τινὰ καὶ δοκί-
μιον ὡρισμένον, πρὸς ὅ τις ἀποβλέπων δυνήσεται τὴν

3 δὲ om M | ἃ suppl Brinkm 9 εἰκῆι P 10 et 12 ταῦτα PMGa: corr Sylb 15 περιέχει a 19 ante καὶ fort intercιderunt qualia καὶ ψέγομεν ἃ ἐπῃνοῦμεν, ποτὲ δὲ πάλιν ἃ ἐπῃνέσαμεν ψέγομεν | fort ψυχαγωγούμενοι 20 τῶν φαινομένων M | ἢ del Brinkm 21 τῶν ἐκείνων Pa: corr MG | ἀποβλέπομεν Schottus | οὐκ om M 22 δοκίμιον libri ut Plut apophth Lac p 230b, Iambl. u. Pyth. p 134, 17 N

κρίσιν ποιεῖσθαι ἢ ἐπὶ τάδ' ἢ ἐπ' ἐκεῖνα. ὡς οὖν ἐμοὶ
δοκεῖ, φράσω πρὸς ὑμᾶς. τέτταρα εἶναί φημι, ἀφ' ὧν
τὴν δοκιμασίαν καὶ τὴν κρίσιν χρῆναι ποιεῖσθαι τῶν
λόγων ἀξιῶ. ἔστι δὲ τὰ τέσσαρα ταῦτα· ἦθος, γνώμη,
τέχνη, λέξις. σκεπτέον οὖν ἀεὶ ἡμῖν, περὶ ὧν ἢ ἀν-
έγνωμεν ἢ ἠκούσαμεν ἢ ὁπωςοῦν ἐνετύχομεν, τί ὠφελεῖ
ἢ βλάπτει εἰς ἦθος, τί εἰς γνώμην, τί εἰς τέχνην, τί
εἰς λέξιν. ἔξω τούτων οὐκ εἰσὶν ὅροι.

Τί ποτ' ἐστὶν ὃ λέγω, μαθεῖν χρή. τὸ ἦθος φημὶ 2
διπλοῦν εἶναι, κοινόν τε καὶ ἴδιον. πῇ διορίζω τὸ |
397 κοινὸν καὶ τὸ ἴδιον ἀπ' ἀλλήλων, φράσω. κοινὸν
λέγω τὸ φιλοσοφίας ἐχόμενον. ἔστι δὲ τοῦτο τί; τὸ
εἰς ἀρετὴν προτρέπον καὶ κακίας ἀπαλλάττον. ἴδιον δὲ
λέγω τὸ ῥητορικόν. ἔστι δὲ τοῦτο τί; τὸ πρέποντας
καὶ προσήκοντας τοὺς λόγους ποιεῖσθαι περὶ τῶν ὑπο-
κειμένων πραγμάτων τῷ λέγοντι αὐτῷ καὶ τῷ ἀκούοντι
καὶ περὶ ὧν ὁ λόγος καὶ πρὸς οὓς ὁ λόγος· ⟨οὗ⟩ ὅ τί
ποτέ ἐστιν, ⟨ἔστιν⟩ ὁ ἀγὼν τοῖς βυβλίοις πᾶσιν, καὶ
τοῖς παλαιοῖς ⟨καὶ τοῖς νέοις⟩. τί οὖν περὶ τούτων
λέγω; τὰ βυβλία μεστά ἐστι δικαίων ἠθῶν, ἀδίκων,
σωφρόνων ἀκολάστων, ἀνδρείων δειλῶν, σοφῶν ἀμα-
θῶν, πράων ὀργίλων. ἔξεστιν οὖν καταλιπόντας τὰ
ὀνόματα, ἐκλαβόντας ⟨τὰ⟩ ἤθη φιλοσοφῆσαι τὰ τοῦ
βίου πράγματα, καὶ τὰ μὲν μιμήσασθαι, τὰ δὲ φυγεῖν·

1 ἐπιταδ' et ἐπεκεινα P 2 φράσων P φράσαι M: corr Ga 4 τὰ om G 6 ἐτύχομεν libri 8 ὀυκἐισὶν sic P 10 πῆ δὲ ὁρίζω M 13 προτρέπων et ἀπαλλάττων P 17 περὶ ὃν PGa: corr Ms | ὅ τί ποτέ ἐστιν ὁ P: inserui οὗ et 18 ἔστιν cf 377, 10 et 349, 5 s 18 βυβλίοις P: βιβλίοις ceteri | πᾶσι a 19 καὶ τοῖς νέοις interposui 20 βυβλία P ut u 18 22 πράων P sine iota ut omnes membranae 23 ἐκλαβόντας ἤθη libri: τὰ restitui 24 μὲν PMG: μὲν ἐπὶ a μέν ἐστι s

οἷον εἴ τις λαβὼν παρὰ Ὁμήρου τὸ ἦθος τοῦ Ἀλεξάνδρου λυμηναμένου ξένου οἰκίαν καὶ ἁρπαγὴν ποιησαμένου ἀλλοτρίας γυναικὸς μισοῖ μὲν τὸ ἦθος, φυλάττοιτο δὲ καὶ τὴν τύχην, ὡς καὶ τὴν πατρίδα τούτου | 398 κατασκαφεῖσαν καὶ τὸν οἶκον ἀνατραπέντα καὶ μεγίστην τιμωρίαν καὶ παρὰ ἀνθρώπων καὶ ἐκ θεῶν γενομένην. πάλιν αὖ ἔστι πονηρὸν ἦθος τοῦ Πανδάρου συγχέοντος τοὺς ὅρκους· ἡ τιμωρία φαίνεται ἐπαξία τοῦ ἁμαρτήματος. Νέστορός που σωφροσύνη φαίνεται· τοῦτο εἰς ἀρετὴν συντελεῖ. λέγει που ὁ Ζεὺς περὶ τοῦ Ἕκτορος, εὐσέβειαν αὐτῷ μαρτυρῶν

οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐίσης
λοιβῆς τε κνίσης τε, τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

καὶ ἂν καταλιπὼν τὰ ὀνόματα ἐξετάσῃς τῶν ἠθῶν τὰς διακρίσεις, ὥςπερ ἐν θεάτρῳ τοῦ βίου διὰ τῶν βυβλίων πορεύσῃ. τοῦτο καὶ Πλάτων εἶπεν, ὅτι ἡ ποιητικὴ ʻμυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα τοὺς ἐπιγινομένους παιδεύειʼ. παιδεία ἄρα ἐστὶν ἡ ἔντευξις τῶν ἠθῶν. τοῦτο καὶ Θουκυδίδης ἔοικεν λέγειν, περὶ ἱστορίας λέγων, ὅτι καὶ ἱστορία φιλοσοφία ἐστὶν ἐκ παραδειγμάτων· ʻὅσοι | 399 δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι,

8 cf Homerus Δ 86 sqq E 290—296 12 Δ 48—49
17 Plato Phaedri p 245[a] 21 Thucydides I 22, 3

2 *λοιμηναμένου* P 3 *φυλάττοιτο* PG: *φυλάττοι* Ma
4 *τὴν ψυχὴν* libri | *ὡς* om M | *τούτου* PMG: *τοῦτον* a *τούτῳ* s
6 *ἐκ* om Ga 13 *κνίσησ* Pa: *κνίσσης* MGs 14 *ἐξετάσεις* PGa: corr Ms 15 *τῶι βίωι* P, a: corr Schottus cf 375, 23. 377, 2. *τῶν βίων* ci Radermacher | *βυβλίων* P: *βιβλίων* rell
19 *ἔοικε* a 23 *ἀνθρώπιον* PMG: corr a | *τοιοῦτον* P: corr MGa

*ὠφέλιμαʼ * * * χρῆσθαι ταῖς παλαιαῖς ἱστορίαις καὶ τοῖς παραδείγμασιν τῶν ἠθῶν ὡς ἱστορίᾳ τοῦ βίου. ταῦτα μὲν περὶ τοῦ κοινοῦ ἤθους· κακίας φυγὴ καὶ ἀρετῆς κτῆσις.*

3 *Περὶ δὲ τοῦ ἰδίου ἤθους, ὃ ῥητορικὸν καλοῦμεν καὶ τρόπον τινὰ οὗτος ὁ λόγος περὶ διαιρέσεώς ἐστιν· περὶ οὗ μηδεὶς γέγραφεν μηδὲ εἴρηκέν ποτε. οἱ γὰρ ἀγῶνές εἰσιν τῷ ῥήτορι δύο, ὁ τοῦ πράγματος καὶ ὁ τοῦ ἤθους· πρεσβύτερος δʼ ὁ τοῦ ἤθους καὶ κυριώτερος, καὶ ὡς εἰπεῖν τῷ ῥήτορι μόνος | 400 ὁ τοῦ ἤθους ἀγών ἐστιν. τὸ γὰρ πρᾶγμα οἰκείαν ὕλην εἰς χορηγίαν παρέχει· ἡ τῶν ἠθῶν θεωρία ἀριθμῷ καταληφθεῖσαν διαίρεσιν ἠθῶν παραδίδωσι. συνέλωμεν οὖν καὶ τὰ ἤθη ἀριθμῷ καταδησώμεθα, ὥςτε μηδὲν ἡμᾶς δύνασθαι διαφυγεῖν. τὰ τοίνυν ἴδια καὶ ῥητορικὰ ἤθη τούτοις διαιρεῖται· κατὰ ἔθνη, γένη, ἡλικίας, προαιρέσεις, τύχας, ἐπιτηδεύσεις. ἑπτὰ οὗτοι τόποι· τὸ γὰρ ἔθνος διπλοῦν, ἔκ τε τοῦ κοινοῦ παντὸς καὶ τοῦ ἰδίου.*

4 *Τί ποτέ ἐστιν ὃ λέγω, διηγήσομαι. ζητητέον ἐστί, πότερον Ἕλλην ὁ λέγων ἢ βάρβαρος καθόλου. πολλὴ γὰρ διαίρεσίς ἐστι καὶ διάκρισις Ἑλληνικοῦ ἤθους καὶ βαρβαρικοῦ. εὑρήσεις γὰρ ἀγροικότερα τὰ βαρβαρικὰ*

1 desunt non solum necessaria sententiae Thuc. uerba *κρίνειν αὐτὰ ἀρκούντως ἕξει* sed etiam caput proximi enuntiati | *καὶ τοῖς*] *ὡς* ci Sylburgius 2 *ἐθῶν* PGa: corr M | *ὡς*] *καὶ* ci Sylburgius | *βία* a 5 *δὲ* om M 5—6 orationis forma inconcinna non temptanda: propositioni (cf p 373, 3) enuntiata relatiua duo adnectuntur. caue uu *καὶ τρόπον τινὰ* ad apodosin referas 6 *ἔστι* 7 *γέγραφε εἴρηκέ* a 7 *οἱ γὰρ*] *εἰ γὰρ* libri
8 *εἰσι* a 9 *δὲ τοῦ* libri: corr Sylburgius 11 *ἔστι* a
12 *καταληφθεῖσα* libri: corr Diehlius 13 *καὶ* post *ἤθη* traiecit Schottus. sed *συνέλωμεν* festinantis ad partitionem est
21 *ἔστι* conp sscr P[1]

ἤθη καὶ τραχύτερά πως καὶ ἔχοντά τινα αὐθάδειαν, ὥςπερ καὶ ὁ Πλάτων τὸν Αἰγύπτιον λέγοντα εἰσάγει· ‘ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστέ, μάθημα δὲ οὐδὲν ἔχετε χρόνῳ πολιόν’· ἐνταῦθα γὰρ καὶ ἡ τροπὴ τῶν ὀνομάτων δηλοῖ τὸ ἴδιον τῶν βαρβάρων. ὥςπερ | ἀμέλει καὶ Ἡρόδοτος πεποίηκεν διαλεγόμενον 401
τὸν Κανδαύλην πρὸς τὸν Γύγην· ‘ὦτα γὰρ τυγχάνει ἀνθρώποισιν ἐόντα ἀπιστότερα ὀφθαλμῶν’· οὐ γὰρ περὶ ἀκοῆς καὶ ὄψεως διελέχθη, ἀλλ’ ἐπὶ τὰ μέρη τοῦ σώματος τὴν γνώμην μετήνεγκεν. ὡς καὶ τὸν τρόπον τῆς λέξεως βαρβαρικὸς καὶ ὁ λέγων χρῆμα ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ᾧ χρώμενοι μαίνονται, τὴν γυμνασίαν τῶν ἀθλούντων λέγων, καὶ ⟨ὁ⟩ ‘μανίας
5 πόμα’ λέγων τὸν οἶνον. Καὶ ὅλως τί δεῖ ταῦτα ἐπιλέγεσθαι; μεστὰ γὰρ τὰ βυβλία τῶν τοιούτων ἐστίν.

Ἰδοῦ διαίρεσις τοῦ ἔθνους· Ἑλληνικὸν ἢ βάρβαρον τὸ ἦθος. ἀλλὰ θῶμεν εἶναι Ἑλληνικὸν ἢ θῶμεν βάρβαρον, πάλιν καταδιαιρέσεις τῶν ἠθῶν· καὶ δεῖ συνελθεῖν ἀμφότερα, καὶ τὸν βάρβαρον καὶ τὸν Θρᾷκα τὸν φονικόν, καὶ τὸν βάρβαρον καὶ τὸν Σκύθην τὸν σύντομον. πάλιν Ἑλληνικὸν θῶμεν τὸ | ἦθος. ἔστω 402

3 Plato Timaei p 22ᵇ 7 Herodotus I 8 11 Anacharsis Dionis Chrys. or. XXXII 44 p 674 et Luciani Anach. 5 cf Laertius Diogenes I 104

1 ἔθη errore s | τινα om M 3 σόλων semel exhibet M 5 δηλοὶ P 8 ἐόντα (ὄντα a) πιστότερα PMa ἐόντ’ ἀπιστότερα G 11 Sylburgius post λέξεως supplebat δηλῶσαι | βαρβαρικόν libri: corr Diehlius 13 articulum ὁ suppleui 15 βυβλία P 16 ἰδοῦ, διαίρεσις] ἴδιον οὖν αἵρεσις PM ἴδιον οὖν ἔρις (ἐρεῖς G) aG | τοῦ om G 18 κατὰ διαιρέσεις libri. notum est uerbum καταδιαιρεῖν | συνελθεῖν PM: συνεργεῖν Ga 19 καὶ post βάρβ. om M 21 σύντομον libri: σύντονον Schottus. sed cf R Foersteri Physiogn. t II p 227, 10

Ἕλλην· ποῖόν τι ἔθνος Ἑλλήνων; Ἕλλην Ἀθηναῖος· τορός, λάλος, σοφός. Ἕλλην Ἴων· ἁβρός, ἀνειμένος. Ἕλλην Βοιωτός· εὐήθης. Ἕλλην Θετταλός· διπλοῦς καὶ ποικίλος. ἐντεῦθεν καὶ ἄνθρωποι φιλοσοφοῦντες τοῦτο καὶ ἐφιστανόμενοι τῇ φύσει τῶν πραγμάτων τὰ ἔθνη λοιδορίας ποιοῦνται, οὐκ ἐχόντων τῶν ἐθνῶν τὰς λοιδορίας ἀλλ’ ἐκ τῶν ἐπιπολαζόντων ἠθῶν τοῖς ἔθνεσιν τὰς βλασφημίας λαμβάνοντες. ὡς καὶ Δημοσθένης· οὐκ εἰσάγει ἰσχυρὸν εἶναι ‘τὸν Θρᾷκα τοῦτον’; καὶ ἡ διαβολὴ ἐν τῷ ‘τὸν Θρᾷκα’. καὶ τί δεῖ τὰ ἄλλα λέγειν;
403 καὶ γὰρ ὁ Πλάτων φησὶ παγκάλως, | ὅτι κατὰ τοὺς τοῦ οὐρανοῦ τόπους καὶ τῶν ἠθῶν αἱ κράσεις· καὶ διὰ τοῦτο τινὰς μὲν ἀνθρώπους εἶναι φησὶ πρὸς μαθήματα ὀξυτέρους, τοὺς περὶ τὴν Ἑλλάδα· τοὺς δὲ πρὸς ἀργυρισμόν, τοὺς περὶ τὴν Φοινίκην καὶ Αἴγυπτον· ἄλλοι περὶ θυμόν, ὅσοι τῶν βαρβάρων εἰσὶ πολέμοις ἀνακείμενοι. καὶ εἰκότως ταῦτα λέγει. καὶ γὰρ τὰ ἤθη φησὶν ἐνδύεσθαι τοῖς τόποις καὶ τοῖς ἔθνεσιν ἀπὸ τῶν καθ’ ἕνα, καὶ διὰ τοῦτο ὅσα πολιτειῶν εἴδη, τοσαῦτα ἠθῶν εἴδη, ὡς τὰς πολιτείας ἀπὸ τῶν ἠθῶν

9 Demosthenes or. XXIII 133 p 664, 11 τὸν Θρᾷκα ἰσχυρὸν ἐφ’ ὑμᾶς αὐτοὺς κατεσκευακέναι cf 117 p 659, 14 πρὸς τοῦτον τὸν Θρᾷκα 11 Plato rei publ. IV p 435ᵉ—436ᵃ

1 ποῖόν τι] κοινὸν τὸ libri | ἔθος PMa: corr G 3 διπλοῦς καὶ] διπλοῦσαι (αι conp) P διπλῶσαι a διπλοῦς MG: corr Sylburgius 5 καὶ αἰσθανόμενοι libri | fort προσώπων | τὰ ἔθη (ν sscr m ant) P om G τὰ ἐθνικὰ dicere debebat 6 τὰς Gs: τῆς PMa an ⟨αἰτίαν⟩ τῆς? 7 ἔθνεσι a 8 [β]λασφημίας cum ras P | λαμβάνονται PMa: corr G 9 οὐκ] fort οὖν 14 τοὺς πρὸς τὴν a 15 τὴν om G 16 ἄλλους ci Sylburgius | πρὸς θυμόν Schottus 18 ἔθη ex ἔθνη corr M² | ἐμφύεσθαι ci Sylburgius | τοὺς τόπους libri: corr Sylburgius et Schottus 19 καθένα P

τά τε ἤθη ἀπὸ τῶν πολιτῶν γιγνόμενα. ὁρῶμεν οὖν
ἀπὸ ἔθνους· διπλοῦν δὲ τὸ ἔθνος, Ἕλλην ἢ βάρβαρος.
μετὰ τὸ κοινὸν ἐρχόμεθα ἐπὶ τὸ ἴδιον· Ἀθηναῖος ἢ
Λάκων ἢ Βοιωτὸς ἢ Ἴων, ἢ Σκύθης ἢ Θρᾷξ ἢ Κελτὸς
ἢ | ἀπὸ Ἰβηρίας ἢ Αἰγύπτιος. Δεῖ οὖν συνελθεῖν τιν' 404
ἰδιότητα ἀπὸ γένους. ⟨ὑπὸ⟩ τὸ γένος ἐστὶ τὰ τῆς συγ-
γενείας ὀνόματα· πατὴρ βάρβαρος, καὶ βάρβαρος Κελ-
τός, καὶ βάρβαρος Σκύθης· καὶ πατὴρ Ἕλλην· καὶ
Ἕλλην πατὴρ Λακεδαιμόνιος, καὶ ὅδε πατὴρ Ἀθηναῖος.
6 Δεῖ προσελθεῖν τούτοις καὶ ἡλικίαν, καὶ τὰ τέσσαρα
ἓν γενέσθαι· πατήρ, βάρβαρος, Σκύθης, νέος. οὐ γὰρ
τὰ αὐτὰ ἤθη διασῴζονται νέοι καὶ πατέρες ὄντες καὶ
πρεσβῦται γενόμενοι, ἀλλὰ γίνεται τὰ μὲν τῶν πρε-
σβυτέρων ἤθη μαλακώτερα, τὰ δὲ τῶν νεωτέρων ἀκμαι-
ότερα. ὡς αὔτως καὶ εἰ ἀδελφὸν λέγοις, καὶ εἰ
γυναῖκα λέγοις, καὶ εἰ ἄνδρα καὶ εἰ υἱόν. Ἐντεῦθεν
τὸ οἰκεῖον ἦθος τῆς προαιρέσεως ἐξετάζεται· φιλό-
στοργος, ἀλλὰ τραχύς, ἀλλὰ σκληρός, ἀλλὰ φιλάργυρος,
ἀλλὰ ἀνειμένος. ἡ προαίρεσις συντρέχει παντὶ ἤθει.
Εἶτα ἀπὸ τύχης· εὖ πράττων, κακῶς πράττων· οὐ γὰρ
ταὐτὰ ἤθη ἐστίν, ἀλλὰ ἡ τύχη ῥυθμίζει. Εἶτα καὶ
ἐπι|τήδευσις· ἔστι γοῦν καὶ ἀπὸ ἐπιτηδευμάτων· οἱ 405
στρατιῶται ἔχουσίν τι ἀπὸ τῆς στρατιωτικῆς, οἱ ἰατροὶ
ἀπὸ τῆς ἰατρικῆς, οἱ ῥητορικοὶ ἀπὸ τῆς ῥητορικῆς, καὶ

1 εἴδη M | πολιτειῶν libri: corr Diehlius | γιγνόμενα P: γιν- MGa | conicias ὁρμῶμεν 2 ἀπὸ] ἀπὸ τοῦ G 3 ἐρχώμεθα P: corr MGa 5 ἢ (ante Αἰγ.)] καὶ Mh | συνελθεῖν τινι. εἶτα ἀπὸ libri 6 ὑπὸ inserui 9 ὅδε] ὁ libri del Sylburgius 10 et 12 τὰ om G 13 πρεσβύται P 14 νεοτέρων P 15 ὡσ ἀύτωσ P | λέγεις hic et u 16 M 16 ἐντεῦθεν] ἐνταῦθα libri 17 ἦθος] πάθος libri 18 τραχύς P: ταχύς MGa 21 ταυτὰ PMG: ταῦτα a 23 ἔχουσί a 24 ρητορικοὶ P, G: ῥήτορες Ma

οἱ γεωργοὶ ἀπὸ τῆς γεωργικῆς. εὑρήσεις τὸν ἰατρὸν
διαλεγομενον λέγοντα· 'δεῖ τοῦτο ἐκκαθᾶραι', 'ἐκτεμεῖν
αὐτό'. εὑρήσεις τὸν μουσικὸν λέγοντα· 'παρὰ μέλος
λέγεις', 'οὐ συνᾴδει τὰ λεγόμενα'. παρὰ τῷ Πλάτωνι
ὁ Δημόδοκος λέγει πρὸς Σωκράτην· 'ἐμοὶ γάρ, ὦ Σώ-
κρατες, ἡ τούτου τοῦ παιδὸς εἴτε φυτείαν εἴτε παιδο-
ποιίαν χρὴ φάναι'· τοῦτο δὲ οὐ χρὴ νομίζειν ὅτι με-
γάλῃ τῇ φωνῇ χρῆται ὁ Πλάτων, ἀλλ' ἐπειδὴ ὁ Δημό-
δοκος ἐργατικὸς καὶ γεωργικός, φωνὰς ἀφίησι τῆς
τέχνης.
Ταῦτα τὰ ἑπτὰ εἴδη ἓν γενέσθαι δεῖ. οὕτως εὑρή- 7
σεις καθ' ἕκαστον ῥῆμα ὑποθέσεως προβαλλομένης
ἠθῶν συναγωγάς. πένης καὶ πλούσιος ἐχθροὶ ἐκ πολι-
τείας· εὑρήσεις ἐν τῷ πένητι ἦθος, ἐν τῷ πλουσίῳ
406 ἦθος, | ἐν τοῖς ἐχθροῖς ἦθος, ἐν τῷ ἐκ πολιτείας
ἦθος· οὐ γὰρ ἡ αὐτή ἐστιν ἔχθρα ἐξ ἰδιωτικῶν πραγ-
μάτων καὶ ἐκ πολιτικῶν, ἀλλ' ἕξεις τὸ φρόνημα
ἑκατέρου ἀξιοῦντος διαλέγεσθαι τῷ δήμῳ. εἶτα εἰ
πατήρ ἐστιν αὐτῶν τις ἢ οὐ πατήρ. εἶτα πόλεμος
κατέλαβεν, εἶτα κατὰ τὸν πόλεμον ἀριστεία ἢ πταῖσμα·
εἶτα αἰτήσεις καὶ κρίσεις. εὑρήσεις καθ' ἕκαστον ὄνομα
τῆς πλοκῆς ἐν ταῖς ὑποθέσεσιν γένεσιν ἤθους ἀναγ-
καίου. καὶ οὗτός ἐστιν ὁ διαιρετικὸς τῶν ἠθῶν ἀκρι-
βής, ὁ μηθὲν ἦθος παραλιπών. ἂν γὰρ τὸν μὲν πατέρα

5 [Plato] Theagis p 121[c] 19—21 cf Calpurnius decl. 27—29 Quintilianus decl. 304

2 ἐκκαθάραι PMGa 5 δημοδόκος PMGa 6 ἡ] ἢ libri 7 φᾶναι P 8 δημόδοκοσ PM δημοδόκος G 9 γεωργικὸσ PMG: γεωργὸς a 11 εἴδη] ἤθη libri ἤδη Sylburgius 12 καθέκαστον P 17 ἀλλ' ἕξεις libri: fort ἀλλ' ἄλλως ἕξει 20 κατὰ] μετὰ PGa om M | ἀριστεία PMG: ἀριστεῖα a 22 ἐν] ἓν ἐν libri: corr Schottus | ἀποθέσεσι a

δείξῃς, τὸν δὲ πολιτικὸν μὴ δείξῃς, ἢ τὸν μὲν πολιτικὸν δείξῃς, τὸν δὲ πατέρα μὴ δείξῃς· ἢ πάλιν ἂν μὲν τὸν πατέρα δείξῃς, τὸν δὲ στρατηγὸν μὴ δείξῃς, ἂν τὸν μὲν ἠριστευκότα δείξῃς, τὸν δὲ λιπόντα τὴν τάξιν μὴ δείξῃς· ἂν μὴ δείξῃς κατὰ τύχας καὶ προαιρέσεις καὶ γένη καὶ ἔθνη τὰς διαφορὰς τῶν ἠθῶν καὶ ⟨καθ'⟩ ὅσα ἄλλα ἠριθμήσαμεν, οὐ πληροῖς τὸ ἦθος. πάντα γὰρ ταῦτα, ὅσα ἠριθμήσαμεν, | καλεῖται μὲν εἴδη, 407
γίνεται δὲ ἦθος. ἡ γὰρ τέχνη τῆς διαιρέσεως, ὡς φησὶν ὁ Πλάτων, 'διαιρέσεις καὶ συναγωγαί', δεῖξαι τὰ εἴδη πόσα ἐστὶν καὶ πόσας ἔχει τομάς, καὶ πάντα συναγαγεῖν εἰς ταὐτόν. τοῦτο γάρ ἐστι διαιρέσεως τέχνη· ἓν πολλά, πολλὰ ἕν. ἔχομεν τὸ ἦθος, ἐρχόμεθα ἐπὶ τὴν γνώμην.

8 Ἡ γνώμη τριπλῆν ἐξέτασιν ἔχει· μὴ περιττά, μὴ ἐλλείποντα, μὴ ἐναντία. τὰ περιττὰ φλυαρία, τὰ ἐλλείποντα ἀσθενῆ, τὰ ἐναντία κίνδυνος. Ὅμηρος ταῦτα ἐπεσημήνατο·

Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα·

⟨τίς⟩ τῆς ἀκαίρου περιττότητος ἡ αἰτία; ἐὰν γοῦν τοῦ Θερσίτου παρέλῃς δύο ἔπη, Νέστορος γίνεται δημηγορία. τὰ δὲ δύο ἔπη τίνα ἐστίν; * * * Ὅμηρός σοι λέγει·

10 Plato Phaedri p 265^{d}—266^{b} 19 Homerus *B* 212

5 προδιαιρέσεις libri: corr Sylburgius 6 καὶ ὅσα libri: καθ' inserui 8 εἴδη] ἤθη libri cf u 11 p 381, 11 11 τὰ ἤδη P: corr MG^2a | ἐστὶ a 12 ταὐτό s 13 τέχνης a | ἐρχώμεθα a 15 τριπλὴν P | ἔχει τὴν ἐξέτ. G | μὴ δὲ λείποντα a 17 ἀσθένεια ci Diehlius 19 δέ τι et ἐκολούα M 20 τίς interposui 21 παρέλθῃς M. fort περιέλῃς | γίνεται om Ga 22 hiatum notaui: intercidit *B* 231 ὅν κεν ἐγὼ δήσας ἀγάγω κτλ. et 238 cum sententia interrogatiua

ἀλλ' ὅ τί οἱ εἴσαιτο γελοίιον Ἀργείοισιν |
408 ἔμμεναι·

ὁτιοῦν τῶν λεγομένων γελοῖόν ἐστιν, ἀλαζονευομένου ἐκείνου ἐπὶ τῇ δυνάμει τοῦ σώματος καὶ τῇ ἀρετῇ καὶ ὑβρίζοντος ἐν τῇ παρρησίᾳ τῇ ἀκράτῳ. ταῦτα ἂν περιέλῃς, τὰ λοιπὰ ἰσχυρά ἐστιν. τοῦτο καὶ ἡ Ὁμήρου τέχνη. ἐπειδὴ γὰρ ἑώρα τὸ στρατόπεδον ἀγανακτοῦντας ὑπὲρ Ἀχιλλέως πρὸς Ἀγαμέμνονα, καὶ διὰ τοῦτο οὐ προθύμως ἔχοντας συμμαχεῖν, ἀλλ' ἀπαλλακτικῶς ἐπὶ τῶν πατρίδων, ἠθέλησεν λῦσαι τὰ ὑπὲρ Ἀχιλλέως δίκαια. ἀνέστησεν οὖν αὐτῷ συνήγορον ἐπίφθονον, γελοῖον, ἵν' ἐν τῇ τοῦ συνηγόρου κακίᾳ ἀφανισθῇ τὸ δίκαιον τοῦ πράγματος·

ἔχθιστος δ' Ἀχιλῆι μάλιστ' ἦν ἠδ' Ὀδυσῆι.
τὼ γὰρ νεικείεσκε· τότ' αὖ Ἀγαμέμνονι δίῳ
ὀξέα κεκληγὼς λέγ' ὀνείδεα.

τί οὖν ἐστι τὸ θρασὺ αὐτοῦ καὶ ἡ περιττότης τοῦ ἤθους, καὶ ἡ ἀκαιρία τίς; |

409 τῷ δ' ἄρ Ἀχαιοὶ
ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ' ἐνὶ θυμῷ.

εἰ μὴ γελοῖος ἦν οὗτος καὶ ἄξιος μίσους, ἦν ἰσχυρὰ τὰ λεγόμενα ὑπὲρ Ἀχιλλέως. διὰ τοῦτο καὶ γέλως τοῖς Ἕλλησι γίνεται, καὶ ἐκ τοῦ γέλωτος διάλυσις τῆς σπουδῆς τῆς εἰς τὰς πατρίδας. ἀπὸ γὰρ ἐκείνης τῆς σκυθρωπότητος ἡ μεταβολὴ διὰ τὸ γενόμενον παρέσχεν

1 Homerus *B* 215 14 *B* 220—222 19 *B* 222—223

1 ἄλλότι PM | οἰήσεται M | γελοίϊον PG: γελήϊον M γελώϊον a 3 ὁτιοῦν] ὅτι Pa ὅτι τοι M 6 ἐστι a 10 ἠθέλησε a 11 οὖν del G^2 15 τὼ P: τῶ MG, a | αὖ PMGa: αὖτ' s cum plerisque Homeri exemplis 19 ἂρ P ut Venetus *A* 21 ἦν οὗτος PMG: om a 25 γενόμενον] an γελοῖον?

εἰρηναίαν τὴν ψυχήν. ὥςτε ἤδη μάθημα μανθάνομεν μέγα καὶ λαμπρόν, μὴ ἐν τῷ πλήθει τῶν λεγομένων ἡγεῖσθαι τὴν ἀρετὴν τῆς ῥητορικῆς. τὰ ἐλλείποντα πῶς; οὕτω πως εἶπεν περὶ τοῦ Μενελάου·

παῦρα μέν, ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος.

τὸ γὰρ ʽπαῦρα μέν' τοιοῦτόν ἐστιν οἷον οὐκ ἐντελῶς | τῷ ἀγῶνι. τὸ δὲ μὴ ἐναντία, ὅπερ καὶ Ἰσοκράτης 410
ἐπήνεσεν, δικανικοῦ λόγου, ὡς δεῖ ἔχειν, καὶ ἐπιδεικτικοῦ διαίρεσιν λέγων, ὅτι δεῖ ʽτοὺς μὲν ἔχειν ἀσφαλῶς, τοὺς δὲ ἐπιδεικτικῶς', καὶ Ὅμηρος δὲ εἶπεν

ὃ δ' ἀσφαλέως ἀγορεύει·

τοῦτο δέ ἐστι τὸ διὰ τῶν ὁμολογουμένων οὐ περὶ τῶν ὁμολογουμένων ἀμφισβητήσιμα λέγειν, ἀλλὰ καὶ τῇ ἀποδείξει τῶν ὁμολογουμένων ἀμφισβητούμενον λύειν δυνάμενον. τοῦτο καὶ Ξενοφῶν καὶ Πλάτων λέγουσιν περὶ Σωκράτους, ὅτι διὰ τῶν ὁμολογουμένων ἐπορεύετο, ἐπεὶ διδάσκειν ἐβούλετο. Γίνεται οὖν ταῦτα τρία ἀριθμῷ· μὴ περιττά, μὴ ἐλλείποντα, μὴ ἐναντία. κάλεσον αὐτὰ δυσὶν ὀνόμασιν μέτρον καὶ ἀσφάλειαν. τῷ γὰρ μὴ περιττὰ μηδὲ ἐλλείποντα μέτρου ὄνομα, τῷ δὲ μὴ ἐναντία ἀσφαλείας.

9 Τρίτος ἡμῖν στόλος ἐστὶ τοῦ λόγου ἐπὶ τὴν τέχνην· εἴπομεν γὰρ ἤδη περὶ ἤθους καὶ γνώμης. πρῶτον

5 Homerus Γ 214 9 Isocrates or IV 11 11 Homerus ϑ 171

2 τῶν om a 4 οὕτω πῶς P | εἶπε a | μενέλεω M 6 ἐντελῶς τῷ ἀγῶνι fortasse lacuna effecit ut obscura sint 8 ἐπήνεσε a | ὡς δεῖ ἔχειν abesse poterant 9 τοὺς μὲν etiam a: τὸν μὲν s 10 τὸν δὲ a | εἶπε a 12 οὐ PM: ὁ a om G 13 λέγων PMa: corr G 14 fort ⟨τὸ⟩ ἀμφισβ. 15 δυνάμενον PGa δύναμιν M: δυνάμενος s | λέγουσι a 18 ἀριθμῷ] ἀκαίρως libri εὐκαίρως Schottus 20 τὸ γὰρ — 21 τὸ δὲ libri 22 τὴν om a 23 εἴπωμεν a | πρῶτον· νῦν δὲ τὴν G

411 τὴν | ὑπόνοιαν, ἣ ἄν τις ἀμφισβητήσαι, ἐκκαθάρωμεν. ἡ δ' ὑπόνοια τίς; οἰηθείη ἄν τις, εἴ περ μὴ περιττὰ λέγοι μήτ' ἐλλείποντα μήτ' ἐναντία, τεχνίτην αὐτὸν εἶναι. τί οὖν πλέον ἡ τέχνη ἐστὶ τῆς περὶ τὴν γνώμην ἀσφαλοῦς πραγματείας; πολὺ τὸ πλέον. ἡ μὲν γὰρ γνώμη τὸ τῷ πράγματι χρήσιμον ἔχει τὸ εἰς ἀπόδειξιν, ἡ τέχνη τὸ πιθανὸν τοῖς ἀκούουσιν. ὥςπερ ἐν ἰατρικῇ εἴ τις τὴν μὲν γνώμην λέγοι, τὸ δεῖν τεμεῖν ἢ τὸ δεῖν φαρμακοποσίᾳ χρῆσθαι, τὴν δὲ τέχνην λέγοι τὸ κρύψαι τὸν σίδηρον, τὸ φάρμακον ἐν τοῖς γλυκέσι καὶ τοῖς συντρόφοις σιτίοις παρέχειν. αὕτη ἡ τέχνη μετὰ τὴν γνώμην ἐστίν. πῶς ⟨δ'⟩ ἂν συναγάγοις ἦθος καὶ τὴν γνώμην τέχνῃ; * * *
* * * * * * * * * * * * * * * * *

ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα
δριμύ, τό τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι·

δεύτερον·

Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι.

τρίτον [τέταρτον] ἐστὶ δι' οὗ ἐπανέρχεται ἐπὶ τὸ πρῶτον

412 ὣς ὀξεῖ' ὀδύναι δῦνον μένος Ἀτρείδαο.

οὕτω καὶ Θουκυδίδης· ʽἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρό-

15 Homerus Λ 269—270 (Ὁμήρου Ἰλιάδος λ̄ στίχος cξθ schol P) 18 Λ 271 20 Λ 272 21 Thucydides I 1 extr

1 η P ἡ M¹G ἢ a εἰ s: corr M² 2 εἰπε P, a εἶπεν G εἴτε M εἰπεῖν s 3 τεχνήτην αὐτὸν ει την αὐτὸν P τεχνίτην αὐτὸν· εἰ τὸν αὐτὸν a: cum M (qui τεχνήτην reliquit) et G falso iterata deleui 7 ἡ δὲ τέχνη s 8 et 9 λέγει G 12 ἐστὶ a | δ' inserui | συναγάγηισ P, Ma συναγάγει G 13 τὴν deleuerim | hiatum Schottus notauit eumque satis amplum. nam cum hic tertia pars nondum absoluta sit, in proximis iam quartae partis membrum tertium (cf p 387, 12 s) tractatur 16 δριμὺ· P cum productionis nota cf p 356, 9 18 ὀδύνας MG ὠδύνας a 19 τέταρτον deleui | εστινου P ἐστιν οὗ a ἐστιν οὐκ M ἐστιν ὃ G

τατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι’. εἶτα τὸ τεκμήριον πόσα ἔχει ὀνόματα; τεκμήριον, μαρτύριον, σημεῖον, παράδειγμα. προβὰς ἐρεῖ· ‘μαρτύριον [σημεῖον] δέ· Δήλου γὰρ καθαιρομένης ὑπὸ Ἀθηναίων’. πάλιν προελθὼν ἐρεῖ· ‘καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστιν’. καὶ πάλιν προελθών· ‘σημεῖον δ’ ἐστὶν ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμόμενα’. καὶ ὅταν πᾶν εἴπῃ, ἐπὶ τὸ πρῶτον πάλιν, ἐπὶ τὸ δεύτερον· καὶ ὅλως ἡ χρεία τὸν ἀριθμὸν ἀνακαλέσεται. τοῦτο τὸ πολλοστῶς ἐστιν εἰπεῖν. ἕπεται τούτῳ τὸ ποικίλως. διαφέρει δὲ τὸ ποικίλως 10 τοῦ πολλοστῶς, τὸ τῶν ἰδεῶν | τῆς λέξεως. ἔστι δ’ 413 εὐφορία κατὰ κρίσεις φαύλων ὀνομάτων· τοῦτο δικανικὸν ὄνομα, τοῦτο ἱστορικόν, τοῦτο διαλεκτικόν, τοῦτο κωμικόν. καὶ πάλιν μετὰ τὰς ἰδέας τοὺς ἄνδρας ἐπανελθεῖν· κωμικὸν τοῦτο Ἀριστοφάνειον, κωμικὸν τοῦτο Κρατίνειον, τοῦτο Εὐπολίδειον, τοῦτο Μενάνδρου· εἶτα δικανικὸν τοῦτο Λυσίειον, τοῦτο Δημοσθενικόν, Αἰσχίνῃ πρεπωδέστερον τοῦτο ὄνομα, Ἀντιφῶντι τοῦτο σύνηθες μᾶλλον. τοῦτο τὸ ποικίλως ἐστίν.

4 Thucydides I 8 6 idem I 2, 6 7 idem I 6, 1

2 εἶτα P contra consuetudinem 3 [πα]ράδειγμα cum ras P 4 μαρτύριον· σημεῖον δὲ· libri: corr Schottus 5 προελθὼν: memoria scriptorem fallit 6 ἔστι a 7 δ’ ἐστιν P δ’ ἔστι MG δέ ἐστι a 8 fort πάντα sc τὰ ὀνόματα 9 πρῶτον, πάλιν ἐπὶ edebant 10 πολλ[ο]στῶς cum ras (ex ω?) P 12 πολλοστοῦ libri: corr Sylburgius | τὸ] τῶ P, rell | τῷ τῶν ἰδεῶν. τῆς uolgabatur inde a s | λέξεώς ἐστι διαφορία PMa λέξεως ἐστὶ διαφορὰ G 13 καὶ κρίσεις PG καὶ (iterat M) κρίσις Ma | fort ⟨καλῶν καὶ⟩ φαύλων 15 τὰς om G 16 κωμικόν· τοῦτο P 17 εὐπολίδειον PG εὐπολίδιον M: εὐπωλίδειον, τοῦτο εὐριπίδειον a | μενάνδρειον G 18 λύσειον PMG λύσιον a 20 τοῦτο ante σύνηθες om G | ἐστὶ a

Αὕτη ἐστὶν ἡ θεωρία, καθ’ ἣν ἐξετάζεται ⟨κατὰ⟩ βυβλίων ἀκροάσεις πᾶς λόγος μετὰ ἀσφαλείας πορευομένης τῆς ἐξετάσεως. ζητήσεις γὰρ τί ὠφελεῖ ἢ βλάπτει τὰ ἀνεγνωσμένα ἢ εἰρημένα ἢ ἠκουσμένα εἰς ἦθος, γνώμην, τέχνην, λέξιν. τὸ ἦθος διπλοῦν, κοινὸν καὶ 414 ἴδιον. κοινὸν μὲν τὸ εἰς ἀρετὴν προτρέπον καὶ κακίας ἀποτρέπον· ἴδιον δὲ τὸ προσήκοντας καὶ πρέποντας τοὺς λόγους τῷ τε λέγοντι καὶ τοῖς ἀκούουσι καὶ περὶ ὧν ὁ λόγος καὶ πρὸς οὓς ὁ λόγος παρέχεσθαι· γίνεται δὲ τοῦτο ἐν τοῖς ἀριθμοῖς οἷς εἴπομεν, τοῖς ἑπτά. εἶτα ἡ γνώμη μέτρῳ καὶ ἀσφαλείᾳ ἐπὶ τῶν τριῶν ἀριθμῶν. εἶτα ἡ τέχνη, ἡ κρᾶσις ἠθῶν καὶ πραγμάτων. εἶτα ἡ λέξις, τὸ σαφῶς, τὸ καθαρῶς, τὸ πολλοστῶς, τὸ ποικίλως. οὗτος ὁ περὶ ⟨τῆς⟩ τῶν λόγων ἐξετάσεως λόγος.

1 κατὰ inserui 2 βυβλίων P: βιβλίων reliqui | ἀκροάσεισ. PM, a ἀκρόασις G ἀκροάσει s 6 ἀρετὴν τρέπον, κακίας M 8 τῶι τε P, M: τῷ Ga 10 prius τοῖς om G | οἷ M 13 τὸ καθαρῶσ PMG: καὶ καθ. a | τὸ ποικίλωσ PMG: καὶ ποικ. a 14 οὗτος — λόγος litteris maiusculis P tamquam titulum nouo uersu inscribit M sequenti eclogae de scriptoribus antiquis (supra p 202—214) | τῆς τῶν M²: τῶν PM¹Ga | subscripsit manus s XV in P οὗτος ὁ περὶ τῆς τῶν λόγων ἐξετάσεως λόγος.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

VOLUME 2
PART 2

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

DIONYSIVS HALICARNASEVS

VOLVMEN VI

OPVSCVLA

EDIDERVNT

H. VSENER – L. RADERMACHER

VOLVMEN II. 2

1291

LIPSIAE
IN AEDIBVS B.G. TEVBNERI

DIONYSII HALICARNASEI
QUAE EXSTANT
VOLUMEN SEXTUM

DIONYSII HALICARNASEI
OPUSCULA

EDIDERUNT

HERMANNUS USENER

ET

LUDOVICUS RADERMACHER

VOLUMINIS SECUNDI
FASCICULUS POSTERIOR

MCMIV—MCMXXIX
LIPSIAE IN AEDIBUS B. G. TEUBNERI

PRAEFATIO

Secundi huius voluminis prooemium conscribere cum in animo haberet, Hermannus Usener negotium susceptum in posterum distulerat, sperans fore, ut huic operi aliquando index rhetoricus plenus adderetur, nec multo post Dionysii recensionem absolutam diem supremum obiit. Ego vero, qui talem indicem incohaveram, Quintiliani edendi labore occupatus, postquam Sophoclis commentaria redintegranda et grammaticam novi testamenti explicandam fata fortasse minus amica mihi obtulerunt, tamquam hircus stupens inter ervilia Dionysii indicem aliis conficiendum tradidi. Iam absolvisse totum se opus I. Failius discipulus rhetoricae graecae bene peritus cum in bellum abiret, mihi professus est. Abiit, periit neque quidquam inde ab illo momento de eo comperi. Deinde pace quae vocatur facta quantopere apud nos studia liberalia adflicta iacuerint, nemo expertus ignorabit. Itaque tanto demum temporis spatio interiecto factum est, ut a bibliopola rogatus ad praefationem scribendam accederem, idem bibliopola, ut saltem nominum locorumque index adderetur, benigne permisit, quo carere nemo potest.

In editione libri de compositione verborum adhibiti sunt codices hi:

1. P = Parisinus graec. 1741 saeculi, ut videtur, decimi, de quo post ea, quae Usener in praefatione[1]) voluminis prioris exposuerat, inprimis adeundus est Hugo Rabe Mus. Rhenani n. s. v. LXVII 337 sq.[2]) Liber est celeberrimus, pluri-

1) In indice scholarum Bonnensium aestatis anni 1878 idem acutissime egit de magno numero eorum codicum, qui ex Parisino 1741 fluxerunt.

2) Hunc librum quinquaginta annis antiquiorem, quam olim posuerat, atque ipsius Constantini Porphyrogenneti iussu compositum se putare interim Rabeus mecum communicavit.

bus manibus sed uno consilio scriptus, continens et alia et Aristotelis rhetoricam atque poeticam. In hoc codice Dionysii de compositione verborum libellus exstat inde a fol. 200^{r} usque ad fol. 225^{r}. Exaratus videtur esse a duobus librariis, quorum alter nihil amplius scripsit quam fol. 200^{r}, quod satis mirum est, alter codicem absolvit, post Dionysium addens Demetrii de elocutione commentationem, Maximum *περὶ ἀλύτων ἀντιθέσεων* aliaque rhetorica minora, libro autem perfecto a glutinatore adnexum est Dionysii *περὶ μιμήσεως* fragmentum. Sed nescio an eum, qui folium 200^{r} scripsit, ipsum scripturae ductibus mutatis sequentia adiecisse rectius Henricus Omont iudicavit.

2. F = Florentinus bibliothecae Laurentianae plutei LIX codex XV saeculi duodecimi, de quo quae exposuit Usener in voluminis prioris editione, hic non repetuntur. Satis igitur est adfirmasse hunc librum continere singularis cuiusdam Dionysii operum collectionis reliquias (nam libellus de Dinarcho, qui agmen claudit, nullo alio loco nobis est servatus) additis Philostrati vitis sophistarum, Callistrati descriptionibus, quinque orationibus Aristidis. Mutilus est duobus locis eaque damna iam ante annum 1269 p. C. n. acceperat, ut Usener l. l. p. XIsq. demonstravit. Quo fit, ut libri de compositione verborum capita XXV inde a pagina 124, 2 *μυστηρίοις μὲν οὖν* et XXVI in Florentino desiderentur.

3. M = codex Venetus bibliothecae Marcianae 508, olim Bessarionis chartaceus saeculi XV, schedarum CCXIV, duabus constat partibus, quarum et scriptura et charta ita diversa est, ut mero casu in unum volumen redactae esse videantur. In priore parte, quae continet fol. 1—156^{v}, somnium Scipionis cum Macrobii commentario et latine et graece ex Maximi Planudis metaphrasi aliaque leguntur, altera incipit a *Δημητρίου τοῦ φαληρέως περὶ ἑρμηνείας ὅ ἐστι περὶ φράσεως* fol. 157^{r}, sequitur f. 174^{r} *Διονυσίου ἁλικαρνασέως περὶ συνθέσεως ὀνομάτων, τοῦ αὐτοῦ Διονυσίου περὶ τῶν ἐν ταῖς μελέταις πλημμελουμένων*, deinde caput *Διονυσίου περὶ λόγων ἐξετάσεως* et excerpta de imitatione, *Διονυσίου ἁλικαρνασέως περὶ τῶν Θουκυδίδου ἰδιωμάτων*, *Μαξίμου περὶ ἀλύτων ἀντιθέσεων*, denique epistulae nonnullae adduntur fol. 211^{v}—214.

4. V = Parisinus graecus 1798 chartaceus, Francisci I regis nomine et signo ornatus, Angeli Vergetii antiquarii manu scriptus, in quo praeter commentarium de compositione verborum nihil inest. Idem vir doctus praeterea scripserat Colbertinos olim, nunc Parisinos 1797 et 1799, de quibus adeundus est Usener in illius programmatis p. XII. Vergetii codices iam ab Henrico Stephano adhibitos esse Usener demonstravit.

Quibus testibus accedit epitoma libri de compositione verborum (E), cuius de codicibus suo loco agendum erit. Hanc epitomam iam quarto vel quinto p. C. saeculo emissam esse Hanovius coniecit, quo tamen tempore quicumque librum de compositione verborum adferunt pleno opere usi sunt, itaque liberaliorem Hanovium fuisse Usener recte monuit (programmatis sui p. VIII adn. 7). Haec brevior forma aliquando videtur adumbrata esse, ut corpori Hermogeniano adderetur; quod quo tempore factum sit, ignorare me fateor.

His igitur artis instrumentis instructi, cum non sint eiusdem pretii, quomodo textum scriptoris recensebimus? Tria omnino esse genera exemplorum, quibus Dionysii Halicarnasei libri rhetorici et critici coniuncti ad hanc aetatem pervenerunt, Usener l. l. docuit, primo generi Parisinum adscripsit, secundo Florentinum. Hos inter duos libros quae ratio intercedat, si quaerimus, difficile non est respondere, peculiarem utroque exhiberi textus recensionem eamque ita diversam, ut propriae editionis arte et consilio factae instar habenda sit. Adi apparatum criticum: videbis quantum sit discrimen in singulis verbis, interpolationibus[1]), lacunis,

1) Pag. 16, 3 Usener edidit *τοιαῦτά ἐστι τὰ πριάπεια λεγόμενα ταυτί· Οὐ βέβηλος, ὦ τελέται τοῦ νέου Διονύσου κτλ.* Libri quidem miro modo inter se discrepant, quoniam in Parisino est *τοιαῦτά ἐστι τὰ πριάπεια, Διφίλεια λεγόμενα, ταυτί κτλ.*, at in Florentino *τοιαῦτά ἐστι τὰ πριάπεια, ὑπό τινων δ' ἰθυφάλλια λεγόμενα ταυτί κτλ.* Si Usenerum sequimur, duplici eoque plane diverso interpretamento locus inquinatus est, qua in re non tam mira est diversitas interpretationis, quam

quae efficiunt, ut modo Florentinus modo Parisinus textum exhibeat singulis vel pluribus verbis pleniorem. Harum duarum recensionum in Veneto itemque in Parisino Vergetii mixta sunt vestigia, cuius rei lepidum habes specimen p. 5, 12, ubi *διαλεκτικὰς* in F, *καὶ λεκτικὰς* in P, *καὶ διαλεκτικὰς* in MV legitur, confer praeterea quae p. 10, 5; p. 70, 9; p. 123, 14 adnotata sunt. Etsi autem duo illi libri recentiores longe minore intervallo a P distant quam a F, tamen non pauca habent cum F communia et lacunas explent, quae insunt in P, quo e genere gravissima sunt exempla p. 35, 2 sq.; p. 53, 14 sq. nec non inspicies quae ad p. 33, 17; p. 41, 12; p. 42, 18; p. 44, 13 in apparatu critico indicantur. Quibus exemplis hoc quoque demonstratur M et V inter se satis esse diversos. Quodsi ex Veneti (M) stirpe provenisset etiam V, vix cum P omisisset *ταῖς ἄλλαις* p. 41, 12, quod M commune habet cum F, neque M e familia V ortus esse potest propter eam discrepantiam, quae p. 53, 14; p. 33, 17 observatur. Utilis est lectionis varietas p. 43, 10, quam plenam propono:

F: *πῇ δὲ διαφέρει ταῦτα ἀλλήλων, κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ.*
P: *τῇ δὲ διαφέρει ταῦτα, κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ.*
MV: *πῇ δὲ διαφέρουσιν ἀλλήλων, ταῦτα κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ.*

Patet autem ex apparatu nostro etiam artiore quam M vinculo Vergetii codicem (V) cum P esse coniunctum, tamen

---

quod utraque glossa in textum recepta est. Nisi forte Usener putavit *Διφίλια* (quod traditur) ex *ὑπό τινων δ' ἰθυφάλλια* esse corruptum, sed metrum nostro simile (– ◡ – ◡ – ◡◡ – – ◡ – ◡ – ◡ – a Diphilo in comoediis adhibitum esse metrici scriptores testantur, iidem metrum Choerilium etiam Diphilium esse appellatum (v. Fr. Marx, Plautus Rudens p. 257 sq.); itaque huius poetae nomen metricis doctoribus notum fuit. De veterum nomenclatione metrica non omnia scimus, possis igitur Parisinum ex Florentino supplere sic: *τοιαῦτά ἐστι τὰ πριάπεια, Διφίλεια, ὑπό τινων δ' Ἰθυφάλλια λεγόμενα ταυτί κτλ.* tum, quod in altera recensione *Διφίλεια*, in altera *ὑπό τινων δ' ἰθυφάλλια* omissum est, ex homoeoteleuto explicatur. Sed incerta res est.

idem aliis locis cum M (F) conspirat contra P, quin etiam cum M conspirat contra P et F, cum F contra M et P (p. 72, 7). Quae si deliberaveris omnia, vix negabis in M et V adparere traditionem vetustam, cuius origo atque radix a P et F diversa sit, eaque sententia eo quoque confirmatur, quod epitoma e libro provenit alio quidem sed in quo item recensionis P et F mixta vestigia sunt; quo accedit, quod libros similiter mixtos iam rhetores veteres Hermogenis commentatores possederunt, qua de re infra adcuratius agetur. Sane mirum est, quod Venetus M eosdem Dionysii libros continet quos P, nec solum continet, verum etiam ita scriptos, ut libro de compositione verborum excepto eundem textum exhibeant quem P neque dubitari possit, quin ex P fluxerint, id quod Usener programmatis l. l. p. VI sq. exposuit. Prolixa igitur res est eaque digna videri posset, in quam summo studio inquireretur, si in M et V quidquam inesset, quod iuxta P et F Dionysii textum iuvaret. Hoc autem simpliciter nego. Nam quae Usener l. l. p. X sq. protulit, ut in M principalem quandam alicuius pretii traditionem inesse demonstraret, ea omnia textui nihil addunt praeter *τὸν πῖνον* p. 37, 16, quod tamen in ipso P olim exstitisse videtur neque Veneti maius est meritum quam quod super falsum illud *τὸ πιθανὸν* corrector addidit *πῖνος*. Praeterea velim inspicias, quae Usener ad pag. 70, 3 adnotavit, quo de loco utcumque iudicabis, praeter F et P epitomam adhibere sufficit, *πούς* autem, quod libri omnes testantur, vix erat delendum, nec mihi facile videtur iudicare, utrum *τρίβραχυς πούς* verum sit (sic P) an *τροχαῖος πούς* (sic F cum scholio *ἄλλοι δὲ χορεῖον αὐτὸν καλοῦσι*) an *χορεῖος* (sic Usener cum epitoma, *χορεῖος τρίβραχυς πούς* MV). Ea enim est lectionis varietas, ut putes aliquid, quod cum trita et accepta nomenclatione metrica pugnabat, ita expulsum esse, ut aliud, quod commune omnibusque notum erat, substitueretur; quae si vera est suspicio, potius *τροχαῖος πούς* cum Florentino restituemus. Hephaestio quidem, cuius magna apud posteriores auctoritas fuit, tribrachyn *χορεῖον* vocavit, sed eundem pedem ab aliis *τροχαῖον* esse dictum bene scimus.

Itaque per se non potest esse mirum, si Dionysius quoque tribrachyn *τροχαῖον* appellavit, tamen molestum est, quod paullo antea (p. 69, 12) *τροχαῖον* constare dixerat ex longa et brevi syllaba. Quid igitur? Num modum excedit, si postea tribrachyn tractans addit, a quibusdam esse eum *τροχαῖον* appellatum? Ecce enim p. 93, 16 ipse Dionysius iterum tribrachyn *τροχαῖον* vocavit, quem locum Sauppius inmerito corrigere voluit neque eum ipse Usener secutus est. Haec si recte disputata sunt, etiam p. 70, 3 ad Florentini auctoritatem nos adplicabimus. Quae cum ita sint, M et V fortasse ne adhibendi quidem erant, ubi F et P et epitoma suppetebant.

Sed Florentini Parisinique dissensum magnas edentibus parere difficultates Usener iam in praefatione voluminis prioris (pag. XXXVIII) observaverat, quae ut solverentur, quam normam sequendam esse putaret, in volumine secundo expositurus erat. Quod quoniam facere non potuit, nos docere temptabimus. Primum igitur duarum illarum libri de compositione editionum quae fuerint antiquis temporibus fata, quatenus id fieri potest, enucleandumst. Itaque proficiscendum nobis est a Lacharis rhetoris fragmento quodam, quod Graevenus in Hermae voluminis XXX p. 291 sq. edidit, cuius memoriam si in Useneri editione frustra quaeres, mea potius culpa est. Etenim si Usener, qui tunc temporis, cum libri de compositione editionem parabat, dudum rhetoricae graecae studio relicto alia sequi inceperat, Graeveni de Lachare commentationem non animadvertit, mirum esse non potest, ego vero animadvertere debui. Scilicet in illo Hermae volumine Graevenus Lacharis sophistae de rhythmo oratorio amplius quoddam fragmentum expressit e codice bibliothecae Nationalis Parisinae Suppl. gr. 670 petitum, idcirco notabile, quia Lachares totum locum ex libri de compositione verborum capite XVIII (editionis p. 74, 9—77, 1; p. 77, 14—79, 1) suae disputationi inseruit. Quae excerpta ad Dionysii textum constituendum paene nihil valent, ad operis fortunam accuratius cognoscendam multum. Primum igitur eas Lacharis lectiones, quae ab Useneri textu diversae

sunt, hic adnotabo: p. 74, 9 *τί οὐχ* L (= Lachares) — *ἂν* om L — 15 *ἐστὶ* L — *πεποίηκεν* L — 17 *προηγορουμένοι* L — *σπονδεῖοι κώλου οἷδε πόδες* L — 18/19 *ὁ δὲ μετ' αὐτὸν* L — 19 *κριτικός, πάντες* L — p. 75, 1 *ἀξιωματικοί*] *ἀξιώματος μετέχοντες* L — *πρῶτον αὐτοῦ κῶλον* L — *διὰ τοῦτο* L — 4 *κριτικὸν* L — 5 *τελειοῦτε* L — 6 *ὥστε* L — 7 *τε* om L — 8 *δὴ* om L — 9 *τῶν* om L — 10 *κριτικοῦ* L — 11 *καὶ τρίτον* usque ad 12 *ἀνάπαιστον* om L — 14 *εὐγενὲς*] *εὐανθὲς* L — *γέγονε* L — 15 *καὶ κατὰ πλεῖστά ἐστι παρὰ Θουκυδίδους* (sic) L — 16 *τὰ* om L — *ὥστε* L — 17 *ὡς* om L(!) — 18 *ταύτην ἔν τινι* L — 18/19 *ποτε ἄλλῳ*] *ῥυθμῷ* L — 19 *εἶναι* om L — 20 *ἂν* om L — *μὴ* om L — 21 *ῥυθμῶν; καὶ γὰρ τῶν πάνυ* L — p. 76, 1 *φανερῶν*] *θαυμαστῶν* L — *ᾗ*] *ἐστιν, ᾗ* L — 2 *ἀρχὴν οὕτως· ἔργων* L — 3 *τοὺς προσήκοντάς φησιν* L — 5 *εἰσι ἃ* L — 6 *ὑποβάκχειος* L — 8/9 *ἔτι τροχαλοὺς* L — 9 *καὶ ταχεῖς*] *οὔτε τραχείων* L — *ἀναβεβλημένης* L — 10 *ἀποδιδόναι προσήκει τοὺς λόγους* L — 11 *δὲ ὁ* L — 12 *συναλειφῆς* L — *μετ' αὐτὸν* L — 13 *καὶ ὁ ἑξῆς αὖθις σπονδεῖος καὶ ὁ μετ' αὐτὸν βακχεῖος, ὁ δὲ τελευταῖος ἀνάπαιστος, εἶτα κατάληξις* L — 16 *οὐδ'* L — *τοῦ δὲ* om L — 17 *τοῦ ὧν τυχόντες δύο εἰσὶν οἱ πρῶτοι πόδες κριτικοί, σπονδεῖοι μετ' αὐτοὺς δύο* L — 20 *κριτικὸς* L — *εἶτα* L — 21 *ἀνάγκη τοίνυν τὸ ὑπὸ πάντων συγκείμενον κῶλον ῥυθμῶν καλῶν* L — p. 77, 14 *γὰρ δὴ* om L — *ἐστι* L — 15 *ἐκλογῆς τε*] *ἐκ γλώττης καὶ* L — *ὁ Δημοσθένης*] *Δημοσθένους* L — 16 *δὴ*] *γὰρ* L — p. 78, 1 *πρώτην πληροῖ περίοδον* L — 2 *αὐτὰ καταρυθμοῦντες ῥυθμοὶ οἷδε πρῶτον* L — 4 *ὑποβάκχειος* L — 5 *ἔπειθ' ἕπεται*] *ἑξῆς δὲ* L — *εἶτα* L — *τε* om L — 6 *μετ' αὐτὸν* L — *εἶτα ἑξῆς κριτικοὶ* L — 7 *ὁ* om L — 8 *τοῦ ὅσην* L — 9 *πρῶτον* L — 10 *παλιμβάκχειος* L — 11 *ἔπειτα κριτικός* L — 12 *παίωνες* L — 13 *ἑκάτερος αὐτῶν* L — 14 *τοῦ δεῖ τοσαύτην* L — 15 *μοι παρ' ὑμῶν*] *ὑμῖν* L — 16 *ἔπειτα κριτικός* — 17 *εἶτα εὐθὺς βακχεῖος καὶ κριτικός* L — p. 79, 1 *καὶ τελευταῖος πάλιν κρητικός* om L.

En plurimae ab Useneri recensione discrepantiae, quarum

quidem pars eo explicatur, quod Lacharis excerpta ipsa in codice Parisino neglegenter scripta et damnis multis obruta erant. Velut in exitu quod verba *καὶ τελευταῖος πάλιν κρητικός* omissa sunt, librarii vitium esse videtur, cuius oculi a priore *κρητικός* vocabulo ad alterum aberraverant. Sed his concessis tamen fateberis Lacharis textum a textu librorum nostrorum valde fuisse diversum.

Dixi non multum eum conferre ad emendationem verborum. Nam quod p. 78, 14 articulum ante *σπονδεῖος* recte omisit, idem iam coniectura fecerat Usener. Restat igitur, ut ibidem *τουδὶ* eliciamus ex eo quod Lachares *τοῦ δεῖ* sine sensu scripsit, cum *τοῦδε* insit in Florentino, *τοῦ* in Parisino, cf. p. 75, 18, ubi *ταυτηνὶ* verum, *ταύτην εἴ* Florentinus habet, *ταύτην ἐν* Lachares, *ταύτην* Parisinus. Denique erravit Usener, cum p. 75, 16 sq. emendare sibi videretur *ὥστ᾽ εἰκότως ὑψηλὸς εἶναι δοκεῖ καὶ καλλιεπὴς ὡς εὐγενεῖς ἐπάγων ῥυθμούς*. Scilicet *ὡς* scripsit pro eo quod est *καὶ* in Florentino, sed languidum est et vix graecum, praeterea *καὶ* non solum in Parisino deest verum etiam apud Lacharem, itaque Florentini interpolationem deprehendimus.

Singulis locis cum Florentino Lachares conspirat, pluribus et gravioribus cum Parisino, cum illo *δὴ* omittit p. 75, 8, *ταυτηνὶ* confirmat p. 75, 18, *προσήκει* p. 76, 10 (*προσῆκεν* P), *δ᾽ ὁ δεύτερος* p. 76, 11 (*δὲ ἕτερος* P), *εἶθ᾽ ὁ* p. 76, 12 (*εἶτα* P), *δὲ* p. 78, 4 (*τοῦδε* P), *εἶτα* p. 78, 5 (om P). Sed cum Parisino commune habet *ἤδη εἰρηκότων* p. 74, 12 (*εἰρηκότων ἤδη* F), *τὸν λόγον* p. 74, 13 (*λόγον* F), *πρῶτον αὐτοῦ κῶλον* p. 75, 1 (*αὐτοῦ* om F), *δὴ* p. 75, 14 (*δὲ* F), *ὀλίγα* p. 75, 16 (*ὀλίγα τὰ* F), *εὐγενεῖς* p. 75, 17 (*καὶ εὐγενεῖς* F), p. 75, 21 P habet *ῥυθμῶν· ἔστι γὰρ δὴ τῶν πάνυ*, Lachares *ῥυθμῶν· καὶ γὰρ τῶν πάνυ . . . ἐστιν*, tota verba omisit F cum gravissimo sententiae detrimento. *ἔπειτα* sicut P habet Lachares p. 78, 11 (*εἶτα* F), *παίωνες* p. 78, 12 (*παιᾶνες* F), p. 78, 16 *ἔπειτα* pro *ἕπεται* quod est in Florentino.

Quot autem locis Lachares proprium ac suum sequitur textum! Quem si contuleris cum Florentino et Parisino,

multo deteriorem esse concedes. Constat igitur sub exitum quinti post Christum saeculi libri de compositione verborum exstitisse editionem, in qua et Parisinae et Florentinae recensionum inerant vestigia, sed eadem tot locis differebat, ut Florentina ac Parisina recensiones cum Lachare comparatae paene unius codicis instar sint eiusque longe praestantioris.

Reliquorum rhetorum si conferes testimonia, interdum Parisini auctoritatem eos confirmare intelleges, saepius Florentini. Inter quos gravissima est Syriani memoria, qui eodem tempore atque Lachares Athenis fuit, quare hic adnoto quae ad rem pertinent;

p. 15, 17	*ἔχεν* F: *ἔχον* P Syrianus
p. 16, 1	*ἧτ᾽* F: *ἧ* P *ἥτις* Syrianus
	ἕλκει F: *ἀνέλκει* P Syrianus
p. 16, 2	*ἀεικέα παισὶν* FP: *παισὶν ἀεικέ᾽* Syrianus
p. 40, 10	*διαλλάττουσι τοῖς* F: *διαλλάττουσα τῆς* P Syrianus
	ᾠδῇ F: *ᾠδαῖς* P Syrianus
p. 40, 12	*ῥυθμοὺς* F: *ῥυθμὸν* P Syrianus
p. 77, 3	*ἦν οὕτως* FP: *οὕτως ἦν* Syrianus
(p. 77, 4	*οὕτως* F Syrianus: *οὗτος* P)
p. 77, 5	*παρήλασεν ἂν* F: *παρέλασσεν* P Syrianus
(p. 77, 5	*Δημοσθένη* F Syrianus: *Δημοσθένην* P)
	(*κἄλλους* F Syrianus: *καὶ ἄλλους* P)
	ἑρμηνείας ἕνεκεν P: *ἑρμηνείας* F *ἑρμηνεία* (corrupte) Syrianus
p. 77, 7	*μὲν* F: om P Syrianus
	ὅτε F Syrianus: *ἃ* P
p. 77, 15	*ἐκλογῆς τε* FP: *ἐκλογῆς* Syrianus
	συνθέσεως FP: *συνθήκης* Syrianus
(p. 122, 18	*οἶμαι* FP: *οἴομαι* Syrianus)
p. 123, 5	*καὶ τοὺς* F Syrianus: *τούς τε* P
	ἀγῶνας om F: habent P Syrianus
p. 125, 7	*ποίημά γε* FP: *ποίημα* Syrianus

Vides pluribus et gravioribus locis Syrianum consentire cum Parisino et omnino textum habuisse vix peiorem eo, qui libris nostris traditur. Contra is rhetor Hermogenis scholiasta, qui exstat apud Walzium t. VII p. 964, 23 sq., dum totum libri de compositione caput reddit, ita congruit cum Florentino, ut codicem huic simillimum possedisse videatur (cf. Useneri adn. crit. p. 48 sq.). Iam ut brevis sim,

Florentinus et Parisinus quamquam cum Lachare collati quasi ex uno fonte rivuli prodisse videntur, inter se comparati ita differunt, ut alter ex altero derivari non possit, idque maxime eam ob causam, quod uterque codex singulis vel pluribus verbis omissis suas habet lacunas. Quo fit, ut propriam quandam textus recensionem utroque repraesentari consentaneum sit. Ac Florentini quidem recensionem iam antiquis temporibus praesto fuisse scholiastae Hermogeniani testimonio probatur, de Parisino idem suspicari licet propter Syriani consensum, pro certo adfirmare non licet. Sed perditum et corruptum libri de compositione textum Lachares exhibet.

Epitoma quatenus cum Florentino et Parisino conspiret, ex Useneri apparatu accurate dignosci nequit, quod ut probetur, exemplum profero e pag 34 editionis ita comparatum, ut E signum uncis saeptum a nobis addatur, ubi ab Usenero nota omissa est; praeterea codicum MV lectionis farraginem inutilem adferre supersedimus:

3 *ἐνταυθοῖ* . . . 4 *ἀκουσάντων* F, E: om P | *ἐνταῦθα* E
4 *πρὸς* FP: *παραπλήρωμα τῆς λέξεως πρὸς* E
5 *τὸ* ante *τοῖς* om FE
7 *σεαυτὸν* F(E)
9 (*ἐπαινούμενον* PE:) *ἐπαινουμένοις* F
16 *τῆς ἀφαιρέσεως δὲ* F: *τῆς δὲ ἀφαιρέσεως* P(E)
17 *λεχθῆναι* E
19 *ποιῆι* P: *ποιεῖ* F(E) *ἁρμονίαν* F(E): *ἑρμηνείαν* P *οἶα* F(E): *οἷάπερ* P *μὲν* F(E): om P

Ex hoc exemplo id quoque intellegitur epitomam modo cum Florentino congruere modo cum Parisino, eandem interdum, sed raro, propriam sequi viam. Sumpta videtur e codice, qui Florentinae recensioni cognatus erat, sed Parisinae ope correctus. Quamquam autem pauca suppeditat, quae textui constituendo utilia esse possint, tamen inprimis ibi, ubi deliberes, utrum Florentinus an Parisinus sequendus sit, non sine commodo consulitur.

His igitur expositis finem faciamus quaerendi, quam in textu constituendo rationem sequi oporteat. Diximus in libris Veneto (M) et Vergetii Parisino (V) ita mixtam exstare

Parisini P et Florentini (F) memoriam, ut propriam auctoritatem vix habeant excepto libri de compositione verborum exitu, ubi F deest. Idem fere dicendum est de epitoma, quae fluxit e codice Florentini cognato; itaque, ubi Florentino caremus, epitoma maioris est ponderis, ceteris capitibus nihil fere novi addit. Relinquuntur Florentinus et Parisinus P tamquam recensionis fundamentum, uterque codex suas habet virtutes, uterque sua vitia, velut p. 9, 17 *φάσιν ἀναπόδεικτον* è Parisino sumptum est, cum Florentinus *ἀναπόδεικτον* in *ἀναπόδεικτα* corruperit, p. 16, 5 *τελέται* Parisinus servavit (*λέγεται* F), p. 21, 2 Psaonis nomen (*στατωνα* cum *φ* super *στ* addito F), p. 81, 15 *Βαῖτιν* in lenissima corruptela (*βασιλέα* F). Quae sunt egregia Parisini auctoritatis documenta. At Florentinus p. 10, 5 *πραγμάτι' ἄττα* recte exhibet, quod Parisinus in *πραγμάτια λιτὰ καὶ* corrupit, p. 17, 5 *ἐρατὴν* in *ἐραστὴν* mutatum (*ἐρατεινὴν* contra metrum P), p. 39, 6 *σομφὸν* (*ἀσύμφωνον* P!), p. 62, 7 *μεγάλα* in Homeri textu, sicut coniecerat Bentleyus (*μεγάλῳ* P), p. 80, 17 *διαφθείρει. τούτων*, sicut coniecerat Reiskius (*διαφθείρει τοῦτον* P).

Quae cum ita sint, in aestimandis Florentini Parisinique lectionibus unus nobis relinquitur dux sententiarum conexus et accurata sermonis Dionysii observatio. Nolo autem ad librorum auctoritatem diiudicandam ea adhibere, quae ex Demosthene, Herodoto, Homero, Platone adferuntur, quia fortasse codices nostri ad exemplar horum auctorum, quod praesto erat, emendati sunt; cf. e. g. quae adnotantur ad p. 11, 2; p. 13; p. 15, 9 et praecipue ad p. 34, 1.

Sed haec edendi ratio ut aliquo specimine inlustretur, carminis celeberrimi Sapphici recensionem examinabimus, quam Usener instituit, eamque accuratius explorare atque pertractare vel ideo opportunum erit, quod severe ac paene cum contemptu vituperata est a Wilamowitzio (Sappho und Simonides p. 80 sq.). Qui vir praeter ceteros magnus et admirabilis quod huic dissertationi suae meum quoque nomen inmiscuit, nimium mihi tribuit honorem. Nam ut ex voluminis prioris prooemio intellegitur, ita opus

divisimus, ut libri de compositione verborum edendi periculum Usener in se reciperet, neque is erat, qui periculum receptum fugeret. Non nego de singulis libri locis constituendis me cum Usenero deliberasse, sed qui novit philologos, scit fieri non posse, ut de omnibus rebus eadem sentiant, itaque nos quoque hic illic dissensimus, recte autem fecit Usener libri editor, quod suum iudicium sequi maluit quam meum. Sed ut tandem veniamus ad rem, primo carmen illud sic proponemus, ut singulis Florentini et Parisini recensionibus traditum est. Qua in re praeteribimus lenissima quaedam scripturae vitia, de quibus dubitari prorsus non potest. Uncis rotundis inclusimus, quae litterae omissae supplentur, quadratis, quae eicienda erant, ut textus aliquo modo intellegeretur, accentuum et spirituum nulla est auctoritas (cf. editionis p. 114 sq.):

F	P
Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα	*Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα*[4]
παῖ Διὸς δολοπλόκε, λίσσομαί σε	*παῖ Διὸς δολοπλόκε, λίσσομαί σε*
μή μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα, πότνια, θυμόν.	*μὴ μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα, πότνια, θυμόν.*
ἀλλὰ τύδ' ἔλθ', αἴ ποτε κἀτέρωτα	*ἀλλὰ τύδ' ἔλθ', αἴ ποκα κἀτέρωτα*
τᾶς ἐμᾶς αὔδως[1] *ἀιοῖσα πηλὺ*[2]	*τᾶς ἐμᾶς αὐδῶς ἀίοισα πόλυ*[5]
ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα χρύσιον ἦλθες	*ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα χρύσιον ἦλθες*
ἄρμ' ὑπασδεύξαισα[3]*, καλοῖς δὲ σ' ἆγον*	*ἄρμ'*[6] *ὑποζεύξασα, καλοὶ δέ σ' ἆγον*
ὠκέες στρουθοί, περὶ τᾶς μελαίνας	*ὠκέες στρουθοί, περὶ γᾶς μελαίνας*
πυκνὰ διννῆντες πτερὰ [π] τὠρανῶ (αἰ)θέρος διὰ μέσω	*πυκνὰ δινῆντες πτέρ' ἀπ' ὠρανῶ (αἰ)θέρος διὰ μέσσω*[7]

1) *αὖδες* F 2) *πηλοὶ* F 3) *ἀρμὺ πᾶσδευξαισα* F 4) *ἀφροδίταν* P 5) *πόλυ cum rasura ex πόλου* P 6) *ἄρμα* P 7) *δ' άμεσ πω* P

F	P
αἶψα δ' ἐξίκοντο, σὺ δ' ὦ μάκαιρα	*αἶψ' ἀλλ' ἐξίκοντο, τὺ δ' ὦ μάκαιρα*
(μει)διαίσαισ' ἀθανάτω(ι) προσώπω(ι)	*μειδιάσασ' ἀθανάτω(ι) προσώπω(ι)*
ηρεοχι πέπονθα κὤττι[1]	*ἤρε' ὄττι δ' ἦν, τὸ πέπονθα, κὄττι*
δεῦρο κά[λ]λημμι	*δηῦτε κάλημμι*
κὤττ' ἐμῶ(ι) μάλιστα θέλω γενέσθαι	*κὄττ' ἐμῶι μάλιστα θέλω γενέσθαι*
(μαινό)λαι θυμῶ(ι)· τίνα δηῦτε πειθω	*μαινόλα(ι) θυμῶι· τίνα δεῦτε πείθω*
μαῖσ'[2] *ἄγην ἐς σὰν φιλότητα, τίς (σ') ὦ*	*μαῖσ' ἄγην ἐς σὰν φιλότατα, τίς σ' ὦ*
ψάπφ', ἀδικήει[3]	*ψάπφ' ἀδική(ει)*
καὶ γὰρ ἢ φεύγει· ταχέως διώξει.	*καὶ γὰρ εἰ φεύγει, ταχέως διώξει.*
αἰ δὲ δῶρα μὴ δέκετ', ἄλλα δώσε(ι)[4]	*αἰ δὲ δῶρα μὴ δέκετ' ἄλλα δώσει.*
	αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει
κωὐκ ἐθέλουσα	*κωὐκ ἐθέλοισ(α).*
ἐλθέ μοι καὶ νῦν, (χαλ)επᾶν δὲ λῦσον	*ἐλθέ μοι καὶ νῦν, χαλεπὰν δὲ λῦσον*
ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι	*ἐκ μέριμναν, ὅσ(σ)α δέ μοι τελέσ(σ)αι*
θυμὸς ἱμάρ[ερερ]ει, τέλε[σ]σον, σὺ δ' αὐτὰ	*θυμὸς ἱμέρ(ρ)ει, τέλε[σ]σον, σὺ δ' αὐτὰ*
σύμμαχος ἔσ(σ)ο	*σύμμαχος ἔστω*

Manifestum est in utroque exemplari vitia inesse, neque ea pauca, in F fortasse plura, sed graviora ea, quae neglegentiae tribuas, in P graviora ea, quae librarii correctoris perversitate explicantur. Certe in P carmen facilius legitur. In hunc librum communis dialecti formae quaedam satis conspicuae invectae sunt (*ὑποζεύξασα, ἔστω*), in F duobus mendum videtur esse ortum locis ex eodem genere erroris, scilicet eo, quod correctoris notae super lineam additae male intellegebantur. Nam *πτεραπτωρανω* refero ad

1) *κωιτι* F 2) *και σ* F 3) *ψαπφα δίκησ·* F
4) *sequentem versum totum om* F, *ut opinor, aberrante librario a priore αἰ δὲ ad sequens*

πτερα^π^τωρανω non recte explicatum (scilicet, qui πτερὰ τὠρανῶ scripserat, τὠρανῶ cum sequenti αἰθέρος coniunctum esse volebat). Item ιμαρερερει monstrum interpretandum est ex scriptura ιμα^ερρ^ρει, quae recte intellecta ἱμέρρει inducere debuit. Quod si verum est, sine dubio futtile est ἱμάρρει, quod Usener feliciter invenisse sibi videbatur, neque in tradita scriptura ullum habet fundamentum. His praemissis, quae ex aperta quadam rerum condicione explicantur, reliqua ea inspiciamus, de quibus potest esse contentio. Ac primum quidem, ut de τυδ' et πηλυ disceptemus, fatendum est nullum in Dionysii traditis verbis exstare indicium, quo τυιδ' et πηλυι in textu eius umquam exstitisse confirmetur; tantus est inter P et F et epitomam (E) consensus. Reputes tecum oportet Dionysii editori non genuinum Sapphus carmen restituendum fuisse sed eam formam quam Dionysius ipse traditam acceperat, nisi fallor, ab editore Sapphus aliquo Alexandrino. Quare ne ea quidem Sapphus editio, quam Hoffmannus instituit, recte a Wilamowitzio cum Useneri comparatur; aliud enim Hoffmannus propositum habuit, aliud Usener. Verum quidem est in papyro Oxyrhynchi reperto τυίδε legi, nemo tamen, qui leges recensendi textus observare in animo habebat, ea re adduci debebat, ut τυίδε Dionysio obtruderet. Nam utcumque de Useneri disputatione ante quinquaginta annos in Fleckeiseni annalibus expressa iudicabis, hoc saltem exemplis docte congestis probavit, in iota adverbiis addendo vel omittendo maximam apud grammaticos fuisse inconstantiam; itaque nihil erat quod impedire posset, quominus alter editor antiquus τυιδε scriberet, alter τυδε. Quodsi Usener τυδε veterem formam Aeolicam fuisse existimavit, interim nos de iis formis, quae poetarum veterum Aeolicorum propriae sunt, cautius iudicare didicimus, sed de textus Dionysii recensione aliter atque Usener fecit iudicare omnino non licebat. Item Dionysii editor facere non potuit, quin ἄγην ἐς σὰν ederet, quamquam εἰς aeolicum est. Nunc eam quaestionem adgredior, quae ad ποκα ab Usenero receptum pertinet. 'Es ist ein elementares Wissen, daß es aeolisch ποτά heißt', inquit Wilamowitzius, recte quidem, sed si quid video, non in his doctrinae elementis quaestio versatur. Versatur in eo, ut eruamus, quid Usenerum commoverit, ut illo loco ποκα 'doricum' reciperet, at quattuordecim paginis post in alio Sapphus fragmento ποτα. Vidimus libris F et P tertium accedere fontem epitomam, quae plerumque congruit cum F. Sed illo de quo agitur loco epitomatorem non ποτε (quod est in F) sed ποκα (quod est in P) invenisse inde apparet, quod omnes epitomae libri πόκα τ' ἔρωτα tradunt, quod haplographia ortum esse ex πόκα κατ' ἔρωτα nemo, opinor, negabit. Mihi igitur artis officia minime neglexisse videtur Usener, cum ποκα recepit; iterum dico non Sapphus carmen genuinum ei restituendum fuisse, sed textum a Dionysio lectum. Neque aliter de τὺ δ' iudicandum, quod P exhibent et epitomator; τὺ quo iure aeolicum esse neget Wilamowitzius, videant alii. Transeo ad versum 15, quem Usener sic exhibuit: ἤρε' ὄττι δῆν τὸ πέπονθα κὤττι δηὖτε κάλημι, qui si mihi edendus esset, certe δ' ἦν, sic ut traditum est, retinerem, memor eius Graecorum consuetudinis, qua interrogantes aliquid δέ sine explorata ratione addere solent, ut apud Homerum Il. Z 122:

τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Διομήδης·
τίς δὲ σύ ἐσσι, φέριστε, καταθνητῶν ἀνθρώπων;

Il. Z 55:

ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως ἀνδρῶν; (cf. Od. π 421).

Od. δ 680 (cf. 706):

τὸν δὲ κατ' οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
Κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;

apud Sophoclem Oed. Col. 52: τίς δ' ἔσθ' ὁ χῶρος δῆθ' ἐν ᾧ βεβήκαμεν;[1])

---

1) δέ vexatum a Nauckio.

apud Aristophanem Av. 812[1]): *φέρ' ἴδω, τί δ' ἡμῖν[1]) τοὔνομ' ἔσται τῇ πόλει;*

apud Herodotum V 32, 4: *ὁ δὲ εἶπε· σοὶ δὲ καὶ τούτοισι τοῖσι πρήγμασι τί ἐστι;*

apud Thucydidem V 94: *ὥστε δὲ*[2]) *ἡσυχίαν ἄγοντας ἡμᾶς φίλους μὲν εἶναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν δέξαισθε;*

apud Demosthenem Phil. γ 16: *καὶ μηδεὶς εἴπῃ· τί δὲ ταῦτ' ἐστίν;*

apud Lucianum Icaromenippi 24: *εἰπέ μοι, Μένιππε, ἔφη, περὶ δὲ ἐμοῦ οἱ ἄνθρωποι τίνα γνώμην ἔχουσι;*

apud Aelianum de animal. III 1: *ὁ νοῦς τῆς ἐπιπλήξεως τῇ γυναικὶ τῆς πρὸς τὸ θηρίον τοιόσδε ἐστίν, ὡς ἐκεῖνοι λέγουσι· "σὺ δὲ οὐκ αἰδῇ λέων ὢν ὁ τῶν ζῴων βασιλεὺς ἐπὶ τὴν ἐμὴν καλύβην ἰών;"*

Inde in obliquam orationem *δέ* abiit; vide quidem Hymni in Mercurium vs. 393: *καὶ δεῖξαι τὸν χῶρον ἐπ' ἀβλαβίῃσι νόοιο, ὅππῃ δ' αὖτ' ἀπέκρυψε βοῶν ἴφθιμα κάρηνα,* quod ne quis addubitet, addimus *δέ* particulae conservatae clarissimum illud specimen in lapide Arcadico inventum, quem Solmsenus inter alios edidit Inscr. gr. ad inl. dial. sel.[3] p. 4 sq. (Collitz-Bechtel 1222) l. 15 *εἰ δ' ἄ[ν] τις ἐπισυνίστατοι ταῖς ἐσδόσεσι τῶν ἔργων ἢ λυμαίνητοι κὰτ εἰ δέ τινα τρόπον φθήρων, ζαμιόντω οἰ ἐσδοτῆρες* (cf. l. 32).

Haec loquendi figura utique sumpta est ex consuetudine et familiaritate hominum (quod genus Sappho ipsa egregie depingit, deam ut bonam patronam fabulantem inducens), neque iniuria Petronius in cena Trimalchionis quendam de plebe sic rixantem fingit cum Gitone puero: 'tu autem', inquit, 'etiam tu rides, caepa cirrata?' Satis igitur causae est, cur *ὅττι δ' ἦν* traditum apud Sapphun servari posse existimemus, sed quod dicit Wilamowitzius *δῆν* quasi *δὴ ἦν* positum pugnare cum Sapphus aetate et linguae graecae

1) *τί ἄρ' ἡμῖν* coniecit Elmsleyus, sermocinandi morem popularem non recte emendans.

2) *δέ* multis libris omittitur, recte receptum ab Hudio.

historia, non intellego. An crasin Sappho ignorat? Mihi quidem craseos exempla ex ipso hoc Sapphus carmine notanda graviora videntur quam quae in tragoediae Atticae lyricis reperiuntur. Quid? *δή* particulae crasin nonne iam Ilias novit? Habet enim in crasi *δὴ αὖτε* (*A* 340), *δὴ οὕτως* (*A* 131. *E* 218), *δὴ αὖ* (*A* 540), praeterea *ἢ εἰς* (*E* 466), *ἢ οὐκ* (*I* 537) in Iliade crasin patiuntur.[1]) Quam ob rem, priusquam Usenerum vituperaret, apertius docere debuit Wilamowitzius, cur *δὴ* et *ἦν* apud Sapphun coalescere non possent. Neque vero *ἦν* tempus imperfectum soloecum esse concedere possum, quia *ἦν* a Graecis saepe adhibetur ibi, ubi nobis solum *ἐστί* aptum videtur, at *ἦν*, quod ponitur, significat illud, de quo agitur, nunc quidem esse, sed iam antea exstitisse, sicut Sapphus dolor antea erat, quam deam invocaret. Est scilicet illud *ἦν*, quod philosophicum vocare consuevimus, quia saepissime a philosophis usurpatur, est tamen etiam apud poetas inde ab Homero, ut in his Euripidis verbis: *ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.*[2]) Quod genus imperfecti rogantibus in usu fuisse ut intellegas, adeas Aristophanis Ranarum versus 39 et Pluti 1097: *τουτὶ τί ἦν* 'was soll das bedeuten?' Restat igitur una difficultas eaque haud exigua quaerentibus nobis, utrum *δεῦρυ κάλημμι* in Dionysii textu fuerit an *δηὖτε κάλημμι*. Iam enim epitomator redit in tritam sibi viam, cum *δεῦρο κάλημι* exhibeat congruenter cum F contra P, qui *δ'ηυτε καλημμι* tradit, quem errasse suspicari possis, nam in lineola, quae brevi spatio intermisso sequitur, *δ' ἐντεπείθω* scriptum exhibet. Quare *δηυτε* potest esse emendatio eius, quod falso *δευτε* scribitur, eaque emendatio potest (in margine addita) pro *δεῦρο* in ipsum textum irrepsisse. Omnino enim valde molestum videtur, quod Sappho nullo fere intervallo ter *δηὖτε* particulam repetivit, quae cum duarum

1) Adeas etiam *N* 777 (*ἐπεὶ οὐδ'*), *Ξ* 364, *O* 18. 287, *P* 89. 259. 450, *Σ* 458 (*υἱεῖ ἐμῷ ὠκυμόρῳ*), *T* 134. 155, *Y* 188, *Φ* 421, *Ψ* 670.

2) Antiquissimum exemplum, quod Stahlius in Syntaxi notavit p. 105, est Odysseae *π* 420.

sit syllabarum et satis graviter in aures cadat, sententiae nihil fere addere putatur. Wilamowitzius quidem ipse 'denn' vertit, quod tamen nobis pro enclitico est, *δηῦτε* Graecis non item. Porro si memineris *καλεῖν* quasi legitimum esse in advocandis deis, si revoces in memoriam notum illud: *δεῦτ' ἐν χορόν, Ὀλύμπιοι,* vel Aristophanei chori illud: *νῦν καὶ τὸν ὡραῖον θεὸν παρακαλεῖτε δεῦρο* et quod statim sequitur: *Ἴακχε . . . δεῦρο* (Ran. 397 sq.), concedes fortasse de accipiendo *κὤττι δεῦρυ κάλημμι,* quod plures testes confirmant, serio posse cogitari, quod qui legebat, sic poterat intellegere: und "warum ich 'herbei' riefe", dictum eodem iure, quo est apud Xenophontem in Symposii IX 5 *ἅμα δὲ ἐβόων αὖθις,* 'sie riefen: noch einmal'. Nam *δεῦρυ* auxilium clamantis tamquam praeconium est, quibus de rebus egregie egit Guilelmus Schulze in 'Beiträge zur Wort- und Sittengeschichte', SB. der preuß. Ak. der Wiss. 1918 p. 484 sq. Restat, ut de accentibus pauca addamus. Ne ipse quidem Wilamowitzius Usenerum sibi persuaserat ignorasse accentus a Graecis prisca aetate poni non esse solitos. Usener igitur si librorum accentus in adnotatione critica commemoravit velut *Διὸς,* cavere voluit, ne quis lector imperitus in libris ipsis accentus more aeolico esse positos crederet. Si *ἀθανατᾶν* retinuit, observes velim ne hodie quidem grammaticos homines de prosodia aeolica genitivi primae declinationis quidquam pro certo adfirmare audere: caute egit, quod in dubia re editionem Dionysii curans accentus in F et P repertos servare maluit quam papyri Berolinensis accentus substituere, praesertim cum in F et P veteris doctrinae orthographicae certa exstent vestigia.[1]) Denique si *ἀθάνατ'* scripsit, quid eum moverit, ut contra Choerobosci auctoritatem *ἀθανάτα* respueret, sicut Bergkius re-

1) Sicut *αὖτις* p. 109, 21. In Hegesiae fragmento p. 82, 6 edendum erat *κατικετεύων* servata psilosi, quia *καὶ ἱκετεύων* in libris est. Item *κατικετεύσειν* in Heliodori Aethiopicon p. 193, 26 B. restituendum erat ex eo, quod traditur *κατοικετεύσειν*. Ipse quidem Dionysius cum psilosi *κατημαξευμένα* scripsit in libri de antiquis oratoribus praefatione (p. 7, 1).

spuerunt aliique Sapphus editores, bene nosse et explicare hodie nemo potest, sed si quis Choeroboscum sequitur, is non debebat *ἀθανάτ' Ἀφρόδιτα* scribere neque, id quod intime sciebat (es ist ein elementares Wissen), neglegere, longam vocalem in sermone Graeco non elidi.[1])

Epitomam libri de compositione multis exemplis propagatam integram primus et unus ante Usenerum Fridericus Hanovius edidit in annali scholae Soraviensis a. 1868, usus libris Monacensi gr. 327 et Vratislaviensi Rehdigerano 146. Codicis Darmstadiensis lectiones Franciscus Xaverius Werfer in Friderici Thierschii actis philologorum Monacensium t. III p. 430 sqq. publicaverat, quo de codice etiam pleniora docuit Fr. Bender, Vaticanum Urbinatem 47 a Michaele Apostolio scriptum A. Mauius ab Usenero rogatus contulit.[2]) Quibus e codicibus nullus videtur esse saeculo XV. vetustior. Rehdigeranum et Monacensem artiore vinculo conexos esse ex eo apparet, quod in initio tituli verba omittunt, nec tamen gemelli sunt. Haec quattuor exempla ex diversis rivulis derivata plane sufficere epitomae rite recensendae recte statuisse Usener videtur, dummodo in dissensu apographorum pleni operis textum librorum Florentini et Parisini ope constitutum consulas.

Sequuntur Dionysii de imitatione librorum reliquiae, quas Usener ter edidit, primum programmate Bonnensi ad Natalicia Regis Augustissimi Guilelmi II. impresso a. 1889, deinde eodem anno in libro qui inscribitur Dionysii Halicarnassensis librorum de imitatione reliquiae epistulaeque criticae duae (Bonnae apud M. Cohen et filium), tum in ea, de qua

1) Cf. Sappho et Simonides p. 43 et p. 81. Crasin ne Diehlius quidem induxit, sed Edgar Lovel Anglus.

2) Epitomae libros non paucos, qua est huius materiae notitia, Hugo Rabe amicus mihi enumeravit, plura addens de codice Marciano graeco 444 s. XV fol. 92r sq. quo in libro epitoma adnexa est rhetoricae arti alicuius Byzantini magistri. A textu Useneri non discrepat p. 145, 1—146, 19, nisi quod p. 145, 17 *τῶν λόγων* habet, p. 146, 10 *εὔφρονος,* p. 146, 15 *τὸ σεμνὸν τὸ ἡδύ.* Ceterum cf. Useneri in Indice schol. Bonn. 1878 iam saepius a me allato p. VIII adn. 8.

agimus, editione. Horum librorum primi fragmenta solum pauca atque exilia supersunt, tertii, in quo Dionysius de ratione imitandi exposuerat, nihil reliquum mansit. Secundus quaestionem tractaverat tunc temporis celeberrimam, ut ipsis Dionysii verbis utar: *ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ ποιητάς τε καὶ φιλοσόφους, ἱστοριογράφους καὶ ῥήτορας* (ad Pompeium p. 232, 10). Huius libri excerpta exstant, quorum fons est unicus codex Parisinus 1741. Quodsi huius testimonio varias Veneti Marciani 508 et codicis Monacensis 170 saec. XVI lectiones Usener addidit, ideo fecit, ut quomodo Parisini memoria praestantioribus apographis propagata esset, ante oculos poneret; textui ipsi opem ferunt nullam.

Epistulam de Platone ad Pompeium Geminum missam fragmentis quae sunt de imitatione suo iure subiunxit, cum similis in ea materia tractetur. Cuius libelli de codicibus eorumque stirpe quoniam in praefatione voluminis prioris p. XIII sq. dictum est, ad Useneri verba lectorem revocamus additis paucis de codice Mutinensi Estensi gr. 68 eiusque auctoritate verbis. Codex est chartaceus saeculi XV vel XVI, foliisque constat 136, quorum tamen pars vacua relicta est. Continet nil nisi Dionysii scripta quaedam hoc ordine: De Demosthenis admirabili dicendi vi, Epistulam ad Ammaeum I, De oratoribus antiquis commentationes (i. e. Lysiam, Isocratem, Isaeum), Epistulam ad Gn. Pompeium, Librum de Thucydidis charactere, cf. Puntoni, Studi Italiani di Filologia Classica IV (1896) p. 430 sq. Est igitur idem ordo quem in Veneto observamus, diversus ab eo, qui in Ambrosiano est vel in Palatino vel in Parisino 1742, nam hi tres codices ipsi inter se discrepant. En tabulam

Ambros.	Paris. 1742	Palat.	Venetus et Estensis
de antiq. or.	de ant. or.	de Thucyd.	de Demosth.
ep. ad Pomp.	ep. ad Pomp.	de Demosth.	ep. ad Amm.
de Thucydide	—	ep. ad Amm.	de ant. or.
de Demosthene	de Demosth.	de ant. or.	ep. ad Pomp.
ep. ad Ammaeum	ep. ad Ammaeum	ep. ad Pomp.	de Thuc.

Itaque Parisinus eundem librorum ordinem habet quem Ambrosianus, nisi quod iudicium de Thucydide miro modo medium in Parisino interiit. In Palatino itemque in Veneto et Estensi etsi ordo mutatus est, ita tamen res se habet, ut terni et bini libri eadem serie sese excipiant, qua in Ambrosiano Parisinoque. Ergo de communi origine dubitare non licet. Sed quod in Parisino iudicium de Thucydide deest, id detrimentum ex librarii arbitrio haud ita facile explicatur; per se intellegitur, si huius de Thucydide iudicii sedem olim in fine totius operis fuisse ponas, unde avelli et perire poterat. Quae si recte suspicati sumus — aliter autem Usener rerum statum explanaverat in praefatione voluminis prioris p. XXIII —, archetypi ordo priscus mansit in Veneto atque Estensi, in Palatino ita conversus est, ut iudicium de Thucydide in initio totius operis conlocaretur reliquo ordine servato, in Ambrosiano ita, ut iudicium de Demosthene et epistula ad Ammaeum ab exordio in calcem transferrentur. Sed Veneti et Estensis ordo eo quoque commendatur, quod incipit a Demosthene oratorum principe, deinde alios oratores adnectit Lysiam, Isocratem, Isaeum, finem facit in Platone philosopho et Thucydide historico, itaque omne genus scriptorum distinctis gradibus comprehendit. Nec tamen sequitur, ut Venetum et Estensem meliores codices putemus quam reliquos[1]), ad restituendum exemplar antiquissimum sine dubio utiles sunt. Quamquam autem arto vinculo inter se cohaerent (cf. e. g. adn. p. 233, 6), tamen alter ex altero fluxisse non potest (cf. p. 234, 23. 240, 22). Omnino adeas quaeso Useneri apparatum criticum, ut omnium librorum in textu tradendo magnum esse consensum intellegas, archetypon facili opere posse restitui, duas denique discerni posse familias, alterius potius Ambrosianum, alterius Palatinum ducem. Sane vellem etiam in libro de Demosthene edendo Venetum et Estensem ad

1) Memineris velim etiam in Aeschylo archetypi ordinem periisse in libro pretiosissimo Mediceo, mansisse in libris quibusdam recentioribus.

manum habuissem, quorum librorum conlatio vel maiorem fructum ferre poterat libro de Thucydide, quem Ambrosiano et Palatino solis nisus Usener recensuit.

Dionysii nomen ab artis quae dicitur rhetoricae memoria alienum esse neque ad ultima duo capita nisi docti alicuius coniectura relatum codex Parisinus 1741 antiquissimus idemque librorum omnium recentiorum fons egregie docet. In hoc enim libro scholion exstat ad capitis decimi (*περὶ τῶν ἐν μελέταις πλημμελουμένων*) initium adscriptum: *τοῦτο τὸ μονόβιβλον οἶμαι Διονύσιος ὁ Ἁλικαρνασσεὺς συνέταξεν ὁ πρότερος· μέμνηται γὰρ ἐν αὐτῷ ὡς ἐκδεδομένου αὐτῷ τοῦ περὶ μιμήσεως*, qua in opinione omnis nititur posteriorum sapientia. Sunt enim qui sola haec duo ultima capita tamquam a Dionysio scripta eiusdem de compositione verborum operi subiunxerint, sunt qui totius libri auctorem Dionysium existimarint. Unde factum est, ut in ipso Parisino 1741 manus recentior hoc nomine librum inscriberet. Sed falsa coniectura est non tantum idcirco, quod quilibet rhetor post Dionysium locum de imitatione illi aetati magis magisque necessarium scholis suis tractare potuit et plerique sine dubio tractabant, maxime eo est falsa, quia in ipso capite X, a quo suspicio orsa est, certissima Theodori rhetoris disciplinae vestigia deprehenduntur, id quod primus Thieleus perspexit (v. i.). Quare ante primum p. C. saeculum scriptum esse nequit. Insunt plura vetustae doctrinae documenta veluti, quae de contentione eorum referuntur, qui vel naturalem quandam eloquentiam vel antiqua et vetustate obruta sequuntur, quibuscum e. g. conferas Philodemi rhet. I p. 151. 157, Quintiliani Inst. XII 10, 40, Sexti Empirici adv. rhet. 58 sq.

Hic igitur auctor quisquis fuit, floruit quidem ea aetate, qua imitandi studia vigebant. At ipsum iam Demosthenem inducit quasi Platonis imitatorem (p. 364, 9. 22), qua de re plura se in peculiari tractatu dicturum esse pollicetur; nullo igitur modo potest esse Dionysius Halicarnassensis, Platonis est admirator. Hunc communia quaedam habere cum Hermogenis qui dicitur *περὶ μεθόδου δεινότητος* libro

Carolus Fuhr Rhetoricorum (quae inserta sunt Novis Symbolis Joachimicis 1907) p. 5 sq. ostendit; quin post Hermogenem fuerit, non dubitamus. Quae praecedunt capita VIII et IX *περὶ ἐσχηματισμένων*, eandem utrumque materiam tractant sed ita, ut non plane eodem ordine disposita sit; prius diligentius exaratum videtur, secundum neglegentius; fingere possis a discipulis excepta esse secundum rhetoris alicuius scholas diversis temporibus de eadem re habitas. Haec commentaria ipsa quoque primo p. C. saeculo scripta esse Usener coniecit; admodum dubia res evenit[1]), ex quo Hermannus Schrader docta illa commentatione, quam Hermae volumini XXXVII (1902) 530 sq. inseruit, Telephi Pergameni institutionis vestigia plurima in iis ostendit, sed altero p. C. saeculo Telephus exstitit. Cui observationi addi potest, quod rhetor ille, qui capitum VIII et IX auctor fuit, tria genera figuratae orationis distinguit, eadem, quae Hermogenes *περὶ εὑρέσεως* IV 13, cum Demetrius personatus in libri de elocutione cap. 287 testetur oratores eius, qua fuit aetatis unam solam nosse figuram scilicet eam quae est *κατ᾽ ἔμφασιν*. Qua cum doctrina apprime congruit Quintilianus Inst. or. IX 2, 64 sq. His igitur comprehensis concedes capita VIII et IX ante tertium p. C. saeculum non posse esse scripta. Sed ex commentationibus his excerpta quaedam Gregorium Corinthium in usum suum vertisse Carolus Fuhr l. l. p. 6 sq. diserte ostendit. Item Iohannes Diaconus, de quo Hugo Rabe egit in Mus. Rhen. vol. LXIII 127 sq., cum in Hermogenis *περὶ μεθόδου δεινότητος* commentaria conscriberet, ex Pseudodionysii *περὶ ἐσχηματισμένων* disputatione hausit, usus textu, ut videtur, hic illic meliore et ampliore, alibi aperte mutato, id quod apparet ex variis lectionibus his, quas Rabei amicitiae debeo: p. 327, 21: *οἱ τοιοῦτοι σχηματισμοὶ* Ioh. — 23 *καὶ ἐν σχήματι προτείνει αὐτοῖς τὴν ἀτοπίαν τοῦ μὴ στρατεύειν* Ioh. — p. 328, 18

1) Aliter iam Schottus iudicaverat; cf. C. Fuhr, Rhetoricorum p. 1 sqq. (Novae symbolae Joachimicae 1907 p. 111 sq.)

ἐπειδὴ γὰρ ἀγανακτοῦσιν Ioh. — 19 ἐνδείκνυται Ioh. — 20 βούλεται σφᾶς ὁ Ἀγαμέμνων ἀπορρῆξαι Ioh. — 21/2 φανεροὺς γενομένους ὑπὸ τῶν ἀρίστων Ioh. — 23 τοῦτο — γίνεται om. pro eo habet ὃ καὶ γέγονε, deinde φαίνονται γὰρ Ioh. — 24 πατρίδας καὶ κατέχουσιν αὐτοὺς ὁ Ὀδυσσεὺς καὶ ὁ Νέστωρ (ubi articulus certe falso additur) Ioh. — 329, 24 εὐδιάλυτα μὲν οὖν ταῦτά ἐστιν ὅς πρὶν Ioh. — 330, 5 δυσκλεᾶ omissis Ἄργος ἱκέσθαι verbis Ioh. — 7 ταῦτα μὲν εὐδιάλυτα om. Ioh. — 8 ἐσομένοισι Ioh. — 9 τοιόνδε τε τοσόνδε τε Ioh. — 11 ταῦτα (cum P) Ioh. Itaque haec Pseudodionysii capita posterioribus non plane ignota fuerunt. Porro prima illa artis Pseudodionysiacae capita, quae sunt septem, aetate Antoninorum vetustiora esse non posse Usener certissimis indiciis adhibitis evicit, eadem ex ampliore arte orationum demonstrativi generis aut relicta esse aut electa docuit ea commentatione, quam editioni artis rhetoricae anno 1895 apud Teubnerum emissae proposuit. Secundum vero caput, quo μέθοδος γαμηλίων describitur, nonnulla habet cum Musonii de matrimonio praeceptis communia, denique sexti, quod μέθοδος ἐπιταφίων titulum habet, praecepta ita congruunt cum Menexeno Platonico, ut ab aliquo Platonis studioso scripta esse videantur, nec non Platonis imitatio iam antea cognosci poterat in verbis quae exstant p. 263, 1, ubi Useneri adnotationem adeas. Haec igitur capita, quae ad epidicticum orationis genus pertinent, a Neoplatonicae doctrinae sectatore composita esse puto, quales homines fuerunt Longinus et Syrianus. Relinquitur undecimum caput, cuius cum paragraphis 3 sq. conferendum est Hermogenis περὶ τῶν στάσεων librorum exordium. Alia quoque habet cum Hermogene communia (cf. Fuhr l. l. 1 sq.). Ac quamquam non pauca continet, quae inepta videntur, tamen nimis severe de eo iudicavit Thieleus (Gött. Gel. Anz. 159 (1897) p. 247). Ipsae quidem de morum in variis gentibus diversitate qualescumque proferuntur observationes, tamen egregia illa Graecorum studia redolent, quae primis ἱστορίας exordiis nata per aliquot saecula floruerunt. Quam ob rem

quae in capite XI leguntur, per se non videntur contemnenda, sed lacera sunt atque contracta et scripta fortasse a discipulo, qui magistri verba titubanti manu excipiebat. Vellem autem Hugoni Rabeo concedere possem ultimum hoc caput compilatum esse in Ioannis Sardiani commentario, quo Apthonii progymnasmata inlustravit. Hunc Ioannem non post medium saeculum nonum fuisse et sexti fere saeculi commentaria spoliasse Rabeus, commentationum eius qui exstitit editor, nuper ostendere conatus est. Nec vero dubitari potest, quin ex primis artis Pseudodionysiacae capitulis, quae sunt de genere demonstrativo, varia excerpta proferat, sed quod ad editionis suae p. 129, 8 sq. Rabeus adnotavit Dionysii p. 379, 1 sq. expilata videri, nego id posse credi, tu ipse velim iudices:

[Dionysius]:	Ioannes Sardianus:
ἔστω Ἕλλην· κοινὸν τὸ ἔθνος Ἑλλήνων· Ἕλλην Ἀθηναῖος· τορός, λάλος, σοφός. Ἕλλην Ἴων· ἁβρός, ἀνειμένος. Ἕλλην Βοιωτός· εὐήθης. Ἕλλην Θετταλός· διπλοῦς καὶ ποικίλος.	εἶτα κατασκευαστέον, ποῖοί τινες οἱ Ἕλληνες, ὅτι συνετοί, ὅτι ἀνδρεῖοι, ὅτι εὐσεβεῖς, ὅτι φιλάνθρωποι καὶ ὅσα τοιαῦτα, εἰς πόλιν δὲ ὅτι Ἀθηναῖος ἢ Λακεδαιμόνιος καὶ πάλιν ὁμοίως, οἵτινες τὴν φύσιν Ἀθηναῖοι ἢ Λακεδαιμόνιοι.

Itaque necessarium non est nos existimare iam tunc temporis, cum Ioannis commentaria oriebantur, ultimum artis Pseudodionysiacae caput cum prioribus exstitisse coniunctum. Videmus eam ex quattuor partibus constare satis diversis, quae quo tempore quove consilio in unum corpus conflatae sint, ignoramus.

Haec rudera edentibus codicem Parisinum 1741 pro fundamento recensionis esse debere supra diximus; exstant complura apographa, quo e numero Usener unum Guelferbytanum 14, alterum Marcianum 508 elegit, in Neapolitano 139 artem eandem coniunctam reperire poterat cum Dionysii ad Ammaeum περὶ τῶν Θουκυδίδου ἰδιωμάτων epistula. Librum Parisino meliorem adhibuit is, cuius ex arte excerpta inveniuntur apud Ioannem Sardianum. Is lacunam nondum invenisse videtur p. 261, 25, quem locum;

si Sardianum probamus, qui sequentia ad verbum expressit (p. 256, 12—18), sic supplebimus: *ἀμέλει γε τοιοῖσδε τόποις, οἷσπέρ που καὶ ἐν ταῖς θέσεσιν, ⟨χρησόμεθα λέγοντες, ὅτι τὴν ἀρχὴν ὁ γάμος ἔσχεν⟩ ἀπὸ θεῶν, καὶ ὅτι οὗτοι οἱ εὑρόντες κτλ.* Idem Sardianus p. 262, 4 legit *ἡ δὲ Συζυγία*, non *ἡ δὲ Ζυγία*, ut P, p. 262, 13 (cf. Sard. p. 257, 2 sq.) commune cum P vitium habet *διὰ πάντων τῶν ἔργων*, at p. 263, 1 recte *διαδιδόμενον*, quod Usener ex Platone coniecerat, pro *διαμένον* (cf. S. p. 257, 11—14). p. 263, 15 post *εὐνουστέρους* addit *καὶ ῥωμαλεωτέρους*, p. 263, 17 sq. plenius exhibet et certe melius *δι᾽ οὓς ἀναγκαῖον καὶ μᾶλλον εἴς τε τὰς συμβουλίας παραλαμβάνεσθαι καὶ ὑπὲρ τῶν οἰκείων πόλεων καὶ πατρίδων διαγωνίζεσθαι*, ubi P et *τε* et *καὶ* — *διαγωνίζεσθαι* omittit (cf. S. p. 257 et 259).

Fragmentis Dionysii fortasse addendum, quod Photius ex Helladii chrestomathia profert (Cod. 279 vol. II p. 532, 22 a Bekkeri): *τὸ ἀρχέτυπον, φασίν, οὐδενὶ τῶν ἀρχαίων συγγραφέων οὐδὲ ῥητόρων οὐδὲ τῶν Μούσαις κατόχων εἴρηται ὡς Διονύσιος ὁ Ἁλικαρνασεὺς ἱστορεῖ.* Nam cum et alii rhetores (ut Hermogenes de ideis II 5) et ipse Dionysius (de Demosth. 1124 R) similes de verborum usu observationes proferant, vix est, cur de Dionysio Halicarnasensi auctore dubitemus aut Aelium Dionysium Atticistam substituamus.[1]) Quamquam quo in libro illa prolata sint, ignoratur. Item virorum doctorum, qui Dionysii fragmenta colligebant, oculos fugisse videtur, quod Tzetzes narrat Chiliadum l. XII 566 sq.: *τέσσαρας λόγου ἀρετὰς λέγουσι πεφυκέναι . . . καὶ Διονύσιος ὁ Ἁλικαρνασσόθεν . . . σαφές, μεγαλοπρέπειαν, σύντομον πιθανόν τε*, deinde adiungit *σχήματα*. Quae verba quam habeant auctoritatem, nescio, sed tamen plane diversa sunt ab eorum testium relatione, quorum errores Usener perstrinxit in adnotatione

1) Accedit, quod Dionysius in Dem. (p. 249, 11 nostrae editionis) dicit (*οὐ γὰρ*) *οὕτω καὶ τοὺς ἀρχαίους εἰκὸς αὐτῇ* (scil. *τῇ λέξει*) *κεχρῆσθαι*, eodem igitur quo Helladius vocabulo utitur (*οὐδενὶ τῶν ἀρχαίων*).

ad Dionysii *περὶ σχημάτων* reliquias scripta vol. II p. 252. Fragmento denique omnium primo, quod ad librum de Demosthene deperditum Usener rettulit (vol. I p. 253 no. 1), quo loco Demosthenis in loquendo castitas laudatur, apte addere possis scholion ad Demosthenis Midianae paragr. 79 adscriptum: *εἴωθεν ὁ Δημοσθένης ἐν τοῖς αἰσχροῖς σωφρονεῖν κατὰ τὸν λόγον, ἵνα μήτε αὐτὸς ἑαυτὸν ὑβρίζῃ μήτε φαίνηται τοὺς ἄλλους* (*τοῖς αὐτοῖς* traditur) *μὴ αἰδούμενος.* Ipsi textui corrigendo pauca habeo quae addere velim. In Lysiae iudicii cap. X (p. 18, 8) quod scripsi *ἡ πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι κἀπ᾽ ἴσης χάρις*, id fortasse inlustratur Quintiliani verbis Inst. or. VIII 6, 11 'audaci et proxime periculum translatione'. Ibid. p. 44, 21 *παρὰ* iam Sylburgius legi voluerat, p. 46, 17 *πλούτων* iam Reiskius. In Isaeo p. 95, 6 verum esse *ἡδονῇ τε καὶ χάριτι πολλῇ κέχρηται*, perspicue demonstratur verbis sumptis ex Hippocratis personati epistola in Pap. Oxyrh. IX expressa (ed. Putzger p. 3, 28): *λόγος ἐμὸς σοφίῃ κεχρημένος χρυσοῦ μέζονα δύναμιν ἔχει.* Thrasymachi orationem interim Dielsius identidem edidit in libri, qui Vorsokratiker inscribitur, volumine altero, recte ille quidem respuens (p. 133, 8 nostrae editionis) *καρτερικώτατος* (cf. Platonis Phaed. c. XXII p. 77 A *καίτοι καρτερώτατος ἀνθρώπων ἐστὶ πρὸς τὸ ἀπιστεῖν*). Sed ibidem p. 134, 12 quod *ἀκοὴν ἀνάγκη λέγειν τῶν παλαιοτέρων* conieci (traditur *ἀκούειν*), nunc revoco ad Pausaniae VIII 41, 10 *συνέγραψεν οὔτε αὐτὸς θεασάμενος οὔτε ἀνδρὸς ἀκοὴν ἰδόντος*, ubi facere non possumus quin *ἀκοὴν* ab eo, quod est *συνέγραψεν*, suspendamus, cf. praeterea Isaei or. VIII 14 et Isocratis de pace 12. Certe qui *ἀκοὴν τεθνεῶτος μαρτυρεῖν* dicere poterant, iidem *ἀκοὴν τῶν παλαιοτέρων λέγειν*, neque *οἱ παλαιότεροι* iidem videntur atque *οἱ πρεσβύτεροι*. Plura habeo quae ad Dinarchi librum proferantur (quo in libro quod hanc illamve coniecturam meo nomine inditam protuli, etsi Riccardus Heim eandem iam antea in sententiis controversis dissertationis suae proposuerat, quo iure egerim, Heimius meus non ignorabit). Exstant autem egregia ad hunc libellum

Wilamowitzii inventa, ut p. 301, 6 *ἐν Ἄγραις* pro tradito *ἐν ἀγρῷ*, ibidem p. 302, 1 recte refutavit quod addideram *βασιλεύς*, p. 308, 11 *Φίλαγρον* restituit pro *Φιλάγριον*, p. 318, 20 *Βιότην* pro *Βιώτην*, ea autem verba, quae sunt p. 317, 19 sq., sic constituit: *Κατὰ Γλύκης ἀποστασίου· καταλιπόντος ἐμοὶ τοῦ πατρός*. Denique p. 315, 1 sq. *ὑπὲρ τῶν κανῶν* emendant Meyer et Schoemann, Der attische Prozeß p. 474 adn. (novae editionis, quam curavit I. H. Lipsius). Venio nunc ad librum de Thucydide, cuius capitum 9 sq. (p. 335 sq.) memoria interim in reliquiis commentarii ad librum secundum Thucydideum conscripti apparuit, quae exstant in Oxyrh. Pap. VI (1908) Nr. 853 col. I 7 sq. (p. 114 sq.). Ibidem p. 330, 21 *Ξενομήδης ὁ Κεῖος* emendandum esse ex Callimachi Aetiorum fragmentis nuper repertis (Oxyrh. Pap. VII 1011 Fol. I^r 53 sq.) didicimus, cf. R. Pfeiffer Callimachi Fragmentorum editionis maioris p. 37, de Amelesagorae autem nomine (p. 330, 18) nunc adeundus est L. Weber Mus. Rhen. LXXVIII (1929) p. 26 sq., de *πλὴν*, quod est p. 340, 19, in *πρὶν* mutando Bruno Keil in Hermae XLVIII (1913) p. 131 adn. 1. Ut transeam ad librum de compositione verborum, ex commentario ad Hermogenis *περὶ εὑρέσεως* scripto, cuius auctorem Ioannem Sardianum fuisse H. Rabe demonstravit (initium Walzius expressit Rhet. Gr. VI 507 sq.), haec idem vir doctus excerpsit, quae ad *περὶ εὑρ.* p. 107, 4 R. adnotata erant: *Διονύσιος μὲν ἐκ τῶν λέξεων λέγει τὸν ῥυθμὸν γίνεσθαι· κατὰ δὲ τὸν τεχνικὸν τῇ συνθήκῃ καὶ τῇ ἀναπαύσει ἀκολουθεῖ ὁ ῥυθμός*, quae referenda videntur ad caput XVII p. 68 sq. Us. In eiusdem libri de comp. cap. XII p. 46, 14 non tam Euripides nominandus erat quam Aristoteles rhet. A. 11. 1371 a 25. Librorum de imitatione p. 203, 18 *τέλειον κάλλους εἶδος* Paulus Wendland proposuit, quaerendum tamen, possitne quod traditum est *τέλειον καλὸν* (*εἶδος*) servari. Epistulae ad Pompeium editionis censuram doctam et acutam Augustus Brinkmann scripsit Mus. Rhen. LXIX (1914) p. 255 sq., quo loco nonnulla, quae tradita sunt, a coniectura defendit, alia melius

quam antea factum erat constituit. Denique honoris causa nomino, quae Carolus Fuhr de Dionysii editione protulit Gött. Gel. Anz. 1901, 98 sq., Berl. Phil. W. 1906, 1027 sq. Rhetoricorum p. 1 sqq. Nec silentio praetereundum e Dionysii vitis singulas ab oratorum Atticorum editoribus interim esse editionibus suis additas, velut de Lysia tractatum Theodorus Thalheim in editione Lysiae orationum expressit, in emendandis Dionysii verbis, quantum equidem iudicare possum, haud ita feliciter versatus.[1]) Denique unum addo in huius voluminis p. 366, 8 verum non videri quod Usener scripsit, *ἐν ἰδιώματι κωμῳδίας*, nec vero quod Casaubonus *ἐν ἰδέᾳ τινὶ κωμῳδίας*, sed cum traditum sit *ἐν ἰδίῳ τινὶ κωμῳδίας*, nunc *ἐν ἰδίῳ γένει κωμῳδίας* videor mihi agnoscere. p. 255, 4 in P exstare *παραδιδόμεναι*, non *παραδιδόμενα* Rabeus mecum communicavit, p. 278, 18 *πράξεων* esse emendandum, p. 255, 3. 7 Demosthenis testimonium or. 25, 16 nominandum monuit idem.

Vindobonae. **Ludovicus Radermacher.**

---

1) Cf. Mus. Rhen. LVII 158.

INDICES

COMPOSVIT LVDOVICVS BIELER

A. INDEX NOMINVM

Indicem ad Dionysii Halicarnasei opuscula ea ratione composui, ut nomina propria admitterem primum in scriptis Dionysii integris tradita, deinde in fragmentis deperditorum fragmentorumque testimoniis Graecis, quae in his libellis typis maioribus expressa sunt; e Latinis Graeca tantum nomina adieci siglo 'cf.' addito. Ad cetera autem sigla quod adtinet, numeri uncinis angulatis ⟨ ⟩ inclusi nomina e coniectura inserta indicant, uncinis biangulis [ ] inclusi nomina tradita ab editoribus eiecta, uncini autem rotundi ( ) nomen explicandi causa additum significant esse. Discrepantias dialecti denique aut orthographiae velut *Συρακόσιοι* — *Συρακούσιοι*, *Χερρόνησος* — *Χερόνησος* eo modo distinxi, ut in capite unius cuiusque lemmatis alteram formam alteri adponerem uncinis inclusam numerisque ad eam referentibus adderem asteriscum *; mendosis autem nominum formis, quae in epitoma libri de compositione verborum nonnullae exstant, crucem † adposui.

Numeri Romani I II ad prius et posterius huius editionis volumen pertinent, Arabici ad paginas versusque.

A

B

Γ

Δ

K

Π

B. INDEX LOCORVM

Loci ad verbum exscripti nudis numeris signantur, loci, ad quos verba Dionysii spectant, asterisco * numeris addito. Nomina editorum, quae saepius occurrunt, his siglis signantur: *B* = Bergkius; *M* = Meinekius; *Mue* = Muellerus; *N* = Nauckius; *S* = Sauppius; *Sch* = Schmidtius.

H

I

C. INDEX TESTIMONIORVM

Locos, qui testimonia nominari non possunt, sed aliquo modo ad verba Dionysii spectant, asterisco * signavi.

Bibliotheca Teubneriana: Neuerscheinungen

[Cicero. Neuausgabe.]
Vol. IX = Fasc. 30—33a. Geh. RM 14.60, geb. RM 16.— *[1166a]*

Auch geteilt:

Fasc. 30. Epistt. ad familiares I—IV rec. Sjögren. Kart. RM 3.20 *[1203]*
Fasc. 31. — — V—VIII rec. Sjögren. Kart. RM 3.60 *[1204]*
Fasc. 32. — — IX—XII rec. Sjögren. Kart. RM 3.60 *[1205]*
Fasc. 33. — — XIII—XVI rec. Sjögren. Kart. RM 3.20 *[1206]*
Fasc. 33a. Praefationes. Indices vol. IX. RM 1.— *[1207]*

Vol. XII. Fasc. 39. De re publica rec. Ziegler. Ed. II. RM 3.—, geb. RM 3.80 *[1215]*

Vol. XV. Fasc. 48. De officiis rec. Atzert. — De virtutibus rec. Plasberg. RM 4.—, geb. RM 4.80 *[1224]*

Corpus hippiatricorum Graecorum edd. Oder et Hoppe. Vol. I. Hippiatrica Berolinensia. RM 14.60, geb. RM 16.— *[1246]*. Vol. II. Hippiatrica Parisina, Cantabrigiensia, Londinensia, Lugdunensia. Appendix. RM 14.80, geb RM 16.— *[1246a]*

Dionis Cassii historia Romana ed. Melber. Vol. III. Libri LI—LX. RM 12.60 geb. RM 14.— *[1282a]*

Dionysii Halicarnassensis Opuscula ed. Radermacher. Vol II. Fasc. 2. Praefatio. Indices. U. d. Pr. 1930 *[1291]*

Euripidis cantica dig. Schröder. RM 5.—, geb. RM 6.— *[1340]*

Fragmenta poetarum Latinorum epicorum et lyricorum praeter Ennium et Lucilium post Baehrens iterum ed. Morel. RM 6.20, geb. RM 7.20 *[1371a]*

Gai institutionum commentarii quattuor separatim ex iurisprudentiae anteiustinianae reliquiis ab Huschke compositis ab Seckel et Kuebler retractatis sextum ed. Kuebler. RM 3.40, geb. RM 4.60

Iurisprudentiae anteiustinianae reliquiae post Huschke edd. Seckel-Kübler. Pars II, Fasc. 2. RM 14.80, geb. RM 16.— *[1463a]*

Libanii opera ed. Foerster. Vol. IX ed. Richtsteig. RM 6.80, geb. RM 8.— *[1482]*. Vol. XII. Index cong. Richtsteig. RM 5.60, geb. RM 6.40 *[1485]*

Martialis epigrammaton libri ed. Heraeus. RM 6.60, geb. RM 8.— *[1531]*

Martianus Capella ed. Dick. RM 14.60, geb. RM 16.— *[1532]*

Optatiani Porfyrii carmina ed. Kluge. RM 3.40, geb. RM 4.— *[1561]*

[Oxyrhynchia] Hellenica Oxyrhynchia ed. Kalinka. RM 3.—, geb. RM 3.60 *[1572a]*

Pindari carmina ed. Schroeder. Supplementum. RM —.40 *[1596]*

[Pindarus] Scholia in Pindarum ed. Drachmann. Vol. III. Scholia in Nemeonicas et Isthmionicas. Epimetrum. Indices. RM 12.60, geb. RM 14.— *[1598a]*

Plutarchi vitae parallelae. Neubearbeitung. Edd. Lindskog et Ziegler. Vol. III. Fasc. 2 (= Nr. 21—23). RM 8.60, geb. RM 10.— *[1676]*. Vol. III. Fasc. 3 (= Nr. 24). In Vorb. 1930 *[1676a]*

Auch einzeln: 21. Lycurgus et Numa. Kart. RM 2.20 *[1697]* — 22. Lysander et Sulla. Kart. RM 2.60 *[1698]* — 23. Agesilaus et Pompeius. Kart. RM 3.20 *[1699]* — 24. Galba et Otho. In Vorb. 1930 *[1700]*

—— moralia. Neubearbeitung. Rece. Hubert, Nachstädt, Paton, Pohlenz, Sieveking, Titchener, Wegehaupt. Vol. I. RM 10.—, geb. RM 11.60 *[1705]*

Auch in 2 Fasc.:

Fasc. 1. RM 5.20, geb. RM 6.— *[1705b]*
Fasc. 2. RM 4.20, geb. RM 5.— *[1705c]*
Praefatio scr. Pohlenz. RM 1.20 *[1705d]*
Vol. III. RM 16.60, geb. RM 18.— *[1922]*

Auch in 2 Fasc. (Auswahl):

Fasc I. Kart. RM 3.80 *[1923]*
Fasc. II. Kart. RM 3.— *[1924]*

Rhetores Graeci. Neubearbeitung. Vol. V. Aristides ed. Schmid. RM 5.—, geb. RM 6.— *[1759a]*. Vol. X. Aphthonius ed. Rabe. RM 4.—, geb. RM 4.60 *[1760a]* Vol. XV. Ioannes Sardianus in Aphthonium ed. Rabe. Geh. RM 12.60, geb. RM 14.— *[1761b]*

Scriptores histor. Augustae ed. Hohl. Vol. I. RM 10.80, geb RM 12.— *[1772]* Vol. II. RM 10.80, geb. RM 12.— *[1772a]*

[Thucydides] Scholia in Thucydidem ad optimos codices collata ed. Hude. RM 14.60, geb. RM 16.— *[1863a]*

Vallae, Laurentii, de falso credita et ementita Constantini donatione declamatio rec. Schwahn. RM 4.40, geb. RM 5.— *[1472a]*

Varronis rerum rusticarum libri tres. Post Keil iterum ed. Goetz. RM 4.60, geb. RM 5.60 *[1870]*

Xenophontis historia Graeca (Hellenica) ed. Hude. Ed. maior. [U. d. Pr. 1930 *[1930]* Ed. minor. [U. d. Pr. 1930 *[1931]*

Verlag von B. G. Teubner in Leipzig und Berlin

Klassische Altertumswissenschaft (Auswahl)

Antike. Neue Wege zur Antike. Heft I: (E. Lisco.) Arbeitsunterricht in den alten Sprachen. — (O. Wecker.) Der Sprachunterricht auf Sexta nach dem Grundsatz der Konzentration. — Das Übersetzen als Mittel deutscher Stilbildung. Geh. RM 2.80. Heft II: (R. Reitzenstein.) Das Römische in Cicero u. Horaz. — (W. A. Baehrens.) Skizze der lateinischen Volkssprache. 2. Aufl. Geh. RM 2.80. Heft III: (M. Pohlenz.) Staatsbürgerliche Erziehung im griechischen Unterricht. — (U. Kahrstedt.) Die Kultur der Antoninenzeit. Geh. RM 3.—. Heft IV: (R. Reitzenstein.) Tacitus und sein Werk. — (W. Baehrens.) Sallust als Historiker, Politiker und Tendenzschriftsteller. — (Fr. Koepp.) Germanenkämpfe in der röm. Kunst. — (U. Kahrstedt.) Die Grundlagen und Voraussetzungen der röm. Revolution. 2. Aufl. Geh. RM 5.—. Heft V: (K. Klähr.) Der Horaz-Unterricht. Geh. RM 2.80. Heft VI: (Kroymann u. Regenbogen.) Was erwarten Schule u. Universität auf dem Gebiete des altsprachl. Unterrichts voneinander? Geh. RM 1.80. Heft VII: (F. Zeichner.) Vom Wesen und Wert des latein. Arbeitsunterrichts auf der Unterstufe. Geh. RM 1.80. Heft VIII: (W. Kranz.) Platon im Gymnasium. — (W. Schadewaldt.) Sophokles, Aias und Antigone. — (A. Koerte.) Neuere Forschungen auf dem Gebiet der griechischen Metrik. Geh. RM 5.—

Back, Fr., Körper und Rhythmus. 52 griechische Bildwerke. Mit einer Einführung. 4. 1927. Kart. RM 4.—, geb. RM 6.—

Beth, K., Religion und Magie. Ein religionsgeschichtl. Beitrag z. psycholog. Grundl. d. rel. Prinzipienlehre. 2., umgearb. Aufl. gr. 8. 1927. Geh. RM 14.—, geb. RM 16.—

Bethe, E., Homer, Dichtung und Sage. II. Bd. Kyklos. Zeitbestimmung. Nebst den Resten des Troischen Kyklos und einem Beitrag von Fr. Studniczka. 2. Aufl. gr. 8. 1929. Geh. RM 14.—, geb. RM 16.—. Auch geteilt: I. Geb. RM 9.—, II. Geb RM 11.—. III. Bd. Die Sage vom Troischen Krieg. 8. 1927. Geh. RM 10.—, geb. RM 12.—

Böhme, J., Die Seele und das Ich im homerischen Epos. Mit einem Anh.: Vergleich mit dem Glauben der Primitiven. [U. d. Pr. 1930]

Boll, Fr., Bezold, C., Gundel, W., Sternglaube und Sterndeutung. Die Geschichte und das Wesen der Astrologie. 3. Aufl. Mit 48 Abb. im Text u. auf 20 Tafeln sowie 1 Sternkarte. gr. 8. 1926. Geh. RM 11.—, geb. RM 13.60

Corpus medicorum Graecorum. I 1. Hippocrates: Indices librorum. Iusiurandum. Lex. De arte. De medico. De decente habitu. Praeceptiones. De prisca medicina. De aere locis aquis. De alimento. De liquidorum usu. De flatibus. Ed. J. L. Heiberg. gr. 8. 1927. Geh. RM 10.—, geb. RM 12.—

—— IV. Sorani gynaeciorum libri IV. De signis fracturarum. De fasciis. Vita Hippocratis secundum Soranum. Ed. J. Ilberg. Mit 18 Taf. gr. 8. 1927. Geh. RM 22.—, geb. RM 24.—

—— VI 1, 1 u. 2. Oribasii collectionum medicarum reliquiae. Ed. H. Raeder. Libri I–VIII. gr. 8. 1928. Libri IX–XVI. gr. 8. 1929. Geh. je RM 20.—, geb. je RM 22.—

—— VI 3. Oribasii synopsis ad Eustathium. Libri ad Eunapium ed. H. Raeder. gr. 8. 1927. Geh. RM 30.—, geb. RM 33.—

Corpus medicorum Latinorum. Vol. IV. Antonii Musae de herba vettonica liber. Pseudoapulei herbarius. Anonymi de taxone liber. Sexti Placiti liber medicinae ex animalibus etc. edd. E. Howald et H. E. Sigerist. Mit Abb. u. 2 Taf. gr. 8. 1927. Geh. RM 24.—, geb. RM 26.—

—— VIII 1, 1. Anthimi de observatione ciborum ad Theodoricum regem Francorum epistula rec. E. Liechtenhan. gr. 8. 1928. Geh. RM 6.—, geb. RM 7.50

Euripides Alkestis. Erklärt von L. Weber. gr. 8. 1930. Geh. RM 8.—, geb. RM 10.—

Gercke, A., u. Norden, E., Einleit. in d. Altertumswissensch. 3 Bde. gr. 8.
I. Band: 1. Geschichte der Philologie (U. v. Wilamowitz-Moellendorff). Kart. RM 2.80. 2. Textkritik (P. Maas). Kart. RM 1.20. 3. Griech. Literatur (E. Bethe, P. Wendland, M. Pohlenz). Kart. RM 7.—. 4. Römische Literatur (E. Norden). Kart. RM 4.—. 5. Christl. Literatur (H. Lietzmann). Kart. RM 1.60. 6. Sprache (P. Kretzschmer). Kart. RM 4.—. 7. Griech. Metrik (P. Maas). Kart. RM 1.20. 8. Röm. Metrik (Fr. Vollmer). Kart. RM 1.20. 9. Griech. Epigraphik (Hiller v. Gaertringen). Papyruskunde (W. Schubart). Griech. Paläographie (P. Maas). Kart. RM 3.—. 10. Latein. Epigraphik (H. Dessau). Lat. Paläographie (P. Lehmann). Kart. RM 3.20. Supplement. Vorwort. Inhaltsverzeichnis. Nachträge. Register. Kart. RM 2.40. Kplt. geb. RM 32.—. [3. Aufl.]

Verlag von B. G. Teubner in Leipzig und Berlin

Dionysii opuscula edd. Usener et Radermacher. VI, 2.

I

Dionysii Halicarnasei Opusculorum voluminis secundi plena exemplaria apud bibliopolam prostant.

II

Voluminis Opusculorum secundi fasciculum priorem corio nondum compactum qui possident, exemplar totius voluminis integrum comparare poterunt praefatione in initio libri, indicibus in calce positis, praefixo autem eo titulo, quem addimus stellula una notatum, abiecto fasciculi posterioris titulo, qui circuli signum habet. Coria, quibus volumen ex ambobus fasciculis componendum iubeatur compingi, a bibliopola venibunt.

III

Qui vero voluminis Opusculorum secundi fasciculum priorem iam glutinatum bibliothecae inseruerunt, in hoc volumen eum titulum includendum curabunt, quem duabus stellulis signavimus. Fasciculum posteriorem, sicut est, glutinari iubebunt.